ΕΠΑΚΤΟΣ ὅρκος (est autem ὅρκος *jusjurandum), quem quis sibi defert, id est, spontaneus. Lysias in orat. ad* (vel *adversus) Chærestratum, et Isocrates Apolloniates in suis ad Demonicum monitis. Sunt vero ejus tria genera,* ἀπώμοτος et κατώμοτος *et qui* ἐπακτὸς *appellatur. Hunc autem non esse simplicem: oportet enim ei quod proponitur ab eo qui jusjurandum defert respondere iisdem verbis eum cui defertur.* (p. 6. e. ed. Steph.) Valde nova nec vera hæc ἐπακτοῦ ὅρκου expositio non immerito lectori videatur, quum vix ullus inveniri possit qui in dubium vocandum putet an ἐπακτὸς ὅρκος sit qui ab alio defertur. Neque tamen negari potest quin Harpocrationis menti assentiatur mea interpretatio: nam αὑτῷ recte a me scribi, non αὐτῷ, ut sit pro ἑαυτῷ, ostendit Suidas, quum apud eum legatur ἑαυτῷ: et hujus expositionis totius verba sint apud eum ista: ὃν ἄν τις αὐτὸς ἑκὼν ἑαυτῷ ἐπάγηται, τουτέστιν αἱρεῖται. Illa autem, ὃν ἄν τις αἱρῆται (nam ita scribendum est, sicut præcedit ἐπάγηται) vel ὅν τις αἱρεῖται, una voce reddo *spontaneus:* quum et *voluntarius* reddi (ut opinor) queat. Recte autem apud eundem Suidam corrigitur illa expositio hac proxime sequente: ἄλλοι δὲ τοὐναντίον, ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. Quibus verbis subjungitur mentio illorum trium generum jurisjurandi. Sed quod ad posteriorem hanc ἐπακτοῦ ὅρκου expositionem attinet (quam et ego multo meliorem, immo solam bonam esse judico), jam apud eundem Lexicographum præcesserat, antequam περὶ τοῦ αὐθαιρέτου intelligi debere diceretur. Hæc enim ibi præcedunt: Ἐπακτὸς ὅρκος, ὁ μὴ αὐθαίρετος, ἀλλ' ἐφ' ὃν ἕτερος ἄγει. Jam vero et ipse

Isocratis locus, sive Apolloniatæ, sive alius (ut antea dictum fuit) qui tempore Dionysii Halicarnassei vixit, ad amplectendam posteriorem hanc ἐξήγησιν, rejicendam priorem (quod pace Harpocrationis, magni alioqui viri, dictum sit) compellere nos videtur. Ibi enim ita eum monet: *Jusjurandum epactum admitte, duabus de causis: vel ut teipsum turpi crimine liberes, vel ut amicos e periculis eripias.* Nam hic observandum est dici προσδέχου, id est, *admitte:* atqui quomodo quis jusjurandum spontaneum, non autem ab alio delatum, admittere diceretur? Illud vero διὰ δύο προφάσεις libenter aliter interpretarer, quam *duabus de causis:* quum hæc verba respondeant potius Græcis istis, διὰ δύο αἰτίας: et quæ subjunguntur illis verbis διὰ δύο προφάσεις, non tam sint duæ causæ propter quas jusjurandum admitti debet, quam duæ res quæ quum accidunt, præ aliis ad jusjurandum admittendum impellere debent. In illis porro Harpocrationis quæ sequuntur verbis, ubi de tribus jurisjurandi generibus loquitur, desidero verbum ad quod illud εἶναι referri possit. Præterea vereor ne aliud quam ἁπλοῦν ipse scripserit. In sequenti autem et ultima hujus observationis periodo lego τῷ προτεινομένῳ, sive τοῖς προτεινομένοις pro τὸν προτεινόμενον, ut ostendere vel mea hujus loci interpretatio potest.

ΕΛΑΦΡΟΤΑΤΟΥΣ. ἐν ἐπαίνῳ λέγουσι τοὔνομα οἱ παλαιοὶ, ἀντὶ τοῦ πραοτάτους· κατὰ τὸ ἐναντίον τῷ βαρυτάτους καὶ φορτικωτάτους. Ἰσοκράτης Παναθηναϊκῷ· Σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας. HARPOCRAT.

ΕΛΑΦΡΟΤΑΤΟΥΣ. *In laudem utuntur veteres hoc vocabulo, pro* πραοτάτους, *ut contrario his,* βαρυτάτους et φορτικωτάτους. *Isocr. Panath.* σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας. Facit autem pro Harpocrationis expositione locus hic qui eadem in oratione legitur §. ιθ'. μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις συνηθείη κατιδεῖν ὅσῳ μετριώτερον καὶ πραότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν. Nam illi superlativo ἐλαφροτάτους, quod exponit πραοτάτους, vides eodem modo subjungi μετριωτάτους, quo hic comparativo μετριώτερον subjungitur πραότερον (neque enim in hujusmodi copulationibus ratio ordinis semper habetur), ac fieri potest ut in illa expositione ad locum hunc respexerit. Quum autem dicit κατὰ τὸ ἐναντίον τῷ βαρυτάτους et φορτικωτάτους, respicit ad eas voces quæ eo in loco præcedunt istas: et tamen non omnino easdem affert quas ibi legimus. Nam ita scriptum habemus totum locum §. ια'. τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας. Apud Suidam paulo aliter quam apud Harpocr. scriptum est: ἐν ἐπαίνῳ λέγουσι τὸ ὄνομα οἱ παλαιοὶ, ἀντὶ τοῦ πραοτάτους, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτου καὶ φορτικωτάτου. Istud igitur colligendum hinc est, Harpocratio-

nem et Suidam (nisi potius Harpocrationis tantum mentio facienda est, quum Suidam ex illo mutuatum esse vix quisquam neget) hunc quidem in voce *φορτικωτάτους*, illum autem in vocabulo *φορτικωτάτου*, ad illud *ἀηδίας* respexisse: perinde ac si *ἡ ἀηδία* et *τὸ φορτικὸν*, aut etiam *τὸ φορτικώτατον*, idem sonarent. Verum, quamvis paulo ante *ἐλαφροτάτους*, sicut et *μετριωτάτους*, scripserim in illo Isocratis loco, tanquam et in hac mea editione ita legeretur, nunc contra fateor, in ea, sicut in Aldina et aliis, *ἐλαφροτέρους* male scriptum esse, ac *ἐλαφροτάτους* ex isto Harpocrationis loco reponendum esse: etiamsi, vel eo tacente, aliquem hanc emendationem sibi permittere potuisse existimem.

ΕΠΙΘΕΤΟΥΣ *ἑορτὰς, Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους, ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν.* HARPOCRAT.

ΕΠΙΘΕΤΟΥΣ *ἑορτὰς* (perinde ac si quis dicat: *adjectitia festa*, sive *adscititia*), *quæ patriæ non erant, sed alia de causa decreto approbatæ, ἐπιθέτους appellabant.* Locus Isocratis exstat §. *ια'*. *οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτὰς, αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον.* Ubi tamen interpres *peregrinas ferias* vertit, non *adjectitias*, aut *adscititias*, vel *advectitias*, vel *adventitias:* quorum unoquoque, ac præsertim illorum priorum, vim vocabuli et originem ostendisset. Cæterum ad expositionem Harpocrationis quod attinet, in qua, inter cætera, *τὰς μὴ πατρίους* esse dicit, sciendum est, apud Isocratem, proxime præcedere, *τὰς πατρίους θυσίας ἐξέλειπον*. ita enim scribendum est, non *ἐξέλιπον*.

ΕΠΙΣΗΜΑΙΝΕΣΘΑΙ, *ἀντὶ τοῦ ἐπαινεῖν, καὶ, ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν. Ἰσοκράτης Παναθηναϊκῷ.* HARPOCRAT.

ΕΠΙΣΗΜΑΙΝΕΣΘΑΙ, *id est, Laudare, atque* (*ut consueto nobis sermone dicitur*) *ἐπιφωνεῖν. Isocr. Panath.* Locus Isocratis est in ipso Panathenaici principio §. *α'*. *καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν.* Ubi observa etiam *θορυβεῖν* eadem de re dictum. Nisi forte *ἐπιθορυβεῖν* potius scripsisse existimandus est, quod sæpe hujusmodi locis adhibetur. Verum et simplex *θορυβεῖν* hac de re dictum in alio ejusdem orationis loco legitur: et quidem ab ipso Isocrate explicatum. Nam hæc sunt ejus verba, circa finem ejusdem orationis. §. videlicet *ργ'*. habemus: *ταῦτ' εἰπόντος αὐτοῦ, καὶ τοὺς παρόντας ἀξιώσαντος ἀποφήνασθαι περὶ ὧν παρεκλήθησαν, οὐκ ἐθορύβησαν (ὃ ποιεῖν εἰώθασι πᾶσι τοῖς χαριέντως διειλεγμένοις)· ἀλλ' ἀνεβόησαν, ὡς ὑπερβαλλόντως εἰρηκότος.*

ΕΠΙΣΤΑΘΜΟΣ, *Ἰσοκράτης Πανηγυρικῷ· Ἑκάτομνος δ' ὁ Καρίας ἐπίσταθμος. Ὃς οὐδὲν ἕτερον ἦν, ἢ κατὰ σατραπείαν Καρίας κύριος ὑπῆρχεν.* HARPOCRAT.

ΕΠΙΣΤΑΘΜΟΣ, *Isocrates oratione Panegyrica: Ἑκάτομνος δ' ὁ Καρίας ἐπίσταθμος. Quod nihil aliud est quam, κατὰ σατραπείαν*

Καρίας κύριος ὑπῆρχεν. Ideo autem ita interpretor, *quod nihil aliud est* (nisi quis malit: *quod nihil aliud sonat*), quoniam scribo, ὃ οὐδὲν ἕτερον ἦν, vel potius ἐστί. At vero apud Suidam mendosus etiam legitur hic locus: ita videlicet, ὃς οὐδὲν ὕστερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος. Hæc autem verba ita reddi posse existimo: *per satrapeiam* (nisi quis malit *satrapeiæ jure*) *dominus Cariæ*, vel *Cariæ dominus utpote satrapa.* Interpres hoc loco vertit: *Cariæ præses.* Legitur autem in alio ejusdem orationis loco §. λδ΄. καὶ προστάττων ἃ χρὴ ποιεῖν ἑκάστους, καὶ μονονοὺκ (ita enim potius scribendum quam disjuncte μόνον οὐκ) ἐπιστάθμους ἐν ταῖς πόλεσι καθιστάς. Ubi idem interpres *præfectos* reddit. Non dubium est tamen quin eadem utrobique hujus vocabuli esse interpretatio debeat. nam et hic de rege Persarum agitur, ἐπιστάθμους in Græcia, non secus quam in Asia sua, constituente.

ΗΠΕΙΡΟΝ. συνηθές ἐστι τῷ Ἰσοκράτει τὴν ὑπὸ τῷ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν. ὥςπερ ἔν τε Φιλιππικῷ καὶ Ἀρχιδάμῳ. HARPOCRAT.

ΗΠΕΙΡΟΝ. *In more habet Isocrates regionem quæ est sub regis Persarum ditione, ita vocare: ut in Philippica oratione, et in Archidamo.* Sic autem et ἠπειρώτας, eos quibus rex Persarum imperabat, appellantem audimus in Paneg. §. μβ΄. τοῖς δ' ἠπειρώταις, οὐδ' ὅταν εὖ πάσχωσι, χάριν ἴσασιν. ubi interpres pro Epirotis, seu Epiri incolis, *Asianos* dixit. Ac eosdem certe τοὺς τὴν Ἀσίαν κατοικοῦντας vocat Isocrates in Panath. ubi etiam subaudiendum est βαρβάρους, sicut ex sequentibus apparet. Ita enim ibi scriptum est §. λ΄. οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ τῶν βάρβάρων κινδυνεύων. Nam ex eo quod subjungit, πρὸς ἄλλα γένη πολλὰ τῶν βαρβάρων, se et Asianos omnes pro barbaris habere ostendit. Fortasse tamen objiciet quispiam necesse non esse ex sequentibus ibi subaudire βαρβάρους, quum, vel Isocrate tacente, ex aliis ejus locis et aliorum etiam quibusdam pro barbaris habitos constet. Eodem vero dicitur modo in Philipp. §. δ΄. εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν. At in Panegyr. §. γ΄. dans idem consilium, dicit: κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν. quibus verbis præfixa sunt ista: παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονεικίας. sicut illo altero in loco hæc verba: εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν: præcedunt ista: πλὴν εἰ δόξειε ταῖς πόλεσι ταῖς μεγίσταις, διαλυσαμέναις τὰ πρὸς σφᾶς αὐτάς. Jam vero in eadem oratione Panegyrica, tanquam ex aliis idem consilium proponens, scribit §. β΄. ὡς χρὴ, διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας ἐπὶ βάρβαρον τραπέσθαι. Cæterum in Panath. Europæ simul et Asiæ mentionem facit. Græcis, non minus quam barbaris, suam orbis partem tribuens, §. ιϛ΄. καὶ τὴν Εὐρώπην κρείττω γίνεσθαι τῆς Ἀσίας.

ΚΑΙΝΩΣ, Ἰσοκράτης Πανηγυρικῷ, οἷον ὡς τοῖς νεωτέροις ἁρμόττειν πράγμασιν. Ἔφορος δὲ τρόπον τινὰ ἐξηγήσατο αὐτὸ ἐν τῇ πρώτῃ. HARPOCRAT.

ΚΑΙΝΩΣ, *Isocr. orat. Panegyrica: ita videlicet ut rebus novis convenire queat. Ephorus autem illud quodammodo exposuit libro primo.* Locus hic est idem qui et in voce ἀρχαίως ab eo citatus fuit ex eadem oratione. ibi enim post ἀρχαίως scribit, Isocr. Panegyrico §. α΄. τά τε παλαιὰ καινῶς διελθεῖν, καὶ περὶ τῶν νεωστὶ γενομένων ἀρχαίως εἰπεῖν. Cujus scripturæ minimum est discrimen a nostra (circa hujus orationis principium); tantum enim pro illo διελθεῖν habemus διεξελθεῖν (quum multi sint loci qui et hoc διεξελθεῖν comprobare possint: et quidem unum ex iis legamus in proxime sequente pagina §. β΄. καὶ διεξέρχονται τάς τε συμφορὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γεγενημένας), et γεγενημένων pro γενομένων. Cæterum in eadem illa vocabuli ἀρχαίως observatione, paucis interjectis, addit: Θουκυδίδης ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν τρόπον τινὰ ἐξηγήσατο. at hic videmus de Ephoro idem scribi, id est, eum dici eundem illum locum τρόπον τινὰ ἐξηγήσασθαι. Qua de re alius erit dicendi locus.

ΚΑΚΩΣ εἰδότες, ἀντὶ τοῦ ἀγνοοῦντες, Ἰσοκράτης περὶ εἰρήνης. HARPOCRAT.

ΚΑΚΩΣ εἰδότες (id est, *male scientes*, si verbum verbo reddatur), *pro ignorantes, Isocrates De pace.* Excogitatum fortasse fuit hoc loquendi genus ad imitationem illius quod ei opponitur, εὖ εἰδότες: quamvis hic εὖ dici queat pleonasticum. Ac ne hoc quidem observatu indignum est, adverbium κακῶς eum in hoc loquendi genere habere usum quem habet alicubi *male* (quod ei apud Latinos respondet), veluti ubi dicitur de non sano *male sanus;* qui et *insanus.* Ovidio autem præ aliis hic adverbii istius usus est familiaris. Cæterum non debuit Harpocration aliquem tantum ex oratione De pace testem citare: quum et alibi passim exstent in aliis ejus orationibus loci ex quibus testimonia peti possunt. Eorum e numero duos saltem, qui in Panath. leguntur, memoria mea suppeditabit. Unus est §. ξε΄. κακῶς εἰδότες ὡς τοὺς μὲν θεραπεύοντας αὐτὸν ὑβρίζειν εἴθισται. ubi tamen interpres vertit: *ut non animadvertamus.* Altero, §. οε΄. κακῶς εἰδότες ὡς οὐδὲν οὔτ' ὅσιον οὔτε καλόν ἐστι τὸ μὴ μετὰ δικαιοσύνης καὶ λεγόμενον καὶ πραττόμενον.

ΚΗΡΥΚΕΣ, Ἰσοκράτης Πανηγυρικῷ. γένος ἐστὶν ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον. κέκληται δὲ ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ. HARPOCRAT.

ΚΗΡΥΚΕΣ, *Isocrates Paneg. Stirps quædam est Athenis hoc nomine. Vocatur autem a quodam Keryce, qui Mercurii filius fuit.* Verto ita ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ, quod existimem subaudiri υἱοῦ, ut omnes norunt hanc ellipsin esse frequentissimam. ac ideo scripsi

etiam Κήρυκος, litera K majuscula. Alioqui non video quæ hujus loci interpretatio afferri possit. Nam si voluisset significare stirpem illam a quodam, qui præco Mercurii fuit, nomen accepisse, paulo aliter (ut opinor) locutus fuisset: et his vel similibus verbis usus esset: ἀπὸ τινὸς ὃς κήρυξ τοῦ Ἑρμοῦ ἐγένετο. Sed eum hoc dicere voluisse, parum mihi sit verisimile. Exstat autem locus Isocratis μβ'. Εὐμολπίδαι δὲ καὶ κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων etc. Sed scribendum censeo hic quoque Κήρυκες litera K majuscula. Interpres tamen, tanquam appellativum, reddidit *præcones*.

ΚΟΡΟΠΛΑΘΟΣ, Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Τοὺς ἐκ πηλοῦ, ἢ κηροῦ, ἢ τινὸς τοιαύτης ὕλης, πλάττοντας κόρας ἢ κούρους, οὕτως ὠνόμαζον. HARPOCRAT.

ΚΟΡΟΠΛΑΘΟΣ, *Isocr. in orat. De permutatione. Eos qui e luto, aut cera, aut ex alia hujusmodi materia, puellulos aut puellulas fingebat, ita vocabant.* Suidas habet: Κοροπλάθοι, οἱ τοὺς κόρους πλάττοντες κηρῷ ἢ γύψῳ. τουτέστι τὰ ζῶα πάντα. Ubi non dubium est quin mendosum sit hoc τουτέστι, et quæ distinguenda erant, male in unum confusa fuerint: ut ex iis quæ in Thesauro meo Græcæ linguæ leges, tibi apparebit. Sunt qui κοροπλάθον *puparum fictorem* interpretentur. Locus porro Isocratis in illius orationis initio tibi occurret.

ΛΟΓΙΣΜΟΣ, ἡ λογιστικὴ τέχνη. Ἰσοκράτης Βουσίριδι. HARPOCRAT.

ΛΟΓΙΣΜΟΣ, *Supputandi ars, sive computandi. Isocr. Busiride.* Apud Isocr. in Buriside §. ϑ'. plurale λογισμοῖς habemus, non singulare λογισμῷ. Ita enim ibi scriptum est: ἐν ἀστρονομίᾳ καὶ λογισμοῖς καὶ γεωμετρίᾳ διατρίβειν ἔπεισεν. sed minime dubium est quin λογισμῷ non λογισμοῖς scriptum hic ab Harpocratione fuerit. Cæterum λογισμοῖς illud redditur ab interprete *arithmetica*.

ΛΟΓΟΠΟΙΟΣ, ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος. Ἰσοκράτης Βουσίριδι. HARPOCRAT.

ΛΟΓΟΠΟΙΟΣ, *qui a nobis dicitur historicus. Isocr. Busiride.* Isocr. in Bus. §. ιε'. ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν. Paulo post autem legimus etiam verbum quod ex hoc nomine factum est, ubi scribit: καὶ πολλὰς ἄλλας ἀνομίας ἐλογοποίησαν κατὰ τούτων.

ΞΕΝΙΤΕΥΟΜΕΝΟΥΣ, ἀντὶ τοῦ μισθοφοροῦντας. ξένοι δὲ οἱ μισθοφόροι. Ἰσοκράτης Φιλιππικῷ, κἂν τινὶ τῶν πρὸς Φίλιππον ἐπιστολῶν. HARPOCRAT.

ΞΕΝΙΤΕΥΟΜΕΝΟΥΣ, *id est, mercede militantes.* ξένοι *autem qui mercede militant. Isocr. or. Phil. et in quadam epistolarum ad Philippum.* Tanquam præcedente nomine ξενίτης, dicitur ξενιτεύομαι, etiamsi Harpocr. nullam hujus sed tantum nominis ξένοι

mentionem faciat. Cæterum unus ex illis Isocratis locis est hic §. ν'. ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων τὰ τῶν ξενιτευομένων στρατόπεδα μισθοῦνται.

ΟΣΙΟΝ. Ὑπερίδης ἐν τῷ πρὸς Ἀριστογείτονα φησί· Καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια. ὅ,τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ· Καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις. Ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει. HARPOCRAT.

ΟΣΙΟΝ. *Hyperides oratione ad Aristogitonem dicit*, καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια. *Quin etiam Isocrates in Areopag.* καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις. *Significare autem* ὅσια *idem quod* δημόσια, *aperte docet Demosthenes adversus Timocratem.* His subjungit locum illum Demosthenis: atque illi addit, ex Didymo, duobus dictum fuisse modis τὸ ὅσιον, et quod esset ἱερὸν, et quod ἰδιωτικόν. Ubi hæc vox ἰδιωτικὸν non immerito futura esse suspecta videtur, etiamsi eadem apud Suidam lectio exstet. Cæterum et vulgaris nominis ὅσιον usus exemplum habemus apud nostrum Isocratem, cum alibi, tum Panath. §. ιε'.

ΠΑΡΡΗΣΙΑΣ, ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας. Ἰσοκράτης Βουσίριδι. HARPOCRAT.

ΠΑΡΡΗΣΙΑΣ, *id est, maledicentiæ et convitiationis. Isocr. Busiride.* Nisi quis malit *maledictorum et convitiorum:* quod illud verbale *convitiatio*, præsertimque ejus genitivus, aliquid duriusculum habeat. Locus est §. ις'. τῆς δ' εἰς τοὺς θεοὺς παῤῥησίας ὀλιγωρήσομεν. Non assentior autem Harpocrationi de hac expositione: sed malim simpliciter exponere: *nimiæ in deos loquendi libertatis.* Quod si licentiam loquendi dicamus, adjectivo illo non itidem opus fuerit. Perinde ac si diceret: Tantæ loquendi licentiæ ut ad maledicta usque ac convitia erumpat.

ΕΚ ΤΟΥ ΠΛΑΤΩΝΟΣ

ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

ΦΑΙΔΡΟΣ. Οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν. ΣΩΚΡΑΤΗΣ. Τίνα τοῦτον; ΦΑΙΔ. Ἰσοκράτη τὸν καλόν. ᾧ τί ἀπαγγελεῖς ὦ Σώκρατες; τίν' αὐτὸν φήσομεν εἶναι; ΣΩΚΡ. Νέος ἔτι, ὦ Φαῖδρε, Ἰσοκράτης· ὃ μέντοι μαντεύομαι κατ' αὐτοῦ λέγειν ἐθέλω. ΦΑΙΔ. Τὸ ποῖον δή; ΣΩΚΡ. Δοκεῖ μοι ἀμείνων ἢ κατὰ τοὺς περὶ Λυσίαν εἶναι λόγους τὰ τῆς φύσεως, ἔτι τε ἤθει γεννικωτέρῳ κεκρᾶσθαι· ὥςτε οὐδὲν ἂν γένοιτο θαυμαστὸν προϊούσης τῆς ἡλικίας, εἰ περὶ αὐτούς τε τοὺς λόγους οἷς νῦν ἐπιχειρεῖ πλέον ἢ παίδων διενέγκοι τῶν πώποτε ἁψαμένων λόγων, ἔτι τε εἰ αὐτῷ μὴ ἀποχρήσαι ταῦτα, ἐπὶ μείζω δέ τις αὐτὸν ἄγοι ὁρμὴ θειοτέρα. φύσει γάρ, ὦ φίλε, ἔνεστί τις φιλοσοφία τῇ τοῦ ἀνδρὸς διανοίᾳ.

ΕΚ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ

ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

α'. ΙΣΟΚΡΑΤΗΣ ὁ Ἀθηναῖος ἐγεννήθη μὲν ἐπὶ τῆς ὀγδοηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος, ἄρχοντος Ἀθήνησι Λυσιμάχου, πέμπτῳ πρότερον ἔτει τοῦ Πελοποννησιακοῦ πολέμου, δυσὶ καὶ εἴκοσιν ἔτεσι νεώτερος Λυσίου. πατρὸς δ' ἦν Θεοδώρου, τινὸς τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ τὸν βίον ἀπὸ ταύτης ἔχοντος τῆς ἐργασίας. ἀγωγῆς δὲ τυχὼν εὐσχήμονος καὶ παιδευθεὶς οὐδενὸς Ἀθηναίων χεῖρον, ἐπειδὴ τάχιστα ἀνὴρ ἐγένετο, φιλοσοφίας ἐπεθύμησε. γενόμενος δ' ἀκουστὴς Προδίκου τε τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου καὶ Τισίου τοῦ Συρακουσίου, τῶν τότε μέγιστον ὄνομα ἐν τοῖς Ἕλλησιν ἐχόντων ἐπὶ σοφίᾳ, ὡς δέ τινες ἱστοροῦσι, καὶ Θηραμένους τοῦ ῥήτορος, ὃν οἱ

ΠΛΑΤΩΝΟΣ] In Phædr. §. 146.

ΔΙΟΝΥΣΙΟΥ] Περὶ τῶν ἀρχαίων Ῥητόρων, p. 534—585.

Λυσιμάχου] Nonnulli rescribendum censent Ναυσιμάχου.

Τριάκοντα ἀπέκτειναν, δημοτικὸν εἶναι δοκοῦντα, σπουδὴν μὲν ἐποιεῖτο πράττειν τε καὶ λέγειν τὰ πολιτικά. ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν τε καὶ φωνῆς μέγεθος, ὧν χωρὶς οὐχ οἷόν τε ἦν ἐν ὄχλῳ λέγειν, ταύτης μὲν ἀπέστη τῆς προαιρέσεως. ἐπιθυμῶν δὲ δόξης καὶ τοῦ πρωτεῦσαι παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ, καθάπερ αὐτὸς εἴρηκεν, ἐπὶ τὸ γράφειν ἃ διανοηθείη κατέφυγεν, οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος οὐδὲ περὶ τῶν ἰδίων συμβολαίων οὐδὲ ὑπὲρ ὧν ἄλλοι τινὲς τῶν τότε σοφιστῶν, περὶ δὲ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν πραγμάτων, ἐξ ὧν ὑπελάμβανε, τάς τε πόλεις ἄμεινον οἰκήσεσθαι καὶ τοὺς ἰδιώτας ἐπίδοσιν ἕξειν πρὸς ἀρετήν· ταῦτα γὰρ ἐν τῷ Παναθηναϊκῷ λόγῳ περὶ αὐτοῦ γράφει. πεφυρμένην δὲ παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν ἐπὶ τοὺς πολιτικοὺς, καὶ περὶ ταύτην σπουδάζων τὴν ἐπιστήμην διετέλεσεν, ἐξ ἧς, ὥς φησιν αὐτὸς, τὸ βουλεύεσθαι καὶ λέγειν καὶ πράττειν τὰ συμφέροντα παραγίνεται τοῖς μαθοῦσιν. ἐπιφανέστατος δὲ γενόμενος τῶν κατὰ τὸν αὐτὸν ἀκμασάντων χρόνον, καὶ τοὺς κρατίστους τῶν Ἀθήνῃσί τε καὶ ἐν τῇ ἄλλῃ Ἑλλάδι νέων παιδεύσας, ὧν οἱ μὲν ἐν τοῖς δικανικοῖς ἐγένοντο ἄριστοι λόγοις, οἱ δ' ἐν τῷ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν διήνεγκαν, [καὶ] ἄλλοι δὲ τὰς κοινὰς τῶν Ἑλλήνων τε καὶ βαρβάρων πράξεις ἀνέγραψαν, καὶ τῆς Ἀθηναίων πόλεως εἰκόνα ποιήσας τὴν ἑαυτοῦ σχολὴν, κατὰ τὰς ἀποικίας τῶν λόγων, πλοῦτον ὅσον οὐδεὶς τῶν ἀπὸ φιλοσοφίας χρηματισαμένων περιποιησάμενος ἐτελεύτα τὸν βίον ἐπὶ Χαιρωνίδου ἄρχοντος ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης, δυοῖν δέοντα βεβιωκὼς ἑκατὸν ἔτη, γνώμῃ χρησάμενος ἅμα τοῖς ἀγαθοῖς τῆς πόλεως συγκαταλῦσαι τὸν ἑαυτοῦ βίον, ἀδήλου ἔτι ὄντος πῶς χρήσεται τῇ τύχῃ Φίλιππος παραλαβὼν τὴν τῶν Ἑλλήνων ἀρχήν. τὰ μὲν οὖν ἱστορούμενα περὶ αὐτοῦ κεφαλαιωδῶς ταῦτ' ἐστίν.

β'. Ἡ δὲ λέξις ᾗ κέχρηται τοιοῦτόν τινα χαρακτῆρα ἔχει· καθαρὰ μέν ἐστιν οὐχ ἧττον τῆς Λυσίου καὶ οὐδὲν εἰκῆ τιθεῖσα ὄνομα, τήν τε διάλεκτον ἀκριβοῦσα ἐν τοῖς πάνυ τὴν κοινὴν καὶ συνηθεστάτην· καὶ γὰρ αὕτη πέφευγεν ἀπηρχαιωμένων καὶ σημειωδῶν ὀνομάτων τὴν ἀπειροκαλίαν, καὶ κέκραται συμμέτρως, τό τε σαφὲς ἐκείνῃ παραπλήσιον ἔχει, καὶ τὸ ἐναργὲς, ἠθική τέ ἐστι καὶ πιθανή. κατὰ δὲ τὴν τροπικὴν φράσιν ὀλίγον τι διαλλάττει τῆς Λυσίου. καὶ στρογγύλη δὲ οὐκ ἔστιν, ὥςπερ ἐκείνη, καὶ συγκεκροτημένη καὶ πρὸς ἀγῶνας δικανικοὺς εὔθετος· ὑπτία δέ ἐστι μᾶλλον καὶ κεχυμένη πλουσίως. οὐδὲ δὴ σύντομος οὕτως, ἀλλὰ καὶ κατασκελὴς καὶ βραδυτέρα τοῦ μετρίου — δι' ἣν δ' αἰτίαν τοῦτο πάσχει,

Περὶ δὲ τῶν] Leg. ἀλλὰ περὶ τῶν. AUGER.

Ἐχώρησεν κ. τ. λ.] Ἴσως ἐχώρισεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ φυσικῶν τοὺς πολιτικούς. CORAES.

Ἐν τοῖς πάνυ] Sub. ἀκριβοῦσι. *inter eos qui dictionem maxime curant.* AUGER.

Καὶ γὰρ αὕτη πέφευγεν] Ἴσ. γρ. καὶ γάρτοι πέφευγεν. COR.

Σημειωδῶν] Per σημειώδη ὀνόματα intelligo *verba per tropos aliunde deducta*, his opponuntur ὀνόματα συνηθέστατα. AUGER.

μετὰ μικρὸν ἐρῶ —, οὐδὲ τὴν σύνθεσιν ἐπιδείκνυται τὴν φυσικὴν καὶ ἀφελῆ καὶ ἐναγώνιον, ὥςπερ ἡ Λυσίου, ἀλλὰ πεποιημένην μᾶλλον εἰς σεμνότητα πομπικὴν καὶ ποικίλην, καὶ πῆ μὲν εὐπρεπεστέραν ἐκείνης, πῆ δὲ περιεργοτέραν· ὁ γὰρ ἀνὴρ οὗτος τὴν εὐέπειαν ἐκ παντὸς διώκει καὶ τοῦ γλαφυρῶς λέγειν στοχάζεται μᾶλλον ἢ τοῦ ἀφελῶς. τῶν τε γὰρ φωνηέντων τὰς παραλλήλους θέσεις, ὡς λυούσας τὰς ἁρμονίας τῶν ἤχων καὶ τὴν λειότητα τῶν φθόγγων λυμαινομένας, παραιτεῖται· περιόδῳ τε καὶ κυκλῳ περιλαμβάνειν τὰ νοήματα πειρᾶται ῥυθμοειδεῖ πάνυ καὶ οὐ πολὺ ἀπέχοντι τοῦ ποιητικοῦ μέτρου, ἀναγνώσεώς τε μᾶλλον οἰκειότερός ἐστιν ἢ ῥήσεως. τοιγάρτοι τὰς μὲν ἐπιδείξεις τὰς ἐν ταῖς πανηγύρεσι καὶ τὴν ἐκ χειρὸς θεωρίαν φέρουσιν αὐτοῦ οἱ λόγοι, τοὺς δ' ἐν ἐκκλησίαις καὶ δικαστηρίοις ἀγῶνας οὐχ ὑπομένουσι. τούτου δ' αἴτιον, ὅτι πολὺ τὸ παθητικὸν ἐν ἐκείνοις εἶναι δεῖ, τοῦτο δ' ἥκιστα δέχεται περίοδος· αἵ τε γὰρ παρομοιώσεις καὶ παρισώσεις καὶ τὰ ἀντίθετα καὶ πᾶς ὁ τῶν τοιούτων σχημάτων κόσμος πολύς ἐστι παρ' αὐτῷ, καὶ λυπεῖ πολλάκις τὴν ἄλλην κατασκευὴν προσιστάμενος ταῖς ἀκοαῖς.

γ'. Καθόλου δὲ τριῶν ὄντων, ὥς φησι Θεόφραστος, ἐξ ὧν γίνεται τὸ μέγα καὶ σεμνὸν καὶ περιττὸν ἐν λέξει, τῆς τε ἐκλογῆς τῶν ὀνομάτων καὶ τῆς ἐκ τούτων ἁρμονίας καὶ τῶν περιλαμβανόντων αὐτὰ σχημάτων, ἐκλέγει μὲν εὖ πάνυ καὶ τὰ κράτιστα ὀνόματα τίθησιν, ἁρμόττει δ' αὐτὰ περιέργως τὴν εὐφωνίαν ἐντείνων μουσικήν, σχηματίζει τε φορτικῶς, καὶ τὰ πολλὰ γίνεται ψυχρὸς ἢ τῷ πόῤῥωθεν λαμβάνειν ἢ τῷ μὴ πρέποντα εἶναι τὰ σχήματα τοῖς πράγμασι [ἢ] διὰ τὸ μὴ κρατεῖν τοῦ μετρίου. ταῦτα μέντοι καὶ μακροτέραν αὐτῷ ποιεῖ τὴν λέξιν πολλάκις· λέγω δὲ τό τε εἰς περιόδους ἐναρμόττειν ἅπαντα τὰ νοήματα καὶ τὸ τοῖς αὐτοῖς τύποις τῶν σχημάτων τὰς περιόδους περιλαμβάνειν καὶ τὸ διώκειν ἐκ παντὸς τὴν εὐρυθμίαν. οὐ γὰρ ἅπαντα δέχεται, οὔτε μῆκος τὸ αὐτὸ, οὔτε σχῆμα τὸ παραπλήσιον, οὔτε ῥυθμὸν τὸν ἴσον, ὥςτ' ἀνάγκη παραπληρώμασι λέξεων οὐδὲν ὠφελουσῶν χρῆσθαι καὶ ἀπομηκύνειν πέρα τοῦ χρησίμου τὸν λόγον. λέγω δ' οὐχ ὡς διὰ παντὸς αὐτοῦ ταῦτα ποιοῦντος — οὐχ οὕτω μαίνομαι —· καὶ γὰρ συντίθησί ποτ' ἀφελῶς τὰ ὀνόματα καὶ λύει τὴν περίοδον εὐγενῶς καὶ τὰ περίεργα σχήματα καὶ φορτικὰ φεύγει, καὶ μάλιστα ἐν τοῖς συμβουλευτικοῖς τε καὶ δικανικοῖς λόγοις, ἀλλ' ὡς ἐπὶ πολὺ τῷ ῥυθμῷ δουλεύοντος καὶ τῷ κύκλῳ τῆς περιόδου καὶ τὸ κάλλος τῆς ἀπαγγελίας ἐν τῷ περιττῷ τιθεμένου κοινότερον εἴρηκα περὶ αὐτοῦ.

δ'. Κατὰ δὴ ταῦτα φημὶ τὴν Ἰσοκράτους λέξιν λείπεσθαι τῆς Λυσίου, καὶ ἔτι κατὰ τὴν χάριν. καίτοι γε ἀνθηρός ἐστιν, εἰ καί τις ἄλλος, καὶ ἐπαγωγὸς ἡδονῇ τῶν ἀκροωμένων Ἰσοκράτης, ἀλλ' οὐκ ἔχει τὴν αὐτὴν χάριν ἐκείνῳ· τοσοῦτον δ' αὐτοῦ λείπεται κατὰ ταύτην τὴν ἀρετὴν, ὅσον τῶν φύσει καλῶν σωμάτων τὰ συνερανι-

Ἐπιδ. τὴν φυσικὴν] Ἴσ. ἐπιδείκνυται φυσικήν. Cor.

Τὴν ἐκ χειρὸς θεωρίαν] Modus loquendi parum usitatus, quem intellexi et verti: lectionem placidam. Auger.

ζόμενα κόσμοις ἐπιθέτοις. πέφυκε γὰρ ἡ Λυσίου λέξις ἔχειν τὸ χάριεν· ἡ δ' Ἰσοκράτους βούλεται. ταύταις μὲν δὴ ταῖς ἀρεταῖς ὑστερεῖ Λυσίου, κατὰ γοῦν τὴν ἐμὴν γνώμην, προτερεῖ δέ γε ἐν ταῖς μελλούσαις λέγεσθαι. ὑψηλότερός ἐστιν ἐκείνου κατὰ τὴν ἑρμηνείαν καὶ μεγαλοπρεπέστερος μακρῷ καὶ ἀξιωματικώτερος. θαυμαστὸν γὰρ δὴ καὶ μέγα τὸ τῆς Ἰσοκράτους κατασκευῆς ὕψος, ἡρωϊκῆς μᾶλλον ἢ ἀνθρωπίνης φύσεως οἰκεῖον. δοκεῖ δή μοι μὴ ἀπὸ σκοποῦ τις ἂν εἰκάσαι τὴν μὲν Ἰσοκράτους ῥητορικὴν τῇ Πολυκλείτου τε καὶ Φειδίου τέχνῃ κατὰ τὸ σεμνὸν καὶ μεγαλότεχνον καὶ ἀξιωματικὸν, τὴν δὲ Λυσίου τῇ Καλάμιδος καὶ Καλλιμάχου τῆς λεπτότητος ἕνεκα καὶ τῆς χάριτος· ὥσπερ γὰρ ἐκείνων οἱ μὲν ἐν τοῖς ἐλάττοσι καὶ ἀνθρωπικοῖς ἔργοις εἰσὶν ἐπιτυχέστεροι τῶν ἑτέρων, οἱ δ' ἐν τοῖς μείζοσι καὶ θειοτέροις δεξιώτεροι, οὕτω καὶ τῶν ῥητόρων ὁ μὲν ἐν τοῖς μικροῖς ἐστὶ σοφώτερος, ὁ δ' ἐν τοῖς μεγάλοις περιττότερος· τάχα μὲν γὰρ καὶ τῇ φύσει μεγαλόφρων τις ὢν, εἰ δὲ μὴ, τῇ γε προαιρέσει πάντως τὸ σεμνὸν καὶ θαυμαστὸν διώκων. ταῦτα μὲν οὖν περὶ τῆς λέξεως τοῦ ῥήτορος.

ε'. Τὰ δ' ἐν τῷ πρακτικῷ τόπῳ θεωρήματα, τὰ μὲν ὅμοια τοῖς Λυσίου, τὰ δὲ κρείττονα. ἡ μὲν εὕρεσις ἡ τῶν ἐνθυμημάτων, ἡ πρὸς ἕκαστον ἁρμόττουσα πρᾶγμα, πολλὴ καὶ πυκνὴ καὶ οὐδὲν ἐκείνης λειπομένη, καὶ κρίσις ὡσαύτως ἀπὸ μεγάλης φρονήσεως γινομένη· τάξις δὲ καὶ μερισμοὶ τῶν πραγμάτων καὶ ἡ κατ' ἐπιχείρημα ἐξεργασία καὶ τὸ διαλαμβάνεσθαι τὴν ὁμοειδίαν ἰδίαις μεταβολαῖς καὶ ξένοις ἐπεισοδίοις, τά τε ἄλλα ὅσα περὶ τὴν πραγματικὴν οἰκονομίαν ἐστὶν ἀγαθὰ, πολλῷ μείζονά ἐστι παρ' Ἰσοκράτει καὶ κρείττονα, μάλιστα δ' ἡ προαίρεσις ἡ τῶν λόγων, περὶ οὓς ἐσπούδαζε, καὶ τῶν ὑποθέσεων τὸ κάλλος, ἐν αἷς ἐποιεῖτο τὰς διατριβὰς, ἐξ ὧν οὐ λέγειν δεινοὺς μόνον ἀπεργάσαιτ' ἂν τοὺς προσέχοντας αὐτῷ τὸν νοῦν, ἀλλὰ καὶ τὰ ἤθη σπουδαίους οἴκῳ τε καὶ πόλει καὶ ὅλῃ τῇ Ἑλλάδι χρησίμους· κράτιστα γὰρ δὴ παιδεύματα πρὸς ἀρετὴν ἐν τοῖς Ἰσοκράτους ἐστὶν εὑρεῖν λόγοις. καὶ ἔγωγε φημὶ χρῆναι τοὺς μέλλοντας οὐχὶ μέρος τι τῆς πολιτικῆς δυνάμεως, ἀλλ' ὅλην αὐτὴν κτήσασθαι, τοῦτον ἔχειν τὸν ῥήτορα διὰ χειρός· καὶ εἴ τις ἐπιτηδεύει τὴν ἀληθινὴν φιλοσοφίαν, μὴ τὸ θεωρητικὸν αὐτῆς μόνον ἀγαπῶν, ἀλλὰ καὶ τὸ πραγματικὸν, μηδ' ἀφ' ὧν αὐτὸς ἄλυπον ἕξει βίον προαιρούμενος, ἀλλ' ἐξ ὧν πολλοὺς ὠφελήσει, παρακελευσαίμην ἂν αὐτῷ τὴν ἐκείνου τοῦ ῥήτορος μιμεῖσθαι προαίρεσιν.

ϛ'. Τίς γὰρ οὐκ ἂν γένοιτο φιλόπολίς τε καὶ φιλόδημος; ἢ τίς οὐκ ἂν ἐπιτηδεύσειε τὴν πολιτικὴν καλοκαγαθίαν, ἀναγνοὺς αὐτοῦ τὸν Πανηγυρικόν; ἐν ᾧ, διεξιὼν τὰς τῶν ἀρχαίων ἀρετὰς, φησὶν, ὡς οἱ τὴν Ἑλλάδα ἐλευθερώσαντες ἀπὸ τῶν βαρβάρων οὐ τὰ πολέμια δεινοὶ μόνον ἦσαν, ἀλλὰ καὶ τὰ ἤθη γενναῖοι καὶ φιλότιμοι καὶ σώφρονες· οἵ γε τῶν μὲν κοινῶν μᾶλλον ἐφρόντιζον ἢ τῶν

Κόσμοις ἐπιθέτοις] Leg., admonente Wolfio, κόσμους ἐπιθέτους. Idem.

Τάχα μὲν γὰρ καὶ] Ἴσ. τάχα μὲν καὶ. Cor.

Τὰ δ' ἐν τῷ πρακτικῷ τόπῳ] Hic Dionysius, postquam egit de verbis (περὶ τῆς λέξεως), agit de rebus et sententiis, περὶ τῶν πράξεων. Auger.

ἰδίων, τῶν δ' ἀλλοτρίων ἧττον ἐπεθύμουν ἢ τῶν ἀδυνάτων, καὶ τὴν εὐδαιμονίαν οὐ πρὸς ἀργύριον ἔκρινον, ἀλλὰ πρὸς εὐδοξίαν, μέγαν οἰόμενοι τοῖς παισὶ καταλείψειν πλοῦτον καὶ ἀνεπίφθονον, τὴν παρὰ τοῖς πλήθεσι τιμήν. κρείττονα δ' ἡγοῦντο τὸν εὐσχήμονα θάνατον ἢ τὸν ἀκλεῆ βίον· ἐσκόπουν δ' οὐχ ὅπως οἱ νόμοι καλῶς καὶ ἀκριβῶς αὐτοῖς ἕξουσιν, ἀλλ' ὡς ἡ τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων μετριότης μηδὲν ἐκβήσεται τῶν πατρίων· οὕτω δ' εἶχεν αὐτοῖς τὰ πρὸς ἀλλήλους φιλοτίμως καὶ πολιτικῶς, ὥςτε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσιν, οὐχ οἵ τινες ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν αὐτοὶ ἄρξουσι· τῇ δ' αὐτῇ προθυμίᾳ χρώμενοι καὶ πρὸς τὴν Ἑλλάδα, τῷ θεραπεύειν προσήγοντο τὰς πόλεις, καὶ τῷ πείθειν ταῖς εὐεργεσίαις μᾶλλον ἢ τῷ βιάζεσθαι τοῖς ὅπλοις κατεῖχον, πιστοτέροις χρώμενοι τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις, καὶ ταῖς συνθήκαις ἀξιοῦντες μᾶλλον ἐμμένειν ἢ ταῖς ἀνάγκαις· τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσαν φρονεῖν· οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μὲν ἔχοντες τὰς ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα οἰκοῦντες.

ζ'. Τίς δ' οὐκ ἂν ἀγαπήσειε μέγεθος ἔχων ἀνὴρ καὶ δυνάμεώς τινος ἡγούμενος, ἃ πρὸς Φίλιππον αὐτῷ τὸν Μακεδόνα γέγραπται; ἐν οἷς ἀξιοῖ στρατηγὸν ἄνδρα καὶ τηλικαύτης ἐξουσίας κύριον διαλλάττειν μὲν τὰς διαφερομένας πόλεις, ἀλλὰ μὴ συγκρούειν πρὸς ἀλλήλας· τὴν δ' Ἑλλάδα μεγάλην ἐκ μικρᾶς ποιεῖν· ὑπεριδόντα δὲ τῆς περὶ τὰ μικρὰ φιλοτιμίας τοῖς τοιούτοις ἐπιχειρεῖν ἔργοις, ἐξ ὧν κατορθώσας τε πάντων ἡγεμόνων ἐπιφανέστατος ἔσται, καὶ ἀποτυχὼν τήν γ' εὔνοιαν τὴν παρὰ τῶν Ἑλλήνων κτήσεται, ἧς οἱ τυχόντες πολλῷ μᾶλλόν εἰσι ζηλωτότεροι τῶν μεγάλας πόλεις καὶ πολλὰς χώρας καταστρεφομένων. ἔτι δὲ παρακελεύεται μιμεῖσθαι τὴν Ἡρακλέους τε προαίρεσιν καὶ τῶν ἄλλων ἡγεμόνων, ὅσοι μετὰ τῶν Ἑλλήνων ἐπὶ τοὺς βαρβάρους ἐστράτευσαν· καὶ φησὶ χρῆναι τοὺς ἑτέρων διαφέροντας προαιρεῖσθαι μὲν τὰς μέγεθος ἐχούσας πράξεις, ἐπιτελεῖν δ' αὐτὰς μετ' ἀρετῆς, ἐνθυμουμένους ὅτι τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γινόμεθα δι' ἀρετήν· καὶ τοῖς μὲν πρὸς ἄλλο τι τῶν ἀγαθῶν ἀπλήστως διακειμένοις ἀχθόμεθα, τοὺς δὲ τιμὴν μείζω τῆς ὑπαρχούσης ἀεὶ κτωμένους ἐπαινοῦμεν· καὶ ὅτι τῶν μὲν ἄλλων, ἐφ' οἷς χαίρουσιν οἱ πολλοὶ, τοῦ τε πλούτου καὶ ἀρχῆς καὶ δυναστείας, πολλάκις τοὺς ἐχθροὺς συμβαίνει γίνεσθαι κυρίους, τῆς δὲ ἀρετῆς καὶ τῆς παρὰ τοῖς πλήθεσιν εὐνοίας τοὺς οἰκείους ἑκάστου κληρονομεῖν.

η'. Πολλὴ γὰρ ἀνάγκη τοὺς ἀναγινώσκοντας ταῦτα δυνάστας φρονήματός τε μείζονος ὑποπίμπλασθαι καὶ μᾶλλον ἐπιθυμεῖν τῆς ἀρετῆς.

θ'. Τίς δ' ἂν μᾶλλον ἐπὶ τὴν δικαιοσύνην καὶ τὴν εὐσέβειαν προτρέψαιτο, καθ' ἕκαστόν τ' ἄνδρα ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις

Αὐτῷ — γέγραπται] *scripta sunt ab ipso*, np. ab Isocrate. Idem.

ὅλας, τοῦ Περὶ τῆς Εἰρήνης λόγου; ἐν γὰρ δὴ τούτῳ πείθει τοὺς Ἀθηναίους τῶν μὲν ἀλλοτρίων μὴ ἐπιθυμεῖν, ἐπὶ δὲ τοῖς παροῦσι στέργειν· καὶ τῶν μὲν μικρῶν πόλεων ὡσπερανεὶ κτημάτων φείδεσθαι, τοὺς δὲ συμμάχους εὐνοίᾳ τε καὶ εὐεργεσίαις πειρᾶσθαι κατέχειν, ἀλλὰ μὴ ταῖς ἀνάγκαις μηδὲ ταῖς βίαις· τῶν δὲ προγόνων μιμεῖσθαι, μὴ τοὺς πρὸ τῶν Δεκελεικῶν γενομένους, οἳ μικροῦ ἐδέησαν ἀπολέσαι τὴν πόλιν, ἀλλὰ τοὺς πρὸ τῶν Περσικῶν, οἳ καλοκαγαθίαν ἀσκοῦντες διετέλεσαν· ἐπιδείκνυταί θ', ὡς οὐχ αἱ πολλαὶ τριήρεις, οὐδ' οἱ μετὰ βίας ἀρχόμενοι Ἕλληνες μεγάλην ποιοῦσι τὴν πόλιν, ἀλλ' αἱ δίκαιαί τε προαιρέσεις καὶ τὸ τοῖς ἀδικουμένοις βοηθεῖν. παρακαλεῖ τε τὴν τῶν Ἑλλήνων εὔνοιαν οἰκείαν ποιεῖν τῇ πόλει, μεγίστην ἡγούμενος πρὸς εὐδαιμονίαν, καὶ πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν, διδάσκων ὡς οὔτε πρὸς πλοῦτον οὔτε πρὸς δόξαν οὔθ' ὅλως πρὸς εὐδαιμονίαν οὐθὲν ἂν συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην ἀρετὴ καὶ τὰ μέρη ταύτης, καὶ τοῖς μὴ ταὐτὰ ὑπειληφόσιν ἐπιτιμῶν, οἳ τὴν μὲν ἀδικίαν κερδαλέαν ἡγοῦνται καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην ἀλυσιτελῆ καὶ μᾶλλον ἑτέροις ἢ τοῖς ἔχουσιν ὠφέλιμον. τούτων γὰρ οὐκ οἶδ' εἴ τις ἂν ἢ βελτίους ἢ ἀληθεστέρους ἢ μᾶλλον πρέποντας φιλοσοφίᾳ δύναιτο λόγους εἰπεῖν.

ι'. Τίς δὲ τὸν Ἀρεοπαγιτικὸν ἀναγνοὺς λόγον οὐκ ἂν γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος, ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς τῶν δημαγωγῶν οὐδεὶς ἐπεχείρει λέγειν, θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν ὥστε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον ὅ τι καθ' ἡδονὴν αὐτῷ γίνοιτο καὶ ποιοῦντα καὶ λέγοντα καὶ τὴν ἄκαιρον παῤῥησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνός τε καὶ Κλεισθένους κατασταθεῖσαν πολιτείαν. ἧς τὴν προαίρεσιν καὶ τὰ ἤθη διεξιὼν, δεινότερον μὲν ἡγεῖσθαι φησὶ τοὺς τότ' ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δ' αὐτοὺς νομίζειν οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δ' ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι, ἐξουσίαν τ' οὐθενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχὰς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας οἷοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγεῖν· χωρὶς δὲ τούτων πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων ἢ παίδων ὄντων ἐποιοῦντο, ἐνθυμουμένους ὡς

Ἐπιβολὴν] I. e. inquit Wolfius, ἔννοιαν, ἐγχείρησιν, *cogitationem*, *conatum*, seu *institutum*. Idem.

Λύειν] F. leg. λιπεῖν. Idem.

Καταχορηγήσειν] Καταχορηγῆσαι corrigebat Wolfius, καταχορηγεῖν Coraes, cui obsecundamus.

οὐκ ἐξ ἐκείνης τῆς παιδείας ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης μᾶλλον ὠφελεῖται τὸ κοινὸν, κρείττονά θ' ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν, καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ τι ἂν οἱ νόμοι κωλύωσι, καρτερεῖν δὲ τὰ δεινὰ καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

ια'. Τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας τοῦ ῥήτορος, πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ προέσθαι Μεσσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν; ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥ τε περὶ Λεῦκτρα μάχη, καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι, καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε καὶ εἰς μέγεθος ἀρχῆς προεληλύθει, τὰ δὲ τῆς Σπάρτης ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. τελευτῶσα γοῦν, ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς· ἐν ᾧ διεξέρχεται, πρῶτον μὲν ὡς δικαίως ἐκτήσαντο Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τ' αὐτὴν τῶν Κρεσφόντου παίδων, ὅτε ἐξέπεσον ἐκ τῆς ἀρχῆς καὶ τοῦ θεοῦ προστάξαντος δέξασθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις, πρὸς δὲ τούτοις ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. διδάσκει δ' ὡς οὐ Μεσσηνίοις τοῖς οὐκέτ' οὖσιν, ἀλλὰ δούλοις καὶ εἵλωσιν, ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν, διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας, καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν, παραινεῖ τε μὴ συγκαταπίπτειν ταῖς τύχαις μηδ' ἀπογινώσκειν τὰς μεταβολὰς, ἐνθυμουμένους ὅτι πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι ὑπὸ τῶν ἀσθενεστέρων ἐκρατήθησαν, πολλοὶ δ' εἰς πολιορκίαν κατακλεισθέντες καὶ δεινότερα ἢ Λακεδαιμόνιοι πάσχοντες διέφθειραν τοὺς ἐπιστρατεύσαντας. καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥτις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ πολέμων ἐμπειρίαις, ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. οἴεται δὲ δεῖν οὐ τοὺς κακῶς πράττοντας εἰρήνης ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ πράγματα ἐλπὶς,

Ἕκαστον ἐπιτηδεύειν] Velim legi: ἕκαστος ἐπιτηδεύσῃ. Auger.

Συνετάξατο] Np. ὁ Ἰσοκράτης. Idem.

Πάσχοντες] F. παθόντες. Sylburg.

ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ ἀκινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν. πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν, ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπικουρία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις καὶ παρὰ θεῶν καὶ παρὰ συμμάχων καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη, καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις, ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν, ἐπιδειξάμενος· τελευτῶν, εἰ καὶ μηθὲν τούτων μέλλοι γίνεσθαι μηδ᾽ ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν, διδάσκων αὐτοὺς, ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐκπέμψαι καὶ Ἰταλίαν καὶ τἄλλα χωρία τὰ φίλια, αὐτοὺς δὲ καταλαβομένους τόπον, ὅςτις ἂν ὀχυρώτατος ᾖ καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δ᾽ ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι. ταῦτα γὰρ οὐ Λακεδαιμονίοις μόνοις συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν καὶ τὸ καλόν.

ιβ΄. Ἔχων δὲ πολλοὺς αὐτοῦ καὶ ἄλλους διεξιέναι λόγους, πρὸς πόλεις τε καὶ δυνάστας καὶ ἰδιώτας γραφέντας, ὧν οἱ μὲν εἰς τὴν τοῦ βίου σωφροσύνην τὰ πλήθη παρακαλοῦσιν, οἱ δ᾽ εἰς μετριότητα καὶ νόμιμον ἀρχὴν τοὺς δυνάστας προάγουσιν, οἱ δὲ κοσμίους τῶν ἰδιωτῶν ἀπεργάζονται τοὺς βίους, ἃ δεῖ πράττειν ἕκαστον ὑποτιθέμενοι, δεδοικὼς μὴ πέρα τοῦ δέοντος ὁ λόγος ἐκμηκυνθῇ μοι, ταῦτα μὲν ἐάσω· τοῦ δ᾽ εὐπαρακολούθητα γενέσθαι μοι μᾶλλον τὰ πρόσθεν εἰρημένα, καὶ τῆς διαφορᾶς ἕνεκα ᾗ διαλλάττει Λυσίου, τὰς ἀρετὰς αὐτῶν εἰς βραχύτερον συναγαγὼν λόγον ἐπὶ τὰ παραδείγματα μεταβήσομαι.

ιγ΄. Πρώτην μὲν τοίνυν ἔφην ἀρετὴν εἶναι λόγων τὴν καθαρὰν ἑρμηνείαν· ἐν ᾗ διαλλαγὴν οὐδεμίαν εὕρισκον παρ᾽ οὐδετέρῳ. ἔπειτα τὴν ἀκρίβειαν τῆς διαλέκτου τῆς τότε συνήθους· καὶ ταύτην ἑώρων ὁμοίαν παρ᾽ ἀμφοτέροις. μετὰ ταῦτ᾽ ἐπελογιζόμην, ὅτι τοῖς κυρίοις καὶ συνήθεσι καὶ κοινοῖς ὀνόμασιν ἀμφότεροι κέχρηνται· ἡ δ᾽ Ἰσοκράτους λέξις, προσλαβοῦσά τι τῆς τροπικῆς κατασκευῆς, μέχρι τοῦ μὴ λυπῆσαι προῆλθε. τῆς δὲ σαφηνείας καὶ τῆς ἐναργείας ἀμφοτέρους κρατεῖν ἀπεφηνάμην. ἐν δὲ τῷ συντόμως ἐκφέρειν τὰ νοήματα Λυσίαν μᾶλλον ἡγούμην ἐπιτυγχάνειν. περὶ τὰς αὐξήσεις Ἰσοκράτην κατορθοῦν ἄμεινον ἐδόκουν. ἐν τῷ συστρέφειν τὰ νοήματα καὶ στρογγύλως ἐκφέρειν, ὡς πρὸς ἀλη-

Διαλλάττει] Scil. ὁ Ἰσοκράτης. Sic phrasim intellige: *et discriminis causa quo Isocrates a Lysia differt.* Auger.

Μέχρι τοῦ μὴ λυπῆσαι] Non absque ratione velit Sylburgius μὴ mutari in καὶ, sic enim Dionysius cum veritate simul et secum melius consentiret. Idem. Ἀπιθάνως. Cor.

θινοὺς ἀγῶνας ἐπιτήδειον, Λυσίαν ἀπεδεχόμην. ἐν ταῖς ἠθοποΐαις ἀμφοτέρους εὕρισκον δεξιούς· τῆς δὲ χάριτος καὶ τῆς ἡδονῆς ἀναμφιλόγως ἀπεδίδουν τὰ πρωτεῖα Λυσίᾳ. τὸ μεγαλοπρεπὲς ἡρῷον παρ' Ἰσοκράτει· τοῦ πιθανοῦ καὶ πρέποντος οὐδέτερον ἐδόκουν ἀπολείπεσθαι. ἐν τῇ συνθέσει τῶν ὀνομάτων Λυσίαν μὲν ἀφελέστερον ἔκρικον, Ἰσοκράτην δὲ περιεργότερον· καὶ τὸν μὲν τῆς ἀληθείας πιθανότερον εἰκαστὴν, τὸν δὲ τῆς κατασκευῆς ἀθλητὴν ἰσχυρότερον. ταῦτ' ἔφην περὶ τῆς λέξεως τῆς ἑκατέρου.

ιδ'. Τῶν δὲ πραγμάτων ποιούμενος ἐξέτασιν, τὴν μὲν εὕρεσιν θαυμαστὴν παρ' ἀμφοῖν κατελαβόμην, καὶ ἔτι τὴν κρίσιν· τῇ δὲ τάξει τῶν ἐνθυμημάτων καὶ τοῖς μερισμοῖς τῶν ἐπιχειρημάτων καὶ τῇ καθ' ἕκαστον εἶδος ἐξεργασίᾳ, τοῖς τ' ἄλλοις ἅπασι τοῖς ἐν τῷ πραγματικῷ τόπῳ θεωρήμασι, παρὰ πολὺ προτερεῖν ἡγούμην Ἰσοκράτην Λυσίου· κατὰ δὲ τὴν λαμπρότητα τῶν ὑποθέσεων καὶ τὸ φιλόσοφον τῆς προαιρέσεως πλεῖον διαφέρειν ἢ παιδὸς ἄνδρα, ὡς ὁ Πλάτων εἴρηκεν· εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, καὶ τῶν ἄλλων ἁπάντων ῥητόρων, ὅσοι φιλοσόφως τοῦ μαθήματος τούτου προέστησαν. τῆς μέντοι ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον καὶ τῶν σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες οὐκ ἐδοκίμαζον· δουλεύει γὰρ ἡ διάνοια πολλάκις τῷ ῥυθμῷ τῆς λέξεως καὶ τοῦ κομψοῦ λείπεται τὸ ἀληθινόν. κράτιστον δ' ἐπιτήδευμα ἐν διαλέκτῳ πολιτικῇ καὶ ἐναγωνίῳ τὸ ὁμοιότατον τῷ κατὰ φύσιν· βούλεται δ' ἡ φύσις τοῖς νοήμασιν ἕπεσθαι τὴν λέξιν, οὐ τῇ λέξει τὰ νοήματα. συμβούλῳ δὲ δὴ περὶ πολέμου καὶ εἰρήνης λέγοντι, καὶ ἰδιώτῃ τὸν περὶ ψυχῆς τρέχοντι κίνδυνον ἐν δικασταῖς, τὰ κομψὰ καὶ θεατρικὰ καὶ μειρακιώδη ταῦτα, οὐκ οἶδα ἥν τινα δύναιτ' ἂν παρασχεῖν ὠφέλειαν· μᾶλλον δ' οἶδα ὅτι καὶ βλάβης ἂν αἴτια γένοιτο. χαριεντισμὸς γὰρ πᾶς ἐν σπουδῇ καὶ καλῶς γινόμενος, ἄωρον πρᾶγμα καὶ πολεμιώτατον ἐλέῳ.

ιε'. Οὗτος δ' οὐκ ἐμὸς ὁ λόγος πρώτου μὰ Δία· ἐπεὶ πολλοὶ καὶ τῶν παλαιῶν ταύτην εἶχον ὑπὲρ αὐτοῦ τὴν δόξαν. Φιλόνικος μὲν γὰρ ὁ διαλεκτικὸς, τὴν ἄλλην κατασκευὴν τῆς λέξεως ἐπαινῶν τἀνδρὸς, μέμφεται τῆς καινότητος ταύτης καὶ τοῦ φορτικοῦ, ἐοικέναι τέ φησιν αὐτὸν ζωγράφῳ ταῖς αὐταῖς ἐσθήσεσι καὶ τοῖς αὐτοῖς σχήμασι πάσας ἐπικοσμοῦντι τὰς γραφάς. ἅπαντας γοῦν [φησὶν] εὕρισκον τοὺς λόγους αὐτοῦ τοῖς αὐτοῖς τρόποις τῆς λέξεως κεχρημένους, ὥστ' ἐν πολλοῖς τεχνικῶς τὰ καθ' ἕκαστα ἐξεργαζόμενον τοῖς ὅλοις ἀπρεπῆ παντελῶς φαίνεσθαι διὰ τὸ μὴ προσηκόντως τοῖς ὑποκειμένοις τῶν ἠθῶν φράζειν. Ἱερώνυμος δ' ὁ φιλόσοφος φησὶν, ἀναγνῶναι μὲν ἄν τινα δυνηθῆναι τοὺς λόγους αὐτοῦ καλῶς, δημηγορῆσαι δὲ τήν τε φωνὴν καὶ τὸν τόνον ἐπάραντα, καὶ ἐν ταύτῃ τῇ κατασκευῇ μετὰ τῆς ἁρμοττούσης ὑποκρίσεως εἰπεῖν οὐ παντελῶς· τὸ γὰρ μέγιστον καὶ κινητικώτατον τῶν ὄχλων παραιτεῖσθαι, τὸ παθητικὸν καὶ ἔμψυχον, δουλεύειν γὰρ αὐτὸν τῇ λειότητι διὰ παντός· τὸ δὲ κεκραμένον καὶ παν-

Ὁ Πλάτων εἴρηκεν] In Phædr. §. 146.

Καὶ καλῶς] F. leg. καὶ κακῶς. Casaub.

Καινότητος] F. leg. κενότητος. Sylburg.

Κεχρημένους] F. leg. κεχρωσμένους. Wolf.

τοδαπὸν ἐπιτάσει τε καὶ ἀνέσει καὶ τὸ ταῖς παθητικαῖς ἀποθέσεσι διειλημμένον ὑπερβεβηκέναι. καθόλου δέ φησιν αὐτὸν εἰς ἀναγνώστου παιδὸς φωνὴν καταδύντα μήτε τόνον μήτε πάθος μήθ' ὑπόκρισιν δύνασθαι φέρειν. πολλοῖς δὲ καὶ ἄλλοις ταῦτα καὶ παραπλήσια τούτοις εἴρηται· περὶ ὧν οὐδὲν δέομαι γράφειν· ἐξ αὐτῆς γὰρ ἔσται τῆς Ἰσοκράτους λέξεως τεθείσης καταφανὴς ὅ τε τῶν περιόδων ῥυθμὸς, ἐκ παντὸς διώκων τὸ γλαφυρὸν, καὶ τῶν σχημάτων τὸ μειρακιῶδες περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις κατατριβόμενον. καὶ οὐ τὸ γένος μέμφομαι τῶν σχημάτων· πολλοὶ γὰρ αὐτοῖς ἐχρήσαντο καὶ συγγραφεῖς καὶ ῥήτορες, ἀνθίσαι βουλόμενοι τὴν λέξιν· ἀλλὰ τὸν πλεονασμόν. τὸ γὰρ μὴ ἐν καιρῷ γίνεσθαι μηδ' ἐν ὥρᾳ προσίστασθαι φημὶ ταῖς ἀκοαῖς.

ιϛ'. Ἐν γοῦν τῷ Πανηγυρικῷ, τῷ περιβοήτῳ λόγῳ, πολύς ἐστιν ἐν τοῖς τοιούτοις· π λ ε ί σ τ ω ν μ ὲ ν ο ὖ ν ἀ γ α θ ῶ ν α ἰ τ ί ο υ ς, κ α ὶ μ ε γ ί σ τ ω ν ἐ π α ί ν ω ν ἀ ξ ί ο υ ς ἡ γ ο ῦ μ α ι· ἐνταῦθα γὰρ οὐ μόνον τῷ κώλῳ τὸ κῶλον ἴσον, ἀλλὰ καὶ τὰ ὀνόματα τοῖς ὀνόμασι, τῷ μὲν π λ ε ί σ τ ω ν τὸ μ ε γ ί σ τ ω ν, τῷ δ' ἀ γ α θ ῶ ν τὸ ἐ π α ί ν ω ν, τῷ δ' α ἰ τ ί ο υ ς τὸ ἀ ξ ί ο υ ς· καὶ αὖθις· ο ὐ δ ὲ ἀ π έ λ α υ ο ν μ ὲ ν ὡ ς ἰ δ ί ω ν, ἠ μ έ λ ο υ ν δ ὲ ὡ ς ἀ λ λ ο τ ρ ί ω ν· τό τε γὰρ κῶλον τὸ δεύτερον τῷ κώλῳ τῷ πρὸ αὐτοῦ πάρισον, καὶ τῶν ὀνομάτων, τῷ μὲν ἀ π έ λ α υ ο ν τὸ ἠ μ έ λ ο υ ν ἀντίθετον, τῷ δ' ἰ δ ί ω ν τὸ ἀ λ λ ο τ ρ ί ω ν· οἷς ἐπιτίθησιν· ἀ λ λ' ἐ κ ή δ ο ν τ ο μ ὲ ν ὡ ς ο ἰ κ ε ί ω ν, ἀ π ε ί χ ο ν τ ο δ' ὥ ς π ε ρ χ ρ ὴ τ ῶ ν μ η δ ὲ ν π ρ ο σ η κ ό ν τ ω ν· ἀντίκειται γὰρ δὴ πάλιν κἀνταῦθα, τῷ μὲν ἐ κ ή δ ο ν τ ο τὸ ἀ π ε ί χ ο ν τ ο, τῷ δ' ο ἰ κ ε ί ω ν τὸ μ η δ ὲ ν π ρ ο σ η κ ό ν τ ω ν. καὶ οὔπω ταῦτα ἱκανὰ, ἀλλ' ἐν τῇ μετὰ ταῦτα περιόδῳ πάλιν ἀντιστρέφει τῷ μὲν α ὐ τ ό ς τ ε μ έ λ λ ο ι μ ά λ ι σ τ α ε ὐ δ ο κ ι μ ή σ ε ι ν, τὸ ἐπιφερόμενον κ α ὶ τ ο ῖ ς π α ι σ ὶ μ ε γ ά λ η ν δ ό ξ α ν κ α τ α λ ε ί ψ ε ι ν, τῷ δ' ο ὐ δ ὲ τ ὰ ς θ ρ α σ ύ τ η τ α ς τ ὰ ς ἀ λ λ ή λ ω ν ἐ ζ ή λ ο υ ν, τὸ συναπτόμενον αὐτῷ ο ὐ δ ὲ τ ὰ ς τ ό λ μ α ς τ ὰ ς κ α θ' ἑ α υ τ ῶ ν ἤ σ κ ο υ ν. καὶ οὐδὲ μικρὸν διαλιπὼν ἐπιφέρει τούτοις· ἀ λ λ ὰ δ ε ι ν ό τ ε ρ ο ν μ ὲ ν ἐ ν ό μ ι ζ ο ν ε ἶ ν α ι κ α κ ῶ ς ὑ π ὸ τ ῶ ν π ο λ ι τ ῶ ν ἀ κ ο ύ ε ι ν ἢ κ α λ ῶ ς ὑ π ὲ ρ τ ῆ ς π α τ ρ ί δ ο ς ἀ π ο θ ν ή σ κ ε ι ν. οὐκοῦν καὶ δεύτερον τῷ μὲν κ α λ ῶ ς τὸ κ α κ ῶ ς ἀντίστροφον, τῷ δ' ἀ κ ο ύ ε ι ν τὸ ἀ π ο θ ν ή σ κ ε ι ν πάρισον. εἰ μέτριος ἦν, μέχρι δεῦρο ἀνεκτός· ἀλλ' οὐκ ἀνήσει. πάλιν γοῦν ἐν τῇ μετ' αὐτὴν περιόδῳ τίθησιν· ὅ τ ι τ ο ῖ ς ἀ γ α θ ο ῖ ς τ ῶ ν ἀ ν θ ρ ώ π ω ν ο ὐ δ ὲ ν δ ε ή σ ε ι π ο λ λ ῶ ν γ ρ α μ μ ά τ ω ν, ἀ λ λ' ἀ π' ὀ λ ί γ ω ν σ υ ν θ η μ ά τ ω ν κ α ὶ π ε ρ ὶ τ ῶ ν κ ο ι ν ῶ ν κ α ὶ π ε ρ ὶ τ ῶ ν ἰ δ ί ω ν ὁ μ ο ν ο ή σ ο υ σ ι ν· οὐκοῦν τὸ γ ρ α μ μ ά τ ω ν καὶ σ υ ν θ η μ ά τ ω ν πάρισον, καὶ τὸ π ο λ λ ῶ ν καὶ ὀ λ ί γ ω ν, καὶ κ ο ι ν ῶ ν καὶ ἰ δ ί ω ν ἀντίθετα. ἔπειθ' ὥςπερ οὐδὲν εἰρηκὼς τοιοῦτον, ἀθρόαις ἐπικλύσει ταῖς παρισώσεσιν, εἰσφέρων αὐτίκα· τ ὰ τ ῶ ν ἄ λ λ ω ν δ ι ῴ κ ο υ ν θ ε ρ α π ε ύ ο ν τ ε ς, ἀ λ λ' ο ὐ χ ὑ β ρ ί ζ ο ν τ ε ς τ ο ὺ ς Ἕ λ λ η-

Ταῦτα] Ἴσως· ταὐτά. Cor. Εἰ μέτριος] Ἴσως· καὶ εἰ μέτριος. Cor.

νας, καὶ στρατηγεῖν οἰόμενοι δεῖν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν· καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι· καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι· τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ᾽ οὐ βίᾳ καταστρεφόμενοι· πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥςπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες. καὶ τί δεῖ τὰ καθ᾽ ἕκαστα διεξιόντα μηκύνειν; ὀλίγου γὰρ ἅπας ὁ λόγος ὑπὸ τῶν τοιούτων αὐτῷ κεκόμψευται σχημάτων· οἱ μέντοι γε ἐπὶ τελευτῇ τοῦ βίου γραφέντες λόγοι ἧττον εἰσὶ μειρακιώδεις, ὡς ἂν οἶμαι, τελείαν ἀπειληφότες τὴν φρόνησιν παρὰ τοῦ χρόνου· καὶ περὶ μὲν τούτων ἱκανὰ ταῦτα.

ιζ΄. Ὥρα δ᾽ ἂν εἴη καὶ τῶν παραδειγμάτων ἅψασθαι καὶ δεῖξαι τίς ἐστι τούτοις ἡ τοῦ ῥήτορος ἰσχύς. ἅπαντα μὲν οὖν τὰ γένη τῶν προβλημάτων καὶ πάσας τὰς ἰδέας τῶν λόγων ἀμήχανον ἐν ὀλίγῳ δηλῶσαι· ἀρκεῖ δὲ μία τε δημηγορία παραληφθεῖσα, καὶ λόγος εἷς ἐκ τῶν δικανικῶν. ὁ μὲν οὖν συμβουλευτικὸς λόγος ἐστὶν, ἐν ᾧ παρακαλεῖ τοὺς Ἀθηναίους διαλύσασθαι μὲν τὸν συμμαχικὸν κληθέντα πόλεμον, ὃν ἐπολέμουν πρὸς αὐτοὺς Χῖοί τε καὶ Ῥόδιοι καὶ οἱ τούτων σύμμαχοι· παύσασθαι δὲ πλεονεκτοῦντας καὶ τῆς κατὰ γῆν καὶ κατὰ θάλατταν ἐπιθυμοῦντας ἀρχῆς, διδάσκων ὡς ἔστιν οὐ μόνον κρείττων ἡ δικαιοσύνη τῆς ἀδικίας, ἀλλὰ καὶ ὠφελιμωτέρα. τὸ μὲν οὖν ὕπτιον καὶ ἀναβεβλημένον τῆς ἀγωγῆς καὶ τῶν περιόδων ὁ χαριεντισμὸς ἔνεστι κἀν τούτοις· τὰ δὲ θεατρικὰ τῶν σχημάτων τεταμιευμένως παρείληπται. ταῦτα μὲν δὴ παρορᾶν δεῖ τοὺς ἀναγινώσκοντας καὶ μὴ ἄξια ἡγεῖσθαι σπουδῆς, ὥςπερ κατ᾽ ἀρχὰς ἔφην· τοῖς δ᾽ ἄλλοις πάνυ προσέχειν τὸν νοῦν. ἄρχεται δ᾽ ὁ λόγος ἐνθένδε. Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν αὐτοὶ μέλλουσι συμβουλεύειν· οὐ μὴν ἀλλ᾽ εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοζε τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νυνὶ παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. ἥκομεν γὰρ ἐκκλησιάσοντες περί τε πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευσαμένους ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος ὑπὲρ ὧν συνεληλύθαμεν τηλικοῦτόν ἐστιν. ὁρῶ δ᾽ ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόασιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν δ᾽ οὐδὲ τῆς φωνῆς ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε· καὶ γὰρ τὸν

Ἀπειληφότες] Διορθ. τινὲς, ἀπειληφότος. Idem.

Τίς ἐστι τούτοις] F. τίς ἐστιν ἐν τούτοις, ἢ τούτοις τίς ἐστιν. Wolf. Malim τούτοις τίς ἐστιν. Auger.

Εἷς ἐκ] F. εἷς τῶν ἐκ. Idem.

Συμβουλευτικὸς] Orationem Περὶ Εἰρήνης ἢ συμμαχικὸς intellige.

ἄλλον χρόνον εἰώθατε τοὺς ἄλλους ἅπαντας ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυμίαις. ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειεν, ὅτι, συνειδότες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς αὐτούς· ἀλλά, κατηγοροῦντες τῶν προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις, αὐτοὶ μᾶλλον φαίνεσθε τούτοις πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις. καὶ γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν, ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν συνεῤῥύηκεν. ἅπασι γὰρ ἦν φανερὸν, ὅτι μᾶλλον ἥδεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν γὰρ προσδοκίαν ἐμποιοῦσιν, ὡς τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιούμεθα καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν πρότερον ἐτυγχάνομεν ἔχοντες· οἱ δ' οὐδὲν τοιοῦτον ὑποτείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τὸ ἴσον, ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥςτ' οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσι. διόπερ ἄξιόν ἐστι δεδιέναι μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις· λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥςπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες, ὅτι κατορθώσομεν ἅπαντα καὶ ῥᾳδίως κρατήσομεν τῶν ἐχθρῶν. χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι — περίεργον γὰρ —, ἀλλὰ πράττειν ὡς ἐγνώκασι· περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι δ' ἂν τύχῃ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε· συνεληλύθατε μὲν γὰρ, ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον· ὥςπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστὶν, οὐ θέλετε ἀκούειν πλὴν τῶν εἰς ἡδονὴν δημηγορούντων. καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἐβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς χαριζομένοις, εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες

ῥᾳδίως ἐξαπατᾷν δύνανται· τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾷν τὸ βέλτιστον· ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον· οὐ γάρ ἐστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον καταστήσαντες. χωρὶς δὲ τούτων, πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενημένων ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ' αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς παράσχοιεν; θαυμάζω δὲ τῶν πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθομεν· διὰ δὲ τοὺς ῥᾳδίως πολεμεῖν αἱρουμένους μεγάλαις συμφοραῖς περιεπέσομεν. ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν· ἀλλ' ἑτοίμως ἔχομεν, μηδὲν εἰς τὸ πρόσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥςπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. τούτων δ' αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥςπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν· ἀλλ', ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν· ὅταν δ' ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων ἐπαινεῖτε, καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νηφόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων· ὥςτ' ἄξιον θαυμάζειν εἴ τις ἐλπίζει τὴν πόλιν, τοιούτοις συμβούλοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. ἐγὼ δ' οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τοῖς θεάτροις τοῖς κωμῳδοδιδασκάλοις· ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως, ὥςπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. ὅμως δὲ, καὶ τούτων ὑπαρχόντων, οὐκ ἂν ἀποσταίην ὧν διενοήθην· παρελήλυθα γὰρ οὐ χαριούμενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων· πρῶ-

τον μὲν περὶ ὧν ὁ πρύτανις προτίθησιν, ἔπειτα καὶ περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων. οὐδὲν γὰρ ὄφελος ἔσται τῶν ὑπὲρ τῆς εἰρήνης γνωσθέντων, ἂν μὴ περὶ τούτων ὀρθῶς λοιπὸν βουλευσώμεθα. φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην, μὴ μόνον πρὸς Χίους τε καὶ Ῥοδίους καὶ Βυζαντίους καὶ Κώους, ἀλλὰ πρὸς πάντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις, μὴ ταύταις αἷς νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

ιη'. Ταῦτα προειπὼν καὶ οὕτω διαθεὶς τοὺς ἀκούοντας πρὸς τὸν μέλλοντα λόγον ἐπιτηδείως, ἐγκώμιόν τε κάλλιστον τῆς δικαιοσύνης διαθέμενος, καὶ τὰ καθεστηκότα πράγματα μεμψάμενος, ἐπιτίθησι τούτοις τὴν σύγκρισιν τῶν τότ' ἀνθρώπων πρὸς τοὺς προγόνους. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοιπῶν οὐδὲν ὑποστειλάμενος, ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω ποιεῖσθαι τοὺς λόγους πρὸς ὑμᾶς. τίς γὰρ, ἄλλοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γενομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἀξιοῦμεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον. οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν· ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορίζομένους ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν. κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν· οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας κ. τ. λ. οὕτως ὀλίγον αὐτῶν φροντίζομεν — ἓν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων —, ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης ἤν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι δυνηθέντα τῶν πολιτῶν, τοῦτον ἐπὶ τὰ μέγιστα

Τοὺς ἐκ τῆς Ἀ. τὸν βίον πορίζομένους] Intellige Græcos mercenarios milites, qui inopia coacti in Asiam militatum ibant, et regi Persarum aut satrapis illius navabant operam. AUGER.

τῶν πραγματών καθίσταμεν· σπουδάζοντες δὲ περὶ τὴν πολειτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας, ὡς πρὸς ὀλιγαρχικοὺς ὄντας, δυσκόλως ἔχομεν· τοὺς δὲ τὸν πόλεμον ἀγαπῶντας, ὡς τῆς δημοκρατίας κηδομένους, εὔνους εἶναι νομίζομεν. ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες, οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γινώσκομεν· ἀλλ᾽ ὧν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν· οὐ πολὺν δὲ χρόνον διαλιπόντες, τοῖς [ἐνταῦθα] ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν πάλιν, ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σωφρονέστατοι τῶν Ἑλλήνων εἶναι, τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅςτις οὐκ ἂν καταφρονήσειε, καὶ τοὺς αὐτοὺς τούτους κυρίους τῶν κοινῶν ἁπάντων καθίσταμεν, οἷς οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειε.

ιθ΄. Τοιοῦτος μὲν δή τις ἐν τοῖς συμβουλευτικοῖς λόγοις ὁ ἀνήρ· ἐν δὲ τοῖς δικανικοῖς, τὰ μὲν ἄλλα πάνυ ἀκριβὴς καὶ ἀληθινὸς, καὶ τῷ Λυσίου χαρακτῆρι ἔγγιστα μὲν προσεληλυθὼς, ἐν δὲ τῇ συνθέσει τῶν ὀνομάτων τὸ λεῖον ἐκεῖνο καὶ εὐπρεπὲς ἔχων, ἔλαττον μὲν ἢ ἐν ἄλλοις λόγοις, οὐ μὴν ἀλλ᾽ ἔχων γε. μηδεὶς δ᾽ ἀγνοεῖν ὑπολάβῃ με, μηδ᾽ ὅτι Ἀφαρεὺς, ὁ πρόγονός τε καὶ εἰσποίητος Ἰσοκράτει γενόμενος, ἐν τῷ πρὸς Μεγακλείδην περὶ τῆς ἀντιδόσεως λόγῳ, διορίζεται μηδεμίαν ὑπὸ τοῦ πατρὸς ὑπόθεσιν εἰς δικαστήριον γεγράφθαι, μηδ᾽ ὅτι δέσμας πάνυ πολλὰς δικαστικῶν λόγων Ἰσοκρατείων περιφέρεσθαι φησὶν ὑπὸ τῶν βιβλιοπωλῶν Ἀριστοτέλης· ἐπίσταμαι γὰρ ταῦτα ὑπὸ τῶν ἀνδρῶν ἐκείνων λεγόμενα· καὶ οὔτ᾽ Ἀριστοτέλει πείθομαι, ῥυπαίνειν τὸν ἄνδρα βουλομένῳ, οὔτ᾽ Ἀφαρεῖ, τούτου γ᾽ ἕνεκα λόγον εὐπρεπῆ πλαττομένῳ, συντίθεμαι· ἱκανὸν δ᾽ ἡγησάμενος εἶναι τῆς ἀληθείας βεβαιωτὴν τὸν Ἀθηναῖον Κηφισόδωρον — ὃς καὶ συνεβίωσεν Ἰσοκράτει καὶ γνησιώτατος ἀκουστὴς ἐγένετο καὶ τὴν ἀπολογίαν τὴν πάνυ θαυμαστὴν ἐν ταῖς πρὸς Ἀριστοτέλην ἀντιγραφαῖς ἐποιήσατο —, πιστεύω γεγράφθαι λόγους τινὰς ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήρια, οὐ μέντοι πολλούς. καὶ χρῶμαι παραδείγματι ἐξ αὐτῶν ἑνὶ — οὐ γὰρ ἐγχωρεῖ πλείοσι —, τῷ Τραπεζι-

Ἐν ἄλλοις] Γρ. ἐν τοῖς ἄλλαις. Cor.

Πρόγονος] privignus, vel quia locum filii tenet, vel quia natus est antequam ille, cujus est privignus, ipsius matrem duxerit. Auger.

Διορίζεται] Malim cum Wolfio διϊσχυρίζεται. Idem. Μηδὲν δέον. Cor.

Ἀριστοτέλην] Siculum illum Aristotelem, inquit Wolfius, male cum Stagirita confundunt Cicero, Dionysius, Athenaeus et Eusebius, ut bene Ionsius in dissertatione de philosophia peripatetica observavit. Menagius ad Diog. Laert. p. 199. ed. Amst. Auger.

Πλείοσι] Νp. χρῆσθαι. Idem.

τικῷ λεγομένῳ, ὃν ἔγραψε ξένῳ τινὶ τῶν μαθητῶν κατὰ Πασίωνος τοῦ Τραπεζίτου. ἔστι δὲ ὁ λόγος οὗτος. Ὁ μὲν ἀγών μοι μέγας ἐστὶν, ὦ ἄνδρες δικασταί· οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι. οὐσία γάρ μοι ἱκανὴ καταλειφθήσεται, καὶ τούτων στερηθέντι· εἰ δὲ δόξαιμι μηδὲν προσῆκον τοσαῦτα χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα βίον. ἔστι δ', ὦ ἄνδρες δικασταὶ, πάντων χαλεπώτατον τοιούτων ἀντιδίκων τυχεῖν. τὰ μὲν γὰρ συμβόλαια πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρτύρων γίνεται· τοῖς ἀδικουμένοις δὲ πρὸς τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται καὶ χρήματα πολλὰ διαχειρίζουσι καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν εἶναι. ὅμως δὲ, καὶ τούτων ὑπαρχόντων, ἡγοῦμαι φανερὸν πᾶσι ποιήσειν, ὅτι ἀποστεροῦμαι τοσούτων χρημάτων ὑπὸ Πασίωνος. ἐξ ἀρχῆς δ' ὑμῖν, ὅπως ἂν δύνωμαι, διηγήσομαι τὰ πεπραγμένα. ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, πατὴρ μέν ἐστι Σινωπεὺς, ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ τῆς ἄλλης Ἑλλάδος, ἐπεθύμησα ἀποδημῆσαι. γεμίσας δ' ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν καὶ θεωρίαν. συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα, ἐχρώμην τῇ τούτου τραπέζῃ. χρόνῳ δ' ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πατὴρ ὁ ἐμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυγάσι συγγινοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλλει δὲ τοῖς ἐνθάδε ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου, τὰ χρήματα παρ' ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσπλεῖν κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξαιτεῖν. ἐν τοσούτοις δὲ κακοῖς ὢν, ὦ ἄνδρες δικασταὶ, λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς· οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν διεκείμην, ὥστε μὴ μόνον περὶ τῶν χρημάτων, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. ἡγούμην δὲ, εἰ μὲν προείμην ἅπαντα τὰ χρήματα, κινδυνεύσειν, εἴ τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ, πάντων ἐνδεὴς γενήσεσθαι· εἰ δ' ὁμολογῶν εἶναι, ἐπιστείλαντος Σατύρου, μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον. βουλευομένοις οὖν ἡμῖν ἐδόκει βέλτιστον εἶναι, τὰ μὲν φανερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν

παρὰ τούτῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ ὀφείλοντά με καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι, καὶ πάντα ποιεῖν, ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθήσεσθαι μὴ εἶναί μοι χρήματα. τότε μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, ἐνόμιζόν μοι Πασίωνα δι' εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν· ἐπειδὴ δὲ ταῦτα πρὸς τοὺς περὶ Σάτυρον διεπραξάμην, ἔγνων αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. βουλομένου γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ, καὶ πλεῖν εἰς Βυζάντιον, ἡγησάμενος οὗτος κάλλιστον καιρὸν αὐτῷ παραπεπτωκέναι· τὰ μὲν γὰρ χρήματα πολλὰ εἶναι τὰ παρ' αὐτῷ κείμενα, [καὶ] ἄξια ἀναισχυντίας· ἐμὲ δὲ πολλῶν ἀκουόντων ἔξαρνον γεγενῆσθαι μηδὲν κεκτῆσθαι· πᾶσί τε φανερὸν ἀπαιτούμενον, καὶ ἑτέροις ὁμολογοῦντα ὀφείλειν, καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταὶ, νομίζων, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων, εἰ δ' εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός· ταῦτα διαλογιζόμενος, διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα. καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπορεῖν ἐν τῷ παρόντι, καὶ οὐκ ἂν ἔχειν ἀποδοῦναι· ἐπειδὴ δ' ἐγὼ, βουλόμενος εἰδέναι τὸ πρᾶγμα, προσπέμπω Φιλόμηλον αὐτῷ καὶ Μενέξενον ἀπαιτήσοντας, ἔξαρνος γίνεται πρὸς αὐτοὺς μηδὲν ἔχειν τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσούτων κακῶν προσπεπτωκότων, τίνα οἴεσθέ με γνώμην ἔχειν; ᾧ γ' ὑπῆρχε σιωπῶντι μὲν ὑπὸ τούτου ἀποστερεῖσθαι τῶν χρημάτων, λέγοντι δὲ μηδὲν μᾶλλον κομίσασθαι, πρὸς Σάτυρον δ' εἰς τὴν μεγίστην διαβολὴν ἐμαυτὸν καὶ τὸν πατέρα καταστῆσαι. κράτιστον οὖν ἡγησάμην ἡσυχίαν ἄγειν. μετὰ δὲ ταῦτα, ὦ ἄνδρες δικασταὶ, ἀφικνοῦνταί μοι οἱ ἀπαγγέλλοντες, ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σατύρῳ οὕτως ἁπάντων μεταμέλει τῶν πεπραγμένων, ὥς πίστεις τε τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς. πυθόμενος δὲ ταῦτα Πασίων, καὶ εἰδὼς ὅτι φανερῶς ἤδη πράξω περὶ τῶν ἐμαυτοῦ, ἀφανίζει τὸν παῖδα, ὃς συνῄδει περὶ τῶν χρημάτων. ἐπειδὴ δ' ἐγὼ προσελθὼν ἐπεζήτουν αὐτὸν, ἡγούμενος ἔλεγχον σαφέστατον τοῦτον ἂν γενέσθαι περὶ ὧν ἐνεκάλουν, λέγει λόγον δεινότατον, ὡς ἐγὼ καὶ Μενέξενος, διαφθείραντες καὶ πείσαντες τὸν ἐπὶ τῇ τραπέζῃ καθήμενον, ἓξ τάλαντα ἀργυρίου λάβοιμεν παρ' αὐτοῦ. ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο περὶ αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας

τὸν παῖδα ἀντεγκαλεῖν αὐτῷ, καὶ ἐξαιτεῖν τοῦτον ὃν αὐτοὶ ἠφανίσαμεν. καὶ ταῦτα λέγων καὶ ἀγανακτῶν καὶ δακρύων εἷλκέ με πρὸς τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν· καὶ οὐ πρότερον ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυητάς. καί μοι ἀνάβητε τούτων μάρτυρες.

κ΄. Ταῦθ' ὅτι μὲν ὅλῳ τῷ γένει διαφέρει τῶν ἐπιδεικτικῶν τε καὶ συμβουλευτικῶν κατὰ τὸν χαρακτῆρα τῆς λέξεως, οὐθείς ἐστιν ὃς οὐκ ἂν ὁμολογήσειεν· οὐ μέντοι παντάπασί γε τὴν Ἰσοκράτειον ἀγωγὴν ἐκβέβηκεν· ἀκαρῆ δέ τινα διασώζει τῆς κατασκευῆς τε καὶ σεμνολογίας ἐκείνης ἐνθυμήματα, καὶ ποιητικώτερα μᾶλλόν ἐστιν ἢ ἀληθινώτερα. οἷον ὅταν φησίν· ἡγούμην δὲ, εἰ μὲν μὴ προείμην τὰ χρήματα, κινδυνεύσειν. τὸ γὰρ ἀποίητόν τε καὶ ἀφελὲς τοιοῦτον· ἡγούμην δὲ μὴ παραδοὺς τὰ χρήματα κινδυνεύσειν. ἔτι ἐκεῖνο· καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταὶ, νομίζων, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί με ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν αὐτῷ μελήσειν τῶν ἐμῶν λόγων, εἰ δ' εἰσπλευσοίμην εἰς τὸν Πόντον, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός. ἥ τε γὰρ περίοδος ἐκμηκύνεται πέρα τοῦ δικανικοῦ τρόπου, καὶ ἡ σύνθεσις ἔχει τι τοῦ ποιητικοῦ, τό τε σχῆμα τῆς λέξεως ἐκ τῶν ἐπιδεικτικῶν εἴληπται παρισώσεων καὶ παρομοιώσεων. τό τε οὖν ἐπιχειροίην καὶ τραποίμην καὶ εἰσπλευσοίμην ἐν ἑνὶ χωρίῳ κείμενα, καὶ τῶν κώλων τριῶν ὄντων τὸ μῆκος ἴσον ὑπάρχον, τεκμήρια τῆς Ἰσοκράτους κατασκευῆς ἐστί· καὶ τὰ τούτοις ἐπιφερόμενα· διενοεῖτό με ἀποστερεῖν τὰ χρήματα, καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτο ἀπορεῖν καὶ οὐκ ἂν ἔχειν· παρόμοιά τε καὶ παραπλήσια ἀλλήλοις ἐστὶ, καὶ πρὸς τούτοις ἃ μετ' ὀλίγον ἐπιτίθησιν· ὡς πίστεις τε μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν γυναῖκα τῷ ἑαυτοῦ υἱεῖ εἰληφώς· καὶ γὰρ ἐνταῦθα πάλιν τὸ δεδωκὼς καὶ πεποιηκὼς καὶ εἰληφὼς παρόμοιον, καὶ τὴν ἀρχὴν καὶ τὴν ἀδελφήν. ἔχοι δ' ἄν τις καὶ ἄλλα πρὸς τούτοις λέγειν, ἐξ ὧν ὁ χαρακτὴρ τοῦ ῥήτορος ἔσται καταφανής· ἀνάγκη δ' ἴσως στοχάζεσθαι τοῦ χρόνου.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΔΙΟΝΥΣΙΟΥ.

Ὁ δ' Ἰσοκρατικὸς [λόγος] κομψεύεται μὲν, ἀλλὰ μετὰ σεμνότητος, καὶ πανηγυρικώτερός ἐστι μᾶλλον ἢ δικανικώτερος· ἔχει δὲ τὸν κόσμον μετ' ἐνεργείας καὶ πομπικός ἐστι μετὰ τοῦ ἀνυστικοῦ καὶ χρησίμου, οὐ μὴν ἀγωνιστικός· περιγράφων δὲ τὴν ἀπαγγελίαν ταῖς περιόδοις, καὶ ὅλως μεσότητα σωφρονίζων λιτότητι, τὸ δὲ λιτὸν ἐξαίρων. καὶ αὐτοῦ μάλιστα ζηλωτέον τήν τε τῶν ὀνομάτων συνέχειαν καὶ τὸ τῆς ὅλης ἰδέας ἐπιδεικτικόν.

ΔΙΟΝΥΣΙΟΥ] Ἀρχαίων κρίσ. p. 432. Μεσότητα] Ἴσως· σεμνότητα. Idem. Ἐνεργείας] Γρ. ἐναργείας. Cor.

ΕΚ ΤΟΥ ΛΟΥΚΙΑΝΟΥ
ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης, ἐνενήκοντα καὶ ἓξ ἐτῶν γεγονὼς, τὸν Πανηγυρικὸν ἔγραφε λόγον· περὶ ἔτη δὲ ἑνὸς ἀποδέοντα ἑκατὸν γεγονὼς, ὡς ᾔσθετο Ἀθηναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος, τὸν Εὐριπίδειον στίχον προσηνέγκατο, εἰς ἑαυτὸν ἀναφέρων,

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών·

καὶ ἐπειπὼν, ὡς δουλεύσει ἡ Ἑλλὰς, ἐξέλιπε τὸν βίον.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Ἂν σολοικίσῃς δὲ ἢ βαρβαρίσῃς, ἓν ἔστω φάρμακον ἡ ἀναισχυντία· καὶ πρόχειρον εὐθὺς ὄνομα οὔτε ὄντος τινὸς οὔτε γενομένου ποτὲ ἢ ποιητοῦ ἢ συγγραφέως, ὃς οὕτω λέγειν ἐδοκίμαζε σοφὸς ἀνὴρ καὶ τὴν φωνὴν ἐς τὸ ἀκρότατον ἀπηκριβωμένος. ἀλλὰ καὶ ἀναγίγνωσκε τὰ παλαιὰ μὲν μὴ σύ γε, μηδὲ εἴ τι ὁ λῆρος Ἰσοκράτης ἢ ὁ χαρίτων ἄμοιρος Δημοσθένης ἢ ὁ ψυχρὸς Πλάτων, ἀλλὰ τοὺς τῶν πρὸ ἡμῶν ὀλίγον λόγους, καὶ ἃς φασι ταύτας ΜΕΛΕΤΑΣ, ὡς ἔχῃς, ἀπ' ἐκείνων ἐπισιτισάμενος, ἐν καιρῷ καταχρῆσθαι, καθάπερ ἐκ ταμιείου προαιρῶν.

ΕΚ ΤΟΥ ΠΑΥΣΑΝΙΟΥ
ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Κεῖται δὲ [ἐν τῷ Ὀλυμπίῳ] ἐπὶ κίονος Ἰσοκράτους ἀνδριάς. ὃς ἐς μνήμην τρία ὑπελείπετο, ἐπιμονώτατον μὲν, ὅτι οἱ βιώσαντι ἔτη δυοῖν δέοντα ἑκατὸν οὔποτε κατελύθη μαθητὰς ἔχειν· σωφρονέστατον δὲ, ὅτι πολιτείας ἀπεχόμενος διέμεινε καὶ τὰ κοινὰ οὐ πολυπραγμονῶν· ἐλευθερώτατον δὲ, ὅτι, πρὸς τὴν ἀγγελίαν τῆς ἐν Χαιρωνείᾳ μάχης ἀλγήσας, ἐτελεύτησεν ἐθελοντής.

ΛΟΥΚΙΑΝΟΥ] Μακροβ. §. κγ'.
Πανηγυρικὸν] Γρ. Παναθηναϊκόν. Cor.
Προσηνέγκατο] Γρ. προηνέγκατο. Idem.
ΤΟΥ ΑΥΤΟΥ] Ῥητόρ. διδασκ. §. ιζ'.
ΠΑΥΣΑΝΙΟΥ] Attic. c. 18.

ΕΚ ΤΟΥ ΦΙΛΟΣΤΡΑΤΟΥ
ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἡ δὲ σειρὴν ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους τοῦ σοφιστοῦ σήματι — ἐφέστηκε δ' οἷον ᾄδουσα — πειθὼ κατηγορεῖ τοῦ ἀνδρὸς, ἣν συνεβάλετο ῥητορικοῖς νόμοις καὶ ἤθεσι, πάρισα καὶ ἀντίθετα καὶ ὁμοιοτέλευτα οὐχ εὑρὼν πρῶτος, ἀλλ' εὑρημένοις εὖ χρησάμενος. ἐπεμελήθη δὲ καὶ περιβολῆς καὶ ῥυθμῶν καὶ συνθήκης καὶ κρότου. ταυτὶ δ' ἡτοίμασέ που καὶ τὴν Δημοσθένους γλῶτταν· Δημοσθένης γὰρ μαθητὴς μὲν Ἰσαίου, ζηλωτὴς δὲ Ἰσοκράτους γενόμενος, ὑπερεβάλετο αὐτὸν ῥυθμῷ καὶ ἐπιφορᾷ καὶ περιβολῇ καὶ ταχύτητι λόγου τε καὶ ἐννοίας. σεμνότης δ' ἡ μὲν Δημοσθένους ἐπεστραμμένη μᾶλλον, ἡ δ' Ἰσοκράτους ἁβροτέρα τε καὶ ἡδίων. παράδειγμα δὲ ποιώμεθα τῆς μὲν Δημοσθένους σεμνότητος· πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ὅ τι ἂν ὁ θεὸς διδῷ γενναίως. ἡ δὲ Ἰσοκράτους σεμνότης ὧδε κεκόσμηται· τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος. τὰ μὲν οὖν πολιτικὰ ὤκνει καὶ ἀπεφοίτα τῶν ἐκκλησιῶν, διά τε τὸ ἐλλιπὲς τοῦ φθέγματος, διά τε τὸν Ἀθήνησι φθόνον, ἀντιπολιτευόμενον ἐν τοῖς μάλιστα τοῖς σοφώτερόν τι ἑτέρου ἀγορεύουσιν· ὅμως δ' οὐκ ἀπεσπούδαζε τῶν κοινῶν. τόν τε γὰρ Φίλιππον, ἐν οἷς πρὸς αὐτὸν ἔγραφεν, Ἀθηναίοις δήπου διωρθοῦτο· καὶ οἷς περὶ τῆς εἰρήνης συγγέγραφεν, ἀνεσκεύαζε τοὺς Ἀθηναίους ἐκ τῆς θαλάττης, ὡς κακῶς ἐν αὐτῇ ἀκούοντας· ὁ Πανηγυρικός τε αὐτῷ λόγος, ὃν διῆλθεν Ὀλυμπιᾶσι, τὴν Ἑλλάδα πείθων ἐπὶ τὴν Ἀσίαν στρατεύειν, παυσαμένους τῶν οἴκοι ἐγκλημάτων. οὗτος μὲν οὖν, εἰ καὶ κάλλιστος λόγων, αἰτίαν ὅμως παραδέδωκεν, ὡς ἐκ τῶν Γοργίᾳ σπουδασθέντων εἰς τὴν αὐτὴν ὑπόθεσιν συντεθείς. ἄριστα δὲ τῶν Ἰσοκράτους φροντισμάτων ὅ τε Ἀρχίδαμος ξύγκειται καὶ ὁ Ἀμάρτυρος. τοῦ μὲν γὰρ

ΦΙΛΟΣΤΡΑΤΟΥ] Vit. Sophist. i. 17.

Πειθὼ κατηγορεῖ] Ad verbum interpretor: *accusat*, vel *arguit*, *virum suadelæ*, i. e. testatur virum donatum fuisse suadela. Auger.

Τὰ πολιτικὰ ὤκνει] I. e. ὤκνει πολιτεύεσθαι. Idem.

Ἐν τοῖς] Malim abesse. Idem.

Διωρθοῦτο] *rectum faciebat*, i. e. efficiebat ut illis amicus esset. Idem.

Ἀνεσκεύαζε — ἐκ τῆς θαλάττης] Ἀπέτρεπε τῆς κατὰ θάλατταν ἀρχῆς. Cor.

Πείθων] Sub. ἐστί. Auger. Ἴσως· πείθει. Cor.

Τοῦ μὲν γὰρ — ἀναφέρον] *spiritus enim illius* (i. e. Archidami, orationis inscriptæ ΑΡΧΙΔΑΜΟΣ) *pervadit Lacedæmonios, revocans a Leuctrica clade*, i. e. erigens illorum animos Leuctrica clade afflictos. Auger.

διήκει φρόνημα Λακεδαιμονίοις τῶν Λευκτρικῶν ἀναφέρον, καὶ οὐκ ἀκριβῆ μόνον τὰ ὀνόματα, ἀλλὰ καὶ ἡ συνθήκη λαμπρά· ἐναγώνιος δ' ὁ λόγος, ὡς καὶ τὸ μυθῶδες αὐτοῦ μέρος τὸ περὶ τὸν Ἡρακλέα καὶ τὰς βοῦς σὺν ἐπιστροφῇ ἡρμηνεῦσθαι. ὁ δ' Ἀμάρτυρος ἰσχὺν ἐνδείκνυται κεκολασμένην εἰς ῥυθμούς· νόημα γὰρ ἐκ νοήματος εἰς περιόδους ἰσοκώλους τελευτᾷ. ἀκροαταὶ δὲ τοῦ ἀνδρὸς τούτου πολλοὶ μὲν, ἐλλογιμώτατος δὲ Ὑπερίδης ὁ ῥήτωρ· Θεόπομπον γὰρ τὸν ἐκ Χίου καὶ τὸν Κυμαῖον Ἔφορον οὔτ' ἂν διαβάλοιμι οὔτ' ἂν θαυμάσαιμι. οἱ δ' ἡγούμενοι τὴν κωμῳδίαν καθάπτεσθαι τοῦ Ἰσοκράτους, ὡς αὐλοποιοῦ, ἁμαρτάνουσι. πατὴρ μὲν γὰρ αὐτῷ Θεόδωρος ἦν, ὃν ἐκάλουν αὐλοποιὸν Ἀθήνησιν· αὐτὸς δὲ οὔτ' αὐλοὺς ἐγίνωσκεν οὔτε ἄλλο τι τῶν ἐν βαναύσοις. οὐ γὰρ ἂν οὐδὲ τῆς ἐν Ὀλυμπίᾳ εἰκόνος ἔτυχεν, εἴ τι τῶν εὐτελῶν εἰργάζετο. ἀπέθανε μὲν οὖν Ἀθήνησιν ἀμφὶ τὰ ἑκατὸν ἔτη. ἕνα δὲ αὐτὸν ἡγώμεθα τῶν ἐν πολέμῳ ἀποθανόντων· ἐπειδὴ μετὰ τὰ κατὰ Χαιρώνειαν ἐτελεύτα, μὴ καρτερήσας τὴν ἀκρόασιν τοῦ Ἀθηναίων πταίσματος.

ΕΚ ΤΟΥ ΑΙΛΙΑΝΟΥ

ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης ὁ ῥήτωρ ἔλεγεν ὑπὲρ τῆς Ἀθηναίων πόλεως, ὁμοίαν εἶναι ταῖς ἑταίραις. καὶ γὰρ ἐκείναις τοὺς ἁλισκομένους ὑπὸ τῆς ὥρας αὐτῶν βούλεσθαι συνεῖναι αὐταῖς· ὅμως δὲ μηδένα εὐτελῶς οὕτως αὑτοῦ πέρι φρονεῖν, ὡς ὑπομεῖναι ἂν συνοικῆσαί τινι αὐτῶν. καὶ οὖν καὶ τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην, καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ ἀσφαλῆ μηκέτι εἶναι. ᾐνίττετο δὲ διὰ τούτων τοὺς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιβουλάς.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Λόγος τις εἰς ἐμὲ ἀφίκετο, λέγων αἴτιον Ἰσοκράτην γενέσθαι τὸν ῥήτορα τοῖς Πέρσαις καταδουλώσεως, ἧς ἐδουλώσαντο αὐτοὺς Μακεδόνες. τοῦ γὰρ Πανηγυρικοῦ λόγου, ὃν Ἰσοκράτης τοῖς Ἕλλησιν ἐπεδείξατο, εἰς Μακεδονίαν ἐλθοῦσα ἡ φήμη, πρῶτον μὲν Φίλιππον ἐπὶ τὴν Ἀσίαν ἀνέστησεν· ἀποθανόντος δὲ ἐκείνου, Ἀλέξανδρον τὸν υἱὸν αὐτοῦ, πατρῴων κληρονόμον, τὴν ὁρμὴν τὴν τοῦ Φιλίππου διαδέξασθαι παρεσκεύασε.

Ὡς καὶ τὸ μυθ.] Ὡς hic idem ac ὥστε, quod ultimum malim. Idem.

Ὀλυμπίᾳ] Γρ. Ὀλυμπιείῳ. Cor.

Ἐν πολέμῳ] Γρ. ἐν τῷ πολέμῳ. Idem.

ΑΙΛΙΑΝΟΥ] Var. Hist. l. xii. 52.

ΤΟΥ ΑΥΤΟΥ] Var. Hist. l. xiii. 11.

ΕΚ ΤΟΥ ΠΛΟΥΤΑΡΧΟΥ

ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

α΄. Ἰσοκράτης Θεοδώρου μὲν ἦν παῖς τοῦ Ἐρχιέως τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιοὺς κεκτημένου, καὶ εὐπορήσαντος ἀπὸ τούτων ὡς καὶ χορηγῆσαι καὶ παιδεῦσαι τοὺς υἱοὺς — ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι, Τελέσιππος καὶ Διόμνηστος· ἦν δὲ καὶ θυγάτριον —· ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος.

β΄. Γενόμενος δὲ κατὰ τὴν ὀγδοηκοστὴν ἕκτην Ὀλυμπιάδα ἐπὶ Λυσιμάχου Μυῤῥινουσίου, ἄρχοντος Ἀθήνησι, Λυσίου μὲν ἦν νεώτερος δυσὶ καὶ εἴκοσιν ἔτεσι, πρεσβύτερος δὲ Πλάτωνος ἑπτά. παῖς μὲν ὢν ἐπαιδεύετο οὐδενὸς ἧττον Ἀθηναίων, ἀκροώμενος Προδίκου τε τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου καὶ Τισίου τοῦ Συρακουσίου καὶ Θηραμένους τοῦ ῥήτορος. οὗ καὶ συλλαμβανομένου ὑπὸ τῶν Τριάκοντα καὶ φυγόντος ἐπὶ τὴν Βουλαίαν ἑστίαν, ἁπάντων καταπεπληγμένων, μόνος ἀνέστη βοηθήσων. καὶ πολὺν χρόνον ἐσίγησε κατ' ἀρχάς· ἔπειτα ὑπ' αὐτοῦ παρῃτήθη, εἰπόντος, ὀδυνηρότερον αὐτῷ συμβήσεσθαι, εἴ τις τῶν φίλων ἀπολαύσειε τῆς συμφορᾶς· καὶ ἐκείνου τινὰς οὔσας τέχνας αὐτῷ φασὶ συμπραγματεύσασθαι, ἡνίκα ἐν τοῖς δικαστηρίοις ἐσυκοφαντεῖτο, αἳ εἰσὶν ἐπιγεγραμμέναι Βότωνος.

γ΄. Ἐπεὶ δ' ἠνδρώθη, τῶν μὲν πολιτικῶν πραγμάτων ἀπέσχετο, ἰσχνόφωνός τε ὢν καὶ εὐλαβὴς τὸν τρόπον καὶ τὰ πατρῷα ἀποβεβληκὼς ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, ἄλλοις δὲ μεμελετηκὼς φαίνεται, ἕνα δὲ μόνον εἰπὼν λόγον τὸν περὶ τῆς Ἀντιδόσεως. διατριβὴν δὲ συστησάμενος, ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν ἃ διανοηθείη ἐτράπετο. καὶ τόν τε Πανηγυρικὸν λόγον καὶ τινὰς ἄλλους τῶν συμβουλευτικῶν, οὓς μὲν αὐτὸς γράφων ἀνεγίνωσκεν, οὓς δ' ἑτέροις παρεσκεύαζεν, ἡγούμενος οὕτως ἐπὶ τὸ τὰ δέοντα φρονεῖν τοὺς Ἕλληνας προτρέψασθαι. διαμαρτάνων δὲ τῆς προαιρέσεως, τούτων μὲν ἀπέστη, σχολῆς δὲ ἡγεῖτο, ὥς τινές φασι, πρῶτον ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα· ὅτε καὶ ἰδὼν τὸν μισθὸν ἀριθμούμενον εἶπε δακρύσας, Ὡς ἐπέγνων ἐμαυτὸν νῦν τούτοις πεπραμένον. ὡμίλει δὲ τοῖς βουλομένοις, χωρίσας πρῶτος τοὺς ἐριστι-

ΠΛΟΥΤΑΡΧΟΥ] Vit. X. Orat.

Ἐσίγησε] Συνηγόρησε dedit Coraes.

Τῆς συμφορᾶς] F. τῆς αὐτοῦ συμφορᾶς. Reisk.

Ἐκείνου] Leg. ἐκεῖνον. Auger.

Βότωνος] Boton præceptor fuit Xenophanis philosophi juxta Diog. Laert. l. ix. 18.

Εἰπὼν] F. εἰπεῖν. Xyland.

Διατριβὴν δὲ συστησάμενος] *quumque ludum aperuisset.* Wolf.

Προτρέψασθαι] Προτρέψεσθαι de suo Coraes.

κοὺς λόγους τῶν πολιτικῶν, περὶ οὓς ἐσπούδασε. καὶ ἀρχὰς δὲ καὶ περὶ τὴν Χίον κατέστησε, καὶ τὴν αὐτὴν τῇ πατρίδι πολιτείαν· ἀργύριόν θ', ὅσον οὐδεὶς σοφιστῶν, εὐπόρησεν, ὡς καὶ τριηραρχῆσαι. ἀκροαταὶ δ' αὐτοῦ ἐγένοντο εἰς ἑκατὸν, ἄλλοι τε πολλοὶ, καὶ Τιμόθεος ὁ Κόνωνος, σὺν ᾧ καὶ πολλὰς πόλεις ἐπῆλθε, συντιθεὶς τὰς πρὸς Ἀθηναίους ὑπὸ Τιμοθέου πεμπομένας ἐπιστολάς· ὅθεν ἐδωρήσατο αὐτῷ τάλαντον τῶν ἀπὸ Σάμου περιγενομένων. ἐμαθήτευσε δ' αὐτῷ καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος καὶ Ἀσκληπιάδης ὁ τὰ τραγῳδούμενα συγγράψας καὶ Θεοδέκτης ὁ Φασηλίτης ὁ τὰς τραγῳδίας ὕστερον γράψας — οὗ ἐστὶ τὸ μνῆμα ἐπὶ τὸν Κυαμίτην πορευομένοις, κατὰ τὴν ἱερὰν ὁδὸν τὴν ἐπ' Ἐλευσῖνα, τὰ νῦν κατερηρειμμένον, ἔνθα καὶ τοὺς ἐνδόξους τῶν ποιητῶν ἀνέστησε σὺν αὐτῷ, ὧν Ὅμηρος ὁ ποιητὴς σώζεται μόνος — Λεωδάμας τ' Ἀθηναῖος καὶ Λάκριτος ὁ νομοθέτης Ἀθηναίοις, ὡς δέ τινές φασι, καὶ Ὑπερίδης καὶ Ἰσαῖος. καὶ Δημοσθένην δ' ἔτι ῥητορεύοντι φασὶ μετὰ σπουδῆς προσελθεῖν αὐτῷ· καὶ χιλίας μὲν ἃς εἰσεπράττετο οὐκ ἔχειν φάναι παρασχεῖν, διακοσίας δὲ δώσειν ἐφ' ᾧ τε τὸ πέμπτον μέρος ἐκμάθῃ, τὸν δ' ἀποκρίνασθαι, ὡς Οὐ τεμαχίζομεν, ὦ Δημόσθενες, τὴν πραγματείαν, ὥσπερ δὲ τοὺς καλοὺς ἰχθῦς ὅλους πωλοῦμεν, οὕτω κἀγώ σοι, εἰ βούλοιο μαθητεύειν, ὁλόκληρον ἀποδώσομαι τὴν τέχνην.

δ'. Ἐτελεύτα δ' ἐπὶ Χαιρωνίδου ἄρχοντος, ἀπαγγελθέντων τῶν περὶ Χαιρώνειαν ἐν τῇ Ἱπποκράτους παλαίστρᾳ πυθόμενος, ἐξαγαγὼν αὑτὸν τοῦ βίου τέτρασιν ἡμέραις διὰ τοῦ σιτίων ἀποσχέσθαι, προειπὼν τρεῖς ἀρχὰς δραμάτων Εὐριπίδου,

> Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ·
> Πέλοψ ὁ Ταντάλειος εἰς Πίσαν μολών·
> Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών·

ὀκτὼ καὶ ἐννενήκοντα ἔτη βιοὺς, ἢ, ὥς τινες, ἑκατόν· οὐχ ὑπομείνας τετράκις ἰδεῖν τὴν Ἑλλάδα καταδουλουμένην· πρὸ ἐνιαυτοῦ, ἢ, ὥς τινες, πρὸ τεσσάρων ἐτῶν, τῆς τελευτῆς συγγράψας τὸν Παναθηναϊκόν. τὸν δὲ Πανηγυρικὸν ἔτεσι δέκα συνέθηκεν, οἱ δὲ δεκαπέντε λέγουσιν, ὃν μετενηνοχέναι ἐκ τῶν Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου· τὸν δὲ περὶ τῆς Ἀντιδόσεως δύο καὶ ὀγδοήκοντα ἔτη γεγονώς· τὸν δὲ πρὸς Φίλιππον ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐγένετο δ' αὐτῷ καὶ παῖς Ἀφαρεὺς, πρεσβύτῃ ὄντι, ἐκ Πλαθάνης τῆς Ἱππίου τοῦ ῥήτορος ποιητὸς, τῶν δὲ τῆς γυναικὸς

Δὲ καὶ περὶ] F. δὲ τὰς περὶ. Reisk. Quocum facit Coraes, qui καὶ interim expunxit.

Τὸν Κυαμίτην] Sic dedit Coraes pro vulg. τὴν Κυαμῖτιν. Cyamites heros Atheniensis, cujus sacellum in via sacra non procul a sepulcro Theodectis. Cf. Pausan. Attic. c. 37.

Νομοθέτης] F. νομοθετήσας. Wolf. Xyland. Reisk. σοφιστεύσας Ἀθήνησιν mavult Coraes, qui citat Demosth. c. Lacrit. §. γ'. et §. ια'.

Καὶ — δ' ἔτι] *quin etiam præter hos.* Wolf.

Ἐφ' ᾧ τε] I. e. ἵνα. Idem.

Ἐκμάθῃ] F. ἐκμαθεῖν. Salmas.

Πωλοῦμεν] Πωλοῦσιν conjecit Coraes.

Τετράκις] Mavult vel deleri vel mutari in γεγηρακὼς Wyttenbach. Rectius forsan rem tractant, qui Philippum, quartum, post Danaum, Pelopem, Cadmum, alienum Græciæ debellatorem intelligunt. Cf. Panath. §. κθ'.

Τῆς Ἱππίου] Scil. θυγατρός. Wolf.

τριῶν παίδων ὁ νεώτατος. εὐπόρησε δ' ἱκανῶς, οὐ μόνον ἀργύριον εἰσπράττων τοὺς γνωρίμους, ἀλλὰ καὶ παρὰ Νικοκλέους τοῦ Κυπρίων βασιλέως, ὃς ἦν υἱὸς Εὐαγόρου, εἴκοσι τάλαντα λαβὼν ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος λόγου· ἐφ' οἷς φθονηθεὶς τρὶς προεβλήθη τριηραρχεῖν. καὶ δὶς μὲν ἀσθένειαν σκηψάμενος διὰ τοῦ παιδὸς παρῃτήσατο· τὸ δὲ τρίτον ὑποστὰς ἀνήλωσεν οὐκ ὀλίγα. πρὸς δὲ τὸν εἰπόντα πατέρα, ὡς οὐδὲν ἄλλ' ἢ ἀνδράποδον συνέπεμψε τῷ παιδίῳ, Τοιγαροῦν (ἔφη) ἄπιθι· δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. ἠγωνίσατο δὲ καὶ τὸν ἐπὶ Μαυσώλῳ τεθέντα ὑπὸ Ἀρτεμισίας ἀγῶνα· τὸ δὲ ἐγκώμιον οὐ σώζεται. ἐποίησε δὲ καὶ εἰς Ἑλένην ἐγκώμιον καὶ Ἀρεοπαγιτικόν. ἐξελθεῖν δὲ τοῦ βίου, οἱ μὲν ἐναταῖον φασὶ, σίτων ἀποσχόμενον, οἱ δὲ τεταρταῖον, ἅμα ταῖς ταφαῖς τῶν ἐν Χαιρωνείᾳ πεσόντων. συνέγραψε δ' αὐτοῦ καὶ ὁ παῖς Ἀφαρεὺς λόγους.

ε'. Ἐτάφη δὲ μετὰ τῆς συγγενείας πλησίον Κυνοσάργους ἐπὶ τοῦ λόφου ἐν ἀριστερᾷ αὐτός τε καὶ ὁ πατὴρ αὐτοῦ Θεόδωρος καὶ ἡ μήτηρ αὐτοῦ, ταύτης τε ἀδελφὴ τηθὶς τοῦ ῥήτορος Ἀνακὼ, καὶ ὁ ποιητὸς υἱὸς Ἀφαρεὺς, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Σωκράτης μητρὸς Ἰσοκράτους ἀδελφῆς Ἀνακοῦς υἱὸς ὢν, ὅ τε ἀδελφὸς αὐτοῦ ὁμώνυμος τοῦ πατρὸς Θεόδωρος, καὶ οἱ υἱωνοὶ τοῦ ποιηθέντος αὐτῷ παιδὸς Ἀφαρέως, Ἀφαρεὺς, καὶ ὁ τούτου πατὴρ Θεόδωρος, ἥ τε γυνὴ Πλαθάνη, μήτηρ δὲ τοῦ ποιητοῦ Ἀφαρέως. ἐπὶ μὲν οὖν τούτων τράπεζαι ἐπῆσαν ἕξ. αἳ νῦν οὐ σώζονται. αὐτῷ δ' Ἰσοκράτει ἐπὶ τοῦ μνήματος ἐπῆν κίων τριάκοντα πηχῶν, ἐφ' οὗ Σειρὴν πηχῶν ἑπτὰ συμβολικῶς, ὃς νῦν οὐ σώζεται. ἦν δὲ καὶ αὐτοῦ τράπεζα πλησίον, ἔχουσα ποιητάς τε καὶ τοὺς διδασκάλους αὐτοῦ, ἐν οἷς καὶ Γοργίαν εἰς σφαῖραν ἀστρολογικὴν βλέποντα, αὐτόν τε τὸν Ἰσοκράτην παρεστῶτα. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ ἔμπροσθεν τοῦ προστώου ὑπὸ Τιμοθέου τοῦ Κόνωνος, καὶ ἐπιγέγραπται·

Τιμόθεος φιλίας τε χάριν, ξενίην τε προτιμῶν,
Ἰσοκράτους εἰκῶ τήνδ' ἀνέθηκε θεαῖς·

Λεωχάρους ἔργον.

ϛ'. Φέρονται δὲ αὐτοῦ λόγοι ἑξήκοντα, ὧν εἰσὶ γνήσιοι κατὰ μὲν Διονύσιον εἰκοσιπέντε, κατὰ δὲ Καικίλιον εἰκοσιοκτὼ, οἱ δ' ἄλλοι κατεψευσμένοι. εἶχε δ' ἀλλοτρίως πρὸς ἐπίδειξιν, ὡς ἀφικομένων ποτὲ πρὸς αὐτὸν τριῶν ἐπὶ τὴν ἀκρόασιν, τοὺς μὲν δύο κατασχεῖν, τὸν δὲ τρίτον ἀπολῦσαι, φάμενος, εἰς τὴν ἐπιοῦσαν

Παίδων] Add. ὤν. Reisk.

Προεβλήθη] Ἴσως. προεκλήθη. Cor.

Τρίτον ἀποστὰς] Ὑποστὰς, i. e. ὑπομείνας, ἀναδεξάμενος, de suo Coraes.

Ἠγωνίσατο] Confundit hic, aiunt VV. DD., Pseudo-Plutarchus Isocratem Atheniensem cum Apolloniata.

Καὶ οἱ υἱωνοὶ] Διορθοῦσι οἱ μὲν, καὶ ὁ υἱωνὸς, τοῦ ποιηθέντος αὐτῷ παιδὸς Ἀφαρέως, Ἀφαρεὺς κ. τ. λ. ἕτεροι δὲ, Καὶ οἱ υἱανοὶ αὐτοῦ, τοῦ ποιηθέντος αὐτῷ παῖδες Ἀφαρέως. Ἐν δὲ τῇ Γαλλικῇ τοῦ Ἀμιότου μεταφράσει παρελείφθησαν ἅπαντα ταῦτα. Ἴσως γραπτέον, Καὶ οἱ υἱοὶ τοῦ ποιηθέντος αὐτῷ Ἀφαρέως, ἥ τε γυνὴ Πλαθάνη κ. τ. λ. Cor.

Τράπεζαι] Sunt longæ et latæ tabulæ, seu ligneæ seu marmoreæ, appensæ e parietibus cum inscriptione aut imaginibus pictis. Reisk.

Ἐλευσῖνι] Ἴσως· Ἐλευσινίῳ. Cor.

ἥξειν· νῦν γὰρ αὐτῷ τὸ θέατρον εἶναι ἐν ἀκροατηρίῳ. εἰώθει δὲ καὶ πρὸς τοὺς γνωρίμους αὐτοῦ λέγειν, ὡς αὐτὸς μὲν δέκα μνῶν διδάσκοι, τῷ δ' αὐτὸν διδάξαντι τόλμαν καὶ εὐφωνίαν δώσειν δεκακισχιλίας. καὶ πρὸς τὸν ἐρόμενον, Διότι οὐκ ὢν αὐτὸς ἱκανὸς ἄλλους ποιεῖ, Εἶπεν, ὅτι καὶ αἱ ἀκόναι αὐταὶ μὲν τέμνειν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσιν. εἰσὶ δ' οἳ καὶ τέχνας αὐτὸν λέγουσι συγγεγραφέναι· οἱ δ' οὐ μεθόδῳ ἀλλ' ἀσκήσει χρήσασθαι. πολίτην δὲ οὐδέποτε εἰσέπραξε μισθόν. προσέταττε δὲ τοῖς γνωρίμοις εἰς τὰς ἐκκλησίας ἀπαντῶσιν ἀναφέρειν αὐτῷ τὰ εἰρημένα. ἐλυπήθη δὲ οὐ μετρίως ἐπὶ τῷ Σωκράτους θανάτῳ καὶ μελανειμονῶν τῇ ὑστεραίᾳ προῆλθε. πάλιν δὲ ἐρομένου τινὸς αὐτὸν, Τί ῥητορική; Εἶπε. τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ ποιεῖν. ἑστιώμενος δέ ποτε παρὰ Νικοκρέοντι τῷ Κύπρου τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη, Οἷς μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρός· οἷς δὲ ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. Σοφοκλέα δὲ τὸν τραγικὸν θεασάμενος ἑπόμενον ἐρωτικῶς παιδὶ, εἶπεν, Οὐ μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ' αὑτῷ, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς. τοῦ δὲ Κυμαίου Ἐφόρου ἀπράκτου τῆς σχολῆς ἐξελθόντος καὶ πάλιν ὑπὸ τοῦ πατρὸς Δημοφίλου πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ, παίζων Δίφορον αὐτὸν ἐκάλει· ἐσπούδασε μέντοι ἱκανῶς περὶ τὸν ἄνδρα καὶ τὴν ὑπόθεσιν τῆς ἱστορίας αὐτὸς ὑπεθήκατο. ἐγένετο δὲ πρὸς τὰ Ἀφροδίσια καταφερὴς, ὡς ὑποπάστῳ παρειλκυσμένῳ ἐν τῇ κοίτῃ χρῆσθαι, κρόκῳ διάβροχον ἔχοντα τὸ προσκεφάλαιον· καὶ νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δὲ ἑταίρᾳ συνεῖναι, ᾗ ὄνομα ἦν Λαγίσκη, ἐξ ἧς ἔσχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα πρὸ γάμων ἐτελεύτησεν. ἔπειτα Πλαθάνην, τὴν Ἱππίου τοῦ ῥήτορος, γυναῖκα ἠγάγετο τρεῖς παῖδας ἔχουσαν. ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο· ὃς καὶ εἰκόνα αὐτοῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπιείῳ ἐπὶ κίονος, καὶ ἐπέγραψεν.

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

ζ'. Λέγεται δὲ καὶ κελητίσαι, ἔτι παῖς ὤν· ἀνάκειται γὰρ ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ σφαιρίστρᾳ τῶν Ἀῤῥηφόρων κελητίζων [ἔτι παῖς ὤν, ὥς εἶπον τινές]. δύο δ' ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ υἱὸν πέμψας Ἀφαρέα ἐνίκησε· δεύτερος δὲ Λυσιμάχου αὐτὸν προκαλεσαμένου περὶ τριηραρχίας εἰς ἀντίδοσιν, ἡττηθεὶς δὲ τὴν τριηραρχίαν ὑπέστη. ἦν δ' αὐτοῦ καὶ γραπτὴ εἰκὼν ἐν τῷ Πομπείῳ.

η'. Ὁ δὲ Ἀφαρεὺς συνέγραψε μὲν λόγους, οὐ πολλοὺς δὲ, δικανικούς τε καὶ συμβουλευτικούς. ἐποίησε δὲ καὶ τραγῳδίας περὶ ἑπτὰ καὶ τριάκοντα, ὧν ἀντιλέγονται δύο. ἀρξάμενος δ' ἀπὸ

Ἀκροατηρίῳ] Οὕτως οἱ πλεῖστοι ἐκ διορθ. ἀντὶ τοῦ, ἀκρωτηρίῳ. Ἀλλ' οὐδ' οὕτως εὐσύνετος ἡ φράσις. Μήποτε οὖν ἐγέγραπτο· Νῦν γὰρ αὐτῷ θέατρον οὐκ εἶναι ἀκροατήριον. τοῦ Ἀκροατήριον ὧδε ἐπιθετικῶς ἐκλαμβανομένου. Cor.

Δεκακισχιλίας] Scil. δραχμάς.

Νικοκρέοντι] F. Νικοκλεῖ. Wolf. Cor.

Ὑποπάστῳ] F. χρυσοπάστῳ. Salmas. ὑπὸ πάστῳ. Turneb.

Ἔχοντα] F. ἔχοντι. Reisk.

Ὀλυμπιείῳ] Scil. τῷ ναῷ τοῦ Ὀλυμπίου Διός.

Λυσιστράτου διδάσκειν ἄχρι Σωσιγένους, ἐν ἔτεσιν εἰκοσιοκτὼ, διδασκαλίας ἀστικὰς καθῆκεν ἕξ· καὶ δὶς ἐνίκησε διὰ Διονυσίου καθεὶς, καὶ δι' ἑτέρων ἑτέρας δύο Ληναϊκάς. τῆς δὲ μητρὸς αὐτῶν, Ἰσοκράτους καὶ Θεοδώρου, καὶ τῆς ταύτης ἀδελφῆς Ἀνακοῦς, εἰκόνες ἀνέκειντο ἐν Ἀκροπόλει, ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίειαν νῦν κεῖται μετεπιγεγραμμένη· ἡ δὲ Ἀνακοῦς οὐ σώζεται. ἔσχε δὲ υἱοὺς, Ἀλέξανδρον μὲν ἐκ Κοίνου, Σωσικλέα δ' ἐκ Λυσίου.

ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ
ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἀνεγνώσθη Ἰσοκράτους τοῦ ῥήτορος λόγοι κα'. καὶ ἐπιστολαὶ θ'. Συμβουλευτικοὶ μὲν τῶν αὐτοῦ λόγων εἰσὶν ὅ τε πρὸς Δημόνικον καὶ ὁ πρὸς Νικοκλέα, χρησίμους παραινέσεις περιέχοντες· καὶ ἔτι ὁ δεύτερος πρὸς Νικοκλέα καὶ περὶ τῆς Εἰρήνης. καὶ ὁ Πανηγυρικὸς δὲ σκοπὸν ἔχειν ὑποτίθεται τὴν συμβουλὴν, δι' ἧς ὁμόνοιά τε πρὸς ἀλλήλους τοῖς Ἕλλησι καὶ κοινὸς ὁ πρὸς τοὺς βαρβάρους καταπραχθείη πόλεμος· τὸ δὲ πλεῖστον τοῦ λόγου εἰς τὰ τῶν Ἀθηναίων ἐγκώμια κατατρίβεται. καὶ ὁ Ἀρεοπαγιτικὸς δὲ τῶν συμβουλευτικῶν ἐστὶ, προτρέπων τοὺς Ἀθηναίους ἐπ' ἀρετὴν, ἐξ ἐπαίνου μὲν τῶν προγεγονότων, καταδρομῆς δὲ τῶν ἔτι τῷ βίῳ περιόντων. καὶ ὁ Πλαταϊκὸς δὲ συμβουλευτικός ἐστι. καὶ ὁ ἐπιγραφόμενος δὲ Ἀρχίδαμος συμβουλευτικός ἐστι καὶ παρακαλεῖ Λακεδαιμονίους ἐπὶ τὸν κατὰ Θηβαίων πόλεμον ὑπὲρ Μεσσηνίων. ὁ δὲ κατὰ τῶν Σοφιστῶν ἐπιγραφόμενος κατηγορία τῶν ἀντιπολιτευομένων αὐτῷ ἐστὶ σοφιστῶν. ὁ δὲ ἐφεξῆς λόγος Βουσίριδος αὐτῷ ἐστὶν ἐγκώμιον, ὥςπερ καὶ ἐπιγέγραπται. ὁ δὲ ἑνδέκατος Ἑλένης ἐγκώμιον· καὶ ὁ δωδέκατος Εὐαγόρου ἐγκώμιον, ὃς Εὐαγόρας ἐπιγράφεται, προσπεφωνημένος Νικοκλεῖ τῷ υἱεῖ. ὁ δὲ ἐπιγραφόμενος Φίλιππος συμβουλευτικός ἐστι, Φιλίππῳ συμβουλεύων τῆς τε τῶν Ἑλλήνων φροντίζειν ὁμονοίας καὶ τῆς κατὰ τῶν ἐν Ἀσίᾳ βαρβάρων συστρατείας. ὁ δὲ Παναθηναϊκὸς ἐγκώμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων, ὃν ἀπάρξασθαι μέν φησι συγγράφειν ἐνενήκοντα καὶ τεττάρων ἐτῶν ἄγων ἡλικίαν, νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης, ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον. ὁ δὲ περὶ τῆς Ἀντιδόσεως ἐπιγραφόμενος λόγος δικανικός τις εἶναι δοκεῖ,

Λυσιστράτου] Scil. ἄρχοντος Ἀθήνησι. Wolf.

Διονυσίου] Dionysius videtur celeber ea ætate histrio fuisse. Reisk.

Ἔσχε] Scil. Anaco. Sed vid. Wolf., Reisk., Wyttenbach., cæteri, ad loc.

ΦΩΤΙΟΥ] Cod. 159.

Ἀνεγνώσθη] Γράφε· ἀνεγνώσθησαν. Cor.

Περὶ τῆς Εἰρήνης] Γράφε· ὁ περὶ τῆς Εἰρήνης. Idem.

καὶ ἀπολογίαν ἔχων ὧν Λυσίμαχος κακῶς εἶπεν Ἰσοκράτην. δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτὸς μέγιστος ὢν τῶν ἄλλων λόγος συνετάγη. ἔστι δ' ὁ λόγος σύμμικτος καὶ ποικίλος μᾶλλον ἢ οἱ ἄλλοι· παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας, ἐξ ὧν οὐ φθείρειν τοὺς νέους, ἀλλ' ὠφελεῖν τὸ κοινὸν ἐπιδείκνυσιν ἑαυτόν. δικανικὸς δὲ καὶ ὁ πρὸς Καλλίμαχον· ὁμοίως δὲ καὶ ὁ Αἰγινητικὸς ὑπὲρ κλήρου ἀγωνιζόμενος. τῶν δικανικῶν δὲ καὶ ὁ πρὸς Εὐθύνουν ὑπὲρ Νικίου, καὶ ὁ Τραπεζιτικὸς, καὶ ὁ πρὸς Λοχίτην ὕβρεως καὶ πληγῶν δίκην ἀπαιτῶν. οὕτω μὲν καὶ τοσούτους ἔγνωμεν Ἰσοκράτους λόγους. Τῶν δ' ἐννέα ἐπιστολῶν αὐτοῦ μία μέν ἐστι πρὸς Διονύσιον τὸν Σικελίας τύραννον, ἑτέρα δὲ πρὸς Ἀρχίδαμον, καὶ πρὸς Φίλιππον δύο, μία δὲ πρὸς Ἀλέξανδρον, καὶ πρὸς Ἀντίπατρον ἄλλη· καὶ δὴ καὶ πρὸς Τιμόθεον· καὶ πρὸς τοὺς Μυτιληναίων ἄρχοντας ἡ ἐννάτη. οὗτος μὲν οὖν ὁ ῥήτωρ σοφιστεύειν μᾶλλον ἢ τῶν κοινῶν προστατεῖν, ὥσπερ οἱ ἄλλοι ἐννέα ῥήτορες, ὧν καὶ Δημοσθένης ἦν, εἵλετο, καίτοι καὶ πρὸ ἐκείνων τοῖς τῆς ῥητορικῆς ἀκμάζων λόγοις καὶ κατ' ἐκείνους τὴν ἐπ' αὐτοῖς δόξαν οὐκ ἐλαττούμενος. κέχρηται δὲ μάλιστα μὲν, ὡς αὐτίκα τοῖς ἀναγινώσκουσι δῆλον, εὐκρινείᾳ καὶ καθαρότητι· πολλήν τε ἐπιμέλειαν περὶ τὴν ἐργασίαν τῶν λόγων ἐπιδείκνυται. ὥστε καὶ εἰς περιττὸν τῷ διεκπίπτειν τὸν κόσμον, καὶ τὸ ἐπιμελές. καὶ αὐτὸ δὲ τὸ τῆς ἐργασίας πλεονάζον παρ' αὐτῷ οὐ τὸ γόνιμον μᾶλλον τῶν ἐπιχειρημάτων ἢ τὸ ἀπειρόκαλον παριστᾷ. ἦθος δὲ καὶ ἀλήθεια καὶ γοργότης οὐδὲ μέτεστι παρ' αὐτῷ. μεγέθους δὲ αὐτῷ, ὅσον εἰς τὸν πολιτικὸν ἐναρμόζει λόγον, ἄριστα, καὶ παραπλησίως κέκραται τῇ σαφηνείᾳ· ἄτονος δὲ πλέον τοῦ δέοντος ὁ λόγος. οὐχ ἥκιστα δὲ αὐτοῦ σμικρολογίαν καὶ τὸ προσκορὲς τῶν παρισώσεων αἰτιᾶται. ἀλλὰ ταῦτα φαμὲν, πρὸς τὴν ἐν λόγοις αὐτοῦ ἀρετὴν, τὸ ἐκπίπτον ἐκείνης καὶ ἀνόμοιον ἐνδεικνύμενοι· ἐπεὶ πρός γε ἐνίους τῶν γράφειν λόγους ἐπαιρωμένων ἀρεταὶ ἂν δόξωσι καὶ τὰ ἐκείνου ἐλαττώματα.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΦΩΤΙΟΥ.

Ἀνεγνώσθησαν Ἰσοκράτους λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ τὸν ἀριθμὸν ἑξήκοντα· ὧν ἐκρίθησαν γνήσιοι, κατὰ μὲν Διονύσιον ἐπὶ τοῖς πέντε καὶ εἴκοσι, κατὰ δὲ Καικίλιον ὀκτὼ καὶ εἴκοσι. γεγραφέναι δὲ αὐτὸν τέχνην ῥητορικὴν λέγουσιν, ἣν καὶ ἡμεῖς ἴσμεν τοῦ ἀνδρὸς ἐπιγραφομένην τῷ ὀνόματι. οἱ δὲ συνασκήσει μᾶλλον ἢ τέχνῃ χρήσασθαι κατὰ τοὺς λόγους τὸν ἄνδρα φασί. γέγονε δὲ

Αὐτὸς μέγιστος] Ἴσως. αὐτῷ μέγιστος. Idem.

Τοσούτους — λόγους] Παρέδραμεν ἢ ὁ Φώτιος ἀμνημονήσας, ἢ ὁ τὰ Φωτίου ἀντιγράψας, τὸν Περὶ τοῦ ζεύγους λόγον. Idem.

Ἐννάτη] Παρέλιπε τὴν Πρὸς τοὺς Ἰάσονος παῖδας ἐπιστολήν. Idem.

Σοφιστεύειν] Τὴν τῶν λόγων τέχνην διδάσκειν. Idem.

Πρὸ ἐκείνων] Τῶν πλείστων δηλονότι. Idem.

Περιττὸν τῷ] Γράφε, περιττὸν αὐτῷ. Idem.

Ἀλήθεια] Ἀφέλεια. Idem.

Μέτεστι παρ' αὐτῷ. μεγέθους] Ἴσως· μέτεστιν αὐτῷ. μέγεθος —. Idem.

ΦΩΤΙΟΥ] Κώδ. σζ'. Ἐκ τοῦ Ψευδοπλουτάρχου, ἢ γοῦν ἐξ οὗ καὶ ὁ Ψευδοπλούταρχος, παρείληφε τῶν ἑξῆς τὰ πλεῖστα ὁ Φώτιος. Ἔχει δὲ καὶ ἀλλαχόθεν οὐκ οἶδ' ὅθεν συνηρανισμένα τινά· ὧν χάριν καὶ τἄλλα δὶς γράψαι οὐκ ὤκνησα. Idem.

κατὰ τὴν ὀγδοηκοστὴν καὶ ἕκτην Ὀλυμπιάδα, νεώτερος μὲν Λυσίου ἐπὶ δυσὶν ἔτεσι καὶ εἴκοσι, Πλάτωνος δὲ πρεσβύτερος δέκα δεόντων τριῶν. ἦν δὲ παῖς Θεοδώρου Ἐρχιέως, ἑνὸς τῶν μετρίων πολιτῶν. ἐν παισὶ μὲν οὖν τελῶν ἠκροάσατο Προδίκου τε τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου καί Τισίου τοῦ Συρακουσίου καὶ τοῦ ῥήτορος Θηραμένους. εἰς ἄνδρας δὲ τελέσας πραγμάτων μὲν ἀναχωρεῖ τῶν πολιτικῶν, ὅτι τε τὴν φωνὴν ἰσχνὸς ἦν καὶ τὸν τρόπον εὐλαβής· τὰ πατρῷα μέντοι ἀποβεβληκὼς ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, ἕνα μόνον τὸν τῆς Ἀντιδόσεως λόγον εἰπὼν, ἀπέστη τῆς τοιαύτης προαιρέσεως· ἰδίαν δὲ διατριβὴν ὑποστησάμενος ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν ὥρμησε. καὶ ὅ τε Πανηγυρικὸς αὐτῷ λόγος συνετάγη, καί τινες ἄλλοι τῶν συμβουλευτικῶν, ἡγουμένῳ ταῖς παραινέσεσι τοὺς Ἕλληνας φρονεῖν ἐκδιδάξαι τὰ συμφέροντα. ἀποτυχὼν δὲ τῆς γνώμης, τούτου μὲν ἀπέστη τοῦ ἐπιτηδεύματος, σχολῆς δὲ σοφιστικῆς ἡγεῖτο, ὡς μέν τινές φασι, τὰ πρῶτα ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα· ἡνίκα καὶ τὸν μισθὸν ἰδὼν τῆς διδασκαλίας ἀριθμούμενον φάναι δακρύσαντα, ὡς Νῦν ἐμαυτὸν ἔγνων τούτοις πεπραμένον. ἠκροάσαντο δὲ αὐτοῦ ἄλλοι τε πολλοὶ, ὡς καὶ εἰς ἑκατὸν συντελέσαι, καὶ δὴ καὶ Τιμόθεος ὁ Κόνωνος· μεθ᾽ οὗ καὶ πολλὰς ἐπιὼν πόλεις τὰς πρὸς Ἀθηναίους ἐπιστολὰς συνετίθει, αἳ τὸν Τιμόθεον ἐπεγράφοντο. ὅθεν ἐκεῖνος ταλάντῳ αὐτὸν ἐδωρήσατο. γεγόνασι δὲ αὐτοῦ ἀκροαταὶ καὶ Ξενοφῶν ὁ Γρύλλου καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος· οἷς καὶ ταῖς ἱστορικαῖς συγγραφαῖς προὐτρέψατο χρήσασθαι, πρὸς τὴν ἑκάστου φύσιν ἀναλόγως καὶ τὰς ὑποθέσεις τῆς ἱστορίας αὐτοῖς διανειμάμενος. ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ τραγῳδούμενα συνεγράψατο· Θεοδέκτης δὲ ὁ Φασηλίτης, καὶ αὐτὸς ὕστερον τραγῳδίας συνταξάμενος. ἀλλὰ καὶ Λαοδάμας ὁ Ἀθηναῖος, καὶ Λάκριτος ὁ νομοθετήσας Ἀθηναίοις· ὡς δέ φασιν ἄλλοι, καὶ Ὑπερίδης καὶ Ἰσαῖος. Δημοσθένης δὲ προσῆλθε μὲν αὐτῷ μετὰ σπουδῆς, καὶ χιλίας μὲν, ἃς εἰσεπράττετο οὐκ ἔχειν [ἔφη] παρασχεῖν, διακοσίας δὲ ἐφ᾽ ᾧ τὸ πέμπτον μέρος ἐκμαθεῖν, δώσειν· πρὸς δὲ ταῦτα τὸν Ἰσοκράτην ἀποκρίνασθαι, ὡς Οὐ τεμαχίζομεν τὴν πραγματείαν, ἀλλ᾽, εἰ βούλοιο, ὁλόκληρόν σοι ἀποδώσομεν τὴν τέχνην. τὸν μὲν οὖν Περὶ τῆς ἀντιδόσεως, καὶ τὸν

Τούτου μὲν ἀπέστη] Ἀντιφάσκει προδήλως τοῦτο τοῖς ἄλλοις τοῖς περὶ Ἰσοκράτους ἱστορημένοις. τοσοῦτον γὰρ ἐδέησεν ἀποστῆναι τοῦ συμβουλεύειν τοῖς ἑαυτοῦ πολίταις τὰ συμφέροντα, ὥστ᾽, ἐνενηκοστὸν καὶ τέταρτον ἄγων ἔτος τῆς ἡλικίας, γράφειν ἤρξατο τὸν Παναθηναϊκὸν, ἐν ᾧ παραβάλλει τὴν ἐκδιαίτησιν τῆς ἐφ᾽ ἑαυτοῦ δημοκρατίας πρὸς τὴν τῶν προγόνων σώφρονα πολιτείαν. Idem.

Οἷς καὶ] Γρ. οὓς καί. Idem.

Τραγῳδούμενα] Τὴν ἱστορίαν τῶν ἐπὶ σκηνῆς τραγῳδουμένων, ἤγουν τῶν ἀφορμὴν τραγῳδίας καὶ ὑπόθεσιν παρασχόντων προσώπων. Idem.

Θεοδέκτης δὲ] Γράφε· Θεοδέκτης τε. Οὗτος δὲ καὶ Ἀριστοτέλει ὕστερον ἐμαθήτευσε, καὶ τραγῳδίας ἐποίησε, καὶ τέχνην συνέταξε ῥητορικήν. Idem.

Ὁ νομοθετήσας Ἀθηναίοις] Ἴσως γρ. Ὁ σοφιστεύσας Ἀθήνησι, καθάπερ ἔφθην σημειωσάμενος εἰς τὰ τοῦ Ψευδοπλουτάρχου· ἐξ ἐκείνου γὰρ παρείληφε ταῦτα ὁ Φώτιος. Idem.

Ἀποδώσομεν] Γράφε· Ἀποδώσομαι· Ἔστι δὲ καὶ ταῦτα ἐκ τοῦ Ψευδοπλουτάρχου. περὶ ὧν τῆς ἀπιθανότητος εἴρηκα μὲν καὶ ἐν τοῖς περὶ τῆς Ἰσοκράτους ἐκδόσεως (Μερ. Α. σελ. ξδ΄-ξε΄.), προσθήσω δὲ νῦν τοῖς εἰρημένοις, ὅτι καὶ παντάπασιν ἄτοπον τὸν ἐν Χίῳ δακρύσαντα Ἰσοκράτην, ἡνίκα τὸν μισθὸν ἐλάμβανε παρὰ τῶν ξένων μαθητῶν, ὕστερον Ἀθήνησιν ἐπὶ τοσοῦτον ἐλθεῖν φιλοκερδείας, ἢ ἀληθέστερον φάναι, αἰσχροκερδείας, καὶ ταύτης ἀνοήτου, ὥστε παρὰ πολίτου τοῦ Δημοσθένους, διότι μὴ ὅλον

Πανηγυρικὸν, καί τινας τῶν συμβουλευτικῶν, εἴρηταί μοι ὅπως τε καὶ ὅτε συνέταξε. συνέθηκε μέντοι τὸν Πανηγυρικὸν, οἱ μὲν ἔτεσι φασὶ δέκα, οἱ δὲ ἐπὶ τούτοις ἕτερα πέντε· καίτοι γε Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων μικροῦ μεταβολὴ καθέστηκε καὶ μετάθεσις ὁ Πανηγυρικὸς Ἰσοκράτους λόγος. διατρίψαι δ' ἄν τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ Πανηγυρικοῦ, προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ, διὰ τὸ τῆς λέξεως κατεσκευασμένον καὶ περιττὸν, καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογὴν, καὶ δὴ καὶ τῆς πρὸς ἄλληλα τούτων συνθήκης. ἀλλὰ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε· τὰ γὰρ κεφάλαια καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις ἐπιμελῶς καὶ καθ' ἕκαστον μέρος ἐπισκέψοιτο, εὑρήσει συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου. διὸ καὶ πολλὰς πολλοῖς παρέσχε τῶν κριτικῶν διατριβὰς μὲν καθ' ἑαυτοὺς, διαφωνίας δὲ πρὸς ἀλλήλους, τῶν μὲν ἐμβαθυνομένων τῇ μελέτῃ καὶ διασκέψει τοῦ λόγου, τῶν δὲ κατὰ τὸ ἐπιπόλαιον τὴν ἀνάγνωσιν ποιουμένων· ἔστι δ' εἰπεῖν καὶ διότι τοῖς μὲν ἔνεστι φύσις εὖ ἔχουσα πρὸς τὰς κρίσεις, τοὺς δὲ ὁ ἐλαττούμενος ἐπιγινώσκει λόγος. τὸν δὲ λεγόμενον Παναθηναϊκὸν πρὸ ἐνιαυτοῦ τῆς τελευτῆς αὐτοῦ ἔγραψεν, ἢ, ὥς τινές φασι, πρὸ τεσσάρων. καὶ τοὺς πρὸς Φίλιππον δὲ ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐβίω δὲ, ὡς μέν τινές φασιν, ἔτη ἑκατὸν, ὡς δ' ἕτεροι, δυοῖν δεόντων μόνον. ἐτελεύτησε δὲ, ἀπαγγελθέντος αὐτῷ τοῦ περὶ Χαιρώνειαν πάθους, ἐξαγαγὼν ἑαυτὸν τοῦ βίου τέτρασιν ἡμέραις ἀσιτήσας, ἅτε δὴ μὴ ὑπομείνας ἰδεῖν τετράκις δουλουμένην τὴν Ἑλλάδα. εὐπόρησε δὲ ἀργύριον ἱκανὸν, οὐ τοὺς γνωρίμους εἰσπράττων μόνον, ἀλλὰ καὶ παρὰ Νικοκλέους, ὃς ἐβασίλευε τῶν Κυπρίων — Εὐαγόρου δὲ ἦν οὗτος υἱὸς —, ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος συμβουλευτικοῦ λόγου τάλαντα λαβὼν εἴκοσιν· ἐφ' οἷς φθόνον ἐφελκύσας, τριηραρχεῖν προεβλήθη. καὶ δὶς μὲν ἀσθένειαν σκηψάμενος διὰ τοῦ παιδὸς παρῃτήσατο· τὸ δὲ τρίτον ὑποστὰς ἀνήλωσεν οὐκ ὀλίγα. οὗτος πρὸς τὸν διαπυνθανόμενον, Διὰ τί, μὴ δυνατὸς ὢν δημηγορεῖν, ἄλλους ποιεῖ δημηγόρους; Ὅτι καὶ αἱ ἀκόναι (ἔφη) αὐταὶ μὲν τέμνειν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσι. καὶ πρὸς τὸν εἰπόντα δὲ πατέρα, ὡς οὐδὲν ἄλλο ἢ ἀνδράποδον συνέπεμψε τῷ οἰκείῳ παιδὶ, Ἄπιθι (ἔφη), δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. ἐπὶ δὲ τῷ Σωκράτους

εἶχε καταθεῖναι τὸν μισθὸν, μηδὲ τὸ πέμπτον αὐτοῦ μέρος ἐθέλειν λαμβάνειν. IDEM.

Τοὺς πρὸς Φίλ.] Ἢ γραπτέον, Τὸν πρὸς Φίλιππον, ἢ καὶ τὰς πρὸς τὸν Μακεδόνα τοῦ Ῥήτορος ἐπιστολὰς συννενοηκέναι τὸν Φώτιον ὑποληπτέον. IDEM.

Τοῦ παιδὸς] Τοῦ εἰσποιητοῦ υἱοῦ Ἀφαρέως. IDEM.

Ἕξεις ἀνδράποδα] Τοιοῦτός τις ἔοικεν ὁ νοῦς εἶναι τοῦ λεγομένου· τῶν τις ξένων εὐπόρων, Ἰσοκράτει μαθητεύσοντα πέμψας Ἀθήναζε τὸν υἱὸν, ἀνδράποδον μόνον συνέπεμψεν ὑπουργὸν, οὐ μὴν καὶ ἀργύριον, μισθὸν τῆς μαθήσεως. Τὴν οὖν ῥυπαρίαν τοῦ πεπομφότος καταμεμφόμενος Ἰσοκράτης, Ἄπιθι, ἔφη, καὶ δύο ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα, τό τε συμπεμφθὲν τῷ υἱεῖ, καὶ αὐτὸν τὸν υἱὸν, μηδὲν ἀνδραπόδου διοίσοντα, εἰ μὴ μεθέξει τῆς προσηκούσης τοῖς ἐλευθέροις ἀγωγῆς καὶ παιδείας. Τοῦτο καὶ πρὸς οὐκ ὀλίγους τῶν νῦν ἐστὶν ἐπιλέγειν τοὺς ἵππους μὲν καλοὺς τοῖς παισὶν ὠνουμένους, παιδείας δὲ μεταδοῦναι μηδόλως φροντίζοντας· Ἄπιθι πατέρων κακοδαιμονέστατε· δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἵππους, τὸν μὲν ἐν τῇ φάτνῃ τρεφόμενον, τὸν δὲ τῆς αὐτῆς σοι τραπέζης μετέχοντα. COR.

θανάτῳ λίαν ἐλυπήθη, καὶ μελανειμονῶν προῆλθε τῇ ὑστεραίᾳ. δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν εἰς ἀντίδοσιν, προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ θετὸν υἱὸν ἀνθ' αὐτοῦ προβαλλόμενος Ἀφαφέα, ἐνίκησε· δεύτερος δὲ, Λυσιμάχου προκαλεσαμένου αὐτὸν περὶ τριηραρχίας εἰς ἀντίδοσιν, ἐν ᾧ καὶ ἡττηθεὶς, τὴν τριηραρχίαν ὑπέστη. τῶν δὲ λόγων αὐτοῦ τὸ εὐκρινὲς καὶ σαφὲς καὶ μεμελετημένον πᾶσι δῆλον· καὶ ὡς ἐπανθεῖ αὐτοῖς οὐ μόνον ἔμφυτον, ἀλλὰ καὶ κομμωτικὸν κάλλος. οὐ μέντοι γε πολυσχήμων ὁ ἀνὴρ, οὐδὲ ταῖς κατὰ τὸ σχῆμα τροπαῖς ποικιλλόμενος· διὸ καὶ δι' ἔνδειαν τῆς ἐν τούτοις μεταβολῆς, οὐδὲ ἐναγώνιος. Ἰσοκρατικὴ δὲ καὶ τῶν ἐν τοῖς λόγοις ὑποστάσεων ἡ συνέχεια. τάχα δ' ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ Πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. ἀλλ' οὐδὲν κωλύει, παραπλησίων ἀνακυπτόντων πραγμάτων, ταῖς ὁμοίαις ἐξεργασίαις χρῆσθαι καὶ τοῖς ἐνθυμήμασιν, οὐχ ὑποβαλλόμενον τὰ ἀλλότρια, ἀλλὰ τῆς τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα, οἷα καὶ τοῖς προλαβοῦσι προβαλλομένη ἐπιδείκνυται. ἐτάφη δὲ τελευτήσας λαμπρῶς ἅμα πατρὶ καὶ μητρὶ καὶ ἀδελφῇ καὶ τῇ ἄλλῃ συγγενείᾳ. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ, ἐπιγραφὴν ἔχουσα,

Τιμόθεος, φιλίας τε χάριν σύνεσίν τε προτιμῶν,
Ἰσοκράτους εἰκῶ τήνδ' ἀνέθηκε θεῷ,

Λεωχάρους ἔργον. καὶ ἑτέραν δὲ εἰκόνα ἔστησεν αὐτοῦ πρὸς τῷ Ὀλυμπίῳ ἐπὶ κίονος χαλκῆς ὁ θετὸς παῖς Ἀφαρεὺς, υἱὸς γεγονὼς Λαγίσκης, ἑταίρας τινός· ἣν ἔχουσαν τρεῖς παῖδας ὕστερον Ἰσοκράτης ἠγάγετο, ὧν εἷς ἦν καὶ ὁ Ἀφαρεὺς ὁ τὴν εἰκόνα στησάμενος καὶ ἐπιγράψας·

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

Ὑποστάσεων] Ὑπόστασις καλεῖται τοῖς τὰς ῥητορικὰς τέχνας συντεταχόσιν ἐκεῖνο τὸ εἶδος τοῦ λόγου, ἐν ᾧ κῶλα κώλοις, καὶ περίοδοι περιόδοις συζεύγνυνται δι' ἐκείνων τῶν μορίων, ἅπερ ἀναγκαίως συνεισάγουσιν ἄλληλα, καὶ ἀλλήλοις ἀνταποδίδονται· οἷά ἐστι τὰ Οὕτως ὥστε, Τοσοῦτον ὅσον, Τηλικαῦτα ἡλίκα κ. τ. λ. οἷς μάλιστα χαίρειν τὸν Ἰσοκράτην ἴσασιν οἱ καὶ κατὰ μικρὸν τοῖς λόγοις αὐτοῦ συνδιατρίψαντες. Σκοπητέον δὲ ἀκριβέστερον μήποτε συγκέχυται ἡ Ὑπόστασις ἐνίοτε τῇ Ἀποστάσει, καίπερ ἑτεροῖόν τι δηλούσης τῆς ῥητορικῆς Ἀποστάσεως. Idem.

Ἐλευσῖνι] Ἐλευσινίῳ, γραπτέον εἶναι φθὰς εἴκασα ἐν τοῖς πρόσθεν. Idem.

Θεῷ] Γράφε, θεαῖς (τουτέστι τῇ Δήμητρι καὶ τῇ Κόρῃ), ὡς φέρεται ἐν τοῖς τοῦ Ψευδοπλουτάρχου. Idem.

Λεωχάρους] Ἀντὶ, Κλεοχάρους, ἔγραψα, καθὰ φέρεται ἐν τοῖς τοῦ Ψευδοπλουτάρχου, Λεωχάρους. Ἦν δ' οὗτος τῶν ὀνομαστοτάτων ἀνδριαντοποιῶν, ἀκμάσας, ὥς φησι Πλίνιος (ΛΔ. η'. σελ. 649.), κατὰ τὴν ἑκατοστὴν δευτέραν Ὀλυμπιάδα. Idem.

Ὀλυμπίῳ] Γρ. Ὀλυμπείῳ. Idem.

Λαγίσκης] Ὁ δὲ Ψευδοπλούταρχος, ἐξ οὗ ταῦτα παρείληφεν ὁ Φώτιος, οὐ τῆς ἑταίρας Λαγίσκης υἱὸν λέγει τὸν Ἀφαρέα, ἀλλὰ Πλαθάνης, τῆς Ἱππίου τοῦ Ῥήτορος θυγατρὸς, ἣν νόμῳ γαμετὴν ἐποιήσατο Ἰσοκράτης. Idem.

ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης, Θεοδώρου αὐλοποιοῦ, Ἀθηναῖος ῥήτωρ, γενόμενος ἐπὶ τῆς ὀγδοηκοστῆς ἕκτης Ὀλυμπιάδος, ὅ ἐστι μετὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαῤῥησίαστον δίκας οὐκ εἶπεν· ἐδίδαξε δὲ πλείστους, καὶ λόγους γέγραφε λβʹ. βιώσας δ᾽ ἔτη ἓξ πρὸς τοῖς ἑκατὸν ἐτελεύτησεν. ἀδελφοὶ δ᾽ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηστος καὶ Θεόδωρος, διδάσκαλος δὲ Γοργίας· οἱ δὲ Τισίαν φασὶν, οἱ δὲ Ἀρχῖνον, οἱ δὲ Πρόδικον ἔφασαν, οἱ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτοῦ πλεῖστοι.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιστράτου Χῖος, ἄμφω Ἰσοκράτους μαθηταὶ, ἀπ᾽ ἐναντίων τό τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι. ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς, τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν· ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστὸς [καὶ] φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου κ. τ. λ.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Φιλίσκος Μιλήσιος, ῥήτωρ, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος. ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος· διὸ καὶ Αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. γέγραπται δὲ αὐτῷ τάδε· Μιλησιακὸς, Ἀμφικτυονικὸς, Τέχνη ῥητορικὴ ἐν βιβλίοις δύο, Ἰσοκράτους ἀπόφασις.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ.

Ἰσοκράτης, Ἀμύκλα τοῦ φιλοσόφου· Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ, ἢ Ἡρακλείας, ὡς Καλλίστρατος ὁ ῥήτωρ· μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. οὗτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδιοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ ἅμα τῷ Ἐρυθραίῳ Ναυκράτῃ διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ Καρὸς, βασιλέως Ἁλικαρνασσοῦ. καὶ λόγοι αὐτοῦ εʹ. Ἀμφικτυονικὸς, Προτρεπτικὸς, Περὶ τοῦ τάφον μὴ ποιῆσαι Φιλίππῳ, Περὶ τοῦ μετοικισθῆναι, Περὶ τῆς ἑαυτοῦ πολιτείας.

Μετὰ τὰ Πελ.] Γρ. κατὰ τὰ Πελ. IDEM.

Τίσιππος] Τελέσιππον καὶ Διόμνηστον ὀνόμασι τούτους ὁ Ψευδοπλούταρχος ἀνωτέρω παραλιπὼν τὸν Θεόδωρον. IDEM.

Προτρεπτικὸς] Ὁ πρὸς Δημόνικον ἂν εἴη οὗτος. IDEM.

ΕΚ ΤΟΥ ΕΥΣΤΑΘΙΟΥ ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Φασὶ δ' ἐνταῦθα οἱ παλαιοὶ, ὅτι τρεῖς τρόποι ῥητορείας. ὁ ἀπολελυμένος καὶ βραχὺς καὶ περὶ τὰ καίρια ἔχων, οἷος ὁ τοῦ Μενελάου, ὃς ἐπιτρέχων τὰ πολλὰ, ὡς εἴρηται, μόνα λέγει τὰ καίρια. δεύτερος ὁ ὑψηλὸς καὶ καταπληκτικὸς καὶ μεστὸς ἐνθυμημάτων ἀθρόως λεγομένων, ὃν καὶ Δημοσθένης ζηλοῖ. καὶ τρίτος ὁ πιθανὸς καὶ πολλῶν πλήρης δογμάτων, οἷος ὁ τοῦ Νέστορος, οὗ ζηλωτὴς Ἰσοκράτης, ὃς τὸ γνωμολογικὸν καὶ σαφὲς ἐζήλωσε.

ΕΚ ΤΟΥ ΕΡΡΙΚΟΥ ΣΤΕΦΑΝΟΥ ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης κάκιστον ἄρχοντα ἔλεγεν εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. Ἐρωτηθείς· Διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν αὐτὸς σιωπᾷ; ἔφη· Καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ. Ἐρωτηθείς· Τίνι οἱ φιλόπονοι τῶν ῥαθύμων διαφέρουσιν; εἶπεν· Ὡς οἱ εὐσεβεῖς τῶν ἀσεβῶν ἐλπίσιν ἀγαθαῖς. Ἰδὼν νεανίαν φιλοπονοῦντα, ἔφη· Κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις. Καρέωνος ὄντος λάλου καὶ σχολάζειν παρ' αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου, Ἕνα μὲν (ἔφη), ἵνα λαλεῖν μάθῃς, τὸν δὲ ἕτερον, ἵνα σιγᾷν.

ΕΚ ΤΟΥ ΕΡΜΟΓΕΝΟΥΣ ΠΕΡΙ ΙΣΟΚΡΑΤΟΥΣ.

Πολὺ τὸ καθαρὸν τῆς λέξεως παρ' Ἰσοκράτει.

ΕΥΣΤΑΘΙΟΥ] Ad Il. Γ. p. 406.

Ἀθρόως λεγομένων] Τοὺς ἀντιγράψαντας τὰ τοῦ Εὐσταθίου εἰκὸς ὧδε παραλιπεῖν τὰς τέσσαρας ταύτας λέξεις, "Οἷος ὁ τοῦ Ὀδυσσέως·" ἐκεῖνα γὰρ ἑρμηνεύει ἐνθάδε Εὐστάθιος τὰ ἔπη (Ἰλιάδ. Γ. 213—223.), ἐν οἷς θαυμασίως ὁ ποιητὴς τὴν Ὀδυσσέως ῥητορείαν πρὸς τὴν τοῦ Μενελάου παραβάλλει, προεπῃνεκὼς ἐν ἑτέροις (Ἰλιάδ. Α. 249.) τὴν γλυκίονα μέλιτος αὐδὴν τοῦ ῥητορικοῦ Νέστορος. Cor.

ΣΤΕΦΑΝΟΥ] Syllog. Apophthegm. Hellen. p. 697.

τοὺς ὑπ᾽ [7] αὐτοῖς ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφα- 14
λεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν.
d γ΄. Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων
ἔργον ἐστίν· ἐὰν γὰρ [8] ἐν κεφαλαίοις τὴν δύναμιν ὅλου τοῦ
πράγματος καλῶς [9] περιλάβωμεν, ἐνταῦθα ἀποβλέποντες
ἄμεινον καὶ περὶ τῶν [10] μερῶν ἐροῦμεν. οἶμαι δὴ πάντας ἂν

[1] καθόλον A. C. L. [2] ἐμμέτρων A. C. L. [3] ὑποδειχθέντα A. L.
[4] καὶ τό A. C. L. [5] ἐγχείρημα A. C. L. [6] ὠφελήσειε A. C. L.
[7] αὐταῖς A. C. L. [8] τὸ κεφάλαιον καὶ τὴν A. C. [9] παραλάβωμεν A.
[10] ἄλλων μερῶν A. C. L.

τῶν μεγιστάνων. Idem.

Καθόλου δὲ τῶν ἐπιτηδευμάτων] Observetur constructio. Auger genitivum ἐπιτηδευμάτων a καθόλου regi putat, Wolf. vero genitivum esse positum pro accusativo. Conf. p. 133. v. 12. (καθόλου τῶν πραγμάτων λέγοντας), quo posteriore loco non dubium est, quin πραγμάτων a καθόλου regatur, quum priori loco genitivus a διελθεῖν pendere possit. Constructio vero καθόλου cum genitivo ita resolvenda videtur, ut hoc adverbium in suas partes dividatur, καθ᾽ ὅλου. ὅλον autem, omnesque illius casus, quum substantivi vim habeat, sequentis substantivi genitivum secum habere quis miretur? Præcipi ergo posse videtur, καθόλου, propter ipsius substantivam naturam, nonnunquam cum genitivo construi. Lang. Ὑπερβιβασμὸς est juxta Coraem pro καθόλου ὧν ἐπιτηδευμάτων χρὴ στοχ. ut Panath. §. ξα΄. καὶ τὸν χρόνον, ὅσον αὐτῇ χρώμενοι διατ. pro καὶ ὅσον χρόνον αὐτῇ χρώμενοι διατ. et Aristoph. Vesp. 601. Σκέψαι δ᾽ ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλείεις pro Σκέψαι δ᾽ ἀφ᾽ οἵων ἀγαθῶν ἀποκλείεις.

Τῶν ἐπιτηδευμάτων] Regitur a καθόλου. *quantum ad studia generatim quæ* etc. Auger.

Ἔσται τὸ δῶρον ἐξεργασθὲν] Εἰ τὸ δῶρον, ἐπειδὰν ἐξεργασθῇ, ἔσται ἄξιον τῆς ὑποθ. Cave conjungas ἔσται ἐξεργασθὲν ἀντὶ τοῦ ἐξεργασθήσεται. Wolf.

Προσδοκίας] Scil. διὰ τὴν δόξαν τῶν συντιθέντων. Idem.

Παραλελειμμένα] Scil. ὑπὸ τῶν ἄλλων. Idem. I.e. ea quæ nondum tractata sunt. Auger.

Ἀσφαλεστέρας] Διὰ τὴν τῶν ὑπηκόων εὔνοιαν. Wolf.

Πρᾳοτέρας] Διὰ τὴν τῶν ἀρχόντων παιδείαν καὶ φρόνησιν. Idem.

Ἐν κεφαλαίοις] Lectio a me recepta e Cod. Auger. R. deprompta est. Verte: *si enim regnandi vim summatim comprehenderimus.* quanquam non nego, et vulgatam ad idem fere redire: *si artis regnandi vim et summam* etc. modo obscurius paullo dictum videtur. Lang.

ὁμολογῆσαι, προσήκειν αὐτοῖς πόλιν τε δυστυχοῦσαν παῦ-
σαι καὶ καλῶς πράττουσαν διαφυλάξαι καὶ μεγάλην ἐκ
μικρᾶς ποιῆσαι· τὰ γὰρ ἄλλα τὰ καθ᾽ ἑκάστην [1] τὴν
ἡμέραν συμπίπτοντα τούτων ἕνεκα πρακτέον ἐστί. καὶ μὴν e
ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους καὶ περὶ
[2] τηλικούτων βουλευσομένους μὴ ῥᾳθυμεῖν [3] μηδ᾽ ἀμελεῖν,
ἀλλὰ σκοπεῖν ὅπως φρονιμώτερον [4] διακείσονται τῶν ἄλλων.
δέδεικται γὰρ, ὅτι τοιαύτας [5] τὰς βασιλείας ἕξουσι, οἵας 17
περ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν. ὥστε οὐδενὶ
τῶν [6] ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς
βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν· ἅπασαι γὰρ αἱ πανη-
γύρεις [7] οὐδὲν μέρος τιθέασι τούτων τῶν ἄθλων, [8] περὶ ὧν
ὑμεῖς καθ᾽ ἑκάστην [9] τὴν ἡμέραν ἀγωνίζεσθε.

δ′. Ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον
περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς
ἀρεταῖς αὐτῶν διοίσεις. καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν b
τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους
ἡμᾶς καὶ φρονιμωτέρους γίγνεσθαι μηδεμίαν ἔχειν δύναμιν·
μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς
περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυ-

[1] τὴν om. A. C. L. [2] τούτων A. [3] μηδ᾽ ἀμελεῖν om. A. L.
[4] διακείσωνται A. [5] ἕξουσι τὰς βασιλείας A. C. L. [6] ἀθλητῶν A. C. L.
[7] οὐθὲν A. L. [8] ὑπὲρ A. C. L. [9] ἀγωνίζεσθε τὴν ἡμέραν A. C. L.

Αὐτοῖς] Np. τοῖς βασιλεῦσι. Auger.

Μεγάλην ἐκ μικρᾶς ποιῆσαι] Ita in orat. ad Philipp. ait, ejus esse, τὴν Ἑλλάδα μεγάλην ἐκ μικρᾶς ποιεῖν. Huc pertinet dictum Themistoclis, qui (ut est apud Plutarchum in ejus vita) aiebat, 'se lyræ quidem et psalterii rudem esse; civitatem autem, quam parvam et obscuram accepisset, magnam et claram fecisse.' Quomodo civitas ex parva fiat magna, et quænam sit vere magna, docet Aristoteles l. VII. polit. c. 4. Facc.

Ῥᾳθυμεῖν] Quam Isocrates vocat ῥᾳθυμίαν, Xenophon appellat ῥᾳδιουργίαν in epilogo orat. de Agesil. τῇ βασιλείᾳ προσήκειν ἐνόμισεν οὐ ῥᾳδιουργίαν. Idem.

Φρονιμώτερον] Qua signaficatione dixit Aristoteles l. IV. ethic. c. 5. 'prudentem esse, qui, quæ sibi et aliis hominibus bona sint, cernere potest.' Idem.

Δέδεικται] *demonstratum est*, i. e. id pro demonstrato, pro certo, tenetur. Auger.

Ἅπασαι γὰρ — ἄθλων] *omnes enim ludorum celebritates nullam partem constituunt eorum præmiorum*, i. e. nulla pars sunt eorum præmiorum, nihil sunt in comparatione eorum præmiorum. Idem. Male. Lang. Τουτέστιν, Αἱ πανηγύρεις (cf. Paneg. in init.) τοὺς μὲν ἀθλητὰς μεγάλων δωρεῶν ἠξίωσαν, καίπερ οὐδὲν ἕτερον σκοποῦντας ἢ ὅπως εὐεκτήσουσι τοῖς σώμασι· τοῖς δ᾽ ὑπὲρ τῶν κοινῶν πονοῦσι, καὶ τὰς αὑτῶν ψυχὰς οὕτω παρασκευάσασιν ὥστε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, οὐδεμίαν τιμὴν ἀπένειμαν. Cor.

Ὧν ἐνθυμούμενον] Scil. σε. Observetur constructio verbi cum genitivo; usitate enim dicitur: ἃ ἐνθυμ. Wolf.

Ὅπως ὅσονπερ κ. τ. λ.] Eandem sententiam repetit in oratione, quam habuit Nicocles. Cyrus autem aiebat, ut est apud Xenophontem in pæd. l. VIII. et apud Plutarchum in apophth. reg. et imp. ἄρχειν μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων. Plinius de Trajano in paneg. c. XXI. "Hoc ceteris major, quo melior." Facc. Recte hinc Aristoteles ὅσον τῇ τύχῃ διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς πρωτεύειν σε δεῖ. Frick.

χὰς ἡμεροῦμεν καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς
c οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν, [1] ἀλλ᾽ ὡς καὶ τῆς παι-
δεύσεως καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν [2] φύσιν
εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην, καὶ τῶν τε παρόν-
των τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν [3] ἄλλων οὓς
ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκι-
μούντων μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως
ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής,
καὶ παρασκεύαζε σεαυτὸν τῶν μὲν [4] ἐλαττόνων κριτήν,
τῶν δὲ μειζόνων [5] ἀγωνιστήν· διὰ γὰρ τούτων τῶν γυμνα-
d σίων, τάχιστ᾽ ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι
τὸν ὀρθῶς βασιλεύσοντα καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα.
μάλιστα δ᾽ ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν

[1] ἄλλως τε καὶ L. [2] ψυχὴν A. [3] ἀπόντων C. [4] ἐλασσόνων A. C. L. [5] ἀνταγωνιστήν A. C. L.

Ἄλλως τε] Wolf. conjecit ἀλλ᾽ ὥς γε vel ἀλλ᾽ ὡς τῆς τε. Idem adjicit: ‘Ordo verborum est: ἀλλ᾽ οὕτω διάκεισο τὴν γνώμην, ὡς τῆς παιδεύσεως etc.’ Cui loco simillimus est, qui in epist. 6. ad fin. occurrit, item in Xenoph. Anabasi, 1. 3. 6. ed. Zeun. ὡς ἐμοῦ οὖν ἰόντος ὅπη ἂν καὶ ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε. et in Cyrop. 1. 6. 11. ὡς οὖν ἐμοῦ μηδέποτε ἀμελήσοντος — οὕτως ἔχε τὴν γνώμην. Conf. ibid. 8. 4. 27. et 8. 7. 10. Constructio ita credo, resolvi potest: *sed quemadmodum seu ac si possit institutio et opera naturæ nostræ benefacere, ita existimate.* Quocirca Wolfii conjecturam non recepisse me nunc pœnitet. Adjicit Wolf.: ὁ νοῦς, ὅτι ταῖς μελέταις αὔξεσθαι πέφυκεν ἡ ἀρετή. Commodius videretur legi: ἀλλ᾽ ὡς τῆς τε παιδεύσεως καὶ etc. Fieri etiam potest, ut in archetypo scriptum fuerit: ἀλλ᾽ ὡς γε, librarius vero conjunxit, et τε pro γε scripsit. LANG. Οὕτω διάκεισο τὴν γνώμην περὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας, ὡς δυναμένων ἀμφοτέρων εὐεργετεῖν τὴν ἡμετέραν φύσιν. COR.

Τῶν τε παρόντων] H. e. τῶν ἐγχωρίων τῶν ἐν τῇ πόλει καὶ τοῖς βασιλείοις σου διατριβόντων. WOLF.

Τοῖς φρονιμωτάτοις] Ita in fine orationis Nicoclem monet, ut sibi adjungat τοὺς νοῦν ἔχοντας, καὶ δυναμένους ὁρᾷν πλέον τι τῶν ἄλλων. Vetus poeta apud Themistium orat. XVI. Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ. FACC.

Καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου] Hæc verba lucem accipiunt, redduntque iis vicissim, a verbis, quæ p. 122. v. 2. leguntur. LANG.

Μήτε τῶν ποιητῶν κ. τ. λ.] Horatius l. I. ep. 18. v. 96. “Inter cuncta leges et percontabere doctos.” Aristoteles Ethic. l. X. c. 9. Τὰ πολιτικὰ ἐπαγγέλλονται μὲν διδάσκειν οἱ σοφισταί. Porro Sophistæ nomen ea tempestate honestissimum erat. Poetas autem quum dicit, Theognidem intelligit, Phocylidem, Solonem, Homerum, Hesiodum, et alios, qui morum et sapientiæ magistri habebantur. Vide Plutarchum de poet. legend. FACC.

Τῶν μὲν ἀκροατὴς] Ἀνάφερε τὸ τῶν μὲν πρὸς τοὺς σοφιστὰς, τὸ δὲ τῶν δὲ πρὸς τοὺς ποιητάς. COR.

Τῶν μὲν ἐλασσόνων — τῶν δὲ μειζόνων] Wolf. recte interpretatus est: *minorum* (scil. τὴν φρόνησιν καὶ τὴν παιδείαν) *sis judex, majorum* (i. e. τῶν φρονιμωτέρων) *æmulator.* Auger. vero, perperam, ut contextus docet: *in minoribus rebus, — in majoribus* etc. LANG.

Τῶν μειζόνων ἀνταγωνιστὴν] Cicero de se: “ego (inquit) omnium meorum consiliorum atque factorum exempla semper ex summorum hominum factis mihi censui petenda.” Orat. de provinc. consul. c. VIII. FRICK.

Εἰ δεινὸν ἡγήσαιο κ. τ. λ.] Qui unus in civitate aliis imperare vult (ut scribit Aristoteles l. III. polit. c. 9.), ita debet virtute excellere, ut ne comparari quidem cum aliis possit; sed sit “veluti Deus quidam inter homines. Nemo enim ausit Jovem gubernare; aut se illi socium in gubernando adjungere.” Publius Syrus in mimis n. 599. “Omnes æquo animo parent, ubi

ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν· ὅσῳ γὰρ ἂν ἐῤῥωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σαυτοῦ διάνοιαν ἀσκήσεις.

ε΄. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι e
τῶν δεόντων [1] ποιήσειν, πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων οὔτε κυνῶν οὔτε ἀνδρῶν οὔτε ἄλλου πράγματος οὐδενὸς οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρι-
σμένως αὐτοῖς ἄρχειν, γιγνώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν 18
καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος [2] θεραπεύωσι. καλῶς δὲ δημαγωγήσεις, ἐὰν [3] μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς, ἀλλὰ [4] σκοπῇς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν [5] ἀδικήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί.

ϛ΄. Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει b

[1] ποιήσειν τῶν δεόντων A. C. L. [2] θεραπεύσωσι A. C. L.
[3] μήτε τὸν ὄχλον ὑβρίζειν A. C. L. [4] σκοπεῖς A. [5] ἀδικηθήσονται A. C. L.

digni imperant." Facc.

Δεινὸν] H. l. ἄδικον, ἄτοπον, παρὰ φύσιν. Wolf.

Ἄνοιαν] Propter oppositum διάνοιαν vers. seq., lectioni quorundam Codd. ἄγνοιαν præferendam esse, Wolf. jure censet. Lang.

Τοὺς μέλλοντας] Idem quod τοὺς βουλομένους ἢ ἐπιθυμοῦντας. Wolf.

Φιλάνθρωπον] Rex dicitur φιλάνθρωπος et φιλόπολις, quia nisi suos amet, ne Rex quidem dici potest, siquidem, ut est apud Xenophontem in pædia, sub initium l. VIII. ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Hujus amoris in patriam et cives præclarum exemplum habes in vita Agesilai, quam scripsit idem Xenophon. Id porro, quod monet Isocrates, eo maxime spectat, ut, qui civitatem regit, habeat φιλίαν πρὸς τὴν καθεστῶσαν πολιτείαν, ut est apud Aristotelem l. V. polit. c. 9. Facc. In primis prædicat hunc civium amorem in Trajano Plinius Paneg. c. 21. "Ut cum civibus tuis, quasi cum liberis parens, vivis! hoc tantum ceteris major, quo melior." Frick.

Εἶναι] Subaudi σὲ, vel τινὰ, si intelligas de omni homine regnum habente. Auger.

Μελέτω σοι τοῦ πλήθους κ. τ. λ.] Hac ratione Evagoras dicitur ab Isocrate δημοτικὸς ὢν τῇ τοῦ πλήθους θεραπείᾳ. Cura porro multitudinis commendatur ab Aristotele polit. l. V. præsertim c. 8. et 10. ubi ostendit, potissimas causas tum conservandæ tum corrumpendæ dominationis inde oriri. Facc.

Κεχαρισμένως ἄρχειν, est ita imperare, ut carus gratusque sis ipsis civibus, hoc est, lenitate et clementia iis se commendare, quippe qua Principes animos civium facile sibi conciliant simulque firmissimum illud præsidium, amorem scilicet et fidem, comparant adeoque rem publicam validissimis munimentis stabiliunt. Nam teste Claudiano de IV. Consul. Honor. v. 281. seq. "Non sic excubiæ, nec circumstantia pila, Quam tutatur amor." Corn. Nep. x. 5. "Nec ullum imperium tutum, nisi benevolentia munitum." Confer omnino Senecam de clementia. Frick.

Αὐτοῖς] Regitur a κεχαρισμένως, non ab ἄρχειν, quod regit genitivum. Auger.

Καλῶς δημαγωγήσεις] Principem decet "mitis severitas, non dissoluta clementia," ut ait Plinius in panegyr. c. LXXX. Frick.

Τῶν προσταγμάτων κ. τ. λ.] Velleius

καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα· καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μὴ, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις [1] ὀρθῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵ τινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόν τε ταχίστας, τοῖς πολίταις [2] ποιοῦσι· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς
c κειμένοις νόμοις. Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς [3] προθυμότερον ἔχωσι. Τὰς κρίσεις ποιοῦ, περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν μηδὲ ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ [4] περὶ τῶν 16
αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην [5] ἀκινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ
d τοὺς νόμους τοὺς καλῶς κειμένους. [6] Οἴκει τὴν πόλιν ὁμοίως ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς

[1] καλῶς A. C. L. [2] ποιήσουσι A. C. L. [3] προθύμως A. C. L.
[4] περί γε A. C. L. [5] ἀμετακινήτως A. C. L. [6] διοίκει A. C. L.

l. II. c. 89. laudat Augustum cum ob alias causas, tum præsertim, "quod leges emendarit utiliter." Aristoteles tamen polit. l. II. c. 6. monet, 'ne facile leges mutentur; sed errata potius quædam legislatorum ferantur. Non enim (inquit) tantum proderit correctio et mutatio, quantum nocebit exemplum non parendi.' Facc. Livius: "Ex legibus, quæ non in tempus aliquod, sed perpetuæ utilitatis causa in æternum latæ sunt, nullam abrogari debere, fateor, nisi quam aut usus coarguit aut status aliquis reipublicæ inutilem fecit." histor. l. XXXIV. 6. Idem.

Εἰ δὲ μὴ] Scil. δύναιο εὑρίσκειν αὐτός. Wolf.

Μιμοῦ τὰ παρὰ κ. τ. λ.] Non ille solum laudabilis est, qui ipse per se sapit et per se invenit; sed etiam qui scit uti aliorum sapientia, ut est apud Hesiodum in syntagmate, quod inscribitur Opera et dies v. 293. et apud Aristotelem Ethic. l. I. c. 4. Facc.

Ἀμφισβητήσεις] Intelligo, et incertas interpretationes legum, et lites ac controversias forenses: διαλύσεις, tum arbitrorum tum judicum sententias. Wolf.

Ἐργασίας] Non tantum opus et laborem, sed etiam quæstum, sive ex agricultura, sive ex artibus, sive ex mercatura significare, nemini est ignotum. Πραγματεῖαι autem, quum omnia callida aucupia et inhonesta, tum vero causidicorum messem continent, quæ ita a Græcis appellantur. Vult agricolas, opifices, mercatores meliori esse conditione, et regi gratiores, quam homines callidis aucupiis deditos. Idem.

Καθίστη] Wolf. mutare vult in καθίστα a καθιστάω. Conf. p. 126. v. 4. Lang.

Πραγματείας ἐπιζημίους] Tacitus annal. l. XI. c. 6. "Quo modo vis morborum pretia medentibus, sic fori tabes pecuniam advocatis fert." Facc.

Διοίκει τὴν πόλιν — διαρκῆς] Sensus expeditus videtur: Sumptus civitatis tuæ sicuti domus ne superent reditus. quo regibus h. l. idem præciperetur, quod supra p. 101.; antep. universis hominibus præceptum est. Quocirca κατασκευὴ explicarem *apparatus* seu *res unicuique civitati necessarias*, πράξεις autem *rationes accepti expensi*. Lang. Langio assentitur Coraes, et ἀκριβῶς per φειδομένως exponit.

Διοίκει τ. π. ὁμοίως] Scilicet, quod scribit Tacitus annal. l. XIII. c. 50. "ut ratio quæstuum et necessitas erogationum inter se congruant." Facc.

Ταῖς πράξεσιν] Intelligi potest vel de

ἅμα καὶ διαρκῆς. Τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο [1] μηδ'
ἐν μιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν
τε τοῖς προειρημένοις καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ
ταῖς τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλω-
μάτων αὐτῷ τε σοὶ [2] παραμενεῖ, καὶ τοῖς ἐπιγιγνομένοις
[3] πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. Τὰ e
[4] πρὸς τοὺς θεοὺς ποίει μέν, ὡς οἱ πρόγονοι κατέδειξαν, ἡγοῦ
δὲ [5] θῦμα τοῦτο κάλλιστον εἶναι καὶ θεραπείαν μεγίστην,
ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς· μᾶλ-
λον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλ- 19
λοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν.

ζ'. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν [6] φίλων τοὺς οἰκειοτάτους,

[1] ἐν μηδεμιᾷ A. C. L. [2] παραμένει L. [3] πλέονος A. [4] περὶ A. C. L. [5] τοῦτο εἶναι θῦμα κάλλιστον A. C. L. [6] τιμῶν A. C. L.

vectigalium, vel de privatæ vitæ, rationibus; utrumque sensum ego admisi. Auger.

Τὴν μεγαλοπρέπειαν κ. τ. λ.] De re hac tota vide Ciceronem offic. l. II. c. 16. et 17. Martialis l. V. epigr. 43. ostendit, opes omnes tandem perire easque duntaxat manere et in ære nostro esse, per quas benigni sumus erga amicos. M. Antonius apud Senecam l. VI. de benefic. c. 3. "Hoc habeo, quodcunque dedi." Facc.

Ἐν τοῖς προειρημένοις] Videlicet τῇ τε φρονήσει καὶ δικαιοσύνῃ, καὶ ταῖς λαμπραῖς καὶ βασιλικαῖς παρασκευαῖς, καὶ πράξεσιν ἀκριβέσιν. Etsi fortasse præstat τὰ προειρημένα intelligere τὴν φρόνησιν καὶ δικαιοσύνην. Wolf.

Τῶν κτημάτων] Αἱ κατασκευαὶ potissimum ad ædificia referri videntur: τὰ κτήματα vero significare instrumentum domesticum et supellectilem omnemque ædium apparatum. Idem.

Ταῖς τῶν φίλων εὐεργεσίαις] H. e. ταῖς εἰς τοὺς φίλους γιγνομέναις, ἐὰν εὐεργετήσῃς τοὺς φίλους. Idem.

Παραμένει] F. παραμενεῖ. Idem.

Ὡς οἱ πρόγονοι κατέδειξαν] Idem curavit Numa, ut est apud Livium l. I. c. 20. "ne quid divini juris, negligendo patrios ritus peregrinosque adsciscendo, turbaretur." Cicero de leg. l. II. c. 16. "Quum consulerent Athenienses Apollinem Pythium, quas potissimum religiones tenerent; oraculum editum est, eas, quæ essent in more majorum." Mæcenas autem, quum idem suaderet Augusto, addidit rationem, ut est apud Dionem l. LII. sub fin. "Quia, qui nova numina introducunt, ad usum peregrinarum legum cives polliciunt." Facc.

Θῦμα κάλλιστον] Ad partem hanc moniti hujus secundam pertinet, quod Persius scribit adversus illos, qui magna sacrificia faciebant mente improba, Sat. II. v. 71. "Quin damus id Superis, de magna quod dare lance Non possit magni Messallæ lippa propago, Compositum jus fasque animo, sanctosque recessus Mentis, et incoctum generoso pectus honesto?" Idem.

Καταβάλλοντας] Κτείνοντας, σφάζοντας. et πράξειν· λαβεῖν ex Hesych. Cor.

Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτάτους] Pro ἀρχαῖς sensus videtur requirere λαμπροτάταις, ut opponatur ἀληθεστάταις, et ita sum interpretatus. Auger. Locus, uti nunc est, inter difficiles numerandus, quum propter singula verba, tum ob eorum structuram lectionisque varietatem. Erasmus transtulit: *Primos honores tribue conjunctissimis, verissimos amicissimis.* Wolfius pro ἀρχαῖς conjecit ἀρίσταις sive ἀρχικωτάταις. At vero neque hæc Wolfii conjectura neque nostra quam dedimus in Notis explicatio [scil. *capitibus honorum*, i. e. primariis honoribus] attento, credo, lectori satisfaciet. Restat igitur, ut locum alio modo curandi periculum faciamus. Quid si pro ἀρχαῖς levissima mutatione, legamus ἀργαῖς (*inanibus*)? quod τῷ ἀληθεστάταις optime responderet: *inanibus — veris*, præsertim si alteram Cod. Auger. lectionem admitteremus, ἀληθείαις αὐταῖς (vel, si mavis, αὐτῶν), ut gradus quoque convenirent, quanquam posterius propter crebram graduum diversorum compositionem ne po-

ταῖς δὲ [1] ἀληθείαις αὐταῖς τοὺς εὐνουστάτους. Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν καὶ τὴν τῶν πολιτῶν εὔνοιαν καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ [2] σώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν [3] πο-
b λιτικῶν, καὶ νόμιζε τοὺς [4] δαπανῶντας ἀπὸ τῶν σῶν ἀναλίσκειν καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους [5] ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε καὶ πρὸς τὰ συμβόλαια νόμι-

[1] ἀληθεστάταις τοὺς A. C. L. [2] διασώζειν A. C. L. [3] ἰδιωτῶν A. C. L. [4] δαπανωμένους A. C. L. [5] μᾶλλον ἢ C.

stularetur quidem. (Vid. Fischeri Animadvv. ad Welleri Gr. spec. 3. part. 1. p. 330.) Quid vero sint τιμαὶ ἀληθέσταται, explicatum invenies p. 125. antep. unde apparet, esse *reverentiæ* signa. Ex hac conjectura locus sic esset vertendus: *inanibus reverentiæ signis honora propinquissimos viros* (qui pluribus de causis raro amicissimi sunt et prudentissimi), *verissimis amicissimos*. Aliis verbis: *amicissimis viris benevolentiam et fiduciam, propinquissimis vero civilitatem tribuas*. Alteram Cod. lectionem φίλων pro τιμῶν negligendam prorsus ideo duxi, quod tantum abest, ut loco subveniat, ut etiam impeditiorem illum reddat. Nam ἀληθεστάταις in sequentibus necessario requirit substantivum, quo ullo modo referri possit. Lang. Ἐνδέχεται μέντοι τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, ταῖς ἀρχικαῖς τῶν τιμῶν, τουτέστι, ταῖς τιμαῖς, αἷς ἀρχή τις καὶ δυναστεία συνῆπται, τίμα τοὺς προσήκοντάς σοι τῷ γένει μάλιστα, ταῖς δὲ ἀληθεστάταις τιμαῖς, οἷόν ἐστι τὸ ἐπὶ συμβουλίαν παρακαλεῖν τινὰ, τὸ στεφανοῦν, ἢ δωρεαῖς τιμᾷν, τῶν καλῶς πεπραγμένων ἕνεκα, καὶ τὰ τοιαῦτα, τοὺς εὐνουστάτους. Cor.

Φυλακὴν ἀσφαλεστάτην κ. τ. λ.] Apud eundem Isocratem in Helenæ encomio laudatur Theseus, οὐδὲ ἐπεισάκτῳ δυνάμει τὴν ἀρχὴν διαφυλάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος. Sallustius in bell. Jugurth. c. X. "Non exercitus, neque thesauri præsidia regni sunt; verum amici." Tacitus hist. l. IV. c. 7. "Nullum majus boni imperii instrumentum, quam boni amici." Facc.

Κήδου τῶν οἴκων κ. τ. λ.] Idem in Panegyr. Ἐπὶ τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας. Mæcenas apud Dionem V. p. 485. ed. Vechel. monet Augustum, 'ne sinat, cives suos ædificiis uti pluribus, aut majoribus, quam deceat.' Hoc autem pertinet ad tollendas impensas supervacuas, quibus civitatis vires exhauriuntur. Facc.

Τοὺς δαπανωμένους] I. e. τοὺς ἐλαττοῦντας τὴν οὐσίαν, εἴτε δι' ἀμέλειαν εἴτε ἐξ ἀσωτίας. Wolf.

Ἀπὸ τῶν σῶν] Post ἀπὸ Codd. Auger. inserunt τῶν ἰδίων, non male: *et crede, illos, qui sua ipsorum consumunt, consumere tua*. Lang. Εἰκὸς τὴν γνησίαν Ἰσοκράτους γραφὴν, τοιαύτην ὑπάρξαι πάλαι· κήδου τῶν πολιτικῶν οἴκων οὐχ ἧττον ἢ τῶν ἰδίων, καὶ νομίζε — τοὺς δ' ἐργαζομένους πλείω ποιεῖν τὰ σά. Οἴκους δὲ πολιτικοὺς δηλονότι λέγει τοὺς τῶν πολιτῶν. Cor.

Πιστοτέρους εἶναι τοὺς σοὺς λόγους] Huc pertinet illud Scytharum ad Alexandrum, apud Curtium l. VII. c. 8. "Jurando gratiam Scythas sancire ne credideris: colendo fidem jurant." Isocrates noster in Panegyrico laudat antiquos Athenienses, tanquam πιστοτέροις χρώμενους τοῖς λόγοις, ἢ νῦν τοῖς ὅρκοις. Facc.

Τοῖς ξένοις] "Male etiam (inquit Cicero l. III. offic. c. II). qui peregrinos urbibus uti prohibent eosque exterminant. Nam esse pro cive, qui civis non sit, rectum est non licere; usu vero urbis prohibere peregrinos, sane inhumanum est." Id porro monet Isocrates, quia in Græcia civitates erant hospitibus iniquiores. Vide Livium l. XLI. c. 23. Idem.

Ἀσφαλῆ] Ὥστε μήτ' αὐτὴν βλάπτεσθαι ὑπὸ τῶν ξένων μήτε βλάπτειν τούτους. Wolf.

μον, περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων μὴ τοὺς
σοὶ [1] δωρεὰς [2] ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν c
ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς
ἄλλοις εὐδοκιμήσεις. Τοὺς [3] πολλοὺς φόβους [4] ἐξαίρει τῶν
πολιτῶν, καὶ μὴ βούλου [5] περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦν-
17 τας· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σαυτὸν διαθῇς, οὕτω
καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς,
δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς [6] ᾖ. Δεινὸς μὲν φαίνου
τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς d
τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Ἀρχικὸς
εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν,
ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν
ὑπὲρ τῆς [7] αὐτῶν σωτηρίας ἄμεινον [8] αὐτῶν σε βουλεύεσθαι.

[1] δῶρα A. [2] εἰσάγοντας A. L. [3] πολλοὺς om. A. C. L. [4] ἐξαιροῦ A. C. L. [5] περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσι A. C. L. [6] ᾖ· καὶ δεινὸς C. [7] ἑαυτῶν A. C. L. [8] αὐτῶν om. A. C. L.

Δωρεὰς εἰσάγον.] Sallustius in Catilin. c. VI. laudat vetustissimos Romanorum, quod "magis dandis, quam accipiendis beneficiis amicitias pararent." Ceterum de iis, qui dona Regibus ferebant, ut majora quædam ab iis auferrent, loquitur Isocrates initio hujus orationis. Regibus quidem Persarum, dum regiones suas obirent, nemo accedebat sine donis, ut est apud Ælianum de var. hist. c. XXXI. et XXXII. Facc.

Ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας] Tales sunt homines eruditi, philosophi, poetæ, oratores, musici etc. Wolf. Conf. p. 117. 5. Lang.

Τοὺς φόβους ἐξαιροῦ] Cicero offic. l. II. c. 7. "Omnium rerum nec aptius est quidquam ad opes tuendas ac tenendas, quam diligi; nec alienius, quam timeri." Et paullo post: "qui se metui volunt, a quibus metuuntur, eosdem metuant ipsi, necesse est." In eandem sententiam Auctor ep. I. ad Cæsar. de ordin. rep. c. 3. "Nec quemquam arbitror multis metuendum esse, quin ad eum ex multis formido recidat." Similia habet Seneca de ira l. II. c. 11. et de clementia l. I. c. 19. Itaque recte Statius Theb. l. I. 127. "Parens odii metus." Facc. Idem confirmat Lucanus Pharsal. l. V. 257. "Quisque pavet, quibus ipse timori est." et quod habet Josephus antiq. judaic. l. VIII. c. 4. Εὐνούστεροι ἔσεσθαι πρὸς αὐτὸν καὶ ἀγαπήσειν τὴν δουλείαν διὰ τὴν ἐπιείκειαν, ἢ διὰ τὸν φόβον. Frick.

Μετ' ὀργῆς] "Cum ira (inquit Cicero offic. l. I. c. 38.) nihil recte fieri, nihil considerate potest." Nam iratus videre nequit mediocritatem illam, quæ est inter nimium et parum. Idcirco autem videre nequit, quia, ut scribit Plutarchus de ira, ὡς δι' ὁμίχλης τὰ σώματα, καὶ δι' ὀργῆς τὰ πράγματα μείζονα φαίνεται. Decet igitur, ut ait idem Cicero offic. l. I. c. 25. "eos, qui præsunt reipublicæ, esse legum similes, quæ ad puniendum non iracundia, sed æquitate ducuntur." Multa sunt exempla sapientum virorum, qui noluerunt castigare eos, quibus essent irati, ob id ipsum quod essent irati. Vide Plutarchum de liber. educ. Facc. Quo spectat et Senecæ illud de ira l. I. c. 16. "procedam in tribunal, non furens, nec infestus; sed vultu legis," quæ non excandescit, sed omnibus est æqualis. Verissima item Thucydidis sententia l. III. ἐναντιωτάτη τῇ εὐβουλίᾳ ὀργή. quam sic expressit Sallustius in bel. Jugurth. c. LXIV. "cupido atque ira consultores pessimi." Frick.

Δοκεῖ δὲ τοῖς ἄλλοις] Scil. ποιεῖν μετ' ὀργῆς, ἢ ὀργίζεσθαι. Wolf.

Ὅταν σοι] Σοι non incommode videretur omitti, et tamen ferri potest, ut prudentiæ Nicoclis hoc permittat. Idem. Quod velim et ego abesse, nisi in or. ad Demon. legerem: ἂν δέ ποτέ σοι συμπέσῃ καιρός. Auger.

Δεινὸς μὲν φαίνου] Mæcenas ad Augustum apud Dionem l. LII. sub fin. Τὸν δὴ τῶν ἄλλων βίον ἐπισκόπει μὲν, μὴ μέντοι καὶ χαλεπῶς ἐξέταζε. Facc.

Μὴ χαλεπότητι] Ita Evagoras ab eodem Isocrate laudatur, φοβερὸς ὢν, οὐ τῷ

Πολεμικὸς [1] μὲν ἴσθι ταῖς ἐπιστήμαις καὶ ταῖς παρα-
σκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν.
e Οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς
κρείττους πρὸς σεαυτὸν ἀξιώσειας. Φιλονείκει μὴ περὶ
[2] πάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλῃ συνοί-
σειν. Φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ
τοὺς μετὰ βλάβης περιγιγνομένους. Μεγαλόφρονας εἶναι
νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους ὧν οἷοί τέ εἰσι κατα-
σχεῖν, ἀλλὰ τοὺς [3] καλῶν μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ
δυναμένους οἷς ἂν ἐπιχειρῶσι. Ζήλου μὴ τοὺς μεγίστην
ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρη-
σαμένους· καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν [2] πάν-
των ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων [4] ἄρξῃς, ἀλλ᾽ ἐὰν,
b τοιοῦτος ὢν οἷον χρὴ καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι,
μετρίων ἐπιθυμῇς καὶ μηδενὸς τούτων [5] ἀτυχῇς.

[1] γίγνου ταῖς A. C. L. [2] ἁπάντων A. C. L. [3] μετρίων A. C. L. [4] ἄρχῃς A. C. L. [5] ἀπορῇς A. C. L.

πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν. Eadem fere sententia repetitur in orat. de pace. Plinius ad Trajanum in paneg. c. XLVI. "Quis terror valuisset efficere, quod reverentia tui efficit?" Idem.

Πολεμικὸς γίνου] In orat. de pace vult Athenienses suos πολεμικοὺς μὲν εἶναι ταῖς παρασκευαῖς καὶ ταῖς μελέταις, εἰρηνικοὺς δὲ τῷ μηδένα μηδὲν ἀδικεῖν. Plinius ad Trajanum in Paneg. c. XVI. "Nec times bella, nec provocas." Idem. Ante dixit Plinius excit. loc. "Innutritus bellicis laudibus pacem amas." Frick.

Πολεμικὸς γίνου ταῖς ἐπιστήμαις etc.] Conf. de Pace §. μς′. Lang.

Πρὸς τὰς ἥττους] Ita in Panegyrico ait, antiquos Athenienses magna fide et modestia se gessisse erga reliquos Græciæ populos. Τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους, ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς. Vide monitum ultimum orationis tertiæ. Facc.

Φιλονείκει] Contra eos, qui inutiles pugnas conserunt, est Senecæ epistola XLV. Aristippus autem ad disputatorem, a quo fuerat in tali quadam contentione per fallacias victus: 'Ego (inquit) victus abeo, jucundius, quam tu victor, dormiturus.' Idem.

Τοὺς συμφ. ἡττωμένους] Plutarchus de lib. educ. Οὐ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν, ἐν οἷς τὸ νικᾶν βλαβερόν. Idem.

Τοὺς συμφερόντως ἡττωμένους] Ii sunt intelligendi qui in potestate habent suos affectus et cedunt cum possent vincere, ut post majorem fructum capiant suæ moderationis; aut qui commodius tempus vincendi exspectant. Wolf.

Τοὺς μείζω περιβαλλομένους] Seneca de consol. ad Helv. c. X. "Nonne furor et ultimus mentium error est, quum exiguum capias, cupere multum?" Theognis v. 461. Μή ποτ᾽ ἐπ᾽ ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα Χρήμασι, τῶν ἄνυσις γίγνεται οὐδεμία. Facc. Sapienter quoque Pindarus Pyth. Od. 3. Χρὴ δὲ καθ᾽ αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον. Frick.

Μεγίστην ἀρχὴν] Sallustius in Catil. c. II. inter vitia priscorum regum, qui Cyrum secuti sunt, refert, quod "maximam gloriam in maximo imperio putarent." Apuleius autem in apolog. p. 436. fortunam tunicæ comparat, quæ "magis concinna, quam longa probatur:" et paullo infra gubernaculis navium, quæ si "ingentia et enormia sint, facilius mergunt, quam regunt." Seneca ep. CXIII. "O quam magnis homines erroribus tenentur, qui jus dominandi trans maria cupiunt permittere, felicissimosque se judicant, si multas per milites provincias obtinent et novas veteribus adjungunt!" Facc.

Μετρίων ἐπιθυμῇς] Phocylides in sentent. Πάντων μέτρον ἄριστον, ὑπερβασίη δ᾽ ἀλεγεινή. Sumpta est sententia ex dicto sive Solonis sive Cleobuli, ut est apud Clementem Alexandr. l. I. Strom. p. 300. ed. Col. 1688. Idem. Idem præceptum

η΄. Φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ᾽ ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ᾽ ὧν ἄριστα τὴν πόλιν διοικήσεις. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς ὅτι πάντες οἱ μή σοι [1]πλησιάσαντες ὅμοιόν σε τοῖς χρωμένοις [2]εἶναι νομιοῦσι. Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσι. Πιστοὺς ἡγοῦ μὴ τοὺς [3]ἅπαν, ὅ τι ἂν c
λέγῃς ἢ ποιῇς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παῤῥησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα, περὶ ὧν ἂν ἀμφιγνοῇς, ἔχῃς τοὺς συνδοκιμάσοντας. Διόρα
18 καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ᾽ εὐνοίας θερα-

[1] πλησιάζοντες A. C. L. [2] εἶναι om. A. L. [3] πᾶν A. C. L.

exstat apud Homerum et Hesiodum, quorum ille Od. Ο. 69. νεμεσσῶμαι δὲ καὶ ἄλλῳ Ἀνδρὶ ξεινοδόκῳ, ὅς κ᾽ ἔξοχα μὲν φιλέῃσιν, Ἔξοχα δ᾽ ἐχθαίρῃσιν, ἀμείνω δ᾽ αἴσιμα πάντα. Hic ἔργ. καὶ ἡμ. 692. Μέτρα φυλάσσεσθαι, καιρὸς δ᾽ ἐπὶ πᾶσιν ἄριστος. Similia habet Euripides, Pindarus, alii. Frick.

Φίλους κτῶ] In fine orationis explicat clarius, quinam sint amici Regi idonei, id est, σύμβουλοι ἀγαθοί. Facc. Bene de Principe Helvidius Priscus: "nullum majus (inquit) boni imperii instrumentum, quam boni amici," apud Tacitum hist. l. IV. c. 7. cum quo conspirat Plinii illud in Paneg. c. 45. "Quum plurimis amicitiis fortuna Principum indigeat, præcipuum est Principis opus, amicos parare." item Sallustii: "non exercitus, neque thesauri præsidia regni sunt, verum amici," hoc est, consiliarii, bell. Jugurth. c. X. Frick.

Ἀκριβεῖς ποιοῦ κ. τ. λ.] Plinius ad Trajanum in Panegyr. c. LXXXIII. "Est magnificum, quod te ab omni contagione vitiorum reprimis ac revocas, sed magnificentius, quod tuos. Quanto enim magis arduum est alios præstare, quam se, tanto laudabilius, quod quum ipse sis optimus, omnes circa te similes tui effecisti." Itaque Mæcenas monet Augustum apud Dionem l. LII. sub fin. ne familiaribus suis nimium indulgeat. Πάντα γὰρ, ὅσα ἂν ἢ καλῶς ἢ κακῶς πράξωσι, σοι προστεθήσεται. Facc.

Τοιούτους ἐφίστη κ. τ. λ.] Cicero ad Quintum Fratrem, Prætorem Asiæ l. I. ep. 1. c. 3. "Circumspiciendum diligenter, ut in hac custodia provinciæ non te unum, sed omnes ministros imperii tui, sociis et civibus et reipublicæ præstare videare." Plutarchus in præcept. polit. scribit, Principem, qui utitur pravis administris, non differre ab opifice, qui utitur normis, regulis ac libellis parum idoneis. Idem.

Πιστοὺς ἡγοῦ] Xenophon. in Cyrop. l. VIII. 2. 10. scribit, Cyrum habuisse familiares quosdam, qui *oculi et aures Regis* appellabantur, ut, quæcunque viderent aut audirent sibi opportuna, libere dicerent ac monerent. Idem. De Nerone contra memoriæ proditum est, ejus auribus veritate nihil gravius exstitisse eumque, "ut faciendis sceleribus promptum, ita audiendi, quæ faceret, insolentem fuisse," ut scribit Tacitus annal. l. XV. c. 67. Adulatores detestatur bonus Princeps, quibus "omnia ejus, honesta atque inhonesta, laudare mos est." Idem annal. l. II. c. 38. Frick.

Δίδου παῤῥησίαν] Hiero (inquit Plutarchus in apophth. reg. et imp.) dicere solebat: μηδένα τῶν παῤῥησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι. Theopompus autem, ut est apud eundem Plutarchum in apophthegm. Lacon. interroganti cuidam, quomodo regnum tuto servare posset, respondit: 'Si justam loquendi libertatem amicis permittas.' Hanc in rem facit Senecæ querela de benefic. l. VI. c. 30. "Non vides, quomodo Principes in præceps agat exstincta libertas et fides in obsequium servile submissa? dum nemo ex animi sui sententia suadet dissuadetque; sed adulandi certamen est, et unum amicorum omnium officium, una contentio, quis blandissime fallat." Facc.

Τοὺς συνδοκιμάσοντας] Τοὺς συνεξετάσοντας, τί ποιητέον, τί ψηφιστέον, τί ἀποκριτέον, τί δικαστέον. Wolf.

Διόρα τοὺς τέχνῃ κολακ.] Celebre est Phocyonis dictum ad Antipatrum apud

πεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.
Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνω-
ρίζειν ἅμα τούς [1] τε λέγοντας, [2] ὁποῖοί τινές εἰσι, καὶ περὶ
d ὧν ἂν λέγωσι. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς
διαβάλλοντας, αἷσπερ [3] τοὺς ἐξαμαρτάνοντας. Ἄρχε σαυ-
τοῦ μηδὲν ἧττον ἢ [4] τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ βασιλικώ-
τατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς
τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. Μηδεμίαν συν-
ουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογίστως, ἀλλ' ἐπ' ἐκείναις
ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τ'
e ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις.

θ'. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις ἃ καὶ
τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ
μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Νόμιζε
τῶν τιμῶν ἀληθεστάτας εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ
21 δέους γιγνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες
μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυμάζωσιν. Λάνθανε

[1] τε om. A. C. L. [2] ὁποῖοι καὶ τίνες A. L. [3] ἂν τοὺς C. L. [4] καὶ τῶν A. C. L.

Plutarchum in apophth. reg. et imp. Οὐ δύνασαι, Ἀντίπατρε, καὶ φίλῳ Φοκύονι χρῆσθαι, καὶ κόλακι. Curtius autem l. VIII. c. 5. "Adulatio perpetuum malum regum, quorum opes sæpius assentatio quam hostis evertit." Plutarchus syntagma scripsit de distinguendo adulatore ab amico, quod legere juvabit. Facc.

Ἄκουε τοὺς λόγους κ. τ. λ.] Agesilaus, ut refert Xenophon sub fin. orationis, quam de illo scripsit, et Plutarchus in apophtegm. Laconicis, quum audiret laudatores aut vituperatores aliorum, aiebat: οὐχ ἧττον δεῖν μανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. Hanc in rem monet Horatius eos, qui cum viris principibus vivunt, l. I. ep. 18. v. 68. "Quid de quoque viro et cui dicas, sæpe videto." Idem.

Ταῖς αὐταῖς κόλαζε κ. τ. λ.] Scite Julianus Imperator, ut est apud Ammianum initio l. XVIII. "Ecquis innocens esse poterit, si accusasse sufficiet?" Itaque Plinius in Paneg. c. XXXIV. et XXXV. Trajanum summopere laudat, quod delatores acerbissimis suppliciis coerceret. Idem.

Αἷσπερ ἂν] Scil. ἐκόλαζες ἁλόντας ἢ ἐξελεγχθέντας τοὺς διαβαλλομένους. Wolf.

Ἄρχε σεαυτοῦ] Seneca ep. CXIII. "Imperare sibi maximum imperium est." Hinc servus Horatio exprobrat l. II. Sat. 7. v. 81. "Tu mihi, qui imperitas, aliis servis miser." Ab Isocrate nostro Evagoras laudatur, tanquam ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν. Facc.

Μηδεμιάν συνουσίαν κ. τ. λ.] Advertenda vox συνουσία, et verbum ἐπιδίδωμι. Nam Plato eodem fere modo locutus est sub initium Hippiæ Majoris: ὥς σοι συνόντες πλέον ἂν εἰς ἀρετὴν ἐπιδιδοῖεν. Ad sententiam quod attinet, idem præcipit Theognis redditque rationem hanc v. 35. Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι, ἢν δὲ κακοῖσι Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. Idem. "Sumuntur (ait Seneca) a conversantibus mores," de ira l. III. c. 8. Frick.

Μηδεμίαν — δόξεις] Post διοικήσεις p. 124. 3. de suo posuit Augerus.

Ἐπιδώσεις] Scil. πρὸς φρόνησιν καὶ ἀρετήν. Wolf.

Μέγα φρονῶν] Scil. φαίνου. Idem.

Ἧς οὐδὲν μέρος] Ita Nicocles in oratione, quæ proxime sequitur, ait, se eas virtutes semper coluisse, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Facc.

Νόμιζε τῶν τιμῶν κ. τ. λ.] Totam hanc sententiam expressit Plinius in exordio panegyrici ad Trajanum. Idem.

Αὐτοὶ] Np. πολῖται. Auger.

Λάνθανε κ. τ. λ.] Ratio moniti est, quia Principibus, ut scribit Tacitus annal. l. IV,

μὲν, [1] ἣν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως· ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι. Σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ b τὴν σὴν ἐπιμέλειαν. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητὸς, ἡ δὲ ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητὰ, δόξα δὲ χρημάτων οὐκ ὠνητὴ, καὶ τὰ μὲν καὶ [2] φαύλοις [3] ἐνίοτε παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι. Τρύφα μὲν [4] ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ σῶμα

[1] ἐὰν A. C. L. [2] τοῖς φαύλοις A. C. L. [3] ἐνίοτε om. A. L. [4] ἐν om. A. L.

c. 40. "præcipua rerum ad famam dirigenda sunt." Facc.

Παράδειγμα τοῖς ἄλλοις] Eandem sententiam Isocrates expressit in orat. Areopagitica, ubi loquitur de Solone et Clisthene. In bonum exemplum Velleius l. II. c. 126. "Facere recte cives suos Princeps optimus faciendo docet, quumque sit imperio maximus, exemplo major est." In malum Cicero de leg. l. III. c. 14. "Vitiosi principes vitia infundunt in civitatem; neque solum obsunt, quod ipsi corrumpuntur, sed etiam quod corrumpunt, plusque exemplo, quam peccato nocent." Plutarchus in Syntagmate ad Princip. imper. comparat eum, qui imperat, regulæ, quæ, nisi recta sit, non potest ea, quibus applicatur, recta facere. Porro de iis, quæ Princeps facere debet, ut civibus suis ad virtutem exemplo sit, vide Xenophontem in Cyri Pædia sub initium lib. VIII. Idem. Cicero alibi ex Platonis l. IV. de legibus hoc dictum refert: "quales in republica Principes essent, tales reliquos solere esse cives." famil. l. I. ep. 9. Confirmant idem Livius: "ipsi se homines in Regis, velut unici exempli, mores formant." l. I. c. 21. Plinius: "ut in corporibus, sic in imperio gravissimus est morbus, qui a capite diffunditur." l. IV. ep. 22. Claudianus: "componitur orbis Regis ad exemplum, nec sic inflectere sensus Humanos edicta valent, ut vita regentis." de IV. consul. Honor. v. 299. Valerius Maximus, qui, dum Ptolomæum, Ægyptiorum regem luxuriæ se tradidisse memorat, tum pergit, "regis mores omnem secutam regiam; nec amicos tantum præfectosque, verum etiam omnem exercitum, depositis militiæ studiis, otio ac desidia corruptos fuisse." l. XXX. c. i. Frick.

Σημεῖον ἔστω κ. τ. λ.] Cicero ad Atticum l. VIII. ep. 11. "Moderatori reipublicæ beata civium vita proposita est, ut opibus firma, copiis locuples, gloria ampla, virtute honesta sit." Et Mæcenas apud Dionem l. LII. p. 481. Τὸν ἄρχοντα τὸν ἄριστον οὐ δεῖ μὴ μόνον αὐτὸν πάνθ' ἃ προσήκει ποιεῖν, ἀλλὰ καὶ τῶν ἄλλων ὅπως ὡς ὅτι βέλτιστοι γίγνωνται, προνοεῖν. Facc.

Περὶ πλείονος ποιοῦ κ. τ. λ.] Auctor ep. 2. ad Cæs. de ordin. rep. c. 7. "Sæpe jam audivi, qui reges, quæ civitates et nationes per opulentiam magna imperia amiserint, quæ per virtutem inopes ceperint." Facc. Valerius Maximus l. IV. c. 3. "Ea civitas, id regnum æterno in gradu facile steterit, ubi minimum virium Veneris pecuniæque cupido sibi vindicaverit." Frick.

Δόξῃ] Stobæus p. 328. δόξης. Melius credo. Et mox post φαύλοις Cod. Auger. non male addit ἐνίοτε. Lang.

Τρύφα μὲν ταῖς ἐσθῆσι] Cyrus, ut est apud Xenophontem in Cyrop. l. VIII. 1. 40. tum ipse magnam vestis totiusque corporis ornatus curam suscipiebat, tum eos quoque suscipere volebat, quibus magistratus mandaret. Contra Livius sub init. l. XXI. laudat Annibalem, "quod vestitus ejus nihil inter æquales excelleret." Sed tunc quidem Annibal nondum erat cum imperio. Cæterum, ut scribit Plinius l. VI. ep. 31. "Veste et comitatu non quidem augetur dignitas; ornatur tamen et instruitur." Facc.

c κόσμοις, καρτέρει δὲ ὡς χρὴ τοὺς [1] βασιλεύοντας ἐν τοῖς
ἄλλοις ἐπιτηδεύμασιν, ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν ἄξιόν
σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς
ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. Ἐπισκόπει
τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ καὶ τὰς πράξεις, ἵν᾽ ὡς ἐλα- 19
χίστοις [2] ἁμαρτήμασι περιπίπτῃς. Κράτιστον μὲν τῆς
ἀκμῆς τῶν καιρῶν τυγχάνειν, ἐπειδὴ δὲ δυσκαταμαθήτως
d ἔχουσιν, ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν· αἱ γὰρ μετριό-
τητες μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς [3] ἔνεισιν.
ιʹ. Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραν-
νίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. χαλεπώ-
τατον δὲ τοῦτο πάντων ἐστὶ [4] τῶν προσταγμάτων· εὑρήσεις
γὰρ ὡς ἐπὶ τὸ πολὺ, τοὺς μὲν σεμνυνομένους ψυχροὺς
ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι ταπεινοὺς φαινο-
μένους. δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις,
e τὴν δὲ συμφορὰν τὴν [5] ἑκατέρᾳ προσοῦσαν διαφεύγειν. Ὅ
τι ἂν [6] ἀκριβῶσαι [7] βουληθῇς ὧν ἐπίστασθαι προσήκει τοὺς
βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ
φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δὲ ἐπ᾽ αὐτῶν τῶν ἔργων
22 γυμνάζεσθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει.

[1] *βασιλέας* A. C. L. [2] *τοῖς ἁμαρτ.* A. C. L [3] *ἰσχύουσιν* A. C. L
[4] *πραγμάτων* A. C. L. [5] *ἑκατέραις* A. C. L. [6] *ἀκριβῶς εἰδέναι* A. C. L.
[7] *βούλει* A. L. *βούλῃ* C.

Καρτέρει] Si, uti vult Wolfius per *laborum tolerantiam* reddatur καρτέρει et per ἐπιτηδεύματα intelligantur *deliberationes et prœludia bellica*, quid demum per συνόντες in sequentibus velit non satis constat. Nec occurrit, quo pacto hæcce studia familiaribus potius, quam remotissimo cuique, animi indolem notam faciant: quum laborum tolerantia et prœludia bellica non minus in conspectum veniunt, quam splendida vestitus ornamenta. Quod si per καρτέρει *temperantia* intelligatur, et per ἐπιτηδεύματα *alia studia quæ cum voluptate conjuncta sunt*, tum familiares eundem merito admiraturi sunt ob virtutes privatas, quarum ipsi sunt conscii, quem ob vestitus splendorem admirantur vulgus. Battie.

Ἐλλείπειν αἱροῦ] Cicero in Orat. c. XXII. "Etsi suus cuique rei modus est; tamen magis offendit nimium, quam parum." Facc.

Ἀστεῖος εἶναι πειρῶ] Lampridius in Alexandr. c. 1. narrat, *nimiam civilitatem* Alexandro objectam fuisse, quæ imperii potestatem contemptibiliorem faciebat. Modum egregie tenuit Trajanus, de quo Plinius in panegyr. c. IV. "Nihil severitati ejus hilaritate, nihil gravitati simplicitate, nihil majestati humanitate detrahitur." Vide Nepotem in Attico c. XV. Idem.

Σεμνὸς] Σεμνότητα cum Justo Lipsio in privato *auctoritatem*, in principe *majestatem* dixeris, polit. l. II. c. 16. Frick.

Ἀμφοτέραις] I. e. gravitate et urbanitate. Lang.

Ἀκριβῶς] Ὁλοκλήρως, h. e. θεωρητικῶς τε καὶ πραγματικῶς. Mox μέτιθι παρὰ τὸ μετιέναι, τὸ ἐπιχειρεῖν. Wolf.

Φιλοσοφίᾳ] De conjunctione philosophiæ cum experientia ad recte gubernandum agit Aristoteles Ethic. l. X. c. ult. Crudelem Neronis dominationem matri quidam imputant, ut est apud Suetonium c. LII. "quod eum a philosophia avertit, monens imperaturo contrariam esse." Facc.

Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον [1] περὶ τῶν μελλόντων βουλεύσῃ. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν τινὰς [2] ἐθέλειν ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾷν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον ἢ τοῦ b σώματος καταλιπεῖν. Μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σαυτῷ καὶ τῇ πόλει διαφυλάττειν· [3] ἐὰν δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς. Ἐν [4] πᾶσι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης [5] πράξεις.

[1] καὶ περὶ A. C. L. [2] ἐθέλειν τινὰς A. C. L. [3] ἢν A. C. L. [4] ἅπασι A. C. L. [5] ποιήσεις A. C. L.

Ἐὰν γὰρ τὰ παρεληλ. μνημονεύῃς] Plutarchus scribit: Ἡ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα. de lib. educ. c. XIII. Ex proverbiis Catonian. in I. A. Fabricii bibl. med. et inf. Latinit. vol. v. p. 53. "Quid cautus caveas, aliena exempla docebunt." Dionysius Halicarn. βουλεύονταί τε ἄριστα περὶ τῶν μελλόντων οἱ παράδειγμα ποιούμενοι τὰ γεγονότα τῶν ἐσομένων. antiq. l. X. p. 471. Andocides: χρὴ τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. Frick.

Βούλου τὰς εἰκόνας] Agesilaus moriens, ut narrat Plutarchus in apophthegm. vetuit sibi imagines poni. Εἴ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν. Sumpsit, opinor, Plutarchus ex oratione Xenophontis de Agesilao, ubi eadem fere sententia est, prope finem. Mæcenas quoque monuit Augustum, ne statuas aureas aut argenteas sibi fieri pateretur, sed potius recte agendo memoriam sui propagaret, ut est apud Dionem l. II. sub fin. Tiberius apud Tacitum annal. l. IV. c. 38. "Hæc mihi in animis vestris templa, hæ pulcherrimæ effigies et mansuræ." Loquitur de suis virtutibus. Facc. Adde Plinium, qui "fama (inquit) Principis non imaginibus et statuis, sed virtute ac meritis prorogatur." in paneg. c. LV. 10. Frick.

Καλῶς τεθνάναι] Cicero offic. l. I. c. 23. "Quum tempus necessitasque postulat, decertandum manu est, et mors servituti turpitudinique anteponenda." Sallustius de T. Turpilio Silano Præfecto Vaccæ in Numidia, in bell. Jugurth. c. LXVII. "Quia illi in tanto malo turpis vita fama integra potior, improbus intestabilisque videtur." Facc. Alibi Cicero: "mors honesta sæpe vitam quoque turpem exornat; vita turpis ne morti quidem honestæ locum relinquit." orat. pro Quinctio c. XV. Philo: ψυχὴ φιλότιμος ζωῆς ἀδόξου τὸν σὺν εὐκλείᾳ θάνατον προκρίνουσα. de fortitud. p. 741. ed. Franc. Frick.

Μέμνησο τῆς βασιλ.] Rationem rei hujus reddit Plutarchus in præcept. polit. Διὰ δόξαν, ἣν οἱ πολλοὶ περὶ ἀρχῆς καὶ πολιτείας ἔχουσιν, ὡς πράγματος μεγάλου, καὶ καθαρεύειν ἀξίου πάσης ἀτοπίας καὶ πλημμελείας. Itaque, ut idem ait Plutarchus non solum in publica dicta et facta Principis inquiritur, sed et in cœnam ejus, et in cubile, et in matrimonium, et in seria, et in ludicra omnia. Facc. Huc pertinet illud Senecæ: "humili loco positis exserere manum, litigare, in rixam procurrere ac morem iræ suæ gerere, liberius est, leves inter paria ictus sunt; Regi vociferatio quoque verborumque intemperantia non ex majestate est." qui paucis interjectis pergit: "alia conditio est eorum, qui in turba, quam non excedunt, latent, quorum et virtutes ut appareant diu luctantur et vitia tenebras habent. Vestra, o Nero, facta dictaque rumor excipit, et ideo nullis magis curandum est, qualem famam habeant, quam qui qualemcunque meruerint, magnam habituri sunt." de clementia l. I. c. 7. 8. item Plinii: "habet hoc primum magna fortuna, quod nihil tectum nihil occultum esse patitur; principum vero non modo domos, sed cubicula ipsi intimosque secessus recludit, omniaque arcana noscenda famæ proponit atque explicat." in panegyr. c. LXXXIII. Frick.

ιά. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν [1]ἅπασαν ἅμα διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ [2][μὲν] σώματος ἔτυχες
c [3][ἀθανάτου δὲ ψυχῆς], πειρῶ τῆς ψυχῆς ἀθάνατον [4]τὴν μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. [5]Ἅττ' ἂν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ [6]τὰς πράξεις. Ἃ [7]τοῖς αὑτοῦ παισὶν ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων.
d Σοφοὺς [8]νόμιζε μὴ τοὺς [9]περὶ μικρῶν ἀκριβῶς ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας, μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.

e ιβ'. Καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστὶν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο [10]παρέλαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος καὶ τῶν ἰδιωτῶν

[1] ἅμα πᾶσαν A. C. L. [2] uncos om. A. C. L. [3] uncos om. A. C. L.
[4] τὴν om. A. C. L. [5] ἃ δ' ἂν A. L. [6] καὶ τὰς L. [7] τοῖς παισὶν τοῖς αὑτοῦ A. C. L.
[8] δὲ νόμιζε A. [9] ἀκριβῶς περὶ μικρῶν A. C. L. [10] διέλαθεν A. C. L.

Μὴ περιίδῃς κ. τ. λ.] Idem fere Isocrates scribit in orat. ad Philipp. Τὸ μὲν σῶμα θνητὸν ἔχομεν, ἀθάνατοι δὲ γινόμεθα δι' ἀρετήν. Utramque sui partem homini considerandam Plinius proponit l. IX. ep. 3. "Omnes homines arbitror oportere aut immortalitatem suam aut mortalitatem cogitare: et illos quidem contendere et eniti, hos quiescere et remitti." Facc. Cætera humana pereunt et, Sallustio teste, "divitiarum et formæ gloria fluxa atque fragilis est, virtus clara æternaque habetur," bell. Catilin. c. I. Quo etiam pertinet Metrodori cujusdam effatum: "mortale est omne mortalium bonum," apud Senecam ep. XCVIII. ubi addit: "illud verum bonum non moritur, certum est sempiternumque, sapientia et virtus: hoc unum contingit immortale mortalibus." Confer quoque Valerium Maximum l. V. c. 6. Frick.

Διαλυθεῖσαν] Ἀντὶ τοῦ διαλυθῆναι, ἢ ὅπως ἂν διαλυθῇ. Wolf.

Μελέτα περὶ κ. τ. λ.] Ratio moniti hujus peti potest a contrario, ut est apud Aristotelem polit. l. VII. c. 17. Ἐκ τοῦ γὰρ εὐχερῶς λέγειν ὁτιοῦν τῶν αἰσχρῶν, γίνεται καὶ τὸ ποιεῖν συνέγγυς. Facc.

Ἃ δ' ἂν σοι λογιζ.] Celeberrimum erat apud Lacedæmonas dictum, quod refert Plutarchus in apophthegm. Lacon. ἴσασι μὲν οἱ Ἀθηναῖοι τὰ καλὰ, οὐ πράσσουσι δέ. Vide Ciceronem de senect. c. XVIII. Idem.

Μίμου τὰς πράξεις] Quintilianus: "artis pars magna continetur imitatione. Atque omnis vitæ ratio sic constat, ut, quæ probamus in aliis, facere ipsi velimus." Institut. l. X. 2. Cicero de Orat. l. II. 22. "Quæ maxime excellunt in eo quem quis imitatur, ea diligentissime persequatur." Frick.

Χρῶ τοῖς εἰρημένοις] Horatius l. I. ep. 6. "si quid novisti rectius istis, Candidus imperti; si non, his utere mecum." Facc.

Τοσούτων ὄντων τὸ πλῆθος etc.] Ambiguum videri potest, utrum referatur ad

καὶ τῶν ἀρχόντων οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόα- 23
σιν, οἱ δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν, [1] οἱ δὲ αὐτοὶ τυγχά-
νουσιν ἐπιτηδεύοντες. ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς
περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε
παράδοξον οὔτ᾽ ἄπιστον οὔτ᾽ ἔξω τῶν νομιζομένων οὐδὲν
ἔστιν εὑρεῖν, ἀλλ᾽ ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς
ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι
τὰ πλεῖστα δυνηθῇ καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. b
ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ
τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν
ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν,
ἀλλὰ ταὐτὸ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ
γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δὲ οὐ βού-
λονται, ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς [2] συνεξαμαρ-
τάνουσιν, ἀλλ᾽ οὐ τοῖς ἀποτρέπουσι. σημεῖον δ᾽ ἄν τις ποιή-
σαιτο, τὴν Ἡσιόδου καὶ Θεόγνιδος καὶ Φωκυλίδου ποίησιν· c
καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι
τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται
συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων
ὑποθήκαις. ἔτι δ᾽ εἴ τις ἐκλέξειε [3] τῶν προεχόντων ποιητῶν
τὰς καλουμένας γνώμας, ἐφ᾽ αἷς ἐκεῖνοι μάλιστ᾽ ἐσπούδα-
21 σαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν
κωμῳδίας τῆς φαυλοτάτης ἢ τῶν οὕτω τεχνικῶς πεποιη- d
μένων ἀκούσαιεν.

ιγ΄. Καὶ τί δεῖ καθ᾽ ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ [4] θέλοιμεν σκοπεῖν τὰς φύσεις [5] τὰς τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις οὔτε

[1] ἔνια A. C. L. [2] ἐξαμαρτάνουσιν A. C. L. [3] καὶ τῶν A. C. L. [4] ἐθέλοιμεν A. C. L. [5] τὰς om. A. C. L.

πλῆθος παραινέσεων, an vero πλῆθος ἀνθρώπων. Sed rectius videtur, si intelligatur τοσούτου πλήθους ὄντος ἰδιωτῶν καὶ ἀρχόντων. Sic enim ea postulant quæ sequuntur. Wolf. Resolve et verte: ὅτι οἱ μὲν καὶ τῶν ἰδιωτῶν καὶ τῶν ἀρχόντων (τοσούτων αὐτῶν ὄντων τὸ πλῆθος). *quod tum privatorum hominum, tum regum tot numero existentium, alii* etc., *alii* etc. Ergo genitivus τοσούτων ὄντων pendet ab οἱ μὲν, οἱ δὲ. Lang. Coraes refert ad τῶν εἰρημένων.

Ἐξαμαρτάνουσιν] F. συνεξαμαρτάνουσιν. ut Parænesi legitur p. 110. 3. Wolf.

Συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις] Τὸ συνδιατρίβειν commode hic accipi potest ἀντὶ τοῦ διαλέγεσθαι περὶ τῆς τῶν ἀλλήλων ἀνοίας. *de stultis suis opinionibus et factis colloqui malunt.* Wolf. Προκρίνουσιν ἀκούειν τοὺς ἀνοήτους λόγους ἀλλήλων. Cor. Cf. Paneg. §. μβ΄. Evag. §. λα΄.

τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν
e ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς καὶ φιλοπόνους [1]εἶναι τοὺς τῶν δεόντων τι [2]ποιοῦντας· ὥςτε πῶς ἄν τις τοῖς τοιούτοις ἢ παραινῶν ἢ διδάσκων ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις λόγοις φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ
24 ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας· οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥςτε οὐδὲ τὰ σφέτερ᾽ αὐτῶν ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι, βούλοιντο δ᾽ ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον ἢ τῇ ψυχῇ πονῆσαι καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων. εὕροι δ᾽ ἄν τις

[1] εἶναι καὶ φιλοπόνους A. C. L. [2] μὴ ποιοῦντας A. L.

Καὶ δοκοῦντας καρτερικοὺς εἶναι, καὶ φιλοπόνους, τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας] F. leg. τοὺς τῶν μὴ δεόντων τι ποιοῦντας. *ex male factis eos constantiæ laudem captare.* Budæus τῶν δεόντων τι μὴ pro μηδὲν τῶν δεόντων interpretatur : *eos qui officio nulla ex parte funguntur.* Et sunt sane Græcis tales μεταθέσεις negationum non inusitatæ. Wolf. Τι μὴ, i. e. μηδέν. Auger. Locum, uti nunc est, atque ut ipsi dedimus illum, dum attentius intueor, me offendit. *et* (reperimus) *illos videri constantes et industrios, quæ eorum, quæ facere debebant, nihil faciunt.* At homines dissolutos et inertes, de quibus hic sermo est, a quoquam vel stultissimo *constantes* haberi et *laboriosos*, quis non miretur, quanquam contextus ita comparatus sit, ut absurdissima quæque huic perversorum hominum sermoni aptissima esse videantur. Nam hæc ipsa perversitas postulat, ut vel οἱ τῶν δεόντων τι μὴ ποιοῦντες oppositi sint constantibus et laboriosis, vel alius ex hoc loco sensus eliciatur. Deinde molesti nescio quid habet istud τι μὴ, quod Wolfius ideo disponere cupit. Tum, quod me maxime movet, est locus huic nostro simillimus, qui de Pace §. λε΄. legitur sic : ἐπιδείξειεν ἄν τις πολλοὺς, χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας (scil. ταῦτα) ἀφ᾽ ὧν ἀμφότερα ταῦτ᾽ (i. e. σῶμα καὶ ψυχὴ) ὠφελοῖντο, καὶ καρτερικοὺς εἶναι δοκοῦντας, τοὺς ἐν τούτοις ἐμμένοντας. Quæ postrema verba e contextu ita vertenda sunt : *eosque, qui in hisce difficilibus rebus* (quæ corpori et animo saluti sunt) *perdurant, carnifices* (καρτερικοὺς) *sui ipsius esse putant.* Video vocem καρτερικὸς h. l. non in laudem sed vituperium dictam esse, atque hanc significationem illa et hic habere poterit, dummodo μὴ post τι expungas, vertens : *eosque haberi carnifices sui duramque vitam agentes* (φιλοπόνους), *qui ex parte modo officio suo satisfaciant.* Tunc quoque τι τῶν δεόντων jure positum esset pro τὰ δέοντα, locusque multo quam antea expeditior. Quam sæpe vero οὐ et μὴ librariorum incuria vel appositum sit vel deletum, ubi non debebat, non est, quod multis demonstrem. Plura in hanc rem exempla in Nostro occurrunt. Hinc Interpretes nunc ponere illud, nunc delere pro loci cujusque natura tentarunt. Vid. e. c. Panath. §. δ΄. init. et quæ statim hic sequuntur. Lang. μὴ omittit Coraes, et locum sic exponit : καὶ νομίζοντας εἶναι καρτερικοὺς, τουτέστι, πόνων ὑπομενετικοὺς ἕνεκα τοῦ καλοῦ, καὶ φιλομόχθους, τοὺς πράττοντάς τι τῶν ἀναγκαίων, ὧν οὐδὲ τοὺς φαυλοτάτους εἰκὸς ἀμελεῖν.

Ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας] Steph. in Thes. T. I. p. 485. vocem ἁπλοῦς h. l., quam ibi expresse laudat, transfert : *qui mente caret*, i. e. *stultus*, sed quid mirum, quæso, stultos vocari mente carentes? Hinc cum Augerio ἁπλοῦς sensu bono accipio, vel οὐκ ante νοῦν deleo, quod magis nunc placet, ut sensus exeat : *et prudentes* (νοῦν ἔχοντας) *pro stultis habent.* Alia enim interpretandi ratio, quæ in mentem venit, dura nimis videtur, quam quod eam huic præferam, nempe τοὺς accipi posse pro τούτους, ut locus ita constituatur : ἁπλοῦς δὲ ἡγοῦνται τούτους, νοῦν οὐκ ἔχοντας. *illosque* (sapientes) *pro simplicibus habent, mente carentes.* Lang. Ἁπλοῦς ἐπὶ καλοῦ ἀντὶ τοῦ χρηστούς. Cor.

αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις [1]ἢ λοιδοροῦν- b
τας ἢ λοιδορουμένους, ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους
ἀλλ᾽ εὐχομένους. λέγω δὲ ταῦτα οὐ [2]καθ᾽ ἁπάντων, ἀλλὰ
κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. ἐκεῖνο δ᾽ οὖν φανε-
ρὸν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν ἢ γράφειν τι κεχαρι-
σμένον τοῖς πολλοῖς μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων
ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν
τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς c
ἁμίλλας [3][ψυχαγωγοῦνται]. διὸ καὶ τὴν Ὁμήρου ποίησιν
καὶ τοὺς [4]πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν,
ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων ἀμφοτέραις
ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν
γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους [5]τοὺς τῶν ἡμιθέων
ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις
κατέστησαν, ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν ἀλλὰ καὶ θεα-
22 τοὺς [6]γενέσθαι. τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, d
δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν,
ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα
δὲ γραπτέον καὶ λεκτέον οἷς ὁρῶσι τοὺς ὄχλους [7]μάλιστα
χαίροντας.

ιδ΄. Ταῦτα δὲ διῆλθον ἡγούμενός σε δεῖν, [8]τὸν οὐχ ἕνα
τῶν πολλῶν ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν
γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμά-

[1] ἢ om. A. C. L. [2] κατὰ πάντων A. C. L.
[3] ἀγάζονται A. ἄχθονται L. uncos om. C. [4] πρώτως A. L. [5] τοὺς om. A. C. L.
[6] γεγενῆσθαι A. C. L. [7] μάλιστα om. A. C. L. [8] τὸν om. A. C. L.

Εὐχομένους] Sex Augerii Codd. habent, εὐωχουμένους (*epulantes*). At quis non videat *epulari* (ταῖς ἐρημίαις) solitudini minime convenire, *optare* contra optime locum habere? Lang.

Τοὺς ἀγῶνας] Hic intelligo propter verbum θεωροῦντας, non tam serias deliberationes atque negotia, aut graviores disputationes, quam τοὺς γυμνικοὺς ἀγῶνας, certamina pugilum etc. ut significet eos ita molles esse, ut etiam ista belli præludia reformident extra omne periculum constituti, et iis, quæ in scena repræsentantur, non secus atque veris rebus et historiis afficiantur, perversis animis præditi; alienisque malis iisque confictis dolentes, et vera sua non agnoscentes. Wolf. Vulgatam verte: *lætitia et dolore propter aliena afficiuntur.* Lang.

Ἄχθονται] E marg. Cod. pro ἄχθονται dedit Coraes ψυχαγωγοῦνται. et, si ἐξηγητικῶς id intelligis, priscam lectionem fuisse suspicatur ἄγονται, h. e. κηλοῦνται, θέλγονται. Εἰκὸς μέντοι μᾶλλον (pergit) τὸ ψυχαγωγοῦνται διόρθωσιν εἶναι τοῦ ἡμαρτημένου ἄχθονται· οὐ μόνον ὅτι καὶ προϊὼν χρήσεται τῇ λέξει ὁ ῥήτωρ, ἀλλ᾽ ὅτι καὶ οἰκεῖον πάνυ τὸ ῥῆμα ἐπὶ τῶν τοιούτων, sc. τραγῳδιῶν.

Πρώτως] Malim πρώτους. quod τὸ πρώτως plerumque idem valet quod προηγουμένως, eique opponitur τὸ δευτέρως vel κατὰ τὸν δεύτερον λόγον. Wolf.

Ταῦτα] Np. præceptiones et sententias de regno bene administrando quæ præcesserunt. Auger. Male. Cum modo, ut quisque facile videt, qui locum bis legerit, ad observationem de perverso hominum studio factam referri possit. Lang.

e των μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς
[1] κρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκι-
μάζειν· ἄλλως τε [2] ἐπειδὴ περὶ [3] μὲν τῶν γυμνασίων τῶν
τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν [4] ὄντες,
καὶ φασὶν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν
πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι
τοὺς αὐτοῖς πλησιάζοντας, ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν,
ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον ἐξ ἑκάστου τούτων [5] φαί-
νεσθαι [6] βουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν
ἀμφισβητουμένων ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα λαμβάνειν
αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεω-
ρεῖν τοὺς συμβουλεύοντας, εἰ δὲ μή, τοὺς καθόλου [7] περὶ
b τῶν πραγμάτων λέγοντας. καὶ τοὺς [8] μὲν μηδὲν γιγνώ-
σκοντας τῶν δεόντων [9] ἀποδοκίμαζε — δῆλον γὰρ ὡς ὁ
μηδὲν ὢν [10] αὐτὸς χρήσιμος οὐδ' ἂν ἄλλον φρόνιμον ποιή-
σειεν —, τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον
τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε, γιγνώσκων

[1] ἀνακρίνειν A. C. L. [2] καὶ ἐπειδὴ C. [3] μὲν om. A. C. L. [4] διατρίβοντες A. C. L. [5] γενέσθαι A. L. ἑλέσθαι C. [6] [τὰ χρήσιμα]. χρὴ τοίνυν τὸν δυνάμενον βουλεύεσθαι ἀφέμενον C. [7] περὶ om. A. C. L. [8] μὲν om. A. C. L. [9] ἀποδοκιμάζειν A. C. L. [10] αὐτῷ A. C. L.

Ταῖς ἡδοναῖς ἀνακρίνειν] Τουτέστι, μήτε τὰ πράγματα σπουδαῖα, μήτε τοὺς ἀνθρώπους φρονίμους, κρίνειν, ἐκ τῆς προσγινομένης ἡμῖν ἐξ αὐτῶν ἡδονῆς, ἀλλ' ἐξ ὧν ἡμᾶς ὠφελοῦσιν. Cor.

Ἄλλως τε] Post τε videtur addendum καὶ juxta usitatum loquendi morem. Auger. Sensus: Quocunque modo aliquis eruditus sit, omnes tamen, quid profecerint, in una re examinari possunt. Lang.

Διὰ τῶν ἐριστικῶν λόγων] Erasmus: *e disputatoriis et ad contentionem paratis rationibus.* Phileticus: *liberali quadam sermonum inter se discrepantium disciplina.* Intelligo disputationes dialecticas. Wolf.

Διὰ τῶν πολιτικῶν] Intelligo doctrinam et artem dicendi. Tales sunt orationes Isocratis. Idem.

Αὐτοῖς] Τοῖς περὶ τὴν φιλοσοφίαν διατρίβουσι. Cor.

Αὐτῶν] Τῶν ἀμφισβητουμένων. Erasm. Vel τῶν λόγων, vel τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων καὶ τὴν εὐβουλίαν ἐπαγγελλομένων. et rectius ad personam refertur oratio quam ad rem. Wolf. *eos* (philosophos) *explorare.* Lang.

Ἐπὶ τῶν καιρῶν] Intelligo simpliciter: *eum negotia incidunt. cum res consilium præsens postulat.* Wolf. Hæc verba, propter sequentia δῆλον γὰρ, ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, explicanda videntur sic: *eo temporis puncto, quo ipsi consilio indigent.* Nihilominus tamen duo sunt in primis, quæ huic expositioni obstant; primum καθόλου τῶν πραγμάτων, deinde etiam λέγοντας. utrumque enim vocabulum ad publicas magis quam ad privatas res, de quibus posterioribus insuper in reliquis verbis non est sermo, spectant. Accedit, quod res ipsa absurdi quid contineat. Quis enim alterum de rebus domesticis examinare possit aut velit? Quapropter valde dubito, an verba, δῆλον γὰρ — ποιήσειν, genuina sint, præsertim quum salvo contextu abesse possint, immo ipsum potius turbent, quam ad illum pertineant, et glossæ margini adscriptæ similiora sint, quam, ut in proverbio est, unum ovum alteri ovo. E loco p. 106. v. 7. huc migrasse videntur. Lang.

Εἰ δὲ μὴ] Scil. θεωρηθῶσιν ἐπὶ τῶν καιρῶν. *si re consilium præsens flagitante, ambages et nugas egerint.* Fortasse τοὺς ἐριστικοὺς intelligit. Wolf. τῶν πραγμάτων regitur a καθόλου: *eos qui in genere de rebus loquuntur.* Auger. De καθόλου conf. quæ dicta sunt ad p. 115. v. 1. Lang.

ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων [1] τῶν κτημάτων ἐστίν. ἡγοῦ δὲ τούτους σοι μεγίστην [2] ποιεῖν τὴν βασιλείαν, οἵ τινες ἂν τὴν διάνοιαν τὴν c σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν.

ιέ. Ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω [3] παρῄνεκα, καὶ τιμῶ σε τούτοις οἷς τυγχάνω δυνάμενος· βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος [4] τοῦ λόγου, μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεὰς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων ἢ [5] παρὰ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, αἷς [6] κἂν σφόδρα [7] χρῇ καὶ μηδεμίαν ἡμέραν [8] διαλείπῃς, οὐ κατατρίψεις, ἀλλὰ [9] καὶ πλείονος ἀξίας [10] ποιήσεις. d

[1] τῶν om. A. C. L. [2] ποιήσειν A. C. L. [3] παρῄνεσα A. C. L.
[4] τοῦ λόγου om. A. L. [5] παρὰ om. A. C. L. [6] ἐὰν A. C. L.
[7] χρήσῃ A. C. L. [8] διαλίπῃς A. C. L. [9] μείζους καὶ A. C.
[10] οὔσας αὐτὰς ποιήσ. A. αὐτὰς ποιήσ. C. L.

Τιμῶ σε τούτοις] Δωροῦμαί σε τούτοις. Cor.

Ἢ τῶν πωλ.] F. ἢ παρὰ τῶν πωλ. Auger.

Γ.

ΙΣΟΚΡΑΤΟΥΣ
ΝΙΚΟΚΛΗΣ
Η ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.

Pag. ed. H. Steph. 26 Pag. ed. Cor. 23

α΄. ΕΙΣΙ τινες οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας, καὶ φασὶν αὐτοὺς οὐκ

SUMMARIUM. (α΄.) *Procemium.* Eloquentia, ob vile lucrum quod illius studiosi inde faciunt, non est vituperanda. Majus enim commodum ex agendo, quam ex loquendo nascitur. Deinde quævis humana actio commodum aliquod spectat. (β΄.) Quare hominum vitium, quo rebus utilibus abutuntur, non esse ad res transferendum. Quæ distinguendi negligentia fecit, ut bonum, quo natura nobis dederit egregiius nullum, odio persequerentur. (γ΄.) Quantam vim ratio atque oratio in hominum vitam habuerint, et qui fructus quotidie inde redeant, ita ut omnium, quæ ratione perficiantur, oratio dux et auctor habenda sit. Qui igitur hanc facultatem lædunt, isti vel nefandissima quæque committere non dedignabuntur. Omnium autem orationum id genus reliquis palmam præripere, quod de officiis regum erga cives et civium erga illos moneat. (δ΄.) Cujus posterioris generis hanc esse, in qua Nicocles primum monarchiæ præstantiam, deinde suum regnandi jus evincere, denique præcepta subditorum erga regem exponere conatur. (ε΄.) Monarchiam aliis imperii formis præstare justitia, jucunditate, lenitate, quemque ex meritis honorando, utiles ab inutilibus distinguendo, postulando denique, ut uni, non pluribus pareatur. Excellere etiam in consultando et agendo. Qui annuum magistratum gerunt, experientia carent, successoribus freti multa negligunt, sibi invident, rerum gerendarum occasiones prætermittunt, successoribus meliores videri cupiunt, de republica ut re aliena securi sunt. Audacissimorum civium consiliis utuntur. (ϛ΄.) At non tantum domi, verum etiam in bello monarchia ceteris ubique præferenda est. Illam enim milites facilius conscribere posse iisque unum melius quam plures præesse, exempla Persarum, Dionysii, Carthaginiensium, Lacedæmoniorum, et Atheniensium satis ostendunt. Omnes denique homines monarchiam ceteris præponere vel inde liquet, quod diis ipsis hanc imperii formam affingimus. (ζ΄.) Me vero jure hoc regno potitum esse, ex origine mea facillime demonstrari potest. (η΄.) Restat ut me esse dignum illo probem. (θ΄.) Quodsi inter omnes virtutes temperantia et justitia primum locum occupant, in restituendis rebus et internis et externis, quas turbarum plenas a patre acceperam, nil nisi incrementa et felicitatem civitatis respiciens justus repertus ero. Tantum autem abfuit, ut aliena appeterem, ut etiam redderem, quæ mihi hereditate obvenerant, ac multis civibus et exteris benefacerem. (ι΄.) Temperantiam in eo probavi, quod alienis uxoribus et pueris semper abstinui. Quo in genere virtutis, civibus partim exemplo, partim in ea re superior esse volui, in qua vel laudatissimi quique subinde labuntur, nihil detestabilius ratus, læsa fide conjugali, sanctissime omnium servanda. Hac neglecta, discordiæ ac seditiones domesticæ oriuntur, regibus æque ac publicæ vitandæ. Ideo quoque in procreandis liberis ab aliorum regum consuetudine secessi, genuinam tantum sobolem procreandam esse ratus easque seligendas voluptates, non quæ multum laboris et parum laudis haberent, sed gloriæ participes e probitate veluti ultro provenirent. (ια΄.) Sed quum virtutes tum maxime explorandæ sint, quum difficillime exerceantur, equidem justitiam in summa penuria,

ἀρετῆς ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς. ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας [1] ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν [2] βουλομένους ἐπαινοῦσιν· εἰ γὰρ αἱ πλεονεξίαι b
λυποῦσιν αὐτούς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας. ἔπειτα κἀκεῖνο ἄτοπον, εἰ λέληθεν αὐτούς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, 27
οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. ὥστε οὐ κατηγορητέον τούτων τῶν πραγμάτων ἐστὶν, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων ἢ τοῖς λόγοις ἐξαπατώντων καὶ μὴ δικαίως χρωμένων αὐτοῖς.

β'. Θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, [3] ὅπως b
οὐ καὶ τὸν πλοῦτον καὶ τὴν ῥώμην καὶ τὴν ἀνδρίαν κακῶς λέγουσιν. εἴπερ γὰρ διὰ τοὺς [4] ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν· φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες καὶ πολ-

[1] φεύγουσι A. [2] βουλευομένους L. [3] πῶς A. L. [4] ἐξαπατῶντας A. L.

temperantiam in maxima potestate, continentiam in juvenili ætate, idque non fortuito, sed consilio colui. (ιβ'.) *Præcepta.* De diligenti ac justa rerum administratione. Abstinentia et aliis se præbendi ratio. Quomodo optime parentur opes. Accipere non semper fructuosum esse, dare damnosum. Mandata alacriter facienda esse. Regum, in delictis perspiciendis, sollertia. Aperte esse agendum. Inter cives simpliciter et aperte esse versandum. Quomodo actiones explorandæ. Conspirationes contra regem haud reticendæ. Qui felices habendi sint. Cœtus seditiosos fugiendos peccatorumque etiam suspiciones vitandas esse. (ιγ'.) Præsenti statui adhærendum regumque mores civium moribus temperandos. Regum securitas cives a metu vacuos reddit. Cives in observantia legum humiles, in obeundis muneribus publicis splendidos esse oportere. Quomodo adolescentes ad virtutem ducendi sint, et quare parere discere iis expediat. Quæ opes filiis relinquendæ. Diffidentes miseros esse et infelices, felices autem nihil mali sibi conscios. Flagitium prodesse, virtutem obesse qui opinantur, in errore sunt. Bonis hominibus non esse invidendum, sed illos æmulandos esse. Qui amandi sint a civibus ac honorandi. Quæ absente rege cogitanda. Quibus in rebus benevolentiam erga regem ostendere oporteat. Quomodo erga alios nos geramus, quid evitemus, quid exspectemus. Bonos non tantum laudandos, sed etiam imitandos esse. Quibus maxima libertate frui liceat. (ιδ'.) Adhortatio ad peragenda præcepta a commodis consecuturis desumpta. Lang. Hæc oratio videtur scripta fuisse eodem fere tempore quo illa quæ præcedit, cujus est veluti appendix. Auger.

Τοὺς φιλοσοφοῦντας] Speciatim τοὺς περὶ τοὺς λόγους σπουδάζοντας. Wolf. *eos qui studio eloquentiæ addicti sunt.* Auger.

Τὰς τοιαύτας διατριβάς] Οἵαπερ ἐγένετο ἡ Ἰσοκράτους πρὸς Νικοκλέα. Disputationes de eloquentiæ et philosophiæ studio, de administrando regno, de virtute et omni officio. Wolf.

Βουλευομένους] F. leg. βουλομένους. Idem.

Ὡς μετὰ πλείστων] Ἀντὶ τοῦ μεθ' ὡς πλείστων. Cor.

λοὺς διὰ τούτων κακῶς ποιοῦντες. ἀλλὰ γὰρ οὐ δίκαιον,
[1]οὔτ᾽, εἴ τινες τοὺς ἀπαντῶντας [2]τύπτουσι, τῆς ῥώμης 24
c κατηγορεῖν, οὔτε διὰ τοὺς [3]ἀποκτείνοντας [4]οὓς οὐ δεῖ τὴν
ἀνδρίαν λοιδορεῖν, οὐθ᾽ ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν
ἐπὶ τὰ πράγματα μεταφέρειν, ἀλλ᾽ αὐτοὺς ἐκείνους ψέγειν,
ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται καὶ τοῖς ὠφελεῖν δυναμέ-
νοις τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι.
νῦν δ᾽, ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου
διορίζεσθαι, πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διά-
κεινται, καὶ τοσοῦτον διημαρτήκασιν ὥστε οὐκ αἰσθά-
d νονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων
τῶν [5]ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν
αἴτιόν ἐστι.

γ΄. Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν οὐδὲν τῶν ἄλλων
ζώων διαφέρομεν, ἀλλὰ [6]πολλῶν καὶ τῷ τάχει καὶ τῇ
ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν
ὄντες· ἐγγενομένου δὲ ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν
πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ
e θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις
ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχε-
δὸν ἅπαντα τὰ δι᾽ ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστὶν ὁ
συγκατασκευάσας. οὗτος γὰρ [7]περὶ τῶν δικαίων καὶ [8]τῶν
28 ἀδίκων καὶ τῶν αἰσχρῶν καὶ τῶν καλῶν ἐνομοθέτησεν· ὧν
μὴ διαταχθέντων, οὐκ ἂν οἷοί τε ἦμεν οἰκεῖν μετ᾽ ἀλλήλων.
τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς ἀγαθοὺς
ἐγκωμιάζομεν. διὰ τούτου τούς τε ἀνοήτους παιδεύομεν καὶ
τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρο-
νεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ
νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν
ἐστιν. μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνι-
b ζόμεθα καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ
πίστεσιν, αἷς τοὺς [9]ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς
ταύταις [10]βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν καλοῦ-

[1] οὐδ᾽ L. [2] τύπτοιεν A. C. L. [3] ἀποκτιννύντας A. C. [4] οὓς οὐ δεῖ om. A. [5] ὄντων A. C. L. [6] πολλῷ A. C. L. [7] καὶ περὶ A. C. L. [8] περὶ τῶν A. C. L. πολλοὺς A. [10] καὶ περὶ τῶν ἰδίων βουλευόμ. A. καὶ περὶ τῶν ἄλλων βουλευόμ. C. L.

Διαταχθέντων] Πρῶτον μὲν ὑπὸ τῆς φύσεως· ἔπειτα δὲ καὶ ὑπὸ τῶν νομοθετῶν. Wolf.

Καὶ περὶ τῶν ἄλλων] F. περὶ τῶν ἰδίων vel οἰκείων. *iisdem argumentis et in nostris rebus*

μεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομί-
ζομεν οἵ τινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πρα-
γμάτων διαλεχθῶσιν. εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνά-
μεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρή-
σομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν c
διανοημάτων ἁπάντων ἡγεμόνα [1] λόγον ὄντα, καὶ μάλιστα
χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε τοὺς
τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσο-
φούντων ὁμοίως ἄξιον μισεῖν, ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν
ἕδη ἐξαμαρτάνοντας. ἐγὼ δ᾽ ἀποδέχομαι μὲν [2] ἅπαντας
τοὺς λόγους, τοὺς καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμέ-
νους· οὐ μὴν ἀλλὰ [3] καλλίστους ἡγοῦμαι καὶ βασιλικωτά- d
τους καὶ μάλιστα πρέποντας ἐμοὶ τοὺς περὶ τῶν ἐπιτηδευ-
μάτων καὶ τῶν πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν
ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας ὡς δεῖ τῷ πλήθει
χρῆσθαι, καὶ τοὺς ἰδιώτας ὡς χρὴ πρὸς [4] τοὺς ἄρχοντας
διακεῖσθαι· [5] διὰ γὰρ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονε-
στάτας καὶ μεγίστας γιγνομένας.

δ´· Τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκρά-
τους ἠκούσατε, τὸν δὲ ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομέ- e
νους, ἐγὼ πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλού-
μενος, ἀλλ᾽ ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλε-
χθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ, ἐμοῦ μὴ δηλώσαντος ἃ
βούλομαι ποιεῖν ὑμᾶς, [6] διαμάρτοιτε τῆς ἐμῆς γνώμης, οὐκ 29
ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ, προειπόντος ἐμοῦ, μηδὲν
γίγνοιτο [7] τούτων, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις
μεμφοίμην. ἡγοῦμαι δ᾽ οὕτως ἂν μάλιστα παρακαλέσαι
καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα καὶ
πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον

[1] τὸν λόγον A. C. L. [2] πάντας A. C. L. [3] καὶ καλλίστους A. L. [4] τοὺς om. A. [5] καὶ γὰρ διὰ A. C. L. [6] διαμαρτάνοιτε A. C. L. [7] τοιοῦτον A. L.

utimur. ut τοὺς ἄλλους et περὶ τῶν ἰδίων antitheta sint. Alioqui, si subintelligas πράγματα, frigidius erit. IDEM. *quibus enim argumentis alios dicendo persuademus, iisdem etiam aliorum res deliberantes utimur.* LANG. Ἴσως ἄμεινον τὸ διαργάφειν αὐτάς. COR.

Ἀλόγως] Ἄνευ λόγου. WOLF.

Παιδευόντων] Hic intelligo de iis qui docent eloquentiam, φιλοσοφούντων de iis qui student eloquentiæ. AUGER.

Πρὸς ἄρχοντας] Malim πρὸς τοὺς ἄρχοντας. WOLF.

Ὡς χρὴ — ἃ δεῖ] Προσυπακουστέον ἔξωθεν τῷ ὡς καὶ τῷ ἃ, τὸ διδάσκοντα, παραινοῦντα, ὑποτιθέμενον, ἢ ἕτερόν τι τοιοῦτον. COR.

γενοίμην καὶ ταῦτ᾽ ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ᾽ εἰ
b [1] προεπιδείξαιμι, πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν
ὡς ἄξιόν ἐστιν ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ᾽ ὅτι
πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ᾽ ὅτι [2] βελ-
τίστη τῶν πολιτειῶν ἐστίν· ἔπειθ᾽ ὡς ἐγὼ ταύτην ἔχω τὴν
ἀρχὴν οὐ παρανόμως οὐδ᾽ ἀλλοτρίαν, ἀλλ᾽ ὁσίως καὶ δικαίως
καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους καὶ διὰ τὸν πατέρα καὶ
δι᾽ ἐμαυτόν. τούτων γὰρ προαποδειχθέντων, [3] τίς οὐκ αὐτὸς 26
c αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἐὰν μὴ πει-
θαρχῇ τοῖς ὑπ᾽ ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσι;

ε᾽. Περὶ μὲν οὖν τῶν πολιτειῶν — ἐντεῦθεν γὰρ ὑποτι-
θέμενος ἠρξάμην — οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι
τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς,
δικαιότατον δὲ τὸ [4] διωρίσθαι περὶ τούτων καὶ μὴ τοὺς
d ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ
τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. αἱ μὲν τοίνυν ὀλιγαρ-
χίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν
πολιτειῶν ζητοῦσι, καὶ τοῦτο εὐδοκιμεῖ παρ᾽ αὐταῖς, [5] ἢν
μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν· ὃ τοῖς πονηροῖς
συμφέρον ἐστίν· αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ
βελτίστῳ, δεύτερον δὲ τῷ μετ᾽ ἐκεῖνον, τρίτον δὲ καὶ τέταρ-
τον τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. καὶ ταῦτ᾽ εἰ μὴ
e πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολι-
τείας τοιοῦτόν ἐστιν. καὶ [6] μὲν δὴ διορᾶν καὶ τὰς φύσεις
τῶν ἀνθρώπων καὶ τὰς πράξεις ἅπαντες ἂν τὰς τυραννί-

[1] προσεπιδείξαιμι A. C. L. [2] καὶ βελτίστη τῶν ἄλλων πολ. A. C. L.
[3] οὐκ ἔστιν ὅστις A. C. L. [4] διορθώσασθαι A. διορίζεσθαι L. [5] ἐὰν A. C.
[6] μὴν δὴ L. μὴν εἰ δεῖ A.

Ἀπαριθμήσας] Ἁπλῶς διηγησάμενος. Idem.

Προσεπιδείξαιμι] Ἴσως προαποδείξαιμι. Idem.

Ὑποτιθέμενος ἠρξάμην] Velim legi: ὑποθέμενος ἄρχομαι. *hic enim incipio juxta id quod proposui.* Auger.

Πράττειν] Interpretor: *ut agatur cum unoquoque, ut ea cujusque fortuna sit et dignitas.* Wolf.

Τοῖς μετέχουσι τῶν πολ.] *iis qui participes sunt administrationum*, np. omnibus civibus in democratia, et principibus tantum in oligarchia. Auger.

Καὶ μὴν δὴ διορᾶν etc.] Construas: Καὶ ἅπαντες ἂν ὁμολογήσαιεν τὰς τυραννίδας μᾶλλον διορᾶν, καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις. *atque quisque facile concedat, a tyrannide hominum mores et vitam melius perspici posse, quam a reliquis civitatum formis.* Ita vero locum esse explicandum, nempe de tyrannidis bonos cives a malis distinguendi facultate, et antecedentia et consequentia docent. Non audiendus igitur videtur Wolf., qui post μᾶλλον addere vult συμφέρειν, quo alius prorsus et a contextu alienissimus sensus egreditur. Lang. Προειλόμην, καὶ μὲν δὴ, τουτέστιν, καὶ πρὸς τούτοις. Cor. Cf. Busir. §. ιε᾽. καὶ μὲν δὴ - - - καίτοι etc.

δας μᾶλλον ὁμολογήσαιεν. καίτοι τίς οὐκ ἂν [1] δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν ἐν ᾗ μὴ [2] διαλή- 30
σει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους μὴ γιγνωσκόμενος ὁποῖός τίς ἐστιν; ἀλλὰ μὴν καὶ πρᾳοτέραν τοσούτῳ [3] δικαίως ἂν αὐτὴν [4] εἶναι [5] κρίναιμεν, ὅσῳπερ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ παντοδαπαῖς [6] διανοίαις ζητεῖν ἀρέσκειν. ὅτι μὲν οὖν ἡδίων ἐστὶ καὶ πρᾳοτέρα καὶ δικαιοτέρα, διὰ πλειόνων μὲν ἄν τις ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνι- b
δεῖν ῥᾴδιόν ἐστι· περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρχίαι [7] πρὸς τὸ βουλεύσασθαι καὶ [8] πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ᾽ ἀλλήλας τιθέντες ἐξετάζειν ἐπιχειρήσαιμεν αὐτάς. οἱ μὲν τοίνυν κατ᾽ ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ᾽ ἀεὶ τοῖς c
27 αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ᾽ οὖν ταῖς γε ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. ἔπειθ᾽ οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες, οἱ δ᾽ οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες ὅτι δεῖ πάντα δι᾽ αὐτῶν γίγνεσθαι. πρὸς δὲ τούτοις οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλοτιμίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ᾽ ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, [9] πάντων, d
ὡς οἷόν τ᾽ ἐστὶ, [10] βέλτιστα πράττουσιν. ἔπειθ᾽ οἱ μὲν [11] ὑστερίζουσι τῶν πραγμάτων· τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν δ᾽ εἰς τὰ συνέδρια συνέλ-

[1] εὔξαιτο A. C. L. [2] διαλήσῃ A. L. [3] καὶ ἡδίονα δικαίως A.
[4] εἶναι om. A. C. L. [5] κρίνοιμεν A. L. [6] διανοίαις καὶ παντοδαπαῖς A. C. L.
[7] καὶ πρὸς A. C. L. [8] πρὸς τὸ πρᾶξαί A. C. L. [9] περὶ ἁπάντων A. C. L.
[10] τὰ βέλτιστα A. C. L. [11] ὑστεροῦσι A. C. L.

Καὶ δικαιοτέραν δικαίως] Post τοσούτῳ abjeci verba καὶ δικαιοτέραν, quæ tum contextui repugnant, tum a duobus Auger. Codd. et a Stob., p. 322. recte absunt. Nam contextu accuratius considerato invenies, monarchiam aliis civitatis formis justitia præstare, jam esse demonstratum, item civibus illam jucundiorem esse; quibus peractis restat, ut eam quoque mansuetiorem ac leniorem esse demonstretur, quæ demonstratio a verbis, ἀλλὰ μὴν καὶ πρᾳοτέραν, nunc demum incipit. Quæ tres virtutes singulatim antea commemoratæ inde a versu 7. ὅτι μὲν οὖν etc., summatim repetuntur, quo clarum fit, in enumeratione singularum virtutum antecedente, duas diversas virtutes, quarum altera jam affuerit, non esse conjungendas. Augerius hunc locum parum perspexit. Lang.

Κάλλιστα] Ἴσως μάλιστα. Cor.

Ταῖς γε ἐμπειρίαις] Εἰ ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῖεν. Wolf.

θωσιν, πλεονάκις ἂν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους· οἱ δ᾽, οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ
e ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ᾽ ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. ἔτι δ᾽ οἱ μὲν πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βούλοιντ᾽ ἂν καὶ τοὺς πρὸ αὑτῶν ἄρχοντας καὶ τοὺς ἐφ᾽ [1] αὑτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν᾽ ὡς μεγίστην δόξαν αὐτοὶ [2] λαβῶσιν· οἱ δὲ διὰ
31 παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες εἰς [3] ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας [4] ἔχουσι. τὸ δὲ μέγιστον· τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς ἰδίοις, οἱ δὲ ὡς ἀλλοτρίοις, προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δ᾽ ἐξ ἁπάντων ἐκλεξάμενοι τοῖς φρονιμωτάτοις, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους.

b ϛʹ. Οὐ μόνον δ᾽ ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς κατὰ [5] τὴν ἡμέραν [6] ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. καὶ γὰρ παρασκευάσασθαι δυνάμεις καὶ [7] χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ [8] φθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς

[1] ἑαυτῶν A. [2] λαμβάνωσιν A. C. L. [3] πάντα L.
[4] ὁμοίως ἔχουσι. τὸ δὲ μέγιστον πάντων· A. C. L. [5] τὴν om. A. C. L.
[6] ἑκάστην om. A. L. [7] χρῆσθαι A. [8] ὀφθῆναι A. C. L.

Ἀποδεδειγμένων] Διωρισμένων. Cor.

Καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας] Ἀντὶ τοῦ συνεχῶς. Idem.

Δέοντι] Καιρῷ ἢ χρόνῳ. Idem.

Τοὺς ἐφ᾽ ἑαυτοῖς] Wolf. transtulit: *eos, qui in ipsorum potestate sunt*, quanquam non negat, his verbis significari posse quoque *collegas*, qui ipsorum temporibus vivunt, *successores* vero, quod oppositum, τοὺς πρὸ αὐτῶν ἄρχοντας, postulat, non interpretari audet, mavult igitur τοὺς μεθ᾽ ἑαυτούς. At in utroque, tum versione tum in postremo dubio, erravit sane Vir egregius, quum οἱ ἐφ᾽ ἑαυτοῖς non solum esse possint æquales, sed et successores, ut, plures optimorum auctorum loci, quos Fischerus collegit ad Welleri Grammat. spec. 3. part. 2. p. 236. seq., ubi hic noster locus expresse in auxilium vocatus est, satis declarant. Lang. Τοὺς διαδεχομένους αὐτοὺς ἄρχοντας. Cor.

Εὐνοίας] Wolf. conjecit ἐννοίας ὁμοίας, ut sententia sit: *eadem perpetuo sentiunt. reipublicæ consultum semper volunt.* Lang. Ἴσως εὐνοίας ὁμοίας. Cor. Idem tamen lectionem: εὐνοίας ἔχουσιν. τὸ δὲ μέγιστον· veram censet.

Γὰρ κοινοῖς] Malim abesse *γάρ*. Lang.

Καὶ γὰρ παρασκευάσασθαι etc.] Causa tum hujus præstantiæ, tum aliarum quæ monarchiæ h. l. conceduntur, in eo sine dubio quærenda, quod voluntate unius, si idoneus est et strenuus homo, omnia civitatis negotia et *facilius* et *celerius*, quoniam non eget ille consensu aliorum, perfici possunt. Quod ideo adjicio, ne quis hunc locum difficultatis temere aut corruptionis insimulet, ut factum est ab ignota manu in editione Isocratis Wolfiana minoris formæ, quam ex auctione librorum Fischeri emptam possideo. Idem.

Ὀφθῆναι] Ἴσως φθῆναι. Εὐαγόρ. ιθʹ. μήτε τ. ἐ. α. φθάνειν, μήτε τ. ἐ. ὅ. λανθάνειν. Cor.

δὲ βιάσασθαι, παρὰ δὲ τῶν ἐκπρίασθαι, τοὺς δὲ ταῖς ἄλ-
λαις θεραπείαις προσαγαγέσθαι, μᾶλλον αἱ τυραννίδες τῶν
28 ἄλλων πολιτειῶν οἷαί τ' εἰσί. καὶ ταῦτ' ἐκ τῶν ἔργων ἄν τις c
οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν. τοῦτο μὲν γὰρ τὴν τῶν
Περσῶν δύναμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γε-
γενημένην, οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον
τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι· τοῦτο δὲ Διονύσιον τὸν
τύραννον, [1]ὅτι παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστα-
τον γεγενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμένην, οὐ
μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ καὶ d
μεγίστην τῶν Ἑλληνίδων πόλεων ἐποίησεν· ἔτι δὲ Καρχη-
δονίους καὶ Λακεδαιμονίους, τοὺς ἄριστα τῶν Ἑλλήνων
πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, [2]παρὰ δὲ τὸν
πόλεμον βασιλευομένους. ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν
πόλιν τῶν Ἀθηναίων, τὴν μάλιστα τὰς τυραννίδας μισοῦ-
σαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγούς, ἀτυχοῦσαν,
ὅταν δὲ δι' ἑνὸς [3]ποιήσηται τοὺς κινδύνους, κατορθοῦσαν. καί- e
τοι πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν ἢ διὰ [4]τοιούτων παρα-
δειγμάτων πλείστου τὰς μοναρχίας ἀξίας οὔσας; φαίνον-
ται γὰρ οἵ τε διὰ τέλους [5]τυραννευόμενοι μεγίστας δυνάμεις
ἔχοντες, οἵ τε καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μάλιστα 32
σπουδάζουσιν, οἱ μὲν ἕνα μόνον στρατηγόν, οἱ δὲ βασιλέα
τῶν στρατοπέδων κύριον καθιστάντες, οἵ τε μισοῦντες τὰς
τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, οὐδὲν
τῶν δεόντων πράττοντες. εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων
εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ [6]Διὸς βασιλεύεσθαι.
περὶ ὧν, εἰ μὲν ὁ λόγος ἀληθής ἐστι, δῆλον ὅτι κἀκεῖνοι ταύ-
την τὴν κατάστασιν προκρίνουσιν, εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς
οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, b

[1] ὃς C. L. [2] περὶ L. [3] ποιῆται A. C. L. [4] τούτων τῶν A. C. L. [5] τυραννούμενοι A. C. L. [6] τοῦ Διὸς A. C. L.

Ἀνάστατον γεγεν.] Ὑπὸ τῶν Καρχηδονίων. Hujus meminit et in Philippica oratione. Wolf. Historia apud Diod. Sic. l. 13. 14. Batt.

Παρὰ τὸν πόλεμον] Ἐν καιρῷ πολέμου. Cor.

Καὶ τὴν πόλιν τῶν Ἀθ.] Videtur alludere ad cladem acceptam ad Ægospotamos, cui bello sex duces præfuerunt. Xen. Hellen. l. II. Item ad Siculam expeditionem, cui tres, Nicias, Lamachus, Demosthenes, revocato Alcibiade. Wolf.

Οἵ τε καλῶς ὀλιγαρχούμενοι περὶ ἃ] Pro τῶν τε καλῶς ὀλιγαρχουμένων ἐν ἐκείνοις πράγμασι περὶ ἃ — Sic Homerus Od. M. 73. οἱ δὲ δύω σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει, ἀντὶ τοῦ, τοῖν δὲ δυοῖν σκοπέλοιν ὁ μὲν etc. Idem.

σημεῖον, ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν· οὐ γὰρ ἄν ποτ᾽ αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν. περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων διαφέρουσιν, ἅπαντα μὲν οὔθ᾽ εὑρεῖν οὔτ᾽ εἰπεῖν δυνατόν ἐστιν· οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν [1] ἀποχρώντως καὶ νῦν εἴρηται περὶ αὐτῶν.

c ζ΄. Ὡς δὲ προσηκόντως ἡμεῖς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου συντομώτερος καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος 29 ἐστίν. τίς γὰρ οὐκ οἶδεν, ὅτι Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς, παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους, πλεύσας δεῦρο καὶ [2] τὴν πόλιν αὐτοῖς ἔκτισε καὶ τὴν χώραν [3] κατένειμεν; ὁ δὲ πατὴρ Εὐαγόρας ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους κινδύ-
d νους, καὶ τοσοῦτον μετέστησεν ὥστε μηκέτι Φοίνικας Σαλαμινίων τυραννεῖν, ἀλλ᾽, ὧνπερ ἦν τὴν ἀρχὴν, τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν.

η΄. Λοιπὸν οὖν ἐστιν ὧν προεθέμην, περὶ ἐμαυτοῦ διελθεῖν, ἵν᾽ ἐπίστησθε ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μόνον διὰ τοὺς προγόνους ἀλλὰ καὶ δι᾽ [4] ἐμαυτὸν δικαίως ἂν καὶ μείζονος [5] τιμῆς ἢ τηλικαύτης [6] ἠξιώθην. οἶμαι γὰρ ἐγὼ πάντας ἂν ὁμολογῆσαι πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι
e τήν τε σωφροσύνην καὶ τὴν δικαιοσύνην. οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ᾽ αὑτὰς ὠφελοῦσιν, ἀλλ᾽, εἰ [7] θέλοιμεν σκοπεῖν καὶ τὰς φύσεις καὶ τὰς δυνάμεις καὶ τὰς χρήσεις τῶν [8] πραγμάτων, εὑρήσομεν τὰς μὲν [9] μὴ μετεχούσας [10] τούτων τῶν

[1] ἐξαρκούντως A. C. L. [2] τὴν om. A. C. L. [3] διένειμεν A. C. L. [4] ἑαυτὸν C. αὐτὸν L. [5] τιμῆς om. C. [6] ἀξιωθείην A. ἀρχῆς ἀξιωθείη C. ἀρχῆς ἀξιωθείην L. [7] ἐθέλοιμεν C. [8] ἀρετῶν A. [9] μὴ om. A. C. [10] μηδαμῶς τούτων A. C.

Ὁ δὲ πατὴρ Εὐαγόρας] Hæc in Evagora copiosius exponuntur §. η΄. sqq. et attinguntur ab Horatio l. 1. od. 7. Idem.

Ἦν τὴν ἀρχὴν] Adverbialiter pro κατὰ τὴν ἀρχήν. *quorum fuerat initio.* Idem.

Δι᾽ ἐμαυτὸν] Quid si δι᾽ ἑαυτὸν, et postea ἀξιωθείη. Idem.

Εὑρήσομεν τὰς μὲν μὴ μετεχούσας] Τὰς μὲν et in sequentibus τὰς δὲ ad χρήσεις et δυνάμεις nullo modo referri potest, multo minus ad πραγμάτων, quod generis diversitas prohibet. Hinc pro πραγμάτων aut cum Augerio recipiendum erit ex illius conjectura ἀρετῶν, cui tamen verbum γιγνομένας de actione potius, quam de virtutis exercitatione dici solitum obstare videtur, aut, quod ipse obtuli, πράξεων. Cæterum Augerii ἀρετῶν Isocratis de virtutibus sententiæ, alteram nimirum ab altera sejunctam exerceri posse, nullo modo repugnat, ut e loco p. 147. v. 5. satis manifestum est. Lang. Ὑπολαμβάνω σχῆμα εἶναι τὸ λεγόμενον σύνεσιν, τὴν ἐπαγωγὴν τοῦ θηλυκοῦ τὰς μὲν πρὸς τὸ οὐδέτερον πραγμάτων, ὑπονοουμένου δηλονότι τοῦ πράξεις, συγγενοῦς ὀνόματος τῷ πράγματα. Cor.

ἰδεῶν μεγάλων κακῶν αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύ- 33
νης καὶ σωφροσύνης γιγνομένας πολλὰ τὸν βίον [1]τὸν τῶν
ἀνθρώπων ὠφελούσας. εἰ [2]δή τινες τῶν προγεγενημένων ἐπὶ
ταύταις ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσή-
κειν τῆς αὐτῆς δόξης ἐκείνοις τυγχάνειν.

θ'. Τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλιστα κατί-
δοιτε. παραλαβὼν γὰρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ
μὲν βασίλεια χρημάτων κενὰ καὶ πάντα [3]κατηναλωμένα,
τὰ δὲ [4]πράγματα ταραχῆς μεστὰ καὶ πολλῆς ἐπιμελείας b
δεόμενα καὶ φυλακῆς καὶ δαπάνης, εἰδὼς [5]ἑτέρους ἐν τοῖς
τοιούτοις καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ' αὑτῶν διορθου-
μένους καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὑτῶν πράττειν
ἀναγκαζομένους, ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην, ἀλλ'
οὕτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε
μηδὲν ἐλλείπειν ἐξ ὧν οἷόν τ' ἦν αὐξηθῆναι καὶ πρὸς εὐδαιμο-
νίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ τοὺς πολίτας μετὰ c
τοσαύτης πρᾳότητος προσηνέχθην, ὥστε μήτε φυγὰς μήτε
θανάτους μήτε χρημάτων ἀποβολὰς μήτ' ἄλλην μηδεμίαν
τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας. ἀβά-
του δ' ἡμῖν τῆς Ἑλλάδος οὔσης διὰ τὸν πόλεμον τὸν γεγε-
νημένον, καὶ πανταχοῦ [6]συλωμένων ἡμῶν, τὰ πλεῖστα τού-
των διέλυσα, τοῖς μὲν ἅπαντ' ἀποτίνων, τοῖς δὲ μέρη, τῶν
δ' [7]ἀναβαλέσθαι δεόμενος, πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ d
τῶν ἐγκλημάτων διαλλαττόμενος. ἔτι δὲ καὶ τῶν τὴν νῆσον
οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, [8]καὶ βασιλέως
τῷ μὲν λόγῳ διηλλαγμένου τῇ δ' ἀληθείᾳ τραχέως ἔχοντος,
ἀμφότερα ταῦτα κατεπραΰνα, τῷ μὲν προθύμως ὑπηρετῶν,
πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων. τοσούτου γὰρ δέω
τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μὲν, ἣν καὶ [9]μακρῷ
μείζω τῶν ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς e

[1] τὸν om. A. C. L. [2] δὲ δή A. C. L. [3] καταναλωμένα C.
[4] πράγματα δὲ A. C. L. [5] δ' ἑτέρους A. C. L. [6] συλουμένων A. C. L.
[7] ἀναβάλλεσθαι A. L. [8] καὶ τοῦ βασ. A. L. [9] μικρῷ A. C. L.

Τούτων τῶν ἰδεῶν] Τῆς τε σωφροσύνης καὶ τῆς δικαιοσύνης. WOLF.

Οὐδ' ὑφ' ἑνὸς] Ἀντὶ τοῦ, ὑπ' οὐδενός. COR.

Ἀβάτου — οὔσης] Propter fœdera, ut opinor, quæ inter regem Persarum et Græcos auctoritate Lacedæmoniorum facta sunt. Defecerat autem Evagoras ab Artaxerxe, ut postea videbimus: quare consentaneum est, eum a Græcis etiam hostem fuisse judicatum. WOLF.

Πανταχοῦ] Malim πανταχῇ. *undequaque.* AUGER.

Καὶ βασιλέως] Malim καὶ τοῦ βασιλέως. WOLF.

καὶ πλεονεκτεῖν ζητοῦσιν· ἐγὼ δ' οὐδὲ τὴν διδομένην [1] χώραν
ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν ἐμαυ-
τοῦ [2] μόνον ἔχειν μᾶλλον ἢ μετὰ κακίας πολλαπλασίαν
34 τῆς ὑπαρχούσης κτήσασθαι. καὶ τί δεῖ καθ' [3] ἓν ἕκαστον
λέγοντα διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶ-
σαι περὶ ἐμαυτοῦ; φανήσομαι γὰρ [4] οὐδένα μὲν πώποτ'
ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων
Ἑλλήνων εὖ πεποιηκὼς, καὶ μείζους δωρεὰς ἑκατέροις δεδω-
κὼς ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βασιλεύσαντες. καίτοι χρὴ
τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ καὶ προσποιουμένους
b χρημάτων εἶναι κρείττους τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν
περὶ αὑτῶν.

ί. Καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω
διελθεῖν. εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου
ποιουμένους τοὺς παῖδας τοὺς αὑτῶν καὶ τὰς γυναῖκας, καὶ
μάλιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ
τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνο-
μένην, καὶ πολλοὺς ἤδη [5] καὶ τῶν ἰδιωτῶν καὶ τῶν [6] δυ-
c ναστευσάντων διὰ ταύτην [7] ἀπολομένους, οὕτως ἔφυγον τὰς
αἰτίας ταύτας, ὥστε ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ 31
φανήσομαι σώματι πεπλησιακὼς πλὴν τῆς ἐμαυτοῦ γυναι-
κὸς, οὐκ ἀγνοῶν [8] ὅτι κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκι-
μοῦσιν, ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν
ὄντες, ἄλλοθεν δέ ποθεν αὑτοῖς ἐπορίσαντο τὰς ἡδονὰς,
ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι
τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι
d τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων
ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον
διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρί-

[1] μοι χώραν A. C. L. [2] μόνην A. C. L. [3] ἓν om. A. [4] μηδένα A. C. L.
[5] καὶ om. A. C. L. [6] δυναστευόντων A. C. L. [7] ἀπολλυμένους A. C. L.
[8] ὡς A. C. L.

Τὴν διδομένην μοι χώραν] Historia mihi nota non est. Forte rex Persarum ditionem, alii ademptam, Nicocli donare voluit; aut aliqui a vicino tyranno ad Nicoclem defecerunt. In Evagora scribit: ὅτι καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ μικροῦ ἐδέησεν Κύπρον ἅπασαν κατασχεῖν. Quid ergo si διδομένην, i. e. τὴν ὑπὸ τοῦ πατρὸς καταλειφθεῖσαν. Wolf. Διδομένην, *a patre relictam, et reliquis Cypri regibus armis ereptam*: cui opponitur ἡ ἐμαυτοῦ lin. seq. Lang.

Καὶ πολλοὺς ἤδη τῶν] F. καὶ πολλοὺς τῶν τε. vel ἀπολομένους aut ἀπολωλότας. Ἤδη ἀπολλυμένους videtur insolens hoc quidem loco, quum præcedat εἰδὼς γὰρ ἅπαντας κ. τ. λ. Wolf. Ἄμεινον γράφειν ἀπολομένους. Cor.

βοντας. ἔπειτα καὶ προσήκειν ἡγησάμην τοσούτῳ τοὺς
βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳπερ καὶ τὰς
τιμὰς μείζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν, ὅσοι τοὺς
μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὑτοὺς μὴ
σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσι. πρὸς δὲ τούτοις e
τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς καὶ τοὺς πολλοὺς
γιγνομένους, τῶν δ' ἐπιθυμιῶν τῶν περὶ τοὺς παῖδας καὶ
τὰς γυναῖκας καὶ τοὺς βελτίστους ἡττωμένους· ἠβουλήθην
οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς
ἔμελλον οὐ μόνον τῶν [1] ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ'
ἀρετῇ μέγα φρονούντων. ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν 35
κακίαν κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες καὶ κοινω-
νίαν ποιησάμενοι παντὸς τοῦ βίου μὴ [2] στέργουσιν οἷς
ἔπραξαν, ἀλλὰ ταῖς αὑτῶν ἡδοναῖς [3] λυποῦσι ταύτας, ὑφ'
ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι· καὶ περὶ μὲν ἄλλας
τινὰς [4] κοινωνίας ἐπιεικεῖς σφᾶς αὐτοὺς [5] παρέχουσιν, ἐν δὲ
ταῖς πρὸς τὰς γυναῖκας [6] ἐξαμαρτάνουσιν· ἃς ἔδει τοσούτῳ
μᾶλλον διαφυλάττειν, ὅσῳπερ οἰκειότεραι καὶ μείζους οὖσαι b
τυγχάνουσι τῶν ἄλλων. εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν
[7] τοῖς βασιλείοις στάσεις καὶ διαφορὰς αὑτοῖς ἐγκαταλεί-
ποντες. καίτοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας μὴ μόνον τὰς
πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ
καὶ [8] τοὺς οἴκους τοὺς ἰδίους καὶ τοὺς τόπους ἐν οἷς ἂν κατοι-
κῶσιν· ἅπαντα γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης
32 ἐστίν. οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς παιδο- c
ποιΐας τοῖς πλείστοις τῶν βασιλέων, οὐδ' ᾠήθην δεῖν τοὺς
μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων τοὺς δ' ἐκ
σεμνοτέρας, οὐδὲ τοὺς μὲν νόθους αὑτῶν τοὺς δὲ γνησίους
καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν καὶ πρὸς
πατρὸς καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν εἰς
Εὐαγόραν τὸν πατέρα τὸν ἐμόν, τῶν δ' ἡμιθέων εἰς Αἰακίδας,

[1] πολλῶν C. L. [2] στέργωσιν A. [3] λυπῶσι A. [4] κοινωνίας τινὰς A. C. L. [5] παρέχωσι A. [6] ἐξαμαρτάνωσιν A. [7] αὐτοῖς τοῖς A. C. L. [8] τοὺς ἰδίους οἴκους A. C. L.

Καρτερεῖν] Ἀντὶ τοῦ, ἐγκράτειαν ἀσκεῖν, ἢ ἐγκρατεύεσθαι, ἢ ἐγκρατῆ τούτων εἶναι. Wolf.

Οἷς ἔπραξαν] Pro ἐκείνοις ἃ ἔπραξαν. Idem.

Διάγειν] Διοικεῖν, ἢ κυβερνᾶν. Cor.

Τὴν αὐτὴν φύσιν] Malim τὴν αὐτῶν φύσιν. *ortum suum.* Wolf. *sed omnes posse referre,* Aug. Ita ut ἔχειν significet *posse,* et conjungatur cum sequente ἀνενεγκεῖν. Lang.

τῶν δὲ θεῶν εἰς Δία, καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων
d ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας.

ιά. Πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτη-
δεύμασι τούτοις, οὐχ ἥκιστά με κἀκεῖνο παρεκάλεσεν, ὅτι
τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος καὶ τῶν ἄλλων τῶν
εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέ-
χοντας, τὴν δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην ἴδια κτή-
ματα τῶν καλῶν κἀγαθῶν ὄντα. κάλλιστον οὖν ὑπέλαβον,
εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς [1] προέχειν τῶν ἄλλων
e [2] ὧν οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ [3] γνησιώταται
καὶ βεβαιόταται [4] καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχά-
νουσιν οὖσαι. [5] τούτων ἕνεκα [6] καὶ ταῦτα διανοηθεὶς [7] περιτ-
τοτέρως τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην καὶ [8] [τὴν
δικαιοσύνην καὶ ταύτας] προειλόμην τῶν ἡδονῶν οὐ τὰς ἐπὶ
36 τοῖς ἔργοις [9] τοῖς μηδεμίαν τιμὴν [10] ἔχουσιν, ἀλλὰ τὰς ἐπὶ

[1] προσέχειν τὸν νοῦν τῶν A. C. L. [2] ἀφελόμενος (ἀφέμενος C.) ὧν μηδὲν A. C. L. [3] καὶ γνησιώταται A. C. L. [4] καὶ μέγισται καὶ A. [5] [τούτων ἕνεκα] L. [6] καὶ om. A. C. L. [7] περιττότερον A. C. L. [8] uncos om. A. C. L. [9] τοῖς om. A. C. L. [10] ἐχούσας A. C. L.

Δεινότητος] Δεινότης jure mihi explicasse videor *acrimonia mentis*, seu, ut alias vocatur hæc virtus, *sapientia*, ut, quod contextus flagitat, primariarum quatuor virtutum nulla omissa videatur. [Augerus enim *eloquentia*.] Lang. Φρονήσεως. Cor.

Τῶν ἄλλων ἀφελόμενος] Wolf. explicat *ab aliis avulsus*, i. e. selegi ac quasi separavi has duas virtutes a cæteris, has mihi peculiares esse volui et eximie colui. Sed minus bene vel saltem minus dilucide, credo. ἀφελόμενος enim active significat, ut fere semper, *auferens*, seu h. l. *separans*, ubi αὐτὰς supplendum est. Dicitur enim ἀφαιρεῖσθαί τί τινος, secundum quam usitatam hujus verbi constructionem proprie dicendum fuisset: αὐτὰς τῶν ἄλλων ἀφελόμενος. *eas a reliquis separans.* Lang. *eas segregans ab aliis virtutibus*, i. e. eas aliis virtutibus præponens, vel eas seligens inter alias virtutes. Auger.

Ἕνεκα] Mihi videtur addendum καὶ post ἕνεκα, et forte recidendum τούτων ἕνεκα ut redundans. Lang.

Ταύτας — τῶν ἡδονῶν] Pro ταύτας τὰς ἡδονάς. Wolf.

autem multo post. Hinc intelligitur, bella cum Barbaris, quæ tractare hoc capite incipit, h. e. bella cum Eumolpo, Amazonibus et Persis, non omnia posse τὰ πρότερον, Heraclidis et Adrasto vetustiora, appellari. Præterea cum hactenus Atheniensium δυναστείαν ἐν τοῖς Ἕλλησι declarasset: demonstrat nunc, etiam Barbaros ab iis superatos esse. Ergo rebus Atheniensium cum Græcis nunc opponuntur res eorundem cum Barbaris gestæ; non autem quæritur, quid πρότερον fuerit. Quare inclusi hæc verba, τῶν πρότερον, quæ in loco altero περὶ ἀντ. ab omnibus editionibus recte absunt. Mor. πρότερον sume absolute, *antea, jam pridem*; non relative ad facta, quæ præcedunt. Auger. τῶν πρότερον omnes codd. in Panegyr. habent, et in ἀντ. cod. Ambros., neque ejici debet, respectu belli, quod denuo Barbaris illaturos esse vult Græcos. Τῇ πόλει πεπραγμένων, similis ratio, deprehenditur Demonic. §. β'. Philipp. §. ξδ'. Evagor. §. ιβ'. Spohn.

Ἄλλως τε ἐπειδὴ καὶ] Coraes hic et in ἀντ. ad Philipp. §. λγ'. Evagor. §. β'. Panathen. §. θ'. καὶ, quod in omnibus libris sequitur particulam insertam, præfixit et ante eam posuit. Præter necessitatem, ut videtur Hermanno ad Viger. p. 781. edit. II., et usum Isocratis. Idem.

Ἐπὶ τῶν μεγίστων] Habet aliquid obscuritatis, quia absolute positum videtur, nec jungi potest τῷ διελθεῖν. Verti tamen sic debet: *in maximis rebus* (hærens, vel subsistens, quod ad maximas res attinet), *conabor de his ita, ut paullo ante, dicere.* Quod si cui parum probetur, is ἐπὶ mutet in ἐκ, hoc sensu: *e maximis* (petita materia orationis) *conabor* etc. Et plane sic locutus est §. κα'. ἐκ τῶν ὑπολοίπων οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν, *e reliquis* (petita materia, seu, facto selectu), *non dubitandum est de iis dicere.* Mor. Hic certo nihil mutandum est; ἐπὶ τῶν μεγ. idem est, quod περὶ τῶν μ., præpositiones autem interdum permutantur, idemque fit in eadem construendi serie; exempla sunto, quod Mor. e §. κα'. et quæ Schaeferus, eruditionis penu, ad Dionys. Halic. de compos. p. 387. et in indice Melemat. crit. p. 162. commemorarunt. Spohn. Sensus facilis est: *quomodo autem res gravissimas narravi, eodem has etiam* (i. e. gravissimas) *afferam.* Lang.

Ἀρχικώτατα] Putem esse populos, imperantes late, quos Cic. Or. c. 34. *imperiosos* dixit. Ἀντ. ἀρχαϊκώτατα, quod Wolfius recte rejecit. Nam primum non de antiquitate, sed imperio nationum sermo est: deinde non decuit Isocratem, qui paullo Athenienses fecerat vetustissimos, nunc illum honorem Barbaris tribuere. De imperio Thracum et Scytharum præter Herodotum vid. §. ιθ'. Καθ' ὃν χρόνον ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, quibus convenit, quod apud Xenoph. Mem. II. 1. 10. Socrates de sua ætate loquitur: ἐν τῇ Εὐρώπῃ (quatenus non paret Græcis) Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ ἄρχονται. Etiam Thucydides II. 96. sqq. utriusque populi opes describit: quæ saltem sunt argumenta vetustæ magnitudinis. Mor. Intelligo, gentes quæ maxime principem locum obtinent. Auger.

Καταδουλώσασθαι] Idem judicium de

c ιθ'. Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς
γέγονεν. οὐ μὴν ἐλάττω [1] τεκμήρια τὰ παλαιὰ τῶν ἔργων
ἐστὶ τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. ἔτι γὰρ ταπει-
νῆς οὔσης τῆς Ἑλλάδος, ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες
μὲν μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετὰ Ἀμα-
ζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον,
ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες
μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλή-
d ματα ποιησάμενοι, νομίζοντες ἐκ τούτου τοῦ τρόπου πρὸς
μίαν μὲν πόλιν κινδυνεύσειν, ἁπασῶν δὲ ἅμα κρατήσειν. οὐ
μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς
ἡμετέρους συμβαλόντες ὁμοίως διεφθάρησαν, ὥςπερ ἂν εἰ
πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν. δῆλον δὲ τὸ μέγεθος
τῶν κακῶν τῶν γενομένων ἐκείνοις· οὐ γὰρ ἄν ποθ' οἱ λόγοι
περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέν-
e τα πολὺ τῶν ἄλλων διήνεγκε. λέγεται δ' οὖν περὶ μὲν
Ἀμαζόνων, ὡς τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν,
αἱ δ' ὑπολειφθεῖσαι διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς
ἐξεβλήθησαν· περὶ δὲ Θρᾳκῶν, ὅτι τὸν ἄλλον χρόνον ὅμοροι
55 προσοικοῦντες ἡμῖν διὰ τὴν τότε γεγενημένην στρατείαν
τοσοῦτον διέλιπον, ὥςτ' ἐν τῷ μεταξὺ τῆς χώρας ἔθνη
πολλὰ καὶ γένη παντοδαπὰ καὶ πόλεις μεγάλας κατοικι-
σθῆναι.

κ'. Καλὰ μὲν οὖν καὶ ταῦτα καὶ πρέποντα τοῖς περὶ

[1] τούτων τεκμήρια A. C. L.

bellis Persicis Lysiæ in Epitaph. §. ζ'. Mor.

Ταπεινῆς] Est illa Græcia, quam Isocrates §. θ'. init. descripsit. Etiam Latine dicitur "humilis civitas," Cæs. B. G. VII. 54. quo loco verbum *humilis* in hac re perspicue explicatur. Idem.

Ἦλθον — Θρᾷκες] Tempore Erechthei. Panath. §. σπ'. Thucyd. II. 15. Lycurg. in Leocr. §. κδ'. Xen. Memor. III. 5. 10. Dicitur Eleusinium bellum, quia Eumolpus dux Eleusiniorum fuit, quibuscum Athenienses de finibus contenderunt. Thuc. II. 15. Meurs. de regno Att. II. 8. Idem.

Σκύθαι] Tempore Thesei. Panath. l. c. Lysias Epitaph. §. γ'. Plutarch. Thes. c. 27. Aristid. Panath. p. 25. Justin. II. 4. 26. Amazonum ἐγκλήματα fuerunt, raptam esse a Theseo Hippolyten. Idem.

Ἐπῆρχον] Plerique idem valere putant τὸ ἐπάρχειν, quod simplex ἄρχειν, i. e. *imperare*, vel *imperium obtinere*. Sed mihi conatum potius atque initium occupandi imperii, quam effectum et absolutionem, significare videtur. Wolf. Non interpretare *imperabant*, sed *imperare affectabant*. Auger.

Δῆλον δὲ — γὰρ] De hac frequentissima loquendi forma, cui similis est §. κδ'. λα'. σημεῖον δὲ, τεκμήριον δὲ, ἐδήλωσε δὲ, et alia ejusdem significationis, sequente γὰρ, egit Bachius ad Xen. Symp. IV. 17. Mor.

Αἱ δ' ὑπολειφθεῖσαι] *quæ in patria remanserant*, non ad bellum una profectæ erant. Idem.

Προσοικ. ἡμῖν] Vid. §. θ'. Itaque διέλιπον sic accipiendum est: *spatium intermedium reliquerunt*, recedendo a finibus nostris. Idem.

τῆς ἡγεμονίας ἀμφισβητοῦσιν· ἀδελφὰ δὲ τῶν εἰρημένων,
καὶ τοιαῦτα οἷάπερ [1] εἰκὸς τοὺς ἐκ τοιούτων γεγονότας, [2] οἱ
πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν. μεγίστου
γὰρ πολέμου συστάντος [3] ἐκείνου καὶ πλείστων κινδύνων
[4] εἰς τὸν αὐτὸν χρόνον συμπεσόντων, καὶ τῶν μὲν πολεμίων b
ἀνυποστάτων οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμμά-
χων ἀνυπέρβλητον ἡγουμένων ἔχειν τὴν ἀρετὴν, ἀμφοτέρων
κρατήσαντες ὡς ἑκατέρων προσῆκε, καὶ πρὸς ἅπαντας τοὺς
51 κινδύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν,
οὐ πολλῷ δ' ὕστερον τὴν ἀρχὴν [5] τῆς θαλάττης ἔλαβον,
δόντων μὲν τῶν ἄλλων Ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ
τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων. c

κα΄. Καὶ μηδεὶς οἰέσθω με ἀγνοεῖν ὅτι καὶ Λακεδαιμό-
νιοι περὶ τοὺς καιροὺς [6] τούτους πολλῶν ἀγαθῶν αἴτιοι τοῖς
Ἕλλησι κατέστησαν· ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν

[1] εἰκὸς ποιεῖν τοὺς L. [2] ἃ A. οἳ L. [3] ἐκείνου πολέμου συστάντος A. C. L. [4] κατὰ A. C. L. [5] τῆς θαλάττης τὴν ἀρχὴν A. C. L. [6] τούτους τοὺς καιροὺς A. C. L.

Ἀδελφὰ — ἔπραξαν] *quæ in bellis Persicis gesserunt, similia sunt superioribus, et talia, qualia tantorum virorum posteros fecisse credibile est.* Post εἰκὸς cod. Bav. ποιεῖν addit, quod non abhorret ab Isocratica redundantia. Mox male in ἀντ. scriptum est οἳ pro ἃ, quasi ad τοιούτους referatur. Idem. Langius illud ποιεῖν recepit, rectius autem in voce ἔπραξαν subauditur; ποιεῖν enim ab homine minus erudito, quam qui hæc intelligeret, majoris perspicuitatis causa additum esse videtur. Sensus est: ἀδελφὰ δὲ τ. εἰρ. καὶ τοιαῦτα, οἷάπερ εἰκὸς τοὺς ἐκ τ. γ. [πράττειν] (ἐκεῖνά ἐστιν) ἃ ἔπραξαν κ. τ. λ. Spohn.

Συμμάχων] Wolfius frustra socios Persarum intelligit. Mor.

Ἡγουμένων] Wolfius inserendum esse putat αὐτούς. Spohn.

Ὡς ἑκατέρῳ προσῆκεν] *ut debebant utrique vinci:* socios enim, qui se a nemine antecelli putabant, ut decet, virtute superarunt; hostes armis. Wolfius ἑκατέροις legi voluit, ut paullo ante ἀμφότεροι forma plurali, qua similitudine non opus est. Ego, si quid mutem (nam nescio, an προσήκει αὐτῷ dicatur hic recte de eo, qui patitur jure meritoque, quum fere usurpetur de his, qui aliquid agunt, unde et Wolfius ad h. l. mire philosophatus est), receperim ἑκατέρων ex Ἀντ. ut κρατῆσαι repetatur, ὡς προσῆκεν (Ἀθηναίοις) ἑκατέρων κρατῆσαι. Nam sic Lyc. in Leocr. §. ιζ΄. qui locus aperte expressus est ex Isocratico: ἀμφοτέρων περιγεγόνασι, ὡς ἑκατέρων (περιγίνεσθαι) προσῆκε. Is. Panath. §. κη΄. οὐχ οὕτως εὐδοκίμησεν, ὡς προσῆκεν αὐτὸν (εὐδοκιμεῖν). Mor. Ἑκατέρων etiam Retbergius in Bibl. vet. Lit. et art. l. I. p. 25. prætulit. Spohn.

Ἠξιώθησαν] *judicati sunt fortissimi,* primo post pugnam ad Artemisium, quæ in hæc tempora incidit, Herodot. VIII. 17. τῶν Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι. Adde Diod. Sic. XI. 13. Iterum post pugnam Salaminiam et bellum cum Xerxe, Isocr. Areop. §. γ΄. ἐπρωτεύσαμεν τῶν Ἑλλήνων, et Justin. II. 14. "Atheniensium virtus cæteris prælata." Herodotus tamen VIII. 98. primo loco Æginetas ponit, ubi vid. Valckenar. Cf. Diod. Sic. XI. 27. Mor.

Ἔλαβον] Hoc ita factum est, ut Græci, etiam Asiatici, imperium iis deferrent. Areop. §. ϛ΄. οἱ πρόγονοι παρ' ἑκόντων Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον. Panath. §. ιζ΄. Symmach. §. ια΄. Thucyd. V. 95. Tum cœperunt naves et tributa imperare, ib. c. 96., obedientibus Græcis, eoque se imperium maris inter Græcos habere declararunt. Cf. omnino Xen. Hell. VI. 5. 34. Locum hunc Aristot. rhet. III. p. 239. extr. repetiit, ab εὐθὺς ad ἔλαβον. Idem.

Οὐκ ἀμφισβητούντων] Clandestinis artibus Lacedæmonii auctoritatem hanc Atheniensium minuere mox conati sunt. Idem.

ἔχω τὴν πόλιν τὴν ἡμετέραν, ὅτι τοιούτων ἀνταγωνιστῶν
τυχοῦσα τοσοῦτον αὐτῶν διήνεγκε. βούλομαι δ' ὀλίγῳ
μακρότερα περὶ [1] τοῖν πολέοιν [2] τούτοιν εἰπεῖν καὶ μὴ ταχὺ
d λίαν παραδραμεῖν, ἵν' ἀμφοτέρων ἡμῖν [3] ὑπόμνημα γένηται,
τῆς τε τῶν προγόνων ἀρετῆς, καὶ τῆς πρὸς τοὺς βαρβάρους
ἔχθρας. καίτοι με [4] οὐ λέληθεν, ὅτι χαλεπόν ἐστιν ὕστα-
τον ἐπελθόντα λέγειν περὶ πραγμάτων πάλαι προκατει-
λημμένων, καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν
εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν·
ἀνάγκη γὰρ τὰ μὲν μέγιστ' [5] αὐτῶν ἤδη κατακεχρῆσθαι,
e μικρὰ δέ τινα παραλελεῖφθαι. ὅμως δ' ἐκ τῶν ὑπολοίπων,
ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνησθῆναι
περὶ αὐτῶν.

κβ'. Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων
ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν
56 ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ
τοῦ πολέμου τούτου [6] γενομένων καὶ δυναστευσάντων [7] ἐν
ἑκατέρᾳ [1] τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν. ἐκεῖνοι γὰρ ἦσαν
οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προ-
τρέψαντες ἐπ' [8] ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς
βαρβάροις ποιήσαντες. οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ'
ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ'
ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν
b προσηκόντων· οὐδὲ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον,

[1] ταῖν A. C. L. [2] ταύταιν A. C. L. [3] ὑπομνήματα A. C. L.
[4] οὐδὲ A. L. [5] τούτων A. C. L. [6] γεγενημένων A. C. L. [7] ἐν om. L.
[8] ἀρετῇ L.

Ἐπὶ τοῖς δημ. θαπτ.] De concionibus funebribus Periclis (Thucyd. II. 35.), Platonis in Menexeno, Demosthenis (qui quidem an sit auctor, non constat), Hyperidis et Lysiæ diligentissime exposuit Taylorus Lect. Lysiacis c. 3. Marklandus ad Lysiam p. 435. Isocratem hoc loco de Lysiæ ἐπιταφίῳ dixisse putat. Idem.

Κατακεχρῆσθαι] Hic, quod non memini me alibi vidisse, verbum καταχράομαι accipitur in sensu passivo; et significat *valde utor*. Auger.

Πλείστων—ἡγοῦμαι] Hæc posuit Dion. Hal. T. II. p. 99. v. 23. ed. Sylb. in exemplis nimiæ concinnitatis. Idem p. 96. totum hoc caput summatim enarravit. Mor.

Προκινδυνεύσαντας] Cum Miltiade et Themistocle. Cf. Lycurg. in Leocr. §. ιβ'. Mor. Et Cor. ad Heliod. p. 165. Spohn.

Ἐν ἑκατέρᾳ] Etsi Steph. in Thes. L. Gr. δυναστεύειν etiam dativo jungi monuit: tamen usitatius prætuli. Et sunt οἱ δυναστεύσαντες ἐν τῇ πόλει, qui magistratum gesserunt, civitatem administrarunt. Mor.

Ἐκεῖνοι] Aristot. rhet. l. III. c. 17. Ἐν τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· ἀεὶ γάρ τινα εἰσάγει. Talis est hæc laus majorum, et Areop. §. η'. κ'. qui locus cum nostro ob similitudinem sententiarum et verborum necessario conferendus est. Idem.

ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις [1] τοιαῦτα τυγχάνοι πράττων ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶ με-
52 γίστην δόξαν καταλείψειν· οὐδὲ [2] τὰς θρασύτητας [3] τὰς ἀλλήλων ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς [4] αὐτῶν ἤσκουν, ἀλλὰ δεινότερον [5] μὲν ἐνόμιζον εἶναι [6] κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς [7] πόλεως ἀποθνήσκειν, c
μᾶλλον δ' ᾐσχύνοντ' ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. τούτων δ' ἦν αἴτιον, ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην [8] τὴν ἡμέραν ἐπιτηδευμάτων. ἠπίσταντο γὰρ ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλὰ ἀπ' ὀλίγων συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν. οὕτω d
δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς

[1] τυγχάνει τοιαῦτα A. L. τυγχάνοι τοιαῦτα C. [2] γὰρ τὰς A. C. L. [3] τὰς om. A. L. [4] καθ' ἑαυτῶν A. C. L. [5] μὲν om. A. L. [6] τὸ κακῶς A. C. L. [7] πατρίδος ἀποθανεῖν A. C. L. [8] τὴν om. A. C. L.

Οὐδὲ γὰρ] Orellius p. 226. in notis præfert lectionem οὐδὲ τὰς θρ. reliquis, sed γὰρ hic non delevi. Nam non continuantur hic, uti Orellius opinatur, membra οὐ γὰρ — οὐδὲ πρ., sed quæ sequuntur, οὐδὲ γὰρ τὰς etc., referenda sunt ad verba ὅστις τυγχάνοι τοιαῦτα πράττων. Sensus est: Sed ii ditissimi videbantur, qui in ejusmodi factis operam collocarent, quæ et sibi et posteris gloriam pararent maximam, neque enim audacia certabant, neque sese invicem ferociter lacessebant, sed gravius quiddam esse putabant male audire a civibus, quam honeste pro patria mori, magis vero pudebat eos publicorum delictorum, quam nostros homines pudet privatorum peccatorum. Spohn.

Θρασύτ. ἀλλήλων] Sunt αἱ θρασ. ἀλλ. quum omnes sibi omnia in omnes licere putant, et αἱ τόλμαι καθ' ἑαυτ. quum omnes audent omnia in omnes. Mor.

Ἐπιτηδευμάτων] Quales fuerunt Lycurgi leges, quæ disciplinam constituerunt. Areop. §. ιϛ'. οὐκ ἐκ τῶν γραμμάτων (legibus scriptis) ἡ ἐπίδοσις τῆς ἀρετῆς ἐστὶ, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. Idem.

Ὅτι — ὁμονοήσουσιν] Dion. H. l. c. v. 38. Sed omisit καλοῖς, ἀπ', ῥᾳδίως. Quod autem in ἀντ. pro γραμμάτων est πραγμάτων, id huic loco non convenit. Συνθήματα sunt, quæ invicem constituerunt, de quibus convenerunt: ut adeo ex composito potius, quam e lege agerent. Nec debebat h. l. Wolfius *tesseras* vertere, etsi in cod. Fug. scholion hoc, σημείων, repererat. Præterea ὁμονοεῖν ἀπό τινος est *consentire ope et beneficio alicujus rei*, §. μϛ'. ἀσφαλῶς οἰκεῖν ἔκ τινος. Thuc. IV. 25. παραπλέειν ἀπὸ κάλω, *prætervehi, ope remulci*. Id. IV. 18. γνώμῃ σφάλλεσθαι ἀπό τινος, *errare propter aliquid*. et IV. 98. τολμᾷν τι ἀπὸ ξυμφορῶν, *audere aliquid propter calamitatem, coactum calamitate*. IV. 105. δύνασθαι ἀπὸ μετάλλων, *opulentum esse propter metallorum possessiones*. Idem.

Ὅτι δεήσει — ὁμονοήσουσι] Sic jungitur ὅτι futuro indicativi. Lysias in Eratosth. §. θ'. ὅτι ἔσονται — δυνήσονται. Etiam διότι, Xen. Mem. I. 2. 53. ubi est pro ὅτι. Item ὥστε, Paneg. c. 37. Xen. Mem. III. 6. 12. Et ὅπως, ut paullo ante ὅπως ἕξουσιν, et c. λε'. με'. μϛ'. μη'. να'. Areop. λβ'. quinquies eodem loco, Lysias l. c. ὅπως ψηφίσεσθε — ἔσεσθε. Xen. Mem. III. 2. 1. III. 8. 8. II. 1. 1. Œcon. VI. 12. 15. Dem. de Cor. c. 94. et innumeris aliis locis. De eadem syntaxi τοῦ ἵνα v. Markland. ad Lysiam p. 43. ed. Reisk. Idem.

Ἀλλὰ] Post ἀλλὰ repete ὅτι, et ita verte: *sed ope paucorum pactorum et publicis et privatis de rebus facillime consensuros esse*. Lang.

ἀλλήλους, οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοι-
πῶν ἄρξουσιν, ἀλλ᾽ ὁπότεροι [1] φθήσονται τὴν πόλιν ἀγαθόν
τι ποιήσαντες· καὶ τὰς [2] ἑταιρείας συνῆγον, οὐχ ὑπὲρ τῶν
ἰδίᾳ συμφερόντων, ἀλλ᾽ ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. τὸν
αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες
e ἀλλ᾽ οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν οἰόμε-
νοι δεῖν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ μᾶλλον ἐπιθυμοῦντες
ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι καὶ σωτῆρες ἀλλὰ
μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς
πόλεις, ἀλλ᾽ οὐ βίᾳ καταστρεφόμενοι, πιστοτέροις μὲν τοῖς
57 λόγοις ἢ νῦν τοῖς ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ
ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις
μέγα φρονοῦντες ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι,
τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ
τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὑτῶν

[1] ὀφθήσονται A. C. L. [2] ἑταιρίας A. C. L.

Ὀφθήσονται] Codd. Cor. in ἀντ. quod etiam Coraes illuc recepit, et huc se non recepisse in notis dolet, φθήσονται. Dionys. Halicarn. ita sensum hujus loci exprimit: πότεροι πλείω τὴν πόλιν ἀγαθὰ ποιήσουσι, οὐχ οἵτινες, ἑτέρους ἀπολέσαντες, τῶν λοιπῶν αὐτοὶ ἄρξουσι. Neque vero hic neque in ἀντ. ὀφθήσονται necessario mutandum est, nam ὄπτομαι ποιῶν idem est, quod *incurrit in oculos, palam, conspicuum* etc. *est me hoc facere*, aut palam facio, conspicuus sum, fio, hoc perficiendo, Archidam. §. μ΄. extr., et sic infra §. κδ΄. κϛ΄. ἀντ. p. 65. Orell. Cfr. Hesych. s. v. ὀφθῇ et ὤφθη, Gataker. ad Antonin. X. 8. p. 329. De simili ratione, qua participii loco substantivum est, monuit Dorvillius ad Chariton. p. 483. ed. Lips. Vertendum igitur puto hunc locum: *sed utri bonis urbi parandis conspicui essent*, i. e. utri voluntatem in urbem luculentius declararent. Idem pæne exprimitur verbo φαίνεσθαι, ita ut φαίνομαι ποιῶν et ὄπτομαι ποιῶν sensu non differant, cfr. præter locos, quos Morus in Ind. attulit, Nicocl. §. β΄. Areopagit. §. ιη΄. Busir. §. γ΄. ιη΄. Panath. §. ιε΄. ξ΄. Plat. §. η΄. ιη΄. de Big. §. γ΄. ιβ΄. Trapezit. §. ε΄. Callim. §. κδ΄. Æginet. §. η΄. Spohn.

Τὰ τῶν ἄλλων — ἐμμένειν ἀξιοῦντες] Dion. Hal. l. c. v. 42. Post δεῖν addidit αὐτῶν. De θεραπεύειν cf. §. ιβ΄. τοὺς ἀσθενεστέρους θεραπ. Mor.

Καὶ σωτῆρες] Hoc quantum sit, non melius explicari potest, quam ab Herodoto, VII. 139. factum est, etsi ille non de his majoribus, quos Isocrates prædicat, sed de iis commodis, quæ Salaminiam victoriam consecuta sunt, loquitur. Mor. Cfr. de pac. §. μϛ΄. Spohn.

Καταστρεφόμενοι] *subjicientes imperio suo*. Sic Herodot. I. 6. V. 1. et sæpissime. Dem. de Cor. c. 10. 14. Xen. Cyrop. VII. 4. 8. ubi syn. est, ὑποχείριον ποιεῖσθαι. Diod. Sic. XVII. 89. Et Latini dicunt, *evertere, delere civitatem*, cui leges et libertas eripiuntur. Præterea Dion. H. habet προσκαταστρεφόμενοι, cujus verbi exempla ignoro. Henr. Stephanus diatr. 4. in Isocr. p. 25. errori librariorum tribui posse putat [ortum sine dubio inde, quod προσαγορεύεσθαι et προσαγόμενοι antecedunt]. Mor.

Ὅρκοις] Ita edd. omnes et Dion. H. etiam p. 96. Recte. Nam ἔργοις, quod in ἀντ. editur, non aptum videtur, et est a Wolfio rejectum: quum hoc velut in proverbium de laude bonæ fidei abierit, dictis tantum, atque adeo plus tribui, quam juramentis. Idem.

Ἄστη] Civitates (Athenas, Spartam) putabant esse urbes *suas*, quas suas dicerent, quarum possessio, amor, cura et usus ad ipsos proprie pertineret, ut patriæ urbis, quæ non est omnium omnino patria. Quæ sint *privatæ urbes* apud Anglum interpretem et Wolfium, equidem non intelligo. Idem. Dionys. Halicarn. l. l. τοιαῦτα δὲ περὶ τῶν ἡττόνων ἀξιοῦντες γινώσκειν, οἷα περὶ σφῶν αὐτῶν τοὺς κρείττους ἂν ἠξίωσαν φρονεῖν, οὕτω δὲ παρεσκευασμένοι τὰς γνώμας, ὡς ἰδίᾳ μὲν ἔχοντες τὰς

πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

κγʹ. Τοιαύταις δὲ διανοίαις χρώμενοι, καὶ τοὺς νεωτέ-
ρους [1] ἐν τοῖς τοιούτοις ἤθεσι παιδεύοντες, οὕτως ἄνδρας b
ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς
Ἀσίας, ὥστε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν μήτε
τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις πεπρα-
53 γμένων εἰπεῖν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως
γάρ ἐστι χαλεπὸν ἐπαινεῖν τοὺς [2] ὑπερβεβληκότας τὰς τῶν
ἄλλων ἀρετάς, ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας·
τοῖς μὲν γὰρ οὐχ ὕπεισι πράξεις, πρὸς δὲ τοὺς οὐκ εἰσὶν c
ἁρμόττοντες λόγοι. πῶς γὰρ ἂν γένοιντο σύμμετροι τοιούτοις
ἀνδράσιν, οἳ τοσοῦτον [3] μὲν τῶν ἐπὶ Τροίαν στρατευσαμένων
διήνεγκαν, ὅσον οἱ μὲν [4] περὶ μίαν πόλιν [5] [στρατεύσαντες]
ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύνα-
μιν ἐν ὀλίγῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς αὑτῶν
πατρίδας διέσωσαν, ἀλλὰ καὶ τὴν σύμπασαν [6] Ἑλλάδα
ἠλευθέρωσαν; ποίων δ' ἂν ἔργων ἢ πόνων ἢ κινδύνων ἀπέ-
στησαν ὥστε ζῶντες εὐδοκιμεῖν, οἵτινες ὑπὲρ τῆς δόξης, ἧς d
ἔμελλον τελευτήσαντες ἕξειν, οὕτως ἑτοίμως ἤθελον ἀπο-
θνήσκειν; οἶμαι δὲ καὶ τὸν πόλεμον τοῦτον θεῶν τινὰ συνα-
γαγεῖν ἀγασθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενό-
μενοι τὴν φύσιν διαλάθοιεν μηδ' ἀκλεῶς τὸν βίον τελευτή-
σαιεν, ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσι καὶ
καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν. καὶ γὰρ [7] ἐκείνων τὰ μὲν
σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ' ἀρετῆς e
ἀθάνατον τὴν μνήμην [8] ἐποίησαν.

[1] ἐν τοῖς om. A. L. τοῖς om. C. [2] ὑπερβεβηκότας A. C. L. [3] μὲν om. A. C. L. [4] ἐπὶ A. C. [5] uncos om. A. C. L. [6] Ἑλλάδα σύμπασαν A. C. L. [7] ἐκεῖνοι A. C. L. [8] κατέλιπον A. C. L.

ἑαυτῶν πόλεις, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα οἰκοῦντες. Spohn.

Ἄνδρας ἀγαθοὺς] *viros fortes*, ut §. κβʹ. χαλεποὺς ἀνταγωνιστὰς τοῖς Βαρβάροις dixerat. Mor.

Σοφιστῶν] De sophistis, qui h. l. sunt oratores, vid. ad. §. αʹ. Interpretatio hujus loci peti potest e Panath. §. ιγʹ. Σύμπαντες οἱ περὶ τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες. Similiter ad Phil. §. ϛαʹ. οὔτε λόγων εὑρετής, οὔτε ποιητής. Idem. Adde ib. §. μϛʹ. Evagor. §. ιηʹ. Spohn.

Ὅσον] *quatenus, quoad.* Mor.

Περὶ μίαν πόλιν] Conjungitur περὶ πόλιν διατρ. et στρατεύσαντες est, *expeditione suscepta.* Cæteræ edd. ἐπὶ, ut cum στρατ. jungatur, quod non est necesse. Idem.

Κινδύνων ἀπέστησαν] *quæ pericula credibile est eos fugisse, qui — quæ tandem pericula declinassent?* Idem.

Οἶμαι κ. τ. λ.] Si Suidas in v. ἄγαμαι (ubi legitur, οἶμαι δὲ τὸν πόλεμον θεῶν τινὰ ἀγασθῆναι) ad hunc Isocratis locum respexit, memoriter eum scripsit. Idem.

Κατέλιπον] Orell. Symmach. §. λαʹ. commemorat, quod cfr. Spohn.

κδ΄. Ἀεὶ μὲν οὖν οἵ θ᾽ ἡμέτεροι πρόγονοι καὶ Λακεδαι-
μόνιοι φιλοτίμως πρὸς ἀλλήλους εἶχον, οὐ μὴν ἀλλὰ [1] περὶ
58 καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονείκησαν, οὐκ ἐχθροὺς
ἀλλ᾽ ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες, οὐδ᾽ ἐπὶ
δουλείᾳ τῇ τῶν Ἑλλήνων τὸν βάρβαρον θεραπεύοντες, ἀλλὰ
[2] περὶ μὲν τῆς κοινῆς σωτηρίας ὁμονοοῦντες, ὁπότεροι δὲ ταύ-
της αἴτιοι γενήσονται, περὶ τούτου ποιούμενοι τὴν ἅμιλλαν.
ἐπεδείξαντο δὲ τὰς αὑτῶν ἀρετὰς πρῶτον μὲν ἐν τοῖς ὑπὸ
Δαρείου πεμφθεῖσιν. ἀποβάντων γὰρ αὐτῶν εἰς τὴν Ἀττι-
b κὴν, οἱ μὲν οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ τὸν κοι-
νὸν πόλεμον ἴδιον κίνδυνον ποιησάμενοι πρὸς τοὺς ἁπάσης
τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων τὴν οἰκείαν δύνα-
μιν ἔχοντες, ὀλίγοι πρὸς πολλὰς μυριάδας ὥσπερ ἐν ἀλλο-
τρίαις ψυχαῖς μέλλοντες [3] κινδυνεύειν, οἱ δ᾽ οὐκ ἔφθησαν
πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ πάντων 54
τῶν ἄλλων ἀμελήσαντες ἧκον ἡμῖν ἀμυνοῦντες, τοσαύτην
ποιησάμενοι σπουδὴν ὅσηνπερ ἂν τῆς αὑτῶν χώρας πορθου-
c μένης. σημεῖον δὲ τοῦ τάχους καὶ τῆς ἁμίλλης· τοὺς μὲν
γὰρ ἡμετέρους προγόνους φασὶ τῆς αὐτῆς ἡμέρας πυθέσθαι
τε τὴν ἀπόβασιν τὴν τῶν βαρβάρων καὶ βοηθήσαντας ἐπὶ
τοὺς ὅρους τῆς χώρας καὶ μάχῃ νικήσαντας τρόπαιον στῆσαι
τῶν πολεμίων, τοὺς δ᾽ ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ

[1] καὶ περὶ A. C. L. [2] ἅμα μὲν περὶ A. C. L. [3] κινδυνεύσειν A. C. L.

Ἀρετὰς] Ἀντ. εὐψυχίας. Cfr. Montefalcon. Palæogr. Gr. p. 336. 338. Bast. epistol. crit. p. 147. not. 61. inprimis vero in not. ad Gregor. Corinth. p. 739. ed. Schaef. et Schaefer. in Meletem. critic. p. 117. Idem.

Εἰς τὴν Ἀττικὴν] Herodot. V. 102. Mor.

Περιέμειναν] 'Habuerunt quidem Athenienses in exercitu civium decem mille et mille Platæenses auxiliares (sic Justin. II. 9. 9. Paullo aliter Cornel. Milt. c. 5. Rem narrat Herodotus, VI. 108. sed de numero nihil: venisse etiam Platæenses πανδημεί.) et opem Lacedæmoniorum implorarunt (Herodot. c. 106.), sed quum illi religione (νόμῳ, Herodot.) impediti ante plenilunium exire non auderent, Athenienses Martis aleam experiri summo cum periculo sunt coacti. Orator igitur noster, quod necessarium fuit, voluntarium facit.' Hæc Wolfius. Athenienses (οἱ μὲν) non exspectarunt eos, quos auxilio vocarant, Lacedæmonios: sed socios habuerunt, qui se ultro obtulerant, Platæenses. Herodot. c. 108. Lysias Epitaph. §. ζ΄. οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι τοὺς συμμάχους. Mox idem, ἀπήντων ὀλίγοι πρὸς πολλούς. Idem.

Μέλλ. κινδυνεύσειν] *quasi adituri essent periculum, non sua, sed aliorum vita projicienda.* Rursus e Lysia, §. ζ΄. τὰς ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι. Thucyd. I. 70. σώμασιν ἀλλοτριωτάτοις χρῶνται, sic utuntur corpore in prœliis, quasi illud sit alius hominis corpus. Contra ea apud Diod. Sic. XVI. 78. dicitur ταῖς τῶν ἄλλων ψυχαῖς ἐναποκυβεύειν, qui aleam fortunæ experitur ita, ut vitam aliorum morti objiciat, non suam. Idem. *quasi non suam, sed aliorum vitas, periculo objicerent.* Lang.

Ἧκον] Sed sero venerunt Spartani (οἱ δὲ). Herodot. VI. 120. Mor.

διακόσια καὶ χίλια στάδια διελθεῖν στρατοπέδῳ πορευο-
μένους. οὕτω σφόδρ' ἠπείχθησαν οἱ μὲν μετασχεῖν τῶν d
κινδύνων, οἱ δὲ [1] φθῆναι συμβαλόντες πρὶν ἐλθεῖν τοὺς
βοηθήσοντας.

κε'. Μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν
αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια, στρατη-
γὸς δὲ καταστῆναι τολμήσας, ἅπαντας δὲ τοὺς ἐκ τῆς
Ἀσίας συναγείρας· περὶ οὗ τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς
εἰπεῖν ἐλάττω τῶν ὑπαρχόντων εἴρηκεν; ὃς εἰς τοσοῦτον
ἦλθεν [2] ὑπερηφανίας, ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον e
εἶναι τὴν Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνη-
μεῖον καταλιπεῖν ὃ μὴ τῆς ἀνθρωπίνης φύσεως ἐστὶν, οὐ
πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ πάντες
[3] θρυλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς
ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσπον-
τον ζεύξας, τὸν δὲ Ἄθω διορύξας. πρὸς δὴ τὸν οὕτω μέγα 59
φρονήσαντα καὶ τηλικαῦτα διαπραξάμενον καὶ τοσούτων
δεσπότην γενόμενον ἀπήντων διελόμενοι τὸν κίνδυνον, Λακε-
δαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζὸν, χιλίους αὐτῶν

[1] ὀφθῆναι A. L. [2] ὑπερηφανείας A. L. [3] θρυλλοῦσιν A. C. L.

Στρατ. πορευομένους] Στρατοπέδῳ πορεύεσθαι, *iter facere exercitu*, h. e. sic, ut iter facientes sint exercitus (Liv. III. 18. "agmine in forum descendunt," sic, ut descendentes essent agmen: Id. III. 50. "eunt agmine in urbem," i. e. sic, ut essent agmen), ergo cum armis servatoque ordine, ut solet στρατόπεδον aut agmen, non palantes, quale iter paullo plus difficultatis et tarditatis habet, et imparatos objicit hosti. Pertinet loquendi modus ad augendam admirationem celeritatis. IDEM.

Ὀφθῆναι] Quid si φθῆναι? Sed et illud satis commodum. WOLF. Cf. §. κβ'.

Μετὰ δὲ ταῦτα κ. τ. λ.] Hic subaudiendum videtur ἐπεδείξαντο τὰς αὐτῶν ἀρετὰς, quod præcessit p. 201. v. 8. Malim tamen ut sæpius fit apud oratores, phrasim suspensam hærere post συναγείρας, nec finiri; quod mihi consentaneum videtur spiritui illi tanquam divino quo hic animatur orator. AUGER. Cf. Panath. §. ιζ'. LANG.

Περὶ οὗ κ. τ. λ.] Constitui parenthesin a verbis περὶ οὗ usque ad διορύξας, quum apodosis sit in ἀπήντων. *susceptu expeditione, cujus dux Xerxes fuit — tanto duci occurrerunt.* Omnino cum hac Xerxis descriptione Lysias in Epit. §. ζ'. conferendus est, e quo nonnulla ad verbum repetiit Isocrates. Occurrit ibidem ἠνάγκασε absolute, ut hic συνηνάγκασεν, et Cic. Catil. II. 11. "dii cogent vitia superari." MOR.

Προθυμηθεὶς κ. τ. λ.] *etsi nova plane et inaudita dicere sustinuit.* Exemplum ὑπερβολῶν erat, flumina siccata esse. Justin. II. 10. Alia Isocrates ipse tangit. IDEM.

Ὑπερηφανείας] Scripsi ὑπερηφανίας, cfr. Etymolog. Magn. p. 420. l. 2. edit. Schaefer. Iul. Poll. VIII. 79. SPOHN.

Ὥστε τῷ στρατ. πλεῦσ.] Repetit Aristot. rhet. III. c. 9. MOR.

Πρὸς τὸ πεζὸν] *contra pedites*, ut paullo post, πρὸς τὸ ναυτικόν. IDEM.

Χιλίους] Etsi Herodotus, VII. 202. 205. trecentos tantum commemoravit, tamen dissensus componi potest. Nam quum trecenti dicuntur, intelligendi sunt patres familias, cives Spartani, diligentissime ex toto populo delecti, quod idem diserte tradit c. 205. Quum mille nominantur, addendi sunt trecentis illis civibus Helotes, quorum duobus vel tribus quisque civis stipatus esse solebat, id quod in universum monuit Isocrates Panath. §. ογ'. et accurate demonstravit Wesseling. ad Herodot. VII. 222. VIII. 25. Cf. Thucyd.

ἐπιλέξαντες καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες,
ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν,
οἱ δ' ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις
b πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν. ταῦτα
δὲ ποιεῖν ἐτόλμων, οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες
ὡς πρὸς ἀλλήλους [1] ἀγωνιῶντες, Λακεδαιμόνιοι μὲν ζηλοῦντες

[1] ἀγωνιζόμενοι A. C. L.

IV. 8. Λακεδαιμόνιοι εἴκοσι καὶ τετρακόσιοι, καὶ Εἵλωτες οἱ περὶ αὐτούς. In Plutarchi Aristide c. 10. de Spartanis militibus est: ὧν ἕκαστος ἑπτὰ περὶ αὑτὸν Εἵλωτας εἶχε. Add. Xen. Hellen. VI. 5. 28. Neque vero mirandum est, cur, quum etiam de Helotibus Isocrates loquatur, dixerit, *mille e* suis *delegerunt*, quoniam Helotes quoque dicuntur Lacedæmonii, iisque in recensione exercitus sic annumerantur, ut Lacedæmonii, e quorum numero etiam Helotes sunt, opponantur Spartanis, qui sunt cives Spartani. In quam rem insignis est locus Xenoph. Hellen. VI. 4. 15. ubi narratur, συμπάντων Λακεδαιμονίων mille obiisse, inter quos fuerint quadringenti Spartani, αὐτοὶ Σπαρτιᾶται, cives: quod egregie convenit Herodoteo loco de patribus familias. Denique Diod. Sic. XI. 4. de hoc ipso prœlio: Λακεδαιμονίων χίλιοι, καὶ σὺν αὐτοῖς Σπαρτιᾶται τριακόσιοι. ubi Wesselingius ostendit, Lacedæmonios et Spartanos ut partem et totum differre. Sexcenti Lacedæmonii apud Justin. II. 11. 14. etiam cives et Helotes fuisse videntur. IDEM.

Ὀλίγους] Fuere secundum Herodotum, VII. 222. quadringenti Thebani, septingenti Thespienses: nam reliqui, c. 202. nominati, diffugerant, c. 219. Diod. XI. 9. qui solos Thespienses mansisse narrat. Ante sociorum fugam superarant summam quatuor millium, quam Diod. Sic. XI. 4. et Justin. II. 11. init. rotunde posuit. De numero Thespiensium non temere dubitavit Valckenaer. ad Herodot. VII. 202. IDEM.

Αὐτοὺς] Malim αὐτὸν, nempe Xerxem. AUGER. Sed ad πεζὸν referendum est. Non omnes enim Xerxis copiæ (i. e. αὐτὸς) ibi erant, sed pedestres tantum; navales vero Athenienses arcere studebant. Legendum igitur αὐτοὺς, copias pedestres. SPOHN.

Ἑξήκοντα τριήρ.] Universæ Græcorum classi, ad Artemisium collectæ, interfuerunt 127. naves Atticæ, Herodot. VIII. 1. aut 140. juxta Diod. Sic. XI. 12. quibus post priorem congressum ad Artemisium 53. submissæ sunt, Herodot. c. 14. Diod. Sic. c. 13. Quomodo ergo Isocrates dicere potuit, ἑξήκοντα τριήρεις πληρώσαντες? An illas tantum quinquaginta et tres submissas, rotundo numero sexaginta, nominavit, cæteris omissis? Quod si ita est, ut videtur, nisi locum corruptum arbitremur, nimis recessit a vero. MOR. Coraes hanc ob rem conjecit verba καὶ ἑκατὸν esse addenda. Sed quamvis numerus facillime depravari potuerit, præsertim si siglis scriptus esset; tamen nihil mutandum esse puto. Nam secundum Herodot. VIII. in. Athenienses CXXVII. naves miserant, sed ex his magnum numerum Platæenses compleverant; deinde vero, ut hoc, in quo scriptores, uti in omnibus quæ hanc pugnam spectant, non optime consentiunt, mittam, oratoris consilium adeo conspicuum est, ut de mutatione cogitari vix possit. Comparare enim studet Atheniensium virtutem ad Artemisium declaratam cum clarissimo Lacedæmoniorum ad Thermopylas facto (Herodot. VIII. c. 15.); inde autem patet tantum abesse debuisse, ut numerum more oratorum amplificaret, ut ne verum quidem recenseret, sed minueret, quo facto facilius cum parvo Lacedæmoniorum ad Thermopylas numero conferri posset. SPOHN.

Ἀγωνιζόμενοι] Codd. Ambrosian. et Laurent. ἀγωνιῶντες. Harpocratio: ἀγωνιᾷν τὸ ἀγωνίζεσθαι. Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως· ἀγωνιῶντες ἀντὶ τοῦ ἀγωνιζόμενοι παρὰ τῷ αὐτῷ, ἐν τῷ Πανηγυρικῷ. Inde Suidas: ἀγωνιᾷν Ἰσοκράτης ἀντὶ τοῦ ἀγωνίζεσθαι et ἀγωνιῶντες ἀντὶ τοῦ ἀγωνιζόμενοι. Ἰσοκράτης. Quum neutrum in scriptis Isocrateis repererit Carol. Segaar. in Observ. in Isocrat. (Act. Soc. Traject. I. p. 85.), statuit memoria lapsum esse Harpocrationem, quum certum sit 'Grammaticos Veterum loca non raro memoriter citare atque ex istis citationibus receptam lectionem non temere esse mutandam.' Sed Zonaras quoque p. 37. ἀγωνιῶντες ἀντὶ τοῦ ἀγωνιζόμενοι· οὕτως Ἰσοκράτης, et Photius p. 12. ἀγωνιᾷν. Ἰσοκράτης ἀντὶ τοῦ ἀγωνίζεσθαι, καὶ ἀγωνιῶντες ἀντὶ τοῦ ἀγωνιζόμενοι, ὁ αὐτὸς, et pæne iisdem verbis Lexicon rhetor. sophist. in Bekkeri Anecdot. gr. Vol. I. p. 333. l. 26. sq., ita, ut mirum sit, si in omnibus error Harpocrationis prævaluisset

τὴν πόλιν τῆς [1]Μαραθῶνι μάχης καὶ ζητοῦντες αὐτοὺς
[2]ἐξισῶσαι, καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία
γένηται τοῖς Ἕλλησι τῆς σωτηρίας· οἱ δ' ἡμέτεροι [3][πρό-
γονοι] μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν
δόξαν καὶ πᾶσι ποιῆσαι φανερὸν ὅτι καὶ [4]τὸ πρότερον δι' c
ἀρετὴν ἀλλ' οὐ διὰ [5]τύχην ἐνίκησαν, ἔπειτα [6]καὶ προαγα-
γέσθαι τοὺς Ἕλληνας ἐπὶ [7]τὸ διαναυμαχεῖν, ἐπιδείξαντες
αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις ὥσπερ ἐν [8]τοῖς πε-
ζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην.

κς'. Ἴσας δὲ τὰς τόλμας παρασχόντες οὐχ [9]ὁμοίαις
ἐχρήσαντο ταῖς τύχαις, ἀλλ' οἱ μὲν διεφθάρησαν καὶ ταῖς
ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον — οὐ γὰρ δὴ τοῦτό
γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυγεῖν d
ἠξίωσεν —, οἱ δ' ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν,

[1] ἐν Μαραθῶνι A. C. L. [2] ἐξίσου καταστῆσαι A. C. L. [3] uncos om. A. C. L. [4] τὸ om. A. C. L. [5] τὴν τύχην A. C. L. [6] δὲ καὶ προσαγαγέσθαι A. C. L. [7] τῷ L. [8] τοῖς om. A. L. [9] ὁμοίως A. L.

præ veritate. In neutra oratione reperiri hanc vocem testatur etiam Coraes. Nunc demum a Mustoxyde in codicibus illis reperta est vox ἀγωνιῶντες; fortassis ἀντ. locum innuit Harpocrationis observatio, quum illic pæne eadem repetat, quæ in Panegyr. legantur a §. ιδ'. ad §. κθ'., sed partim aliam ob causam, partim, quod nondum scimus quid in loco Panegyr. illi codices exhibeant, nihil mutavi. Sane vero dolendum est, Mustoxyden nondum publici juris fecisse, quas e codicibus illis, præcipue autem e cod. Ambros. nactus sit varias lectiones, notatu dignas, ad alias orationes, quam ad illam de permutatione, spectantes. Cæterum nisi plane recesserunt a more suo glossographi, quos supra commemoravi, ἀγωνιᾷν in alio loco orationis de permut. legebatur, illic autem et in Panegyr. ἀγωνιῶντες. IDEM.

Τῆς Μ. μάχης] Subaudi ἕνεκα. AUGER. LANG.

Τὴν ἀρετὴν κ. τ. λ.] Lycurg. in Leocr. §. κη'. Οἱ πρόγονοι καταφανῆ ἐποίησαν, τὴν ἀνδρίαν τοῦ πλούτου, καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην. MOR.

Ὁμοίως] Lycurg. in Leocr. §. ιβ'. de Chæronensi prœlio: τῶν κινδύνων ἐξίσου μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν, et §. κη'. de Thermopylis: ταῖς μὲν τύχαις οὐχ (nam hoc est necessario addendum) ὁμοίως ἐχρήσαντο. IDEM. Helen. Enc. §. ιβ'. Nicocl. §. ε'. Plutarch. Thes. c. 20. SPOHN.

Ὡς ἡττήθησαν] Lysias Epitaph. §. η'. οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες, οὗπερ ἐτάχθησαν. Lycurg. §. ιβ'. οὐχ ἡττήθησαν, ἀλλ' ἀπέθανον ἀμύνοντες, et νικῶντες ἀπέθανον, qui locus ibi pulcherrime tractatus est. Hæc jam notavit Markland. ad Lysiam l. l. Diod. Sic. XI. 11. τοῖς μὲν σώμασι κατεπονήθησαν, ταῖς δὲ ψυχαῖς οὐχ ἡττήθησαν. Justin. II. 11. 18. "Non victi, sed vincendo fatigati." Diduxit sententiam Demosth. Or. fun. §. ζ'. MOR.

Πρόπλους] *præmissas, præcursorias.* Sic Thuc. VI. 46. αἱ πρόπλοι νῆες, et IV. 120. τριήρης προπλέουσα. Herodot. VI. 97. Δᾶτις προπλώσας, *qui præierat.* Nempe Xerxes selectas ex omni classe Persica ducentas naves (Diod. Sic. XI. 12. trecentas) ad Artemisium præmiserat, ut Græcorum classem adorirentur. Herodot. VIII. 7. Wolfiana interpretatio, πρωτόπλους, in marginem utriusque Bas. venit. Sed πρωτόπλους Græci dicunt vel recentes, Homer. Od. θ. 35. vel eas, quæ navigant in primo ordine, Xenoph. Hellen. v. 1. 24. ut πρωτοστάται in exercitu pedestri. IDEM.

Ἐνίκησαν] Duobus prœliis ad Artemisium commissis, quæ Herodotus, VIII. 6 — 16. descripsit. Sed in priori c. 11. ἑτεραλκέως ἀγωνίσασθαι narrat, in posteriori c. 16. παραπλησίους ἀλλήλοισι γενέσθαι, ut Cornel. Them. c. 3. "pari prœlio discessisse," quibuscum consentit Diod. Sic. XI. 12. μέρει μὲν τῶν νεῶν ἑκάτεροι ἐπροτέ-

ἐπειδὴ δὲ ἤκουσαν τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας,
οἴκαδε καταπλεύσαντες [1][καὶ τὰ κατὰ τὴν πόλιν διοική-
σαντες] οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε πολλῶν
καὶ καλῶν αὐτοῖς προειργασμένων ἐν τοῖς τελευταίοις τῶν
κινδύνων [2]ἔτι πλέον διήνεγκαν. ἀθύμως γὰρ ἁπάντων τῶν
συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχι-
e ζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν αὑτοῖς σωτηρίαν,
τῶν δὲ ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ
συστρατευομένων ἐκείνοις, πλὴν εἴ τις διὰ [3]μικρότητα ἠμε-
λήθη, προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ
[4]πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν
60 εἰσβάλλειν, οὐδεμιᾶς σωτηρίας αὐτοῖς [5]ὑποφαινομένης,
ἀλλ' ἔρημοι συμμάχων γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπα-
σῶν διημαρτηκότες, ἐξὸν αὐτοῖς μὴ μόνον τοὺς παρόντας
κινδύνους διαφυγεῖν ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς
αὐτοῖς ἐδίδου βασιλεὺς, ἡγούμενος εἰ τὸ τῆς πόλεως προσ-
λάβοι ναυτικὸν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν,
οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεὰς, οὐδ' ὀργισθέντες
b τοῖς Ἕλλησιν ὅτι προὐδόθησαν ἀσμένως ἐπὶ τὰς διαλλαγὰς
τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν, ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς

[1] καὶ - - - - διοικήσαντες om. L. uncos om. A. [2] ἐπὶ πλέον διενεγκεῖν A. C. L. [3] σμικρότητα παρημελήθη A. C. L. [4] τῆς πεζῆς A. C. L. [5] ὑπολειπομένης A. C. L.

ρησαν, οὐδέτεροι δὲ ὁλοσχερεῖ νίκῃ πλεονεκτήσαντες διελύθησαν. Ergo orator hic nimis laudavit. Idem.

Παρόδου] Thermopylas seu Pylas intelligit, ut Lysias Epit. §. η'. nam Pylæ dicuntur loca, per quæ regio aditur. Curt. III. 4. Idem.

Διοικήσαντες] Herodot. VIII. 40. 41. rem narravit: intelligitur decretum de servandis familiis. Καὶ τὰ — διοικήσαντες nescio, unde Wolfius ediderit; sed ejicere nolui, quum in ἀντ. legatur κατασκευάσαντες τὰ περὶ τὴν πόλιν. Idem.

Διατειχ. τὸν Ἰσθμὸν] Ita Lysias Epitaph. §. θ'. et Diod. Sic. XI. 16. item ὀχυροῦν τεῖχος ἀπὸ Λεχαίου μέχρι Κεγχρεῶν. Herodot. VIII. 40. τειχεῖν τὸν Ἰσθμόν. c. 71. οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. Xen. Symp. V. 6. ὑψηλὴ ῥὶς διατετείχικε τὰ ὄμματα, *velut murus inter oculos interjectus impedimento est.* Idem.

Γεγενημένων] Herodot. VIII. 65. Idem.

Διακοσ. καὶ χιλίων] Idem numerus Persicæ classis §. κζ'. λγ'. et Panath. §. ιζ'. repetitur [Cfr. Lys. Epitaph.]. Herodot. VII. 89. septem addit. cf. Brisson. de Regno Persar. p. 747. sqq. Idem.

Ἐδίδου βασιλεὺς] Non memini, me hoc legisse apud historicos. Wolf. Aut ignoramus, quid a Xerxe Atheniensibus ante ipsam Salaminiam pugnam oblatum sit (esse autem nihil oblatum, inde fit credibile, quod sine mora post pugnam ad Thermopylas Atticam et Athenas vastavit: Herodot. VIII. 51 — 54.), aut Isocrates festinatione quadam retulit ad hæc tempora id, quod vel Xerxes ante prœlium ad Thermopylas Græcis ibi collectis promisit, Diod. Sic. XI. c. 5. vel Mardonius, dux Xerxis, post Salaminiam pugnam ante Platæense prœlium, Atheniensibus obtulit. Herodot. VIII. 136. 140. Justin. II. 14. Plutarch. Aristid. c. 10. Diod. Sic. c. 28. Aristid. Panath. p. 41. Ἕτερος (i. e. Xerxes) δώσει τὴν ἡγεμονίαν, καὶ προσθήσει χρήματα Μηδικὰ καὶ δωρεάς. Cf. p. 49. ubi suo loco narratur. Mor.

56 ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν
δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. ἡγοῦντο γὰρ ταῖς
μὲν ταπειναῖς τῶν πόλεων προσήκειν [1] ἐκ παντὸς τρόπου ζη-
τεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιού-
σαις οὐχ οἷόν τ' εἶναι διαφεύγειν τοὺς κινδύνους, ἀλλ' ὥσπερ c
τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς
ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερ-
εχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ
δούλαις ὀφθῆναι γενομέναις. δῆλον δ' ὅτι ταῦτα διενοήθησαν·
ἐπειδὴ γὰρ οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρα-
τάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν
ὄχλον τὸν ἐκ τῆς πόλεως εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν,
ἵν' ἐν μέρει πρὸς ἑκατέραν [2] [τὴν δύναμιν ἀλλὰ μὴ πρὸς ἀμ- d
φοτέρας ἅμα] κινδυνεύσωσι.

κζ'. Καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον
φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἐτόλμησαν ἐπιδεῖν,
ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην
μὲν τὴν πόλιν γιγνομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ
δὲ συλώμενα καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλε-
μον περὶ [3] τὴν πατρίδα τὴν αὑτῶν γιγνόμενον; καὶ οὐδὲ e
ταῦτ' ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας
τριήρεις μόνοι διαναυμαχεῖν [4] ἐμέλλησαν. οὐ μὴν εἰάθησαν·
καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ
νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ' αὐτοὶ
σωθήσεσθαι, κατορθωσάντων δὲ εἰς ἀτιμίαν τὰς αὑτῶν πό-
λεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κινδύνων. 61

[1] ἐξ ἅπαντος A. C. L. [2] uncos om. A. C. L. [3] τὴν om. A. C. L. [4] ἐτόλμησαν A. C. L.

Ἐπειδὴ γὰρ κ. τ. λ.] Magnam hujus loci partem repetiit Dionys. Halicarn. de vi Demosth. T. II. p. 188. ed. Sylb. Idem.

Ἐν μέρει] *separatim.* Lang.

Πρὸς ἑκατέραν] Lysias Epitaph. §. η'. ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν. Mor. Aliam et uti Langio videtur veram hujus migrationis causam videmus Panathen. §. ιζ'. Spohn.

Ἐτόλμησαν] Ἔτλησαν Retberg. l. l. p. 25. Idem.

Ἱερὰ] Τὰ ἀναθήματα καὶ σκεύη. Wolf.

Ἅπαντα δὲ] Markland. ad Lysiam §. η'. propter Lysiæ locum sic corrigit: ἅπ. δὲ δεινὰ καὶ τ. π. Sed uni editioni nihil tribuerim. Cum lectione vulgata consentit Dionys. Hal. De Athenis desertis Herodot. VIII. 51. sqq. Mor.

Ἠναγκάσθησαν] *pudore et honesti cogitatione adacti sunt.* Sic Isocraticæ narrationis consilium hæc accipere jubet, quanquam calliditate Themistoclis coacti sunt remanere, cum fugam decressent. Herodot. VIII. 75. Cornel. Themist. c. 4. quibuscum Lycurg. in Leocr. §. ιζ'. consentit: *βίᾳ τοὺς ἄλλους ἠλευθέρωσαν οἱ Ἀθηναῖοι, ἀναγκάσαντες ναυμαχεῖν, alios invitos servarunt, quoniam dimicare coegerunt.* Ergo primum Athenienses non soli depu-

καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων [1]ἐστὶ τῶν ναυμαχούντων, [2]οὐκ οἶδ' [3]ὅτι δεῖ λέγοντα διατρίβειν· ἃ δ' ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον [4]ἐστὶν εἰπεῖν. τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστ' ἀνάστατος
b γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος ἢ σύμπαντες οἱ [5]ναυμαχήσαντες, οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμο- 57
λογήσειε διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι.

κή. Καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι, τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ

[1] εἰσὶ A. C. L. [2] οὐχ ὁρῶ A. C. L. [3] τί A. L. [4] εἰπεῖν ἐστὶν A. C. L. [5] συνναυμαχήσαντες C.

gnare voluerunt (v. Taylorus ad Lysiam §. ζ'.), deinde socii non pudore aut vi honestatis victi affuerunt prœlio, denique præter Lacedæmonios multi alii Atheniensium socii convenerant, quos Herodot. VIII. 42. sqq. enumeravit. Adeo multum Isocrates laudandi studio tribuit. IDEM.

Καὶ — διατρίβειν] Descripsit hæc omnia Lysias Epitaph. §. η'. quem ab Isocrate hic reprehendi Marklandus existimat. Eadem fere verba Isocr. Evag. §. ϛ'. IDEM.

Ταῦτα δ'] Malim δὴ, aut γε, nam δὲ non est idoneum. IDEM. Sed etiam in ἀντ. loco omnes in hoc δ' consentire videntur, quum nulla notata sit varietas; neque aliquid mutandum esse patet ex iis, quæ Werfer. in Act. Philol. Monac. I. p. 91. sedulo notavit. SPOHN.

Ὥστ' ἀνάστ.] Legendum videtur, ὥστε καὶ ἀνάστ. MOR. Non est, quod cum Moro et Augero mutemus. SPOHN.

Πλείους κ. τ. λ.] Hunc locum et §. λα'. τριήρεις διπλασίας, ἢ σύμπαντες οἱ ἄλλοι, et similem Lysiæ Epit. §. η'. sic explicandum puto, ut Demosth. de cor. c. 21. 70. Τριακοσίων οὐσῶν τῶν πασῶν (τριηρῶν), τὰς διακοσίας ἡ πόλις (τῶν Ἀθηναίων) παρέσχετο, numeris rotunde positis: quibuscum consentiunt, quos Valckenaer. ad Herodot. VIII. 1. laudavit, quorumque loca de classe ad Salaminem collecta intelligenda sunt. Sed si numeros accurate ineamus, ab Atheniensibus 180 naves missæ sunt, Herodot. VIII. 44. et universa Græcorum classis 378 navibus constitit, ib. c. 48. ideoque Athenienses *propemodum* tot miserunt, quot cæteri omnes. Rem optime expressit Thucydides I. 74. Ἐς τὰς τετρακοσίας ναῦς (h. e. 378. quæ fuit universa classis) παρεσχόμεθα ὀλίγῳ ἐλάσσους τῶν δύο μοιρῶν. Aristides Panath. p. 38. de multitudine Atticarum navium more suo nimis argute locutus est. Melius p. 41. δύο τοῦ παντὸς μέρη μόνοι Ἀθηναῖοι ἐπλήρουν. MOR.

Μὲν] Delendum videtur: nam οὐδεὶς δὲ non refertur ad hoc μέν. IDEM. Augerus assentitur, Coraes retinendum esse putat et interpretatur: τοσοῦτον ἡ πόλις ἡμῶν διέφερε, ὥστε οὐκ ἔστιν ὃς οὐκ ἂν ὁμολογήσειεν αἰτίαν αὐτὴν γενέσθαι τῆς ναυμαχίας, δι' ἣν ἐκρατήσαμεν τῶν βαρβάρων. Sed idem fortassis in μόνη mutandum censet et hoc præferre videtur. Male. Orator verborum concinnitati et numerorum suavitati indulgens paullulum recessit a recta via, sive verius obscuriorem reddidit nexum. Sensus hic est: Urbs plures *quidem* instruxit naves ad pugnam, quam reliqui socii, inde *autem* patet eam salutis nostræ esse causam; posterius vero membrum ornatu oratorio variatum est. Ex his μὲν retinendum esse in hoc loco, quod etiam ἀντ. habet, et οὐδεὶς δὲ scribendum esse apparet. SPOHN.

Ἡμᾶς] Pro ἡμᾶς velim legi Ἕλληνας. AUGER.

Ταύτης] Sc. τῆς ναυμαχίας, quoniam, cæteris recusantibus, præ metu Isthmum munientibus, et in Peloponneso latentibus, unus Themistocles sociis persuasit, ut ad Salamina confligerent, Herodot. VIII. 56—64. idemque eos, fugere molientes, resistere coegit. MOR.

προτέρῳ πολέμῳ μάλιστα εὐδοκιμήσαντας, καὶ πολλάκις
μὲν ἰδίᾳ προκινδυνεύσαντας, ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων c
ἀριστείων ἀξιωθέντας; οὐ τοὺς τὴν αὑτῶν ἐκλιπόντας
ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκι-
στὰς τῶν πλείστων πόλεων γενομένους, [1] καὶ πάλιν αὐτὰς
ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; πῶς δ' οὐκ ἂν
δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος μετασχόντες
ἐν ταῖς τιμαῖς ἔλαττον ἔχειν [2] ἀξιωθεῖμεν, καὶ τότε προ-
ταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν [3] ἀναγκα- d
σθεῖμεν;

κθ'. Μέχρι μὲν οὖν τούτων οἶδ' ὅτι πάντες ἂν [4] ὁμολο-
γήσειαν πλείστων ἀγαθῶν τὴν πόλιν ἡμῶν αἰτίαν γεγενῆ-
σθαι, καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι· μετὰ δὲ
ταῦτα ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν ὡς, ἐπειδὴ τὴν ἀρχὴν
τῆς θαλάττης παρελάβομεν, πολλῶν κακῶν αἴτιοι τοῖς
Ἕλλησι κατέστημεν, καὶ τόν τε Μηλίων ἀνδραποδισμὸν
καὶ [5] τὸν Σκιωναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν e
προφέρουσιν. ἐγὼ δ' ἡγοῦμαι, πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο
σημεῖον ὡς κακῶς ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων
ἡμῖν σφόδρα φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖ-

[1] [καὶ] L. [2] ἀξιωθείημεν A. C. L. [3] ἀναγκασθείημεν A. C. L.
[4] ὁμολογήσαιεν A. C. L. [5] τῶν A. L.

Τό τε παλ.] An τό γε παλαιὸν, e Dion. Hal. Ergo τό γε παλ. *olim. quidem*; πάλιν, *denuo*. Idem. Melius. Lang.

Οἰκιστὰς] §. θ'. πολλὰς μὲν — ἔκτισαν, et, ἅπαντα περιεβάλοντο τὸν τόπον. Ergo hic οἰκισταὶ dicuntur, qui colonias deducunt, ut Callim. H. in Ap. v. 67. οἰκιστὴρ, et Schol. ad v. 76. Mox inclusi καί. Mor. Idem fecit Langius, satis temere, nam referendum est ad antecedens τε, καὶ τό τε παλαιόν — καὶ πάλιν — *neque vero tantummodo olim, — sed etiam deinde* etc. Spohn.

Προταχθέντες] Deberi Atheniensibus principatum, etiam Herodot. IX. 27. Thucydides I. 73. et Xenoph. Hell. VII. 1. fictis orationibus explicarunt. Mor.

Κακῶν αἴτιοι] Quidquid, constituto post Salaminiam victoriam imperio Atheniensium, usque ad initium belli Peloponnesiaci ab iis crudeliter, avare, aut injuste factum est, tradidit Thucyd. I. 98—119. Isocratis autem, hæc excusantis, argumenta quis non videt admodum infirma esse? Idem.

Μηλίων] Tempore belli Peloponnesiaci Melus, colonia Lacedæmoniorum (Herodot. VIII. 38.), noluerat Atheniensium societati adjungere, Thucyd. V. 84. Itaque diu obsessa tandem se dedidit Atheniensibus, qui ἡβῶντας ἀπέκτειναν, παῖδάς τε καὶ γυναῖκας ἠνδραπόδισαν, τὸ δὲ χωρίον αὐτοὶ ᾤκησαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες. Id. V. 160. Cf. Isocr. Panath. §. κβ'. Xen. Hellen. II. 2. 2. Diod. Sic. XII. 65. Melios tandem restituit Lysander Xen. Hell. II. 2. 5. Idem.

Σκιωναίων] Scione ab Atheniensibus defecit, Aristoph. Vesp. 210. Thuc. IV. 120. oppugnata est, c. 133. sqq. et capta, V. 32. Cf. Diod. Sic. XII. 72. 76. Ac tum quoque juventute interfecta, liberis mulieribusque in servitutem redactis, Athenienses locum Platæensibus habitandum dederunt. Cf. infra §. λα'. Etiam Aristides Panath. p. 77. excusat Athenienses, sed, ut omnia solet, nimis. Idem.

Κολασθέντες] Sed Melii nihil, tali ultione dignum, commiserant. Idem.

62 ζον τεκμήριον ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι
τῶν πόλεων τῶν [1] ὑφ᾽ ἡμῖν οὐσῶν οὐδεμία τοιαύταις συμφο-
ραῖς περιέπεσεν. ἔπειτ᾽, εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πρα-
γμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτι-
μῷεν· εἰ δὲ [2] μήτε τοῦτο γέγονε, μήθ᾽ οἷόν τ᾽ ἐστὶ τοσούτων
πόλεων τὸ πλῆθος κρατεῖν ἢν μή τις κολάζῃ τοὺς ἐξαμαρ-
τάνοντας, πῶς [3] οὐκ ἤδη δίκαιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵτινες
ἐλαχίστοις χαλεπήναντες πλεῖστον χρόνον τὴν ἀρχὴν κατα-
σχεῖν ἠδυνήθημεν;

b λ΄. Οἶμαι δὲ πᾶσι δοκεῖν τούτους κρατίστους προστάτας
[4] γενήσεσθαι τῶν Ἑλλήνων, ἐφ᾽ ὧν οἱ πειθαρχήσαντες ἄριστα 58
τυγχάνουσι πράξαντες. ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας
εὑρήσομεν καὶ τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖ-
στον ἐπιδόντας καὶ τὰς πόλεις μεγίστας γενομένας. οὐ
γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς
[5] ἐνεποιοῦμεν πολιτείας [6] ἐναντίας παρακαθιστάντες, ἵν᾽
c [7] ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δ᾽ ἀμφότεροι θεραπεύοιεν,
ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομί-
ζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν,
συμμαχικῶς ἀλλ᾽ οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν,
ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ δ᾽ ἑκάστους
ἐλευθέρους ἐῶντες εἶναι, καὶ τῷ μὲν πλήθει βοηθοῦντες,

[1] ἐφ᾽ A. L. [2] μήποτε A. C. L. [3] οὐ δίκ. A C. L. [4] γεγενῆσθαι A. C. L.
[5] ἐποιοῦντο L. [6] ὑπεναντίας A. C. L. [7] ἐν ἀλλήλ. A. C. L.

d σοῦτον προῆλθον καὶ [7]τηλικαῦτα διεπράξαντο, πῶς οὐ σέ γε χρὴ προσδοκᾶν, τὸν ἐκ τοιούτων μὲν γεγονότα, Μακεδονίας δὲ βασιλεύοντα, τοσούτων δὲ κύριον ὄντα, ῥᾳδίως τὰ προειρημένα συστήσειν;

[1] Συρακουσίων A. C. L. [2] ἅπασιν om. A. C. L. [3] πεζικὴν A. C. L. [4] γεγενημένων A. C. L. [5] περὶ om. A. C. L. [6] ὑπαρχούσης A. C. L. [7] τοσαῦτα A. C. L.

Τὰ τείχη] Quæ mœnia Athenarum a Themistocle constructa Lysander everterat. Wolf.

Ἐπιπολάσειν] Ἐξ ἀδόξων ἐνδόξους γενήσεσθαι· ἡ μεταφορὰ ἀπὸ τῶν ἐπιπλεόντων τῷ ὕδατι, ἀντιδιεσταλμένως πρὸς τὰ ὑποβρύχια. Cor.

Διονύσιος] Vid. Diod. Sic. l. xiii. et xiv. Batt.

Πολλοστὸς] Ἐλάχιστος, ἄδοξος. γραμματεὺς γὰρ ἦν, ὥς φησι Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην [λε'.]. Cor.

Ἑλληνίδες] Nam barbari quoque Afri et alii multas Siciliæ urbes tenebant. Wolf.

Κῦρος] Vid. Herodot. l. i. 109. sqq. et Xenoph. Cyrop.

Ἀναιρεθεὶς] Ἀναληφθεὶς καὶ τραφείς. Harpocrat.

κθ΄. Σκέψαι δ᾽ ὡς ἄξιόν ἐστι τοῖς τοιούτοις τῶν ἔργων
μάλιστ᾽ ἐπιχειρεῖν, ἐν οἷς κατορθώσας μὲν [1]ἐνάμιλλον τὴν
σαυτοῦ δόξαν καταστήσεις τοῖς πρωτεύσασι, διαμαρτὼν δὲ
τῆς προσδοκίας ἀλλ᾽ οὖν τήν γε εὔνοιαν κτήσῃ τὴν παρὰ e
τῶν Ἑλλήνων, ἣν πολὺ κάλλιόν ἐστι λαβεῖν ἢ πολλὰς πό-
λεις τῶν Ἑλληνίδων κατὰ κράτος ἑλεῖν· τὰ μὲν γὰρ τοιαῦτα
τῶν ἔργων φθόνον ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφη-
μίας, οἷς δ᾽ ἡμεῖς συμβεβουλεύκαμεν, οὐδὲν πρόσεστι τού-
των. ἀλλ᾽ εἴ τις θεῶν αἵρεσίν σοι δοίη μετὰ ποίας ἂν ἐπι- 96
μελείας καὶ διατριβῆς εὔξαιο τὸν βίον [2]διαγαγεῖν, οὐδεμίαν
ἕλοιο ἄν, εἴπερ ἐμοὶ συμβούλῳ χρῷο, μᾶλλον ἢ ταύτην. οὐ
γὰρ μόνον ὑπὸ τῶν ἄλλων [3]ἔσῃ ζηλωτὸς, ἀλλὰ καὶ σὺ
σαυτὸν μακαριεῖς. τίς γὰρ ἂν ὑπερβολὴ γένοιτο τῆς τοιαύ-
της εὐδαιμονίας, ὅταν πρέσβεις μὲν ἥκωσιν ἐκ τῶν μεγίστων
πόλεων οἱ μάλιστ᾽ εὐδοκιμοῦντες εἰς τὴν σὴν δυναστείαν,
93 μετὰ δὲ τούτων βουλεύῃ περὶ τῆς κοινῆς σωτηρίας, περὶ ἧς
οὐδεὶς ἄλλος φανήσεται τοιαύτην πρόνοιαν πεποιημένος, b
αἰσθάνῃ δὲ τὴν Ἑλλάδα πᾶσαν ὀρθὴν οὖσαν ἐφ᾽ οἷς σὺ
τυγχάνεις [4]εἰσηγούμενος, μηδεὶς δ᾽ ὀλιγώρως ἔχῃ τῶν παρὰ
σοὶ βραβευομένων, ἀλλ᾽ οἱ μὲν πυνθάνωνται περὶ αὐτῶν ἐν
οἷς [5]ἐστὶν, οἱ δ᾽ εὔχωνταί σε μὴ διαμαρτεῖν ὧν ἐπεθύμησας,
οἱ δὲ δεδίωσι μὴ πρότερόν τι πάθῃς πρὶν τέλος ἐπιθεῖναι
τοῖς πραττομένοις; [6]ὧν γιγνομένων πῶς οὐκ ἂν εἰκότως
μέγα φρονοίης; πῶς δ᾽ [7]οὐκ ἂν περιχαρὴς ὢν τὸν βίον δια- c
τελοίης, τηλικούτων σαυτὸν εἰδὼς πραγμάτων ἐπιστάτην
γεγενημένον; τίς δὲ οὐκ ἂν τῶν καὶ μετρίως [8]λογιζομένων
ταύτας ἄν σοι παραινέσειε [9]μάλιστα προαιρεῖσθαι τῶν
πράξεων τὰς ἀμφότερα [10]φέρειν ἅμα δυναμένας, ὥσπερ καρ-
ποὺς, ἡδονάς θ᾽ ὑπερβαλλούσας καὶ τιμὰς ἀνεξαλείπτους;

[1] ἐφάμιλλον A. C. L. [2] διάγειν A. C. L. [3] ἔσει A. L.
ἡγούμενος A. C. L. [5] εἰσὶν A. C. L. [6] ἐφ᾽ οἷς γιγνομένοις A. C. L.
[7] οὐχὶ περιχ. A. C. L. [8] λογίζεσθαι δυναμένων A. C. L.
[9] μάλιστα παραινέσειε A. C. L. [10] σοι φέρειν A. C. L.

Ὀρθὴν οὖσαν] Ἐγρηγοροῦσαν καὶ σφόδρα προσέχουσαν τὸν νοῦν. Cor.

Τῶν παρὰ σοι βραβευομένων] Regitur ab ὀλιγώρως. ὀλιγώρως ἔχῃ, *negligenter se habeat*, i. e. negligat. Auger. Verte: *quæ apud te*, in regia tua, *dispensantur* seu *diriguntur*. Lang.

Ἐν οἷς εἰσὶν] *in quibus sint*, i. e. quo loco res sint. Pro εἰσὶν Med. ἐστὶν, quum ad βραβευόμενα pertineat. Lang.

Μὴ πρότερόν τι πάθῃς] Videtur vaticinatus hic esse Isocrates, ut et in Epistolis: οὐδὲ γὰρ ἔσται λοιπὸν ἔτι, πλὴν θεὸν γενέσθαι. Nam in ipso Persici belli apparatu et pompa celeberrima, cum se decimum tertium deum fecisset, a satellite Pausania fuit interfectus. Wolf.

λ΄. [1]Ἀπέχρη δ᾽ ἂν [2]ἤδη μοι τὰ προειρημένα περὶ τούτων,
d εἰ μὴ παραλελοιπὼς ἦν τινὰ λόγον, οὐκ ἀμνημονήσας ἀλλ᾽
ὀκνήσας εἰπεῖν, ὃν ἤδη μοι δοκῶ δηλώσειν· οἶμαι γάρ σοί τε
συμφέρειν ἀκοῦσαι περὶ αὐτῶν, ἐμοί τε προσήκειν μετὰ
παῤῥησίας, ὥσπερ εἴθισμαι, ποιεῖσθαι τοὺς λόγους.

λα΄. Αἰσθάνομαι γάρ σε διαβαλλόμενον ὑπὸ τῶν σοὶ μὲν
φθονούντων, τὰς δὲ πόλεις τὰς αὑτῶν εἰθισμένων εἰς ταραχὰς καθιστάναι, καὶ [3]τὴν εἰρήνην τὴν τοῖς ἄλλοις κοινὴν
e πόλεμον τοῖς αὑτῶν ἰδίοις εἶναι νομιζόντων, οἳ πάντων τῶν
ἄλλων ἀμελήσαντες περὶ τῆς σῆς δυνάμεως λέγουσιν, ὡς
οὐχ ὑπὲρ τῆς Ἑλλάδος ἀλλ᾽ ἐπὶ ταύτην αὐξάνεται, καὶ
[4]σὺ πολὺν χρόνον ἤδη πᾶσιν ἡμῖν ἐπιβουλεύεις, καὶ λόγῳ μὲν
μέλλεις [5]Μεσσηνίοις βοηθεῖν, ἐὰν τὰ περὶ Φωκέας διοικήσῃς,
97 ἔργῳ δ᾽ ὑπὸ σαυτῷ ποιεῖσθαι Πελοπόννησον [6][διανοῇ]·
ὑπάρχουσι δέ σοι Θετταλοὶ μὲν καὶ Θηβαῖοι καὶ πάντες
οἱ τῆς Ἀμφικτυονίας μετέχοντες ἕτοιμοι συνακολουθεῖν,
Ἀργεῖοι δὲ καὶ [5]Μεσσήνιοι καὶ Μεγαλοπολῖται καὶ τῶν
ἄλλων πολλοὶ συμπολεμεῖν καὶ ποιεῖν ἀναστάτους Λακεδαιμονίους· ἢν δὲ ταῦτα πράξῃς, [7]ὡς καὶ τῶν ἄλλων Ἑλλήνων ῥᾳδίως κρατήσεις. ταῦτα φλυαροῦντες καὶ φάσκοντες 94
b ἀκριβῶς εἰδέναι, καὶ ταχέως ἅπαντα τῷ λόγῳ καταστρεφόμενοι, πολλοὺς πείθουσι, καὶ μάλιστα [8]μὲν τοὺς τῶν
αὐτῶν κακῶν ἐπιθυμοῦντας ὧνπερ οἱ λογοποιοῦντες, ἔπειτα

[1] ἀπόχρη A. L. [2] ἤδη om. A. C. L.
[3] τῆς εἰρήνης οὔσης τ. ἄ. κοινῆς τὸν πόλεμον αὐτῶν ἴδιον A. C. L.
[4] συχνὸν ἤδη χρόνον ἅπασιν A. C. L. [5] Μεσην. A. L. [6] uncos om. A. C. L.
[7] ὡς om. A. C. L. [8] μὲν om. A. C. L.

Καὶ τὴν εἰρήνην] Vid. Aristotel. Rhet. l. iii. 10. et Philip. Epist. apud Demosth. vol. i. §. ζ.

Μέλλεις Μεσσηνίοις βοηθεῖν] Messenii jam multos annos exsulabant eversa patria pulsi a Lacedæmoniis. Eis Philippus opem se laturum esse profitebatur, ut Lacedæmoniorum avaritiæ atque cupiditati obsisteretur. Wolf.

Ἀμφικτυονίας] Amphictyones commune Græcorum concilium fuit ad Thermopylas congregatum, ut ait Suidas, ita vocatum ab Amphictyone Deucalionis filio: ipse enim cum regnaret populos convocavit. Concilii autem hujusce participes fuere Iones, Dorienses, Perrhæbœi, Bœoti, Magnetes, Achæi, Phthiotæ, Melienses, Dolopes, Ænianes, Delphi, Phocenses. Alii vero narrant eos sic esse appellatos, quod qui convocabantur circum Delphos habitarent. Batt.

Συμπολεμεῖν] Sub. ὑπάρχουσιν ἕτοιμοι. Auger.

Τῷ λόγῳ καταστρεφόμενοι] Simile est Demosthenicum illud: τοῖς ψηφίσμασι πολεμεῖν. Innuit autem Isocrates facilius ista dici quam perfici; monetque Philippum, ne rem non modo inhonestam, sed etiam periculosissimam suscipiat. Wolf.

Τοὺς τῶν αὐτῶν κακῶν ἐπιθυμοῦντας] I. e. τοὺς τὸν πόλεμον ἴδιον χρηματισμὸν εἶναι νομίζοντας. Idem.

Οἱ λογοποιοῦντες] Οἱ ψευδεῖς λόγους συντιθέντες. Cor.

[1] καὶ τοὺς οὐδενὶ [2] λογισμῷ χρωμένους ὑπὲρ τῶν κοινῶν,
ἀλλὰ παντάπασιν [3] ἀναισθήτως διακειμένους καὶ πολλὴν
χάριν ἔχοντας τοῖς ὑπὲρ αὐτῶν φοβεῖσθαι καὶ δεδιέναι προσ-
ποιουμένοις, ἔτι δὲ τοὺς οὐκ ἀποδοκιμάζοντας τὸ δοκεῖν σε
ἐπιβουλεύειν τοῖς Ἕλλησιν, ἀλλὰ τὴν αἰτίαν ταύτην ἀξίαν c
ἐπιθυμίας εἶναι νομίζοντας· οἳ τοσοῦτον ἀφεστᾶσι τοῦ νοῦν
ἔχειν, ὥστ᾽ οὐκ ἴσασιν, ὅτι τοῖς αὐτοῖς ἄν τις [4] λόγοις χρώ-
μενος τοὺς μὲν βλάψειε, τοὺς δ᾽ ὠφελήσειεν. οἷον καὶ νῦν, εἰ
μέν τις φαίη τὸν τῆς Ἀσίας βασιλέα τοῖς Ἕλλησιν ἐπιβου-
λεύειν καὶ [5] παρεσκευάσθαι στρατεύειν ἐφ᾽ ἡμᾶς, οὐδὲν ἂν
λέγοι περὶ αὐτοῦ [6] φλαῦρον, ἀλλ᾽ ἀνδρωδέστερον αὐτὸν καὶ
[7] πλέονος ἄξιον δοκεῖν [8] ἂν εἶναι ποιήσειεν· εἰ δὲ τῶν ἀφ᾽
Ἡρακλέους τινὶ πεφυκότων, ὃς ἁπάσης κατέστη τῆς Ἑλλά- d
δος εὐεργέτης, ἐπιφέροι τὴν αἰτίαν ταύτην, εἰς τὴν μεγί-
στην αἰσχύνην ἂν αὐτὸν καταστήσειε. τίς γὰρ οὐκ ἂν
ἀγανακτήσειε καὶ μισήσειεν, εἰ φαίνοιτο τούτοις ἐπιβουλεύων
ὑπὲρ ὧν ὁ πρόγονος αὐτοῦ προείλετο κινδυνεύειν, καὶ τὴν
μὲν εὔνοιαν, ἣν ἐκεῖνος κατέλιπε τοῖς ἐξ αὐτοῦ γεγενημένοις,
μὴ πειρῷτο διαφυλάττειν, ἀμελήσας δὲ τούτων ἐπονειδί-
στων ἐπιθυμοίη καὶ πονηρῶν πραγμάτων;

λβʹ. Ὧν ἐνθυμούμενόν σε χρὴ μὴ περιορᾶν τοιαύτην e
φήμην σαυτῷ περιφυομένην, ἣν οἱ μὲν ἐχθροὶ περιθεῖναί
σοι ζητοῦσι, τῶν δὲ φίλων οὐδεὶς ὅστις οὐκ ἂν ἀντειπεῖν
ὑπὲρ σοῦ τολμήσειε. καίτοι περὶ τῶν σοὶ συμφερόντων ἐν
ταῖς τούτων ἀμφοτέρων γνώμαις μάλιστ᾽ ἂν κατίδοις τὴν
ἀλήθειαν.

λγʹ. Ἴσως [9] οὖν ὑπολαμβάνεις μικροψυχίαν εἶναι τὸ 98
τῶν βλασφημούντων καὶ φλυαρούντων καὶ τῶν πειθομένων
τούτοις φροντίζειν, ἄλλως [10] θ᾽ ὅταν καὶ μηδὲν σαυτῷ
[11] συνειδῇς ἐξαμαρτάνων. χρὴ δὲ μὴ καταφρονεῖν τοῦ πλή-
θους, μηδὲ παρὰ μικρὸν ἡγεῖσθαι τὸ παρὰ πᾶσιν εὐδοκι-
μεῖν, ἀλλὰ τότε νομίζειν καλὴν ἔχειν καὶ μεγάλην τὴν

[1] δὲ καὶ A. C. L. [2] λόγῳ A. C. L. [3] ἀνοήτως A. C. L. [4] λογισμοῖς A. C. L.
[5] παρασκευάζεσθαι A. C. L. [6] φαῦλον L. [7] πλείονος A. C. L.
[8] ἂν om. A. L. [9] δ᾽ A. C. L. [10] τε καὶ ὅταν C. [11] συνίδῃς A. συνοίδῃς L.

Περὶ τῶν σοι συμφερόντων κ. τ. λ.] Verte: *quid tibi utile sit, ex utrorumque*, et calumniatorum et defensorum, *sententiis facile perspicies.* Lang.

Συνίδῃς] Malim συνοίδῃς ἢ συνειδῇς. Nam συνιδεῖν, *perspicere*, συνειδέναι, *conscium esse*, significat. Wolf.

δόξαν καὶ πρέπουσαν [1] σοὶ καὶ τοῖς προγόνοις καὶ τοῖς ὑφ' 95
ὑμῶν πεπραγμένοις, ὅταν οὕτω διαθῇς τοὺς Ἕλληνας,
b ὥσπερ ὁρᾷς Λακεδαιμονίους τε πρὸς τοὺς αὑτῶν βασιλέας ἔχοντας τοὺς θ' ἑταίρους τοὺς σοὺς πρὸς σὲ διακειμένους. ἔστι δ' οὐ χαλεπὸν τυχεῖν τούτων, ἢν ἐθελήσῃς κοινὸς ἅπασι γενέσθαι, καὶ παύσῃ ταῖς μὲν τῶν πόλεων οἰκείως ἔχων, πρὸς δὲ τὰς ἀλλοτρίως διακείμενος· ἔτι δ' ἢν τὰ τοιαῦτα προαιρῇ πράττειν, ἐξ ὧν τοῖς μὲν Ἕλλησιν ἔσῃ πιστὸς, τοῖς δὲ βαρβάροις φοβερός.

c λδ'. Καὶ μὴ θαυμάσῃς, ἅπερ ἐπέστειλα καὶ πρὸς Διονύσιον [2] τὴν τυραννίδα κτησάμενον, εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτ' ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων. ἐγὼ γὰρ πρὸς μὲν τὸ πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν πολιτῶν — οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν, οὔτε τόλμαν δυναμένην ὄχλῳ [3] χρῆσθαι καὶ μολύνεσθαι καὶ λοιδορεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος καλινδουμένοις —, τοῦ δὲ φρονεῖν εὖ καὶ πεπαιδεῦσθαι καλῶς, εἰ
d καί τις ἀγροικότερον εἶναι φήσει τὸ ῥηθὲν, [4] ἀμφισβητῶ, καὶ θείην ἂν ἐμαυτὸν οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέχουσι τῶν ἄλλων. διόπερ ἐπιχειρῶ συμβουλεύειν τοῦτον τὸν τρόπον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι, καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ τῶν ἀνδρῶν τοῖς ἐνδοξοτάτοις.

λε'. Περὶ μὲν οὖν τῶν ἐμῶν, καὶ [5] ὧν σοι πρακτέον [6] ἐστὶ πρὸς τοὺς Ἕλληνας, σχεδὸν ἀκήκοας· περὶ δὲ τῆς στρατείας
e τῆς εἰς τὴν Ἀσίαν ταῖς μὲν πόλεσιν, ἃς ἔφην σε χρῆναι διαλλάττειν, τότε [7] συμβουλεύσομεν ὡς χρὴ πολεμεῖν πρὸς

[1] καὶ σοὶ A. C. L. [2] τὸν A. C. L. [3] χρήσασθαι καὶ μολύνασθαι A. C. L. [4] ἀμφισβητῶν A. [5] περὶ ὧν ἡγοῦμαί σοι A. C. L. [6] εἶναι A. C. L. [7] μοι δοκῶ συμβουλεύειν A. L. μοι δοκῶ συμβουλεύσειν C.

Ὅταν οὕτω διαθῇς τοὺς Ἑλλ.] *quando sic affeceris Græcos*, i. e. cum effeceris ut ita in te sint animati Græci, ad eum modum de te sentiant, eam erga te benevolentiam habeant. IDEM.

Πρὸς Διονύσιον] Hæc oratio hactenus non visa est. IDEM.

Μολύνεσθαι] Proprie *coinquinari*, hic *commisceri, conflictari*. AUGER. Πλησιάζειν, ἀναστρέφεσθαι καὶ συνδιατρίβειν, ἀπὸ μεταφορᾶς τῶν χρωματιζομένων τε καὶ σπιλουμένων. COR.

Λοιδορεῖσθαι] Active (Wolf. passive) *conviciis lacessere eos qui in subselliis versantur*, nisi καλινδούμενοι iidem qui §. νδ'. μαινόμενοι, *in suggestu insanientes*. LANG. Medie Coraes, scil. λοιδορεῖν ἐν τῷ μέρει καὶ λοιδορεῖσθαι, vel λοιδοροῦντα ἀντιλοιδορεῖσθαι, sicuti Aristophan. Eq. 1400. μεθύων τε ταῖς πόρναισι λοιδορήσεται. Anglice verteris: *to bandy hasty words*.

Ἀγροικότερον] Ἀλαζονικώτερον. COR.

τοὺς βαρβάρους, ὅταν ἴδωμεν αὐτὰς ὁμονοούσας, πρὸς σὲ
δὲ νῦν ποιήσομαι τοὺς λόγους, οὐ τὴν αὐτὴν ἔχων διάνοιαν
[1] καὶ κατ᾽ ἐκείνην τὴν ἡλικίαν, ὅτ᾽ ἔγραφον [2] περὶ τὴν αὐτὴν 99
ὑπόθεσιν ταύτην. τότε μὲν γὰρ παρεκελευόμην τοῖς ἀκου-
σομένοις καταγελᾶν μου καὶ καταφρονεῖν, ἢν μὴ καὶ τῶν
πραγμάτων καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου τοῦ
περὶ [3] τὸν λόγον διατριφθέντος ἀξίως φαίνωμαι διεξιών· νῦν
δὲ φοβοῦμαι μὴ πάντων τῶν προειρημένων πολὺ καταδε-
96 έστερον τύχω διαλεχθείς. καὶ γὰρ πρὸς τοῖς ἄλλοις ὁ λόγος
ὁ Πανηγυρικὸς, ὁ τοὺς ἄλλους τοὺς περὶ τὴν φιλοσοφίαν b
διατρίβοντας εὐπορωτέρους ποιήσας, ἐμοὶ πολλὴν ἀπορίαν
παρέσχηκεν· οὔτε γὰρ ταὐτὰ βούλομαι λέγειν τοῖς ἐν
ἐκείνῳ γεγραμμένοις, [4] οὔτ᾽ ἔτι καινὰ δύναμαι ζητεῖν. οὐ
μὴν ἀποστατέον [5] ἐστὶν, ἀλλὰ λεκτέον περὶ ὧν ὑπεθέμην,
ὅ τι ἂν [6] ὑποπέσῃ καὶ [7] συμφέρῃ πρὸς τὸ πεῖσαί σε ταῦτα
πράττειν. καὶ γὰρ ἢν ἐλλίπω τι καὶ μὴ δυνηθῶ τὸν αὐτὸν
τρόπον γράψαι τοῖς πρότερον ἐκδεδομένοις, ἀλλ᾽ οὖν ὑπογρά-
ψειν γ᾽ οἶμαι χαριέντως τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν c
δυναμένοις.

λς΄. Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου τοῦ σύμπαντος οἶμαι
πεποιῆσθαι ταύτην, ἥνπερ προσήκει τοὺς ἐπὶ τὴν Ἀσίαν
πείθοντας στρατεύειν. δεῖ γὰρ μηδὲν πρότερον πράττειν,
πρὶν ἂν λάβῃ τις τοὺς Ἕλληνας δυοῖν θάτερον, ἢ συναγω-
νιζομένους ἢ πολλὴν εὔνοιαν ἔχοντας τοῖς πραττομένοις. ὧν
Ἀγησίλαος ὁ δόξας εἶναι Λακεδαιμονίων φρονιμώτατος ὠλι- d
γώρησεν, οὐ διὰ κακίαν ἀλλὰ διὰ φιλοτιμίαν. ἔσχε γὰρ
διττὰς ἐπιθυμίας, καλὰς μὲν ἀμφοτέρας, οὐ συμφωνούσας
δὲ ἀλλήλαις οὐδ᾽ ἅμα πράττεσθαι δυναμένας. προῃρεῖτο

[1] νῦν καὶ A. C. L. [2] περὶ om. A. C. L. [3] τοὺς λόγους A. C. L. [4] οὔτε δύναμαι καινὰ A. C. L. [5] γ᾽ ἐστὶν A. C. L. [6] ὑποπέσοι A. L. θ᾽ ὕπεστί μοι C. [7] συμφέροι A. L. συμφέρει C.

Πρὸς σὲ δὲ νῦν] Malim scripsisset: νῦν δὲ πρὸς σὲ. Lang.

Διεξιὼν] Vid. Paneg. §. β΄.

Ὁ τοὺς ἄλλους] Oblique et dissimulanter perstringit æmulos sophistas et oratores. Videmus apud Demosthenem non pauca pæne de verbo ex Isocrate descripta. Wolf.

Τοῖς ἐξεργάζεσθαι] Τοῖς regitur a χαριέντως, *eo modo qui gratus sit iis qui &c.* Auger. *qui absolvere et conficere possunt,* de opere malim, quale Isocrates suadet, quam de oratione intelligere. *ejusmodi tamen viris satisfacturum arbitror, qui res, non verba, spectantes, ad perficiendum quod agitur primis lineis contenti sunt.* Si quis tamen auctorem h. l. rhetores carpere potius putet, ut locus vulgo intelligitur, me non invito faciet. Lang.

Δυοῖν θάτερον] Sub. κατὰ, et sume adverbialiter. Auger.

Κακίαν] Ἄγνοιαν, ἀπειρίαν. Cor.

γὰρ βασιλεῖ τε πολεμεῖν, καὶ τοὺς ἑταίρους εἰς τὰς πόλεις
τὰς αὑτῶν [1]καταγαγεῖν, καὶ κυρίους ποιῆσαι τῶν πρα-
γμάτων. συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ
τῶν ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας,
e διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην [2]μὴ σχολὴν
ἄγειν μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. ὥστ' ἐκ τῶν
ἀγνοηθέντων κατ' ἐκεῖνον τὸν χρόνον ῥάδιον καταμαθεῖν
ὅτι δεῖ τὸν ὀρθῶς βουλευόμενον μὴ πρότερον ἐκφέρειν τὸν
100 πρὸς βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τοὺς Ἕλληνας
καὶ παύσῃ τῆς μανίας τῆς νῦν αὐτοῖς ἐνεστώσης· ἅπερ καὶ
σοὶ συμβεβουλευκότες τυγχάνομεν.

λζʹ. Περὶ μὲν οὖν τούτων οὐδεὶς ἂν ἀντειπεῖν τῶν εὖ
φρονούντων τολμήσειεν· οἶμαι δὲ τῶν μὲν ἄλλων εἴ τισι δό-
ξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν συμβουλεύειν,
ἐπὶ ταύτην ἂν ἐπιπεσεῖν τὴν παράκλησιν, λέγοντας ὡς ὅσοι
b περ ἐπεχείρησαν πρὸς τὸν βασιλέα πολεμεῖν, ἅπασι συν- 97
έπεσεν ἐξ ἀδόξων μὲν γενέσθαι λαμπροῖς, ἐκ πενήτων δὲ
πλουσίοις, ἐκ ταπεινῶν δὲ πολλῆς χώρας καὶ πόλεων δεσπό-
ταις. ἐγὼ δ' οὐκ ἐκ τῶν τοιούτων μέλλω σε παρακαλεῖν,
ἀλλ' ἐκ τῶν ἠτυχηκέναι δοξάντων, λέγω δ' ἐκ τῶν μετὰ
Κύρου καὶ Κλεάρχου [3]συστρατευσαμένων. ἐκείνους γὰρ
[4]ὁμολογεῖται νικῆσαι μὲν μαχομένους ἅπασαν τὴν βασι-
c λέως δύναμιν τοσοῦτον, ὅσον περ ἂν εἰ ταῖς γυναιξὶν αὐτῶν
συνέβαλον, ἤδη δ' ἐγκρατεῖς δοκοῦντας εἶναι τῶν πραγμάτων,
διὰ τὴν Κύρου προπέτειαν ἀτυχῆσαι· περιχαρῆ γὰρ αὐτὸν
ὄντα καὶ διώκοντα πολὺ πρὸ τῶν ἄλλων, ἐν μέσοις γενόμε-
νον τοῖς πολεμίοις ἀποθανεῖν. ἀλλ' ὅμως τηλικαύτης συμ-
φορᾶς συμπεσούσης [5]οὕτω σφόδρα κατεφρόνησεν ὁ βασιλεὺς
τῆς περὶ αὑτὸν δυνάμεως, ὥστε [6]προκαλεσάμενος Κλέαρχον
καὶ τοὺς ἄλλους ἡγεμόνας εἰς λόγον ἐλθεῖν, καὶ τούτοις
d μὲν ὑποσχόμενος μεγάλας δωρεὰς δώσειν, τοῖς δὲ ἄλλοις
στρατιώταις ἐντελῆ τὸν μισθὸν ἀποδοὺς ἀποπέμψειν, τοι-

[1] κατάγειν A. C. L. [2] αὐτὸν μὴ A. [3] στρατευσαμένων A. C. L.
[4] ὁμολογοῦσι A. C. L. [5] αὐτῷ οὕτω A. C. L. [6] προσκαλεσάμενος A. C. L.

Μὴ σχολὴν ἄγειν] Scil. τὸν Ἀγησίλαον. Tametsi nihil vetat etiam ad Græcos referri, quorum ille auxiliis utebatur. Nota est historia et jocus Agesilai, se 30000 sagittariorum ex Asia pulsum conquerentis. Wolf.

Βουλευόμενον] Ἴσως· βουλευσόμενον. Cor.
Συνέπεσεν] Συνέβη. Idem.

αὐταῖς ἐλπίσιν [1] ὑπαγαγόμενος, καὶ πίστεις δοὺς τῶν [2] ἐκεῖ
νομιζομένων τὰς μεγίστας, συλλαβὼν αὐτοὺς ἀπέκτεινεν,
καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ τοῖς στρα-
τιώταις οὕτως ἐρήμοις οὖσι συμβαλεῖν.

λη'. [3] Ὥςτε τίς ἂν γένοιτο παράκλησις ταύτης καλλίων
καὶ πιστοτέρα; Φαίνονται γὰρ κἀκεῖνοι κρατήσαντες ἂν e
τῶν βασιλέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον. σοὶ δὲ τήν
[4] τε ἀτυχίαν τὴν τότε [5] γεγενημένην οὐ χαλεπὸν φυλάξα-
σθαι, τοῦ τε στρατοπέδου τοῦ κρατήσαντος τὴν ἐκείνου
δύναμιν ῥᾴδιον πολὺ κρεῖττον παρασκευάσασθαι. καίτοι
τούτων ἀμφοτέρων ὑπαρξάντων πῶς οὐ χρὴ θαῤῥεῖν ποιού-
μενον τὴν στρατείαν ταύτην;

λθ'. Καὶ μηδεὶς ὑπολάβῃ με βούλεσθαι λαθεῖν, ὅτι 101
τούτων ἔνια πέφρακα τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον.
[6] ἐπιστὰς γὰρ ἐπὶ τὰς αὐτὰς διανοίας εἱλόμην [7] μὴ πονεῖν
γλιχόμενος τὰ [8] δεδηλωμένα καλῶς [9] ἑτέρως εἰπεῖν· καὶ γὰρ
εἰ μὲν ἐπίδειξιν ἐποιούμην, ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦ-
98 τα [10] διαφεύγειν, σοὶ δὲ συμβουλεύων, μωρὸς ἂν [11] ἦν, εἰ περὶ
τὴν λέξιν [12] πλείω χρόνον διέτριβον ἢ περὶ τὰς πράξεις, ἔτι
δ' εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος b
[13] ἀπειχόμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τοῖς μὲν οὖν
οἰκείοις τυχὸν ἂν χρησαίμην, ἤν που σφόδρα κατεπείγῃ καὶ
[14] πρέπῃ, τῶν δ' ἀλλοτρίων οὐδὲν ἂν προσδεξαίμην, ὥσπερ
οὐδ' ἐν τῷ παρελθόντι χρόνῳ.

μ'. Ταῦτα [15] μὲν οὖν οὕτως· δοκεῖ δέ μοι μετὰ ταῦτα
περὶ τῆς παρασκευῆς διαλεκτέον εἶναι τῆς τε σοὶ [16] γενησο-
μένης καὶ τῆς ἐκείνοις ὑπαρξάσης. τὸ μὲν τοίνυν μέγιστον,

[1] ὑπαγόμενος A. C. L. [2] ἐκείνῳ A. L. [3] καίτοι A. C. L. [4] τε om. A. C. L. [5] γενομένην A. C. L. [6] εἰ A. C. L. [7] ἐλθεῖν ποιεῖν A. C. L. [8] δεδηλωσόμενα A. [9] εἶχεν A. C. L. [10] διαφυλάττειν A. C. L. [11] εἴην A. C. L. [12] πλείονα A. C. L. [13] ἀπεσχόμην A. ἀπεχοίμην C. L. [14] πρέπον ᾖ A. C. L. [15] μὲν οὕτως ἕξει. A. C. L. [16] γενομένης A. L.

Ὑπαγαγόμενος] Μετ' ἀπάτης πείσας. IDEM.

Τῶν ἐκεῖ νομιζομένων] Τῶν ἐν Ἀσίᾳ, τουτέστι παρὰ Πέρσαις, εἰθισμένων πίστεων. Ὁ Σικελιώτης Διόδωρ. Ις. μγ'. Καὶ τὴν δεξιὰν ἔδωκε τῷ Θετταλίωνι· ἔστι δ' ἡ πίστις αὕτη βεβαιοτάτη παρὰ τοῖς Πέρσαις. IDEM.

Εἰ μὴ διὰ Κῦρον] *nisi Cyrus obstitisset.* Wolf. deesse putat ἀπέτυχον, vel simile aliquod verbum, quanquam hæc ellipsis et alibi legitur. LANG. Εἰ μὴ ὁ Κύρου θάνατος ἐμποδὼν αὐτοῖς ἐγένετο. COR.

Ἐκείνου] Scil. regis Persarum. LANG.

Τῶν δ' ἀλλοτρίων] Et tamen cavere non potuit, quin Lysiæ Epitaphium et Gorgiæ Panegyricum compilasse putaretur, ut Plutarchus et Philostratus indicant. WOLF. Verius, ni fallor, posueris nescio quem rhetoriscum hasce orationes ex Isocrateis aliisque coagmentasse.

Ἐκείνοις] Cyro nempe et Clearcho. LANG. COR.

c σὺ μὲν τοὺς Ἕλληνας εὔνους ἕξεις, ἤνπερ [1] ἐθελήσῃς ἐμμεῖναι τοῖς περὶ τούτων εἰρημένοις, ἐκεῖνοι δὲ διὰ τὰς δεκαδαρχίας τὰς ἐπὶ Λακεδαιμονίων ὡς οἷόν τε [2] δυσμενεστάτους. ἡγοῦντο γὰρ Κύρου μὲν καὶ Κλεάρχου κατορθωσάντων μᾶλλον ἔτι δουλεύσειν, βασιλέως δὲ κρατήσαντος ἀπαλλαγήσεσθαι τῶν κακῶν τῶν παρόντων· ὅπερ καὶ συνέπεσεν αὐτοῖς. καὶ μὴν καὶ στρατιώτας σὺ μὲν ἐξ ἑτοίμου λήψῃ τοσούτους
d ὅσους ἂν βουληθῇς· οὕτω γὰρ ἔχει τὰ τῆς Ἑλλάδος, ὥστε ῥᾷον εἶναι συστῆσαι στρατόπεδον μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων· ἐν ἐκείνοις δὲ τοῖς χρόνοις οὐκ ἦν ξενικὸν οὐδὲν, ὥστε ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν πόλεων πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς [3] συλλέγουσι δωρεὰς ἢ [4] τὴν εἰς τοὺς στρατιώτας [5] μισθοφοράν. καὶ μὴν εἰ [6] βουληθεῖμεν ἐξετάσαι καὶ παραβαλεῖν
e σέ τε τὸν νῦν ἡγησόμενον τῆς στρατείας καὶ βουλευσόμενον περὶ [7] ἁπάντων καὶ Κλέαρχον τὸν ἐπιστατήσαντα τῶν τότε πραγμάτων, εὑρήσομεν ἐκεῖνον μὲν οὐδεμιᾶς πώποτε δυνάμεως πρότερον οὔτε ναυτικῆς οὔτε πεζῆς καταστάντα κύριον, ἀλλ᾽ ἐκ τῆς ἀτυχίας τῆς συμβάσης αὐτῷ περὶ
102 τὴν ἤπειρον ὀνομαστὸν γενόμενον, σὲ δὲ τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος διαπεπραγμένον, περὶ ὧν εἰ μὲν πρὸς ἑτέρους τὸν λόγον ἐποιούμην, καλῶς [8] ἂν εἶχε διελθεῖν, πρὸς σὲ δὲ διαλεγόμενος, εἰ [9] τὰς σὰς πράξεις σοι διεξιοίην, δικαίως ἂν ἀνόητος [10] ἅμα καὶ περίεργος εἶναι δοκοίην.

μα΄. Ἄξιον δὲ μνησθῆναι καὶ τῶν βασιλέων [11] ἀμφοτέρων, 99
ἐφ᾽ ὃν σοί τε [12] συμβουλεύω στρατεύειν καὶ πρὸς ὃν Κλέαρχος ἐπολέμησεν, ἵν᾽ ἑκατέρου [13] τὴν γνώμην καὶ τὴν δύναμιν
b εἰδῇς. ὁ μὲν τοίνυν τούτου πατὴρ τὴν [14] πόλιν τὴν ἡμετέραν

[1] ἐθέλῃς A. C. L. [2] δυσμενεστάτους [εἶχον]. C. [3] Ἕλλησι A. C. L. [4] τὸν C. L. εἰς τὸν A. [5] μισθόν A. C. L. [6] βουληθείημεν A. C. L. [7] πάντων A. C. L. [8] ἂν om. A. C. L. [9] πάσας τὰς A. C. L. [10] ἅμα om. A. C. L. [11] ἀμφοτέρων om. A. C. L. [12] συμβουλεύομεν A. C. L. [13] καὶ τὴν A. C. L. [14] τε πόλιν A. C. L.

Τοὺς Ἕλληνας] Intellige Asiam incolentes. Lang.

Ἐκεῖνοι] Np. Cyri milites. Auger.

Μᾶλλον ἔτι δουλεύσειν] Nam Clearchus Lacedæmonius erat. Wolf.

Ὥστε ῥᾷον εἶναι κ. τ. λ.] Vid. Epist. Θ. §. γ΄. Lang.

Τῶν πολιτευομένων] I. e. τῶν ἐν ταῖς πόλεσι ζώντων. Wolf.

Ξενικὸν] Scil. στράτευμα. Græci ξένους appellarunt *mercenarios milites*. qui proprie μισθοφόροι dicuntur. Idem.

Ξενολογεῖν] *conducere mercede ac deligere peregrinos milites.* Idem.

Ἐκ τῆς ἀτυχίας] Intelligo hic miserabilem Clearchi interitum. Idem.

Ὁ μὲν τοίνυν τούτου πατὴρ] Rex Persarum nunc regnans erat Artaxerxes Ochus;

καὶ πάλιν [1] τὴν Λακεδαιμονίων κατεπολέμησεν, οὗτος δ'
οὐδενὸς πώποτε τῶν στρατευμάτων τῶν τὴν χώραν αὐτοῦ
λυμαινομένων ἐπεκράτησεν. ἔπειθ' ὁ μὲν τὴν Ἀσίαν [2] ἅπασαν
παρὰ τῶν Ἑλλήνων ἐν ταῖς συνθήκαις [3] ἐξέλαβεν, οὗτος δὲ
τοσούτου δεῖ τῶν [4] ἄλλων ἄρχειν, ὥστ' οὐδὲ τῶν ἐκδοθεισῶν
αὐτῷ πόλεων [5] ἐγκρατής ἐστιν. ὥστ' [6] οὐδεὶς ὅστις οὐκ ἂν c
ἀπορήσειε, πότερα χρὴ νομίζειν τοῦτον αὐτῶν ἀφεστάναι
δι' ἀνανδρίαν, ἢ [7] 'κείνας ὑπερεωρακέναι καὶ καταπεφρονηκέ-
ναι τῆς βαρβαρικῆς δυναστείας.

μβ'. Τὰ τοίνυν περὶ τὴν χώραν ὡς διάκειται, τίς οὐκ
ἂν ἀκούσας παροξυνθείη πολεμεῖν πρὸς αὐτόν; Αἴγυπτος
μὲν γὰρ ἀφειστήκει καὶ κατ' ἐκεῖνον τὸν χρόνον, οὐ μὴν
ἀλλ' ἐφοβοῦντο μή ποτε βασιλεὺς αὐτὸς ποιησάμενος
στρατείαν κρατήσειε καὶ τῆς διὰ τὸν ποταμὸν δυσχωρίας d
καὶ τῆς ἄλλης παρασκευῆς ἁπάσης· νῦν δ' οὗτος ἀπήλλα-
ξεν αὐτοὺς τοῦ δέους τούτου. [8] συμπαρασκευασάμενος γὰρ
δύναμιν ὅσην οἷός τ' ἦν [9] πλείστην, καὶ στρατεύσας ἐπ'
αὐτοὺς, ἀπῆλθεν ἐκεῖθεν οὐ μόνον ἡττηθεὶς, ἀλλὰ καὶ
καταγελασθεὶς καὶ δόξας οὔτε βασιλεύειν οὔτε στρατη-
γεῖν ἄξιος εἶναι. τὰ τοίνυν περὶ Κύπρον καὶ Φοινίκην καὶ
Κιλικίαν καὶ τὸν τόπον ἐκεῖνον, ὅθεν ἐχρῶντο [10] ναυτικῷ,
τότε μὲν ἦν [11] βασιλέως, νῦν δὲ τὰ μὲν ἀφέστηκε, τὰ δ' ἐν e
πολέμῳ καὶ κακοῖς τοσούτοις ἐστὶν, ὥστ' ἐκείνῳ μὲν μηδὲν
εἶναι τῶν ἐθνῶν τούτων χρήσιμον, σοὶ δ', ἢν πολεμεῖν πρὸς
αὐτὸν βουληθῇς, συμφόρως ἕξειν.

μγ'. Καὶ μὴν Ἰδριέα γε τὸν εὐπορώτατον τῶν νῦν περὶ

[1] τὴν τῶν Λ. A. C. L. [2] πᾶσαν A. C. L. [3] ἔλαβεν A. C. L. [4] Ἑλλήνων A. C. L. [5] κύριός A. C. L. [6] οὐκ ἔστιν A. C. L. [7] ἐκείνας C. [8] συναγαγὼν A. C. L. [9] πλείστην ὅσην οἷός τ' ἦν A. C. L. [10] τῷ ναυτικῷ A. C. L. [11] μετὰ βασιλέως A. C. L.

hujus pater Artaxerxes Mnemon. Auger.

Κατεπολέμησεν] Non tam suis ipse viribus et copiis, quam pecunia nunc Lacedæmoniis et Lysandro per Tissaphernem contra Athenienses, nunc his et Cononi per Pharnabazum contra illos, nunc Græcis cæteris contra utrosque, suppeditanda. Vide Diodorum l. xv. p. 478. et l. xvi. p. 531. Wolf.

Οὗτος δ' οὐδενὸς] Ochus scilicet, quem postea se erga subditos crudeliter gerentem a Bagoa venenum interfectum esse totamque ipsius familiam funditus delevisse tam narrat Diodorus. Batt.

Διὰ τὸν ποταμὸν] In Busiride affirmat Nilum quasi murum esse Ægypti. Wolf.

Παρασκευῆς] Παρασκευὴ, *omnia bello gerendo opportuna.* Lang.

Ἀπῆλθεν ἐκεῖθεν] Eum tamen Ægyptum subsegisse narrat Diodorus l. xvi. p. 446-8. Batt.

Νῦν δὲ τὰ μὲν ἀφέστηκε] Potissimum de Evagora hic agitur. Wolf.

Συμφόρως ἕξειν] Sub. τὰ ἔθνη ταῦτα. Auger.

Ἰδριέα] Fuit hic Idrieus Cariæ satrapa, filius Hecatomni, et frater Mausoli ac

τὴν ἤπειρον προσήκει δυσμενέστερον εἶναι τοῖς βασιλέως
103 πράγμασι τῶν πολεμούντων· ἢ πάντων [1] γ᾽ ἂν εἴη σχετλιώτατος, εἰ μὴ βούλοιτο καταλελύσθαι ταύτην τὴν ἀρχὴν, τὴν αἰκισαμένην μὲν τὸν ἀδελφὸν, πολεμήσασαν δὲ πρὸς
αὐτὸν, ἅπαντα δὲ τὸν χρόνον ἐπιβουλεύουσαν καὶ [2] βουλο- 100
μένην τοῦ τε σώματος αὐτοῦ καὶ τῶν χρημάτων ἁπάντων γενέσθαι κυρίαν. ὑπὲρ ὧν δεδιὼς νῦν μὲν ἀναγκάζεται θεραπεύειν αὐτὸν καὶ χρήματα πολλὰ καθ᾽ ἕκαστον [3] τὸν ἐνι-
b αυτὸν ἀναπέμπειν. εἰ δὲ σὺ διαβαίης εἰς τὴν ἤπειρον, ἐκεῖνός τ᾽ ἂν ἄσμενος ἴδοι βοηθὸν ἥκειν αὐτῷ σε νομίζων, τῶν τ᾽ ἄλλων σατραπῶν πολλοὺς ἀποστήσεις, ἢν ὑπόσχῃ τὴν ἐλευθερίαν αὐτοῖς, καὶ τοὔνομα τοῦτο διασπείρῃς εἰς τὴν Ἀσίαν, ὅπερ εἰς τοὺς Ἕλληνας εἰσπεσὸν καὶ τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων [4] ἀρχὴν κατέλυσεν.

μδʹ. Ἔτι δ᾽ ἂν πλείω λέγειν ἐπεχείρουν, ὃν τρόπον πολεμῶν τάχιστ᾽ ἂν περιγένοιο τῆς τοῦ βασιλέως δυνά-
c μεως· νῦν δὲ φοβοῦμαι μή τινες ἐπιτιμήσωσιν ἡμῖν, εἰ μηδὲν πώποτε [5] μεταχειρισάμενος τῶν [6] στρατιωτικῶν [7] νῦν τολμῴην σοὶ παραινεῖν τῷ πλεῖστα καὶ μέγιστα διαπεπραγμένῳ κατὰ πόλεμον· ὥστε περὶ μὲν τούτων οὐδὲν οἶμαι δεῖν πλείω λέγειν.

μέ. Περὶ δὲ τῶν ἄλλων, ἡγοῦμαι [8] τόν τε πατέρα [9] σου καὶ τὸν κτησάμενον τὴν βασιλείαν καὶ τὸν τοῦ γένους ἀρχηγὸν, εἰ τῷ μὲν εἴη [10] θέμις, οἱ δὲ δύναμιν λάβοιεν, τῶν
d αὐτῶν ἂν τούτων γενέσθαι συμβούλους, ὧνπερ ἐγώ. χρῶμαι δὲ τεκμηρίοις, ἐξ ὧν διαπεπραγμένοι τυγχάνουσιν. ὅ τε γὰρ πατήρ σου πρὸς τὰς πόλεις ταύτας, αἷς σοὶ παραινῶ προσέχειν τὸν νοῦν, πρὸς ἁπάσας οἰκείως εἶχεν· ὅ τε κτησάμενος τὴν ἀρχὴν, μεῖζον φρονήσας τῶν αὑτοῦ πολιτῶν καὶ

[1] γ᾽ om. A. C. L. [2] βουλευομένην A. C. L. [3] τὸν om. A. C. L. [4] ἀρχὴν καὶ τὴν Λακ. A. C. L. [5] μεταχειρισάμενοι A. C. L. [6] στρατηγικῶν A. C. L. [7] σοὶ τολμῷμεν A. C. L. [8] ἀρκεῖν πρὸς παράδειγμα τόν A. L. ἀρκεῖν πρὸς παράδειγμα asteriscis inclusit C. [9] σοι A. C. L. [10] λέγειν C. βουλομένῳ λέγειν A. L.

Artemisiæ. Cf. Harpocrat. sub voc. et Diodor. Sic. l. xvi.

Σχετλιώτατος] Ἀνοητότατος. Cor.

Τόν τε πατέρα σου καὶ τὸν κτησάμενον τὴν βασιλείαν καὶ τὸν τοῦ γένους ἀρχηγὸν] Amyntam scil. et Caranum et Herculem.

Τῷ μὲν — οἱ δὲ] Herculi — Caranus et Amyntas.

Γενέσθαι] Hic deesse videtur οἴομαι, nisi mavis subaudiri ἡγοῦμαι quod præcessit. Auger. Ad γενέσθαι repete ἡγοῦμαι. Lang.

μοναρχίας ἐπιθυμήσας, οὐχ ὁμοίως ἐβουλεύσατο τοῖς πρὸς
τὰς τοιούτας φιλοτιμίας [1] ὁρμωμένοις. οἱ μὲν γὰρ ἐν ταῖς
αὑτῶν πόλεσι στάσεις καὶ ταραχὰς καὶ [2] σφαγὰς ἐμποι- e
οῦντες ἐκτῶντο τὴν τιμὴν ταύτην, ὁ δὲ τὸν μὲν τόπον τὸν
Ἑλληνικὸν ὅλως εἴασε, τὴν δ' ἐν Μακεδονίᾳ βασιλείαν κα-
τασχεῖν ἐπεθύμησεν· ἠπίστατο γὰρ τοὺς μὲν Ἕλληνας οὐκ
εἰθισμένους ὑπομένειν τὰς μοναρχίας, τοὺς δ' ἄλλους οὐ
δυναμένους ἄνευ τῆς τοιαύτης δυναστείας διοικεῖν τὸν βίον 104
101 τὸν σφέτερον αὐτῶν. καὶ γάρ τοι συνέβη διὰ τὸ γνῶναι
περὶ τούτων αὐτὸν ἰδίως καὶ τὴν βασιλείαν γεγενῆσθαι
πολὺ τῶν ἄλλων ἐξηλλαγμένην. μόνος γὰρ [3] Ἑλλήνων οὐχ
ὁμοφύλου γένους ἀξιώσας ἄρχειν μόνος καὶ διαφυγεῖν ἠδυνή-
θη τοὺς κινδύνους τοὺς περὶ τὰς μοναρχίας γιγνομένους. τοὺς
μὲν γὰρ ἐν τοῖς Ἕλλησι τοιοῦτόν τι διαπεπραγμένους εὕροι-
μεν ἂν οὐ μόνον αὐτοὺς διεφθαρμένους, ἀλλὰ καὶ τὸ γένος b
αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον, ἐκεῖνον δ' αὐτόν τε ἐν
εὐδαιμονίᾳ τὸν βίον [4] διαγαγόντα, τῷ τε γένει καταλι-
πόντα τὰς αὐτὰς τιμὰς ἅσπερ αὐτὸς εἶχε.

μς'. Περὶ τοίνυν Ἡρακλέους, οἱ μὲν ἄλλοι τὴν ἀνδρίαν
ὑμνοῦντες αὐτοῦ καὶ τοὺς ἄθλους ἀπαριθμοῦντες διατε-
λοῦσι, περὶ δὲ τῶν ἄλλων τῶν τῇ ψυχῇ προσόντων ἀγαθῶν
οὐδεὶς οὔτε τῶν ποιητῶν οὔτε τῶν λογοποιῶν οὐδεμίαν φα-
νήσεται μνείαν πεποιημένος. ἐγὼ δὲ ὁρῶ μὲν τόπον ἴδιον καὶ c
παντάπασιν [5] ἀδιεξέργαστον, οὐ μικρὸν οὐδὲ κενὸν, ἀλλὰ
πολλῶν μὲν ἐπαίνων καὶ καλῶν πράξεων γέμοντα, ποθοῦντα
δὲ τὸν ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι περὶ αὐτῶν. ἐφ' ὃν
εἰ μὲν νεώτερος ὢν ἐπέστην, ῥᾳδίως ἂν ἐπέδειξα τὸν πρόγονον
ὑμῶν καὶ τῇ φρονήσει καὶ τῇ [6] φιλοτιμίᾳ καὶ τῇ δικαιο-
σύνῃ πλέον διενεγκόντα πάντων τῶν προγεγενημένων ἢ τῇ
ῥώμῃ τῇ τοῦ σώματος· νῦν δ' ἐπελθὼν ἐπ' αὐτὸν, καὶ κατι- d
δὼν τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν, τήν τε δύναμιν τὴν παρ-

[1] ὡρμημένοις A. C. L. [2] σφαγὰς καὶ ταραχὰς A. C. L. τῶν Ἑλλ. A. C. L. [4] διάγοντα A. L. [5] ἀδιέργαστον A. C. L. [6] φιλοσοφίᾳ A. C. L.

Γνῶναι] Κρῖναι. Cor.

Ἰδίως] Φρονίμως. *proprie*, i. e. prudenter et ad ingenia hominum accommodate. Wolf. Οὐχ ὡς οἱ ἄλλοι. Cor.

Βασιλείαν] Sub. αὐτοῦ. Auger.

Ἐξηλλαγμένην] Διαφέρουσαν. Cor.

Τήν τε δύναμιν τ. π. μοι κατεμεμψάμην] *reprehendi facultatem dicendi meam*, i. e. animadverto me imparem esse gravitati argumenti. Wolf.

οὖσάν μοι κατεμεμψάμην καὶ τὸν λόγον ᾐσθόμην [1] διπλά-
σιον ἂν γενόμενον τοῦ νῦν ἀναγιγνωσκομένου. τῶν μὲν οὖν
ἄλλων [2] ἀπέστην διὰ τὰς αἰτίας ταύτας, μίαν δὲ πρᾶξιν
[3] ἐξ αὐτῶν ἔλαβον, ἥπερ ἦν προσήκουσα μὲν καὶ πρέπουσα
τοῖς [4] προειρημένοις, τὸν δὲ καιρὸν ἔχουσα μάλιστα σύμ-
μετρον τοῖς νῦν λεγομένοις.

e μζʹ. Ἐκεῖνος γὰρ ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ στά-
σεων καὶ [5] πολλῶν ἄλλων κακῶν μεστὴν οὖσαν, παύσας
ταῦτα καὶ διαλλάξας τὰς πόλεις πρὸς ἀλλήλας ὑπέδειξε
τοῖς ἐπιγιγνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς οὓς δεῖ τοὺς πο-
λέμους ἐκφέρειν. [6] [μὴ γὰρ ῥᾳθυμήσας] ποιησάμενος [7] γὰρ
105 στρατείαν ἐπὶ Τροίαν, ἥπερ εἶχε τότε [8] μεγίστην δύναμιν 102
τῶν περὶ τὴν Ἀσίαν, τοσοῦτον διήνεγκε τῇ στρατηγίᾳ τῶν
πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πολεμησάντων, ὅσον οἱ μὲν
μετὰ τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν ἔτεσι δέκα μόλις αὐτὴν
ἐξεπολιόρκησαν, ὁ δ' ἐν ἡμέραις ἐλάττοσιν ἢ τοσαύταις καὶ
μετ' ὀλίγων στρατεύσας ῥᾳδίως αὐτὴν κατὰ κράτος εἷλε.
καὶ μετὰ ταῦτα τοὺς βασιλέας τῶν ἐθνῶν τῶν ἐφ' ἑκατέ-
b ρας τῆς ἠπείρου τὴν παραλίαν κατοικούντων ἅπαντας
ἀπέκτεινεν· οὓς οὐδέποτ' ἂν διέφθειρεν, εἰ μὴ καὶ τῆς δυνά-
μεως αὐτῶν ἐκράτησε. ταῦτα δὲ πράξας τὰς στήλας τὰς
Ἡρακλέους καλουμένας ἐποιήσατο, τρόπαιον μὲν τῶν βαρ-
βάρων, μνημεῖον δὲ τῆς ἀρετῆς αὐτοῦ καὶ τῶν κινδύνων, ὅρους
δὲ τῆς τῶν Ἑλλήνων χώρας. τούτου δ' ἕνεκά σοι περὶ τού-
των διῆλθον, ἵνα γνῷς ὅτι σε τυγχάνω τῷ λόγῳ παρακα-

[1] διπλασίω A. C. L. [2] ἀφέξομαι πάντων διὰ A. C. L. [3] ἐκλεξάμενος ἔλαβον C. [4] εἰρημένοις A. C. L. [5] τῶν A. L. [6] uncos om. A. C. L. [7] δὲ A. C. L. [8] μεγίστην τότε A. C. L.

Καιρὸν] Quæ sequuntur de seditionibus quibus laborabat Græcia quo tempore Hercules ipsius patrocinium suscepit, evincunt per *καιρὸν* intelligi debere *eandem temporis occasionem*, seu *simile tempus* quoddam Philippo accidisse quod Herculi; adeoque actionem illam Herculis, qua sc. Græciam liberavit a malis, etc., simili tempore (vel potius occasione) evenisse, quo nunc Philippum ad ea suscipienda hortatur. Si enim per *καιρὸν* voluisset intelligi *temporis spatium*, *χρόνον* potius dixisset. Batt. *occasionem*, i. e. hic, longitudinem tempori aptatam. Auger. *longitudinem*, huic orationi aptam. Lang.

Ἐλάττοσιν ἢ τοσαύταις] *in diebus paucioribus quam tot*, sub. fuerunt anni, sc. decem. Pro τοσαύταις forte legendum τοσούτοις, sc. ἔτεσιν. Auger. Quod opus non est. Lang. Ἐλάττοσι δέκα ἡμερῶν. μνημονεύει τούτου καὶ Σένεκας ἐν Ἀγαμέμν. 865. 'Te duce concidit totidem diebus Troja, quot annis.' Cor.

Ἐφ' ἑκατέρας τῆς ἠπείρου] Τῆς τε Ἀσιανῆς καὶ τῆς Εὐρωπαίας, ὡς ἐξηγήσατο ὁ Περιζώνιος ἐν τῇ Αἰλιαν. Ποικ. Ἱστ. Ε. γʹ. Idem.

λῶν ἐπὶ τοιαύτας πράξεις, ἃς ἐπὶ τῶν ἔργων οἱ πρόγονοί
σου φαίνονται κάλλιστα προκρίναντες. c

μή. Ἅπαντας μὲν οὖν χρὴ τοὺς νοῦν ἔχοντας [1] τὸν κρά-
τιστον ὑποστησαμένους πειρᾶσθαι γίγνεσθαι τοιούτους,
μάλιστα δὲ σοὶ προσήκει. [2] τὸ γὰρ [3] μὴ [4] δεῖν ἀλλοτρίοις
χρῆσθαι παραδείγμασιν, ἀλλ' οἰκεῖον ὑπάρχειν, πῶς οὐκ
εἰκὸς ὑπ' αὐτοῦ σε παροξύνεσθαι καὶ φιλονεικεῖν ὅπως τῷ
προγόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις; λέγω δ' οὐχ ὡς
δυνησόμενον ἁπάσας σε μιμήσασθαι τὰς Ἡρακλέους πρά- d
ξεις — οὐδὲ γὰρ [5] ἂν τῶν θεῶν ἔνιοι δυνηθεῖεν —· ἀλλὰ
κατά γε τὸ τῆς ψυχῆς ἦθος καὶ τὴν φιλανθρωπίαν καὶ
τὴν εὔνοιαν, ἣν εἶχεν εἰς τοὺς Ἕλληνας, δύναιο ἂν ὁμοιωθῆ-
ναι τοῖς ἐκείνου [6] βουλήμασιν. ἔστι δέ σοι πεισθέντι τοῖς ὑπ'
ἐμοῦ λεγομένοις τυχεῖν δόξης, οἵας ἂν αὐτὸς βουληθείης·
ῥᾷον γάρ ἐστιν ἐκ τῶν παρόντων κτήσασθαί σε τὴν καλλί-
στην, [7] ἢ ἐξ ὧν παρέλαβες ἐπὶ τὴν [8] νῦν ὑπάρχουσαν προελ-
θεῖν. σκέψαι δ' ὅτι σε τυγχάνω παρακαλῶν, ἐξ ὧν ποιήσῃ e
τὰς στρατείας, οὐ μετὰ τῶν βαρβάρων ἐφ' οὓς οὐ δίκαιόν
ἐστιν, ἀλλὰ μετὰ τῶν Ἑλλήνων ἐπὶ τούτους πρὸς οὓς προσ-
ήκει τοὺς ἀφ' Ἡρακλέους γεγονότας πολεμεῖν.

μθ'. Καὶ μὴ θαυμάσῃς, εἰ διὰ παντός σε τοῦ λόγου πει- 106
103 ρῶμαι προτρέπειν ἐπί [9] τε τὰς εὐεργεσίας [10] τὰς τῶν Ἑλ-
λήνων καὶ [11] πρᾳότητα καὶ φιλανθρωπίαν· ὁρῶ γὰρ τὰς μὲν
χαλεπότητας λυπηρὰς οὔσας καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐν-
τυγχάνουσι, τὰς δὲ πρᾳότητας οὐ μόνον ἐπὶ [12] τῶν ἀνθρώ-
πων καὶ τῶν ἄλλων [13] ζώων ἁπάντων εὐδοκιμούσας, ἀλλὰ

[1] τὸ A. C. L. [2] τῷ A. [3] μηδὲν A. L. μηδὲ C. [4] δεῖν om. A. C. L.
[5] ἂν post δυνηθεῖεν ponunt A. C. L. [6] βουλεύμασιν A. C. L. [7] ἤπερ A. C. L.
[8] νῦν om. A. C. L. [9] τε om. A. C. L. [10] τὰς om. A. C. L.
[11] πρᾳότητας καὶ φιλανθρωπίας A. C. L. [12] τῶν ζώων καὶ τῶν A. C. L.
[13] ζώων om. A. C. L.

Ἐπὶ τῶν ἔργων] *re ipsa*. LANG.

Κάλλιστα προκρίναντες] Scil. ἑτέρων πράξεων. WOLF. κάλλιστα h. l. idem ac καλλίστας. LANG. Γρ. μάλιστα προκρίν. COR.

Οἰκεῖον] Ἴσως· οἰκεῖα. IDEM.

Ὑπ' αὐτοῦ] Idem ac ὑπὸ τούτου. *ex ea re excitari*. Cæterum σε δυνησόμενον est accusativus absolutus. AUGER.

Ἐξ ὧν παρέλαβες] Ἐκ τούτων ἃ παρελ. Initia regni Philippi tenuia fuerunt et perturbatissima: sed ille tamen, omnibus difficultatibus superatis, tum regnum patrium recuperavit, tum fines imperii longe lateque propagavit. WOLF. Ἐξ ὧν hic idem ac ἵνα vel ὅπως. AUGER.

Ἐπὶ τὰς εὐεργεσίας κ. τ. λ.] Ἐπὶ τὸ εὐεργετεῖν τοὺς Ἕλληνας, καὶ πρᾶον εἶναι καὶ φιλάνθρωπον πρὸς αὐτούς. COR.

Χαλεπότητας] Non *difficultatem* significat hoc loco, sed *morositatem, asperitatem, sævitiam*. WOLF.

Καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐντυγχάνουσι] Καὶ τοῖς χαλεποῖς οὖσι καὶ τοῖς πρὸς οὓς χαλεπῶς προσφέρονται. COR.

καὶ τῶν θεῶν τοὺς μὲν τῶν ἀγαθῶν ἡμῖν [1] αἰτίους ὄντας Ὀλυμπίους προσαγορευομένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς
b καὶ ταῖς τιμωρίαις τεταγμένους δυσχερεστέρας τὰς ἐπωνυμίας ἔχοντας, καὶ τῶν μὲν καὶ τοὺς ἰδιώτας καὶ τὰς πόλεις καὶ νεὼς καὶ βωμοὺς ἱδρυμένους, τοὺς δ' οὔτ' ἐν ταῖς εὐχαῖς οὔτ' ἐν ταῖς θυσίαις τιμωμένους, ἀλλ' ἀποπομπὰς αὐτῶν ἡμᾶς ποιουμένους. ὧν ἐνθυμούμενον ἐθίζειν σαυτὸν χρὴ καὶ μελετᾶν ὅπως ἔτι μᾶλλον ἢ νῦν τοιαύτην ἅπαντες περὶ σοῦ τὴν γνώμην ἕξουσι. χρὴ δὲ τοὺς μείζονος δόξης
c τῶν ἄλλων ἐπιθυμοῦντας [2] περιβάλλεσθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις δυνατὰς μὲν, εὐχῇ δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτὰς ὅπως ἂν οἱ καιροὶ παραδιδῶσιν.

ν'. Ἐκ πολλῶν δ' ἂν κατανοήσειας ὅτι δεῖ τοῦτον τὸν τρόπον πράττειν, μάλιστα δ' ἐκ τῶν Ἰάσονι συμβάντων. ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον οἷον σὺ κατεργασάμενος μεγίστης δόξης ἔτυχεν, οὐκ ἐξ ὧν ἔπραξεν, ἀλλ' ἐξ ὧν ἔφησεν· ἐποι-
d εῖτο γὰρ τοὺς λόγους ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων. ὅπου δ' Ἰάσων λόγῳ μόνον χρησάμενος οὕτως αὑτὸν ηὔξησε, ποίαν τινὰ χρὴ προσδοκᾶν περὶ σοῦ γνώμην αὐτοὺς ἕξειν, ἢν ἔργῳ ταῦτα πράξῃς, καὶ μάλιστα μὲν πειραθῇς ὅλην τὴν βασιλείαν ἑλεῖν, εἰ δὲ μὴ, χώραν ὅτι πλείστην ἀφορίσασθαι καὶ διαλαβεῖν τὴν Ἀσίαν, [3] ὡς λέγουσί τινες, ἀπὸ Κιλικίας μέχρι Σινώπης; πρὸς δὲ τού-
e τοις κτίσαι πόλεις ἐν τούτῳ τῷ τόπῳ, καὶ κατοικίσαι τοὺς νῦν πλανωμένους δι' ἔνδειαν τῶν καθ' ἡμέραν καὶ λυμαινομένους οἷς ἂν ἐντύχωσιν. οὓς εἰ μὴ [4] παύσομεν ἀθροι-

[1] αἰτίους ἡμῖν A. C. L. [2] περιβαλέσθαι A. C. L. [3] ἣν A. C. L. [4] παύσωμεν A. L.

Δυσχερεστάτας τὰς ἐπωνυμίας] Dii inferi intelligendi, ut Orcus, Furiæ, aliique quos *ἀλάστορας* [*ἀλιτηρίους, προστροπαίους, παλαμναίους*] dicunt a perpetuo nocendi studio. Wolf.

Καὶ τῶν μὲν κ. τ. λ.] Melius, puto auctor scripsisset: *καὶ τοῖς μὲν κ. τ. λ. atque illis* (Olympiis diis) *et privatos homines et civitates ponere et templa et aras* video. Lang.

Ἀποπομπὰς] Ἀποπομπαὶ sunt ea verba, quibus malum omen deprecamur: Quod absit! Quod deus avertat! Græce *ὃ μὴ γένοιτο*. [Anglice *heaven forfend!*] Wolf. Ἀποπομπὰς explicat Harpocration *ἀποτροπὰς, averruncationes*. Auger.

Περιβάλλεσθαι] Ὑποτίθεσθαι. Cor.

Παραδιδῶσιν] Ἐφιῶσι, συγχωρῶσιν, ἢ μᾶλλον ἀμεταβάτως, ἐνδιδῶσιν, ἐλλειπτικῶς τοῦ ἑαυτούς. Cor.

Ἰάσονι] Iason, illa ætate Thessaliæ princeps, vir magna virtute magnaque potentia præditus, sed in ipso expeditionis barbaricæ apparatu, ut et Philippus non multo post, interfectus. Auger. Cf. Xenoph. Hellen. l. vi. c. 1.

Αὐτοὺς] Ignoro ad quod referatur: pro quo velim legi *τοὺς ἀνθρώπους*. Auger.

Οἷς ἂν ἐντύχωσιν] Scil. *τόποις καὶ ἀνθρώποις. et obvios quosque spoliant et pagos at-*

ζομένους βίον ἱκανὸν αὐτοῖς [1]πορίσαντες, λήσουσιν ἡμᾶς
τοσοῦτοι γενόμενοι τὸ πλῆθος, ὥστε μηδὲν ἧττον αὐτοὺς
104 εἶναι φοβεροὺς τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις· ὧν οὐδεμίαν 107
ποιούμεθα πρόνοιαν, ἀλλ' ἀγνοοῦμεν κοινὸν φόβον καὶ κίν-
δυνον ἅπασιν ἡμῖν αὐξανόμενον. ἔστιν οὖν ἀνδρὸς μέγα φρο-
νοῦντος καὶ φιλέλληνος καὶ πόῤῥωτέρω τῶν ἄλλων τῇ δια-
νοίᾳ καθορῶντος, ἀποχρησάμενον τοῖς τοιούτοις πρὸς τοὺς
βαρβάρους, καὶ χώραν ἀποτεμόμενον τοσαύτην ὅσην ὀλίγῳ
πρότερον εἰρήκαμεν, ἀπαλλάξαι τε τοὺς ξενιτευομένους
τῶν κακῶν ὧν αὐτοί τ' ἔχουσι καὶ τοῖς ἄλλοις παρέχουσι,
καὶ πόλεις ἐξ αὐτῶν συστῆσαι, καὶ ταύταις [2]ὁρίσαι τὴν b
Ἑλλάδα καὶ προβαλέσθαι πρὸ ἁπάντων ἡμῶν. ταῦτα
γὰρ πράξας οὐ μόνον ἐκείνους εὐδαίμονας ποιήσεις, ἀλλὰ
καὶ πάντας ἡμᾶς εἰς ἀσφάλειαν καταστήσεις. ἢν δ' οὖν
τούτων διαμάρτῃς, ἀλλ' ἐκεῖνό γε ῥᾳδίως ποιήσεις, τὰς
πόλεις τὰς τὴν Ἀσίαν κατοικούσας ἐλευθερώσεις. ὅ τι δ'
ἂν τούτων πρᾶξαι δυνηθῇς ἢ καὶ μόνον ἐπιχειρήσῃς, οὐκ
ἔσθ' ὅπως οὐ μᾶλλον τῶν ἄλλων εὐδοκιμήσεις, καὶ δικαίως, c
ἤνπερ ἐπὶ ταῦτα αὐτός θ' ὁρμήσῃς καὶ τοὺς Ἕλληνας προ-
τρέψῃς.

να'. Ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ συμβεβηκότα
θαυμάσειε καὶ καταφρονήσειεν ἡμῶν; ὅπου παρὰ μὲν τοῖς
βαρβάροις, οὓς ὑπειλήφαμεν μαλακοὺς εἶναι καὶ πολέμων
ἀπείρους καὶ διεφθαρμένους ὑπὸ τῆς τρυφῆς, ἄνδρες [3]ἐγγε-
γόνασιν οἳ τῆς Ἑλλάδος ἠξίωσαν ἄρχειν, τῶν δ' Ἑλλήνων d
οὐδεὶς [4]τοσοῦτον πεφρόνηκεν, ὥστ' ἐπιχειρῆσαι τῆς Ἀσίας
ἡμᾶς ποιῆσαι κυρίους, ἀλλὰ τοσοῦτον αὐτῶν ἀπολελειμ-
μένοι τυγχάνομεν, ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν οὐδὲ προϋ-
πάρξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας, ἡμεῖς δ' οὐδ'
ὑπὲρ ὧν κακῶς ἐπάθομεν [5]ἀμύνεσθαι τολμῶμεν αὐτούς,
ἀλλ' ὁμολογούντων ἐκείνων ἐν ἅπασι τοῖς πολέμοις μήτε
στρατιώτας ἔχειν μήτε στρατηγοὺς [6]μήτ' ἄλλο μηδὲν τῶν

[1] εἰσπορίσαντες A. L. [2] ἐχυρῶσαι A. C. L. [3] γεγόνασιν A. C. L. [4] τοσοῦτο A. C. L. [5] ἀμύνασθαι A. C. L. [6] μηδὲ L.

que oppidula diripiunt. Wolf.

Ἀποχρησάμενον τοῖς τοιούτοις] I. e. τοῖς ἐξ ἁπασῶν κακουργιῶν συνεῤῥυηκόσιν. Idem.

Ἀποτεμόμενον] Ἀπὸ τῆς Περσῶν βασιλείας ἀποχωρίσαντα. Cor.

Ξενιτευομένους] Harpocration explicat μισθοφοροῦντας. Sed hoc in loco rectius explicari puto: *vitam vagabundam agentes.* Lang. Τοὺς ἐπὶ ξένης πλανωμένους. Cor.

e εἰς τοὺς κινδύνους χρησίμων, ἀλλὰ ταῦτα πάντα παρ' ἡμῶν μεταπεμπομένων, εἰς τοῦθ' ἥκομεν ἐπιθυμίας τοῦ κακῶς ἡμᾶς αὐτοὺς ποιεῖν, ὥστ', ἐξὸν ἡμῖν τἀκείνων ἀδεῶς ἔχειν, πρὸς ἡμᾶς [1] τ' αὐτοὺς περὶ μικρῶν πολεμοῦμεν, καὶ τοὺς ἀφισταμένους τῆς ἀρχῆς τῆς βασιλέως συγκαταστρε- 105
108 φόμεθα, καὶ λελήθαμεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρικῶν ἐχθρῶν τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζητοῦντες.

νβ'. Διὸ καὶ σοὶ νομίζω συμφέρειν, οὕτως ἀνάνδρως διακειμένων τῶν ἄλλων, προστῆναι τοῦ πολέμου [2] τοῦ πρὸς ἐκεῖνον. προσήκει δὲ τοῖς μὲν ἄλλοις τοῖς ἀφ' Ἡρακλέους πεφυκόσι καὶ τοῖς ἐν πολιτείᾳ καὶ νόμοις ἐνδεδεμένοις ἐκείνην τὴν πόλιν στέργειν, ἐν ᾗ τυγχάνουσι κατοικοῦντες, σὲ δ' ὥσπερ ἄφετον γεγενημένον [3] ἅπασαν τὴν Ἑλλάδα πατρίδα
b νομίζειν, ὥσπερ ὁ γεννήσας ὑμᾶς, καὶ κινδυνεύειν ὑπὲρ αὐτῆς ὁμοίως [4] ὥσπερ ὑπὲρ ὧν μάλιστα σπουδάζεις.

νγ'. Ἴσως δ' ἂν τινες ἐπιτιμῆσαί μοι τολμήσειαν τῶν οὐδὲν ἄλλο δυναμένων ἢ τοῦτο ποιεῖν, ὅτι σὲ προειλόμην παρακαλεῖν ἐπί τε τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους καὶ τὴν ἐπιμέλειαν τὴν τῶν Ἑλλήνων, παραλιπὼν τὴν ἐμαυτοῦ πόλιν.

c νδ'. Ἐγὼ δ', εἰ μὲν πρὸς ἄλλους τινὰς πρότερον ἐπεχείρουν διαλέγεσθαι περὶ τούτων ἢ πρὸς τὴν πατρίδα τὴν τρὶς τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς, ὡμολόγουν ἂν πλημμελεῖν· νῦν δ' ἐκείνην [5] μὲν φανήσομαι [6] πρώτην ἐπὶ ταῦτα προτρέπων ὡς ἠδυνάμην μετὰ πλείστης σπουδῆς, αἰσθανόμενος δ' ἔλαττον αὐτὴν φροντίζουσαν τῶν ὑπ' ἐμοῦ
d λεγομένων ἢ τῶν ἐπὶ τοῦ βήματος μαινομένων, ἐκείνην μὲν

[1] τ' om. A. C. L. [2] τοῦ om. A. C. L. [3] πᾶσαν A. C. L.
[4] ὡς περὶ ὧν A. C. L. [5] μὲν om. A. C. L. [6] πρῶτον A. C. L.

Ἐκεῖνον] Regem Persarum. Auger præter necessitatem legendum esse opinatur ἐκείνους, i. e. barbaros. Lang.

Ὥσπερ ἄφετον γεγενημένον] Ὥσπερ ἀπολελυμένον καὶ ἀποροῦντα πατρίδος ἰδίας. μνημονεύει τῆς ἀστείας τῆσδε μεταφορᾶς καὶ Ἀριστοτέλης Ῥητορικ. Γ. ια'. Cor.

Ὥσπερ ὁ γεννήσας ὑμᾶς] Ὁ πρόγονος ὑμῶν Ἡρακλῆς. Cor.

Ἐπί τε τὴν στρατείαν κ. τ. λ.] I. e. ἵνα στρατεύσῃς ἐπὶ τοὺς βαρβάρους καὶ ἐπιμελῇ τῶν Ἑλλήνων. Wolf.

Δὶς μὲν] Scil. in Marathonio campo, et altera vice apud Salaminem.

Ἅπαξ δ'] Cum Conon navali prælio victor Lacedæmoniis principatum eripuit. Nisi forte quis referre malit ad superiora tempora, cum post interfectum Pausaniam rerum potiri cœperunt Athenienses. Wolf.

Τῶν ἐπὶ τοῦ βήματος μαιν.] Wolf. vertit: *pro suggestu insanientium.* Ego vero in

εἴασα, τῆς δὲ πραγματείας οὐκ ἀπέστην. διὸ δικαίως ἂν
με πάντες ἐπαινοῖεν, ὅτι, τῇ δυνάμει ταύτῃ χρώμενος ἣν
ἔχων τυγχάνω, διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν
μὲν τοῖς βαρβάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν [1] ἐμοὶ
γνώμην ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν οὓς ἂν [2] ἐλπίσω
μάλιστα δυνήσεσθαι τοὺς μὲν Ἕλληνας ἀγαθόν τι ποιῆσαι,
τοὺς δὲ βαρβάρους ἀφελέσθαι τὴν ὑπάρχουσαν εὐδαιμονίαν.
διόπερ καὶ νῦν πρὸς σὲ ποιοῦμαι τοὺς λόγους, οὐκ ἀγνοῶν e
ὅτι [3] τούτοις μὲν [4] ὑπ' ἐμοῦ λεγομένοις πολλοὶ φθονήσουσι,
106 τοῖς δ' αὐτοῖς τούτοις ὑπὸ σοῦ πραττομένοις ἅπαντες συνη-
σθήσονται. τῶν μὲν γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκε, τῶν
δ' [5] ὠφελιῶν τῶν κατεργασθησομένων οὐκ ἔστιν ὅστις οὐκ
οἰήσεται μεθέξειν.

νέ. Σκέψαι δ' ὡς αἰσχρὸν περιορᾶν τὴν Ἀσίαν ἄμεινον 109
πράττουσαν τῆς Εὐρώπης καὶ τοὺς βαρβάρους εὐπορωτέρους
ὄντας τῶν Ἑλλήνων, ἔτι δὲ τοὺς μὲν ἀπὸ Κύρου τὴν ἀρχὴν
ἔχοντας, ὃν ἡ μήτηρ εἰς τὴν ὁδὸν ἐξέβαλε, [6] βασιλέας με-
γάλους προσαγορευομένους, τοὺς δ' ἀφ' Ἡρακλέους πεφυκό-
τας, ὃν ὁ γεννήσας διὰ τὴν ἀρετὴν εἰς θεοὺς ἀνήγαγε, ταπει-
νοτέροις ὀνόμασιν ἢ [7] 'κείνους προσαγορευομένους. ὧν οὐδὲν
ἐατέον οὕτως ἔχειν, [8] ἀλλ' ἀναστρεπτέον καὶ μεταστατέον b
ἅπαντα ταῦτ' ἐστίν.

νς'. Εὖ δ' ἴσθι μηδὲν ἄν με τούτων ἐπιχειρήσαντα πεί-
θειν σε, εἰ δυναστείαν μόνον καὶ πλοῦτον ἑώρων ἐξ αὐτῶν
γενησόμενον· ἡγοῦμαι γάρ τά γε τοιαῦτα καὶ νῦν σοι πλείω
τῶν ἱκανῶν ὑπάρχειν, καὶ πολλὴν ἀπληστίαν ἔχειν ὅστις
προαιρεῖται κινδυνεύειν ὥστ' ἢ ταῦτα λαβεῖν ἢ στερηθῆναι
τῆς ψυχῆς. ἀλλὰ γὰρ οὐ πρὸς τὰς τούτων κτήσεις ἀπο-
βλέψας ποιοῦμαι τοὺς λόγους, ἀλλ' οἰόμενος ἐκ τούτων με- c
γίστην σοι καὶ καλλίστην γενήσεσθαι δόξαν. ἐνθυμοῦ δ'
ὅτι τὸ μὲν σῶμα θνητὸν ἅπαντες ἔχομεν, κατὰ δὲ τὴν
εὐδοξίαν καὶ τοὺς ἐπαίνους καὶ τὴν φήμην [9] καὶ τὴν μνήμην
τὴν τῷ χρόνῳ συμπαρακολουθοῦσαν ἀθανασίας μεταλαμ-

[1] μοι A. L. ἐμοὶ post ἐχόντων ponit C. [2] ἐλπίζω A. C. L. [3] τοῖς A. C. L.
[4] ὑπ' ἐμοῦ μὲν A. C. L. [5] ὠφελειῶν A. C. L. [6] βασιλεῖς A. L.
[7] κεῖνοι A. C. L. [8] ἀλλὰ μεταναστατέον καὶ ἀναστρεπτέον A. L.
[9] καὶ τὴν μνήμην om. A. C. L.

suggestu, ut §. λδ'. Lang. Τῶν ῥητόρων καὶ δημαγωγῶν. Cor.

Τῇ δυνάμει ταύτῃ] I. e. τοῖς λόγοις. Wolf.

ϐάνομεν, ἧς ἄξιον ὀρεγομένους καθ' ὅσον οἷοί τ' ἐσμὲν ὁτιοῦν πάσχειν. ἴδοις δ' ἂν καὶ τῶν ἰδιωτῶν τοὺς ἐπιεικεστάτους ὑπὲρ ἄλλου μὲν οὐδενὸς ἂν τὸ ζῆν ἀντικαταλλαξαμέ-
d νους, ὑπὲρ δὲ τοῦ τυχεῖν καλῆς δόξης ἀποθνήσκειν ἐν τοῖς πολέμοις ἐθέλοντας, ὅλως δὲ τοὺς μὲν τιμῆς ἐπιθυμοῦντας ἀεὶ μείζονος ἧς ἔχουσιν ὑπὸ πάντων ἐπαινουμένους, τοὺς δὲ πρὸς ἄλλο τι τῶν [1]ὄντων ἀπλήστως διακειμένους ἀκρατεστέρους καὶ φαυλοτέρους εἶναι δοκοῦντας. τὸ δὲ μέγιστον τῶν εἰρημένων, ὅτι συμϐαίνει τοῦ μὲν πλούτου καὶ τῶν δυναστειῶν
e πολλάκις τοὺς ἐχθροὺς κυρίους γίγνεσθαι, τῆς δ' εὐνοίας
τῆς παρὰ τῶν πολιτῶν καὶ τῶν ἄλλων τῶν προειρημένων 107
μηδένας ἄλλους καταλείπεσθαι κληρονόμους πλὴν τοὺς ἐξ ἡμῶν γεγονότας. ὥστ' ᾐσχυνόμην ἄν, εἰ μὴ τούτων ἕνεκα
110 συνεϐούλευόν [2]σοι καὶ τὴν στρατείαν ποιεῖσθαι ταύτην καὶ πολεμεῖν καὶ κινδυνεύειν.

νζ'. Οὕτω δ' ἄριστα βουλεύσῃ περὶ τούτων, [3]ἢν ὑπολάϐῃς μὴ μόνον τὸν λόγον τοῦτόν [4]σε παρακαλεῖν, ἀλλὰ καὶ τοὺς προγόνους καὶ τὴν τῶν [5]βαρβάρων ἀνανδρίαν καὶ τοὺς ὀνομαστοτάτους γενομένους καὶ δόξαντας ἡμιθέους εἶναι διὰ τὴν στρατείαν τὴν ἐπ' ἐκείνους, μάλιστα δὲ πάντων τὸν καιρὸν, ἐν ᾧ σὺ μὲν τυγχάνεις τοσαύτην δύναμιν κεκτημένος
b ὅσην οὐδεὶς τῶν τὴν Εὐρώπην [6]κατοικησάντων, πρὸς ὃν δὲ πολεμήσεις, οὕτως ἐστὶ σφόδρα μεμισημένος καὶ καταπεφρονημένος ὑφ' ἁπάντων ὡς οὐδεὶς πώποτε τῶν βασιλευσάντων.

νη'. Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οἷόν τ' εἶναι [7]συνεράσαι τοὺς λόγους [8]ἅπαντας τοὺς ὑπ' ἐμοῦ περὶ τούτων εἰρημένους· μᾶλλον γὰρ ἂν [9]ἄξιος οὗτος ἔδοξεν τῆς ὑπο-
c θέσεως. οὐ μὴν ἀλλὰ σέ [10]γε χρὴ σκοπεῖν ἐξ ἁπάντων τὰ συντείνοντα καὶ προτρέποντα πρὸς τὸν πόλεμον τοῦτον· [11]οὕτω γὰρ ἂν ἄριστα βουλεύσαιο περὶ αὐτῶν.

νθ'. Οὐκ ἀγνοῶ δ' ὅτι πολλοὶ τῶν Ἑλλήνων τὴν βασι-

[1] ἀνοήτως φιλουμένων τοῖς πολλοῖς ὁλοσχερῶς διακειμ. A. C. L. [2] σε A. L.
[3] ἂν A. C. L. [4] σε τοῦτον A. C. L. [5] πατέρων ἀνδρίαν A. C. L.
[6] οἰκησάντων A. C. L. [7] ὅπως ἂν συνερανίσαιμι A. C. L. [8] πάντας A. C. L.
[9] ἀξιόχρεως ἔδοξεν οὕτως ἡ πραγματεία εἶναι τῆς A. C. L. [10] τε L.
[11] οὕτω - - - - - αὐτῶν om. A. C. L.

Τῶν ἄλλων τῶν προειρ.] Τῆς εὐδοξίας, τῶν ἐπαίνων, τῆς φήμης. Idem.

λέως δύναμιν ἄμαχον εἶναι νομίζουσιν· ὧν ἄξιον θαυμάζειν,
εἰ τὴν ὑπ' ἀνθρώπου βαρβάρου καὶ κακῶς τεθραμμένου
κατασταθεῖσαν καὶ [1]συναχθεῖσαν ἐπὶ δουλείᾳ, ταύτην
ὑπ' ἀνδρὸς Ἕλληνος καὶ περὶ τοὺς πολέμους πολλὴν ἐμπει-
ρίαν ἔχοντος μὴ νομίζουσιν ἂν ἐπ' ἐλευθερίᾳ διαλυθῆναι,
καὶ ταῦτ' εἰδότες ὅτι συστῆσαι μὲν ἐστὶν ἅπαντα χαλε- d
πὸν, διαλῦσαι δὲ ῥᾴδιον.

ξʹ. Ἐνθυμοῦ δ' ὅτι μάλιστα τούτους τιμῶσιν ἅπαντες
καὶ θαυμάζουσιν, οἵτινες [2]ἀμφότερα δύνανται, καὶ πολι-
τεύεσθαι καὶ στρατηγεῖν. ὅταν οὖν ὁρᾷς τοὺς ἐν μιᾷ πόλει
[3]ταύτην ἔχοντας τὴν φύσιν εὐδοκιμοῦντας, ποίους τινὰς χρὴ
προσδοκᾶν τοὺς ἐπαίνους ἔσεσθαι τοὺς περὶ σοῦ ῥηθησομέ-
νους, ὅταν φαίνῃ ταῖς μὲν εὐεργεσίαις ἐν ἅπασι τοῖς Ἕλλησι e
πεπολιτευμένος, ταῖς δὲ στρατηγίαις τοὺς βαρβάρους
108 κατεστραμμένος; ἐγὼ μὲν γὰρ ἡγοῦμαι ταῦτα πέρας ἕξειν·
οὐδένα γὰρ ἄλλον ποτὲ δυνήσεσθαι μείζω πρᾶξαι τούτων·
οὔτε γὰρ ἐν τοῖς Ἕλλησι [4]γενήσεσθαι τηλικοῦτον ἔργον, 111
ὅσον ἐστὶ τὸ πάντας ἡμᾶς ἐκ τοσούτων πολέμων ἐπὶ τὴν
ὁμόνοιαν προαγαγεῖν, οὔτε [5]τοῖς βαρβάροις εἰκός ἐστι συστῆ-
ναι τηλικαύτην δύναμιν, ἣν τὴν νῦν ὑπάρχουσαν καταλύσῃς.
ὥστε τῶν [6]μὲν ἐπιγιγνομένων, οὐδ' ἥν τις τῶν ἄλλων διε-
νέγκῃ τὴν φύσιν, οὐδὲν ἕξει ποιῆσαι τοιοῦτον. ἀλλὰ μὴν τῶν
[7]γε προγεγενημένων [8]ἔχω μὲν ὑπερβαλεῖν τὰς πράξεις τοῖς b
ἤδη διὰ σοῦ κατειργασμένοις, [9]οὐ γλίσχρως, ἀλλ' ἀληθινῶς·
ὅστις γὰρ ἔθνη τοσαῦτα τυγχάνεις κατεστραμμένος ὅσας
οὐδεὶς πώποτε τῶν ἄλλων Ἑλλήνων πόλεις εἷλε, πῶς οὐκ
ἂν πρὸς ἕκαστον αὐτῶν ἀντιπαραβαλὼν ῥᾳδίως ἂν ἐπέδειξα
μείζω σε κἀκείνων διαπεπραγμένον; ἀλλὰ γὰρ εἱλόμην

[1] συνταχθεῖσαν C. [2] ἀμφότερα ἂν δύνανται A. L. ἂν ἀμφότερα δύνανται C. [3] τοιαύτην A. C. L. [4] γεγενῆσθαι A. C. L. [5] ἐν τοῖς A. C. L. [6] νῦν μὲν L. [7] γε om. A. C. L. [8] ἔχομεν ὑπερβαλεῖν A. ἔχομεν παραβαλεῖν C. L. [9] οὐκ αἰσχρῶς A. C. οὐκ ἐχθρῶς L.

Ταῦτα πέρας ἕξειν] *hæc extrema, seu maxima, esse futura.* Lang.

Τῶν προγεγενημένων ἔχομεν ὑπερβαλεῖν κ. τ. λ.] Ad verbum interpretor: *possumus superare actiones majorum his jam a te factis,* i. e. possumus dicere actiones majorum his jam a te factis superari. Auger. Ego e Cod. Fugg. παραβαλεῖν et ἐχθρῶς revocavi. Sensus totius est: *possumus quidem res a te gestas cum majorum illis comparare, imo demonstrare, tuas esse superiores; sed abstineo, tum quod,* etc. Auger. vero cum explicatione vix audiendus est. Lang.

Πρὸς ἕκαστον] Scil. τῶν προγεγενημένων. Idem.

ἀποσχέσθαι τῆς τοιαύτης ἰδέας δι' ἀμφότερα, διά τε τοὺς
οὐκ εὐκαίρως αὐτῇ χρωμένους, καὶ διὰ τὸ μὴ βούλεσθαι
c ταπεινοτέρους ποιεῖν τῶν νῦν ὄντων τοὺς ἡμιθέους εἶναι νο-
μιζομένους.

ξα'. Ἐνθυμοῦ δ', ἵνα τι καὶ τῶν ἀρχαίων εἴπωμεν, ὅτι
τὸν Ταντάλου πλοῦτον καὶ τὴν Πέλοπος ἀρχὴν καὶ τὴν
Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λόγων εὑρετὴς οὔτε ποιητὴς
ἐπαινέσειεν· ἀλλὰ [1] μετά γε τὴν Ἡρακλέους ὑπερβολὴν καὶ
τὴν Θησέως ἀρετὴν [2] τοὺς ἐπὶ Τροίαν στρατευσαμένους καὶ
τοὺς ἐκείνοις ὁμοίους γενομένους ἅπαντες ἂν εὐλογήσειαν.
[3] καίτοι τοὺς ὀνομαστοτάτους καὶ [4] τοὺς ἀρίστους αὐτῶν
d ἴσμεν ἐν μικροῖς πολιχνίοις καὶ νησυδρίοις τὰς ἀρχὰς κατα-
σχόντας. ἀλλ' ὅμως ἰσόθεον καὶ [5] παρὰ πᾶσιν ὀνομαστὴν
τὴν αὑτῶν δόξαν κατέλιπον· ἅπαντες γὰρ φιλοῦσιν οὐ τοὺς
σφίσιν αὐτοῖς μεγίστην δυναστείαν [6] κτησαμένους, ἀλλὰ
τοὺς τοῖς Ἕλλησι πλείστων ἀγαθῶν αἰτίους γεγενημένους.

ξβ'. Οὐ μόνον δ' ἐπὶ τούτων αὐτοὺς ὄψει τὴν γνώμην
ταύτην ἔχοντας, ἀλλ' ἐπὶ πάντων ὁμοίως. ἐπεὶ καὶ τὴν πό-
e λιν ἡμῶν οὐδεὶς ἂν ἐπαινέσειεν, οὔθ' ὅτι τῆς θαλάττης ἦρξεν,
οὔθ' ὅτι [7] τοσοῦτον πλῆθος [8] χρημάτων εἰσπράξασα τοὺς
συμμάχους εἰς τὴν ἀκρόπολιν ἀνήνεγκεν, ἀλλὰ μὴν οὐδ' ὅτι 109
πολλῶν πόλεων ἐξουσίαν ἔλαβε, τὰς μὲν ἀναστάτους ποιῆ-
σαι, τὰς δ' αὐξῆσαι, τὰς δὲ ὅπως ἠβουλήθη διοικῆσαι, —
112 πάντα γὰρ [9] ταῦτα παρῆν αὐτῇ πράττειν —· ἀλλ' ἐκ τούτων
μὲν πολλαὶ κατηγορίαι κατ' αὐτῆς γεγόνασιν, ἐκ δὲ τῆς
[10] Μαραθῶνι μάχης καὶ [11] τῆς ἐν Σαλαμῖνι ναυμαχίας, καὶ
μάλισθ' ὅτι τὴν αὑτῶν ἐξέλιπον ὑπὲρ τῆς τῶν Ἑλλήνων
σωτηρίας, ἅπαντες αὐτὴν ἐγκωμιάζουσι. τὴν δ' αὐτὴν γνώ-

[1] γε μετὰ A. L. μετὰ om. C. [2] καὶ τοὺς A. C. L. [3] καὶ A. L.
[4] τοὺς om. A. C. L. [5] παρὰ om. A. C. L. [6] κεκτημένους A. C. L.
[7] τοσοῦτο A. C. L. [8] τῶν χρημάτων A. L. [9] ταῦτα γὰρ ἅπαντα A. C. L.
[10] ἐν Μαραθῶνι A. C. L. [11] τῆς ἐν om. A. C. L.

Τῆς τοιαύτης ἰδέας] Scil. τῶν λόγων, i. e. τῆς ἀντιπαραβολῆς πρὸς τοὺς ἡμιθέους. Wolf. hoc genere vel hac re. Lang.

Δι' ἀμφότερα] I. e. διὰ δύω προφάσεις. Wolf.

Τοὺς οὐκ εὐκαίρως] Τοὺς κόλακας. Idem.

Τῶν νῦν ὄντων] Σαυτοῦ, τοῦ Φιλίππου. Idem.

Τοὺς ἡμιθέους] Τοὺς ἐπὶ Τροίαν στρατευσαμένους. Idem.

Ἐπὶ τούτων] de his, i. e. ad Trojam militantibus. αὐτοὺς refertur ad ἅπαντες v. 14. Lang.

Εἰσπράξασα τοὺς συμμάχους] quam a sociis exegerat. Lang.

Εἰς τὴν ἀκρόπολιν] Cf. Symmachic. §. μ'.

Ἐξέλιπον] Np. οἱ Ἀθηναῖοι. Auger.

μην καὶ περὶ Λακεδαιμονίων ἔχουσι· καὶ γὰρ ἐκείνων μᾶλ-
λον [1] ἄγανται τὴν ἧτταν τὴν ἐν Θερμοπύλαις ἢ τὰς ἄλλας
νίκας, καὶ τὸ τρόπαιον τὸ μὲν κατ' ἐκείνων ὑπὸ τῶν βαρ- b
βάρων σταθὲν ἀγαπῶσι [2] καὶ θεωροῦσι, τὰ δ' ὑπὸ Λακεδαι-
μονίων κατὰ τῶν ἄλλων οὐκ ἐπαινοῦσιν ἀλλ' ἀηδῶς ὁρῶσιν.
ἡγοῦνται γὰρ τὸ μὲν ἀρετῆς εἶναι σημεῖον, τὰ δὲ πλεονεξίας.

ξγ΄. Ταῦτ' οὖν ἐξετάσας [3] ἅπαντα καὶ διελθὼν πρὸς αὐ-
τὸν, ἢν μέν τι τῶν εἰρημένων [4] ᾖ μαλακώτερον [5] ἢ καταδε-
έστερον, [6] αἰτιῶ τὴν ἡλικίαν [7] τὴν ἐμὴν, ᾗ δικαίως ἂν ἅπαντες c
συγγνώμην ἔχοιεν· ἢν δ' ὅμοια τοῖς πρότερον διαδεδομένοις,
νομίζειν αὐτὰ χρὴ μὴ τὸ γῆρας τοὐμὸν εὑρεῖν, ἀλλὰ τὸ δαι-
μόνιον ὑποβαλεῖν, οὐκ ἐμοῦ φροντίζον, ἀλλὰ τῆς Ἑλλάδος
κηδόμενον, καὶ βουλόμενον ταύτην τε τῶν κακῶν ἀπαλλάξαι
τῶν παρόντων, καὶ σοὶ πολὺ μείζω περιθεῖναι [8] δόξαν τῆς
νῦν ὑπαρχούσης. οἶμαι δέ σε οὐκ ἀγνοεῖν ὃν τρόπον οἱ θεοὶ
τὰ τῶν ἀνθρώπων διοικοῦσιν. οὐ γὰρ αὐτόχειρες οὔτε [9] τῶν d
ἀγαθῶν οὔτε τῶν κακῶν γίγνονται τῶν [10] συμβαινόντων αὐ-
τοῖς, ἀλλ' ἑκάστοις τοιαύτην ἔννοιαν ἐμποιοῦσιν, ὥςτε δι' ἀλ-
λήλων ἡμῖν ἑκάτερα παραγίγνεσθαι τούτων. οἷον ἴσως καὶ
νῦν τοὺς μὲν λόγους ἡμῖν ἀπένειμαν, ἐπὶ δὲ τὰς πράξεις σὲ
τάττουσι, νομίζοντες τούτων μὲν σὲ κάλλιστ' ἂν ἐπιστα-
τῆσαι, τὸν δὲ λόγον τὸν ἐμὸν ἥκιστ' ἂν ὀχληρὸν γενέσθαι
τοῖς ἀκούουσιν. ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον
οὐκ ἄν ποτέ σοι γενέσθαι τηλικαῦτα τὸ μέγεθος, εἰ μή τις e
θεῶν αὐτὰ συγκατώρθωσεν, οὐχ ἵνα τοῖς βαρβάροις μόνον
110 τοῖς ἐπὶ τῆς Εὐρώπης κατοικοῦσι πολεμῶν διατελῇς, ἀλλ' 113
ὅπως [11] ἂν ἐν τούτοις γυμνασθεὶς καὶ λαβὼν ἐμπειρίαν καὶ
γνωσθεὶς οἷος εἶ τούτων ἐπιθυμήσῃς, ὧν [12] ἐγὼ τυγχάνω

[1] ἄγανται μᾶλλον A. C. L. [2] καὶ θεωροῦσι om. C. [3] πάντα A. C. L. [4] εἴη A. L. [5] καὶ A. C. L. [6] ἀποβλέπειν εἰς τὴν A. C. L. [7] τὴν ἐμὴν δεῖ A. L. δεῖ τὴν ἐμὴν C. [8] δόξαν πολὺ μείζω τηρηθῆναι τῆς A. C. L. [9] μετὰ τῶν A. [μετὰ] τῶν L. [10] συνόντων A. C. L. [11] ἂν om. A. C. L. [12] ἐγὼ om. A. C. L.

Ἐξετάσας] Deberet legi ἐξετάσαντα et διελθόντα propter δεῖ quod sequitur, et ad quod subaudiri debet σε. Idem. Sed anacoluthia est. Lang.

Ὅμοια] Sub. ᾖ.

Διαδεδομένοις] Videtur paulo sonantius et significantius esse quam ἐκδεδομένοις, quod alias ponit. Wolf.

Οὐ γὰρ αὐτόχειρες — αὐτοῖς] Ὁ νοῦς· Οἱ θεοὶ οὐ τοῖς αὐτῶν ἰδίαις χερσὶ διδόασιν οὔτε τἀγαθὰ οὔτε τὰ κακὰ τὰ συνόντα [συμβαίνοντα] τοῖς ἀνθρώποις. Cor. Steph. in Thesaur. vertit: *non enim dii manu propria vel bona vel mala dant.* et de usu horum genitivorum monet.

συμβεβουλευκώς. αἰσχρὸν οὖν ἐστὶ καλῶς τῆς τύχης ἡγου-
μένης ἀπολειφθῆναι, καὶ μὴ παρασχεῖν [1]σαυτὸν εἰς [2]ὃ
βούλεταί σε προαγαγεῖν.

ξδ'. Νομίζω δὲ χρῆναί σε πάντας μὲν τιμᾷν τοὺς περὶ
τῶν σοὶ πεπραγμένων ἀγαθόν τι λέγοντας, κάλλιστα μέντοι
νομίζειν ἐγκωμιάζειν ἐκείνους τοὺς μειζόνων ἔργων [3]ἢ τηλι-
b κούτων τὴν σὴν φύσιν ἀξιοῦντας, καὶ τοὺς [4]μὴ μόνον ἐν τῷ
παρόντι κεχαρισμένως διειλεγμένους, ἀλλ' οἵτινες [5]ἂν τοὺς
ἐπιγιγνομένους οὕτω [6]ποιήσωσι τὰς σὰς πράξεις θαυμάζειν
ὡς οὐδενὸς ἄλλου τῶν προγεγενημένων. πολλὰ δὲ βουλόμενος
τοιαῦτα λέγειν οὐ δύναμαι· τὴν δ' αἰτίαν δι' ἣν, πλεονάκις
τοῦ δέοντος εἴρηκα.

ξέ. Λοιπὸν οὖν ἐστὶ τὰ προειρημένα συναγαγεῖν, ἵν' ὡς
c [7]ἐν ἐλαχίστοις κατίδοις τὸ κεφάλαιον τῶν συμβεβουλευ-
μένων. φημὶ γὰρ χρῆναί σε τοὺς μὲν Ἕλληνας εὐεργετεῖν,
Μακεδόνων δὲ βασιλεύειν, τῶν δὲ βαρβάρων ὡς πλείστων
ἄρχειν. ἢν γὰρ ταῦτα πράττῃς, ἅπαντές σοι χάριν ἕξουσιν,
οἱ μὲν Ἕλληνες ὑπὲρ ὧν [8]εὖ πάσχουσι· Μακεδόνες δ' [9]ἢν
βασιλικῶς ἀλλὰ μὴ τυραννικῶς αὐτῶν ἐπιστατῇς, τὸ δὲ
τῶν ἄλλων γένος [9]ἢν διὰ σὲ βαρβαρικῆς δεσποτείας ἀπαλ-
d λαγέντες Ἑλληνικῆς ἐπιμελείας τύχωσι. ταῦθ' ὅπως μὲν
γέγραπται τοῖς καιροῖς καὶ ταῖς ἀκριβείαις, παρ' ὑμῶν τῶν
ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν· ὅτι μέντοι βελτίω
τούτων καὶ μᾶλλον ἁρμόττοντα τοῖς ὑπάρχουσιν οὐδεὶς ἂν
σοι συμβουλεύσειεν, σαφῶς εἰδέναι νομίζω.

[1] αὐτὸν A. C. L. [2] ἃ A. C. L. [3] καὶ A. C. L. [4] μὴ μόνον τοὺς A. C. L.
[5] ἂν om. A. C. L. [6] ποιήσουσι A. C. L. [7] ἐν om. A. L.
[8] ἂν εὖ πάσχωσι A. C. L. [9] ἂν A. C. L.

Τὴν δ' αἰτίαν δι' ἣν] Τὸ γῆρας λέγει. Cor.
Ὡς ἐν ἐλαχίστοις] Ἀντὶ τοῦ, ἐν ὡς ἐλαχίστοις. Idem.
Τοῖς καιροῖς καὶ ταῖς ἀκριβείαις] tempestive et accurate. Lang. Τῇ συμμετρίᾳ ἢ τῇ ἀμετρίᾳ, τουτέστιν, εἰ ὁ γραφεύς μοι οὗτος λόγος συμμέτρως ἢ, ὑπὲρ τὸ μέτρον γέγραπται. Cor. Cf. Epist. B. §. ς'.
Πυνθάνεσθαι] Subaudi με. Auger.
Ἁρμόττοντα τοῖς ὑπάρχουσιν] I. e, τοῖς καθεστῶσι πράγμασι τῶν τε βαρβάρων καὶ τῶν Ἑλλήνων καὶ τοῦ Φιλίππου. Wolf.

ς.

ΙΣΟΚΡΑΤΟΥΣ

ΑΡΧΙΔΑΜΟΣ.

ΥΠΟΘΕΣΙΣ

Pag. ed. Cor. | Pag. ed. H. Steph.

ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

111 ΜΕΤΑ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι καὶ πολλάκις αὐτὴν ἐκάκωσαν, ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις συνεχῶς φεύγουσι καὶ εἰπεῖν [1] Μὴ καὶ δεύτερον ὑμᾶς ἔχομεν ἐν τῇ γαστρὶ δέξασθαι; καὶ οὕτω συστραφέντες ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην· οἱ δ' ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, [2] ἢν [3] Μεσσήνην ἀνοικίσωσι καὶ αὐτόνομον ἐάσωσι. τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις μὴ ἀνοικίσαι. κατάγεται δ' οὕτως ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἄγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος. καὶ οἱ μὲν λέγουσιν, ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δέ φασι γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, Τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος συμβουλεύων Λακεδαιμονίοις. καὶ ἡ μὲν ὑπόθεσις αὕτη· στάσις δὲ τῷ λόγῳ πραγματική· κεφάλαιον δὲ τὸ ξυμφέρον. 114

112 ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ

ΕΚ ΤΩΝ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΑΛΙΚΑΡΝΑΣΣΕΩΣ.

Τίς δ' ἂν μᾶλλον πείσειε καὶ πόλιν καὶ ἄνδρας τοῦ ῥήτορος; πολλαχῇ μὲν καὶ ἄλλῃ, μάλιστα δ' ἐν τῷ πρὸς Λακεδαιμονίους γραφέντι λόγῳ, ὃς ἐπιγράφεται μὲν Ἀρχίδαμος, ὑπόθεσιν δὲ περιείληφε τὴν περὶ τοῦ μὴ προέσθαι [3] Μεσσήνην Βοιωτοῖς, μηδὲ ποιεῖν τὸ προσταττόμενον ὑπὸ τῶν ἐχθρῶν. ἠτύχητο γὰρ δὴ τοῖς Λακεδαιμονίοις ἥ τε περὶ Λεῦκτρα μάχη καὶ πολλαὶ μετ' ἐκείνην ἕτεραι, καὶ τὰ μὲν Θηβαίων πράγματα ἤνθει τε καὶ εἰς μέγεθος ἀρχῆς προελη-

[1] ἢ L. [2] εἰ A. L. [3] Μεσήνην A. L.

ΑΡΧΙΔΑΜΟΣ] Inscribitur etiam Λακεδαιμόνιος vel ὁ πρὸς Λακεδαιμονίους λόγος, quod vel habita fuerit vel haberi potuerit ab Archidamo apud Lacedæmonios. Wolf.

Μετὰ τὰ Λευκτρικὰ] Intell. πράγματα. *post res ad Leuctra gestas.* Lang.

Μὴ καὶ δεύτερον] *numquid denuo.* Auger.

Ἐν τῇ γαστρὶ] Pro εἰς τὴν γαστέρα. Wolf.

Ἐνίκησαν] Contra historicorum fidem, quamvis in hoc prælio Epaminondas occisus est. Lang.

Καλῶς παραταξαμένων] I. e. ἐν τῇ προτάξει καλῶς μαχεσαμένων. Wolf.

Ἀνοικίσωσι] *instaurarent.* In quo argumenti hujus misellus auctor iterum lapsus est. Messene enim paulo post Leuctricam pugnam ab Epaminonda instaurata erat. Diod. Sic. l. xv. 66. et Pausan. Mess. c. 27. Rectius dixisset ἀφιστῶσι Μεσσήνης. Lang.

Κατάγεται] Id est, γενεαλογεῖται. Wolf.

Ὁ μικρὸς] Ὁ νεώτερος. Idem.

Οὗ Ἀρχίδαμος] Scil. υἱὸς ἐγένετο. Idem.

Ἐν Ἀθήναις] Pro εἰς Ἀθήνας. Lang.

Τίνας] Ante τίνας adde vel subaudi δείξαντος. Auger.

Στάσις — πραγματικὴ] Nihil aliud esse videtur, quam finem orationis esse actionem, non auscultationem. Wolf.

Κεφάλαιον] Præcipuum argumentum et firmamentum, ut Wolf. explicat, quo res confirmatur. Lang.

λύθει, τὰ δὲ τῆς Σπάρτης ταπεινὰ καὶ ἀνάξια τῆς ἀρχαίας ἡγεμονίας ἐγεγόνει. τελευτῶσα γοῦν, ἵνα τύχῃ τῆς εἰρήνης ἡ πόλις, ἐβουλεύετο εἰ χρὴ [1] Μεσσηνίας ἀποστῆναι, ταύτην ἐπιτιθέντων αὐτῇ Βοιωτῶν τὴν ἀνάγκην. ὁρῶν οὖν αὐτὴν ἀνάξια πράττειν μέλλουσαν τῶν προγόνων, τόνδε τὸν λόγον συνετάξατο Ἀρχιδάμῳ, νέῳ μὲν ὄντι καὶ οὔπω βασιλεύοντι, ἐλπίδας δὲ πολλὰς ἔχοντι ταύτης τεύξεσθαι τῆς τιμῆς. ἐν ᾧ διεξέρχεται πρῶτον μὲν ὡς δικαίως ἐκτήσαντο [1] Μεσσήνην Λακεδαιμόνιοι, παραδόντων τε αὐτὴν τῶν Κρεσφόντου παίδων ὅτ᾽ ἐξέπεσον ἐκ τῆς ἀρχῆς, καὶ τοῦ θεοῦ προστάξαντος δέξασθαι καὶ τιμωρεῖν τοῖς ἀδικουμένοις, πρὸς δὲ τούτοις ἐπικυρώσαντος μὲν τὴν κτῆσιν τοῦ πολέμου, κάτοχον δὲ καὶ βέβαιον πεποιηκότος τοῦ χρόνου. διδά-
115 σκει δ᾽ ὡς οὐ [1] Μεσσηνίοις τοῖς οὐκέτ᾽ οὖσιν, ἀλλὰ δούλοις καὶ Εἵλωσιν ὁρμητήριον καὶ καταφυγὴν παρέξουσι τὴν πόλιν. διεξέρχεταί τε τοὺς κινδύνους τῶν προγόνων οὓς ὑπέμειναν ἕνεκα τῆς ἡγεμονίας, καὶ τῆς δόξης ὑπομιμνήσκει τῆς παρὰ τοῖς Ἕλλησιν ὑπαρχούσης περὶ αὐτῶν. παραινεῖ δὲ μὴ συγκαταπίπτειν ταῖς τύχαις μηδ᾽ ἀπογιγνώσκειν τὰς μεταβολάς, ἐνθυμουμένους ὅτι πολλοὶ μὲν ἤδη μείζω δύναμιν ἔχοντες ἢ Θηβαῖοι ὑπὸ τῶν ἀσθενεστέρων ἐκρατήθησαν, πολλοὶ δ᾽ εἰς πολιορκίαν κατακλεισθέντες καὶ δεινότερα ἢ Λακεδαιμόνιοι πάσχοντες διέφθειραν τοὺς ἐπιστρατεύσαντας. καὶ παράδειγμα ποιεῖται τὴν Ἀθηναίων πόλιν, ἥ τις ἐκ πολλῆς εὐδαιμονίας ἀνάστατος γενομένη τοὺς ἐσχάτους ὑπέστη κινδύνους, ἵνα μὴ τοῖς βαρβάροις ποιῇ τὸ προσταττόμενον. παρακελεύεται δὲ καὶ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ πολέμων ἐμπειρίαις, ἐν οἷς προεῖχεν ἡ Σπάρτη τῶν ἄλλων πόλεων. οἴεται δὲ δεῖν [2] οὐ τοὺς
κακῶς πράττοντας [3] εἰρήνης ἐπιθυμεῖν, οἷς ἐκ τῆς καινουργίας ἐπὶ τὸ κρεῖττον μεταβάλλειν τὰ 113
πράγματα ἐλπὶς, ἀλλὰ τοὺς εὐτυχοῦντας· ἐν γὰρ τῷ ἀκινδύνῳ τὴν τῶν παρόντων ἀγαθῶν εἶναι φυλακήν. Πολλὰ δὲ καὶ ἄλλα πρὸς τούτοις διεξελθὼν, ὅσα καὶ κοινῇ καὶ ἰδίᾳ τοῖς ἐπιφανεστάτοις αὐτῶν ἐπράχθη κατὰ τοὺς πολέμους λαμπρὰ ἔργα, καὶ ὅσης αἰσχύνης ἄξια δράσουσι, καὶ ὡς διαβληθήσονται παρὰ τοῖς Ἕλλησιν ἐπιλογισάμενος, καὶ ὅτι πάντοθεν αὐτοῖς ἐπικουρία τις ἔσται τὸν ἀγῶνα ποιουμένοις καὶ παρὰ θεῶν καὶ παρὰ συμμάχων καὶ παρὰ πάντων ἀνθρώπων, οἷς ἐπίφθονος ἡ Θηβαίων δύναμις αὐξομένη, καὶ τὴν κατέχουσαν ἀκοσμίαν καὶ ταραχὴν τὰς πόλεις ἐπιτροπευόντων τῆς Ἑλλάδος Βοιωτῶν ἐπιδειξάμενος, τελευτῶν, εἰ καὶ μηθὲν τούτων μέλλοι γίνεσθαι μηδ᾽ ὑπολείποιτό τις ἄλλη σωτηρίας ἐλπὶς, ἐκλιπεῖν κελεύει τὴν πόλιν, διδάσκων αὐτοὺς ὡς χρὴ παῖδας μὲν καὶ γυναῖκας καὶ τὸν ἄλλον ὄχλον εἴς τε Σικελίαν ἐκπέμψαι καὶ Ἰταλίαν καὶ τἄλλα χωρία τὰ φίλια, αὐτοὺς δὲ καταλαβομένους τόπον ὅστις ἂν ὀχυρώτατος ᾖ καὶ πρὸς τὸν πόλεμον ἐπιτηδειότατος ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. οὐδεμίαν γὰρ ἀξιώσειν δύναμιν ὁμόσε χωρεῖν ἀνδράσι, κρατίστοις μὲν τὰ πολέμια τῶν Ἑλλήνων, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακειμένοις, δικαίαν δ᾽ ὀργὴν καὶ πρόφασιν εὐπρεπῆ τῆς ἀνάγκης ἔχουσι.

Ταῦτα γὰρ οὐ Λακεδαιμονίοις μόνον συμβουλεύειν φαίην ἂν αὐτὸν ἔγωγε, ἀλλὰ καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ πᾶσιν ἀνθρώποις, πολλῷ κρεῖττον ἁπάντων φιλοσόφων, οἳ τέλος ποιοῦνται τοῦ βίου τὴν ἀρετὴν καὶ τὸ καλόν.

116 α΄. ΙΣΩΣ τινὲς ὑμῶν θαυμάζουσιν ὅτι, τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις ὡς οὐκ οἶδ᾽ εἴ τις

[1] Μεσην. A. L. [2] αὐτοὺς κακῶς A. L. [3] μὴ εἰρήνης A. L.

Συνετάξατο] Np. ὁ Ἰσοκράτης. Auger.

Τοῖς βαρβάροις προσταττ.] Idem ac ὑπὸ τῶν βαρβάρων προστατ. Idem.

Ἐκ τῆς καινουργίας] Τουτέστιν, ἐκ τοῦ νεωτέροις πράγμασιν ἐπιχειρεῖν καὶ κινεῖν ὅλως τὰ καθεστηκότα. Cor.

Ἐν τῷ ἀκινδύνῳ] Ἐν τῷ μὴ πολεμεῖν. Idem.

Φαίην ἂν αὐτὸν] Np. τὸν Ἰσοκράτην. Auger.

SUMMARIUM. (α΄.) Quum seniorum, qui quidem apud vos concionari solent, nec quisquam pro reipublicæ dignitate dixit, aliique aut prorsus tacent aut non fortiter satis adversantur, ego adolescens vel præter civitatis meæque vitæ morem sententiam dicere aggrediar. (β΄.) Est vero iste juvenes a dicendo arcendi mos multis de causis vituperandus, et quia recte judicandi facultas juvenibus æque ac senioribus data sit, tum de bello dicere, cujus maxime participes sunt, juvenibus plus quam senioribus conveniat, deinde errantes in dicendo non aliis, sed sibi noceant, denique hac ratione e multis optima eligere liceat. (γ΄.) Res autem, de qua deliberatum nunc vobiscum conveni, gravissimi est momenti, siquidem libertas nostra, pro cujus defensione nullæ acerbitates nullaque pericula recusanda sunt, in summo periculo versatur, ubi, quæ Thebani postulant, sociique nobis suadere cupiunt (nempe ἀποστῆναι Μεσσηνίας), pacis recuperandæ causa, fecerimus, gravius sane ac illustrius tropæum Leuctrico illo contra nos erigentes. (δ΄.) Quodsi socii vestri tale quid suadent atque minitantur etiam, nisi assentiamur, se pacem per se esse facturos, equidem illos vobis indignos et iniquos esse censeo, sine

ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι [1] τὴν μεταβολὴν, ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τού-

[1] τὴν om. A. L.

quibus gloriosius etiam quam adjuti ab illis bellum contra Thebanos geremus. (ε'.) Ac primum quidem vos commonefaciendos esse censeo, quo pacto Mesene in potestatem vestram venerit, ut inde pateat, Mesenen vos eodem jure, quo Lacedæmonem possidere. (ϛ'.) Ubi Hercules e mortali deus factus erat, posteri ejus ætate tertia, ab oraculo in patriam terram abire jussi, considerata oraculi sententia, Argos hereditatis jure ad se pertinere, Lacedæmonem tanquam servam sibi traditam, Mesenen denique ut expugnatam ab Hercule et Nestoris fidei commissam sibi deberi, deprehenderunt. (ζ'.) Assumptis igitur majoribus vestris Doriensibus, in quibus Heraclidæ (Temenus, Cresphontes et Aristodemus), tunc habitabant, expeditionis sociis, inter quos regionem dividendam pacti sunt et a quibus regnum peculiari jure possidendum acceperunt, incolas illorum trium locorum vicerunt ac regna in totidem partes diviserunt. Sed quum Mesenii Cresphontem ducem ac regem suum interfecissent, filii ejus Mesenen in præmium vindictæ patris, quam petierant, Lacedæmoniis tradiderunt. (η'.) Quodsi autem Mesenem eodem jure, ut ex his breviter dictis apparet, quo Lacedæmonem possidemus, neque quisquam vestrum Lacedæmonem, si postularetur, relinqueret, non aliter quoque de Mesene animati esse debetis. (θ'.) Accedit, quod Mesenen prius possedimus, quam pleræque urbes Græciæ conditæ sunt Persæque Asiam subegerunt, et quod Thebani illam non Meseniis reddiderunt, sed Helotis, servis suis, tradiderunt. (ι'.) Mesenen nos jure obtinere et nos iniqua pati inde etiam patet, quod nunquam antea, ubi inferiores etiam hostibus, quam nunc, pacem facere coacti sumus, neque Persarum rex neque Thebanorum civitas jus illud in dubium vocarunt. (ια'.) Quod etiam vetussissimum et fide dignissimum oraculorum denuo agnovit, ubi nobis viam expugnandi Mesenen accuratissime monstravit. (ιβ'.) Quum igitur acceptam a Cresphontis filiis, oraculo consentiente, per tot annos atque ipsorum hostium judicio illam possideamus, quid est, quod nos, hoc tempore commodi studio pacem recusare et tunc rerum alienarum desiderio cum Meseniis bellum gessisse dicant? (ιγ'.) At vero dicunt, qui nobis pacis faciendæ auctores sunt, temporibus esse cedendum, neque in talibus rerum circumstantiis, quid justum sit, sed quid expediat, quærendum. (ιδ'.) Ego vero utile nunquam honesto præferendum esse dico, præsertim quum honestum ubique vincere et in hoc nostro casu jus (*possidendi Mesenen*) certum, utilitatem (*pacem cum Thebanis*) vero valde dubiam esse videam. (ιε'.) Deinde quoque magna nobis spes est, rem bene gerendi, quum sæpius usu venit, ut victi superiores fierent victoribus et obsidentes obsessis. (ιϛ'.) Exemplo sunt potissimum Athenienses, qui, ut antiquiora omittam, in Persico bello urbe ac regione relicta ex summis calamitatibus in maximam felicitatem evecti sunt. (ιζ'.) Item Dionysius, quum a Carthaginiensibus obsidione premeretur et jam in eo esset, ut salutem fuga quæreret, bello repetito non solum multa millia hostium cecidit, sed etiam dominationem in cives, qui erga ipsum iniquo animo erant, confirmavit. (ιη'.) His similia effecit etiam Amyntas, Macedonum rex, qui, a vicinis barbaris prœlio victus, totaque Macedonia privatus, parvum quoddam castellum occupavit ac trium mensium spatio totam Macedoniam recepit. (ιθ'.) Thebanorum quoque, incursus et minas nostras olim sustinere audentium, in tantum mutata est fortuna, ut jam nobis imperandi jus sibi arrogent. (κ'.) Igitur præsentia forti animo tolerare ac de futuris bene sperare oportet, præsertim quum ejusmodi calamitates et recta rerum administratione et rei militaris peritia, qua utraque gaudemus, emendantur. (κα'.) At quidam belli perfidiam accusant ac mirantur, quemquam esse, qui rei tam sævæ et temerariæ fidem habendam censeat. (κβ'.) Ego vero felicibus pacem expetendam esse puto, calamitosis vero bellum gerendum, ac tunc demum pactiones faciendas, quum aut suos hostes superarint aut ipsorum robur illorum robori æquaverint. (κγ'.) Recordemini autem, quam turpe sit, quod quum superioribus temporibus socia aliqua civitas vel unius Lacedæmonii ope servata sit, nos ne universi quidem patriam nostram servare conamur. (κδ'.) Quis nos non reprehenderet, si Mesenios, pro hac regione per viginti annos obsessos et a majoribus nostris multis laboribus et periculis paratos, verbis persuasi abjiceremus? (κε'.) Atque his omnibus neglectis, nonnulli tam cupide nobis Mesenen tradere suadent, ut urbis nostræ imbecillitatem hostiumque potentiam

των νεώτερος ὢν παρελήλυθα συμβουλεύσων. ἐγὼ δὲ, εἰ μέν τις [1] ἄλλος τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς

[1] ἄλλος om. A. L.

commemorantes, nos sibi respondere jubeant, quibus auxiliis freti, suscipiendi vobis belli auctores simus. (κϛ'.) Ego vero et justitiam et deorum benevolentiam et bonam reipublicæ administrationem, cum civium pudore ac virtute conjunctam, delicta denique hostium maxima nobis eaque optima auxilia futura esse arbitror. (κζ'.) Tum et externi multi, opinor, Athenienses, inquam, et reliquarum urbium nonnullæ, nec non Dionysius tyrannus Ægyptique rex cæterique Asiæ principes suis æque ac nostris commodis consulent. (κη'.) Reliquæ porro Peloponnesi civitates, tum insigniores, tum ignobiliores, maximis hoc tempore calamitatibus afflictæ, etsi non prius, nunc saltem rerum maximarum curam habebunt. (κθ'.) Licet autem nihil horum eveniret, ego tamen, et majorum et juris nostri reverentia ductus, de sententia haud decederem et omnia belli pericula potius sustinerem, quam pactiones tam turpes inirem, eosque, qui civitatem nostram laudare solent, mendacii arguerem. (λ'.) Miserandam hanc nostram conditionem hostes vitiis emendabunt, quod nisi fit, dura quidem sunt, quæ suadebo, sed animis nostris digniora, quam qualia cæteri suadent. (λα'.) Parentes nostros cum uxoribus ac liberis reliquamque inutilem bello turbam in loca tuta transportandam esse arbitror, reliquis autem viris castellum erit occupandum, ex quo hostes terra marique tamdiu diripiant ac investent, quoad nostra sibi vindicasse eos pœniteat et ultro pacem petant. (λβ'.) Talem autem vagantem exercitum, qui omnia loca, bello opportuna, patriam habet, maxime terribilem fore puto, quia damna, quibus afficientur hostes, reddere non poterunt. (λγ'.) At si fortasse in unum collecti hostes nos adoriantur, nihil, puto, optabilius eveniet, quam ut cominus in aciem descendant incompositi homines, et ex colluvie quadam conflati, et a multis ducti imperatoribus. (λδ'.) Verum quidem est, nos neque urbis magnitudine neque multitudine virorum reliquis antecellere, tamen illud constat, quod nostra respublica exercitui similis est bene instituto ac ducibus parere volenti. (λε'.) Parva manu majores nostri hanc regionem expugnarunt. Athenienses pro aliorum libertate regionem suam deseruerunt, atque Phocæi, ut Persarum regis dominationem effugerent, Asia relicta, Massiliam condiderunt. Indignissimum igitur et maxime ridiculum esset, nisi nos, ne pro nostra quidem ipsorum salute urbem relinquere auderemus et iis ipsis parere sustineremus, quibus antea semper imperavimus. (λϛ'.) Atqui hæc non ideo dixi, quasi nulla alia ad salutem via superesset, sed ut acerbiores etiam calamitates perferatis, priusquam has de Mesene conditiones ineatis. (λζ'.) Neque vero tam cupide vos ad bellum excitarem, nisi firmam ac pulcram inde pacem emersuram viderem, quæ nulla prorsus esse potest, si urbem potentem factam vicinam habemus, in qua hostes servos nostros collocarunt. (λη'.) Quæ autem causa est, quæ nos magis ad bellum instiget, quam quod Thebani præter jus nobis imperant, agrum eripiunt, servos manumittunt, eosque in agro nostro collocant etc., pro quibus non bella solum, sed exsilia, sed mortem perpetiendam esse arbitror. (λθ'.) Non autem, quid sociis expediat, faciendum est, sed quid nos nostraque facinora deceat, reputandum, ita ut, nisi cum honestate servari liceat, mors nobis saluti anteponenda sit, quippe quum ignavia non minus in consiliis quam in prœliis appareat. (μ'.) Atque in primis cavendum est, ne quid respublica dedecoris traxerit, neque, quum imperium nobis vindicaverimus, imperata aliorum faciamus tantumque degenerasse videamur a majoribus nostris, ut, dum illi mortem oppetere non recusarunt, quo aliis imperent, nos ne pro libertate quidem pericula adire non audeamus. (μα'.) Deinde, quis nostrum ad Olympiam aliosque celebres conventus accedere suscipiet, ita tunc ob ignaviam conspicuus, ut antea virtute illustris, acerbissima convicia e servis nostris auditurus, qui fastum nobis et arrogantiam objicient, ingenium vero ac gravitatem abjudicabunt? (μβ'.) Imitemini igitur majores vestros, quorum virtutes nemo verbis exæquare possit, neque exspectetis, dum alii malis vestris medicinam adhibeant, sed quæ vobis evenere, eadem ipsi propulsare studeatis. (μγ'.) Principes hoc tempore Græciæ civitates non pace ad hanc magnitudinem pervenerunt, sed pristinam dignitatem belli calamitatibus recuperarunt. Illarum ut splendorem assequamur, neque vitæ neque aliarum rerum ulli parcere debemus, cogitantes præterea, omnes huic concilio attendere et quid statuatur cupide exspectare. (μδ'.) Quodsi ob nostrum jus tuendum mortem oppetere non recusaverimus, non tantum laude, sed securitate

πόλεως εἰρηκὼς, [1] πολλὴν ἂν ἡσυχίαν ἦγον· νῦν δ', ὁρῶν τοὺς
114 μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς δ' b
οὐκ ἐῤῥωμένως ἐναντιουμένους, τοὺς δὲ παντάπασιν ἀποσε-
σιωπηκότας, ἀνέστην ἀποφανούμενος ἃ γιγνώσκω περὶ τού-
των, αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν τοῦ βίου [2] τάξιν διαφυ-
λάττων [3] περιόψομαι τὴν πόλιν [4] ἀνάξια ψηφισαμένην
αὑτῆς.

β'. Ἡγοῦμαι δ', εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τη-
λικούτους [5] σιωπᾷν, περί γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν
τούτους [6] μάλιστα συμβουλεύειν οἵπερ καὶ τῶν κινδύνων
πλεῖστον μέρος μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ γνῶναί c
τι τῶν δεόντων ἐν κοινῷ καθεστῶτος ἡμῖν. εἰ μὲν γὰρ ἦν
ἀποδεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων
εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους [7] μηδὲ περὶ ἑνὸς ὀρθῶς
γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ συμβου-
λεύειν. ἐπειδὴ δ' οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ
διαφέρομεν ἀλλήλων, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, 117
πῶς οὐκ [8] ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν,
ἵν' ἐξ ἁπάντων ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφο-
ρώτατα; θαυμάζω δ' ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρα-
τοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευ-
σάμενοι πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν
περιβάλοιμεν· εἰπεῖν δ' ἃ γιγνώσκομεν περὶ ὧν ὑμεῖς μέλ-
λετε κρίνειν, οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν οἷς κατορθώσαντες
μὲν ἅπαντας ἂν ὠφελήσαιμεν, διαμαρτόντες δὲ τῆς [9] ὑμε- b

[1] ἡσυχίαν ἂν A. C. L. [2] τάξιν τοῦ βίου A. C. L. [3] προήσομαι A. C. L. [4] ἀναξίως προφεισαμένην A. C. L. [5] σιωπᾷν om. A. C. L. [6] μάλιστα τούτοις A. C. L. [7] περὶ μηδενὸς A. C. L. [8] ἐπ' ἀμφοτέρων A. C. L. [9] ἡμετέρας A. L.

etiam in posterum fruemur, sin pericula metuerimus, multis turbis nos implicabimus. (με'.) Nunquam hostes de nobis tropæum erexerunt, duce e familia nostra rege. Hinc quibus ducibus in prœlio semper vicistis, iisdem etiam, quum de bello deliberatur, obtemperare velitis. Lang. Oratio hæc videtur scripta fuisse anno ante Christum 370. et Isocratis ætatis 66. Auger.

Ἐμμεμενηκὼς] Scil. οὕτως. Wolf.

Νομίμοις] In quibus cavebatur, qui xxx. annos natus non fuit apud populum concionaretur, etc. Cf. Plutarch. Lycurg. §. 25.

Τοὺς τηλικούτους] Homines ea ætate qua ego sum, i. e. juvenes. Auger.

Ὥστε τοὺς μὲν] Ὥστε ex sententia Corais redundat, aut pro τὸ poni videtur.

Πρὸς τὸ φρονεῖν εὖ] *sapientia*. Lang.

Ταῖς ἐπιμελείαις] Ταῖς τροφαῖς καὶ παιδείαις. Cor.

Περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν] I. e. quæ facere aut omittere in arbitrio vestro est. Lang.

Διαμαρτόντες δὲ τῆς ὑμετέρας γνώμης] Ἀποτυχόντες δὲ τῆς ὑμετέρας κρίσεως, τουτέστιν, ἐὰν τὰ ὑπ' ἐμοῦ λεχθησόμενα μὴ χρήσιμα κρίνητε μήτε συμφέροντα. Cor.

τέρας γνώμης αὐτοὶ μὲν ἴσως [1] φαυλότεροι δόξομεν εἶναι, τὸ
δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν. οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ
λέγειν, οὐδ᾽ ὡς ἄλλως πως παρεσκευασμένος ζῆν ἢ τὸν παρ-
ελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων, ἀλλὰ βουλό-
μενος ὑμᾶς προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν,
c ἀλλ᾽ ἐν ἁπάσαις ζητεῖν εἴ τίς [2] τι δύναται περὶ τῶν παρόν-
των πραγμάτων εἰπεῖν [3] ἀγαθόν.

γ΄. Ὡς ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε πόλεμος
οὔτε κίνδυνος περὶ τηλικούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ
ὅσων [4] νυνὶ βουλευσόμενοι συνεληλύθαμεν. πρότερον μὲν γὰρ
ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νυνὶ δ᾽ ὑπὲρ τοῦ
μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον· ὃ σημεῖον ἐλευθερίας 115
d ἐστὶν, ὑπὲρ ἧς οὐδὲν ὅ τι τῶν δεινῶν οὐχ [5] ὑπομενετέον, οὐ
μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς [6] μὴ [7] λίαν ἀνάνδρως
διακειμένοις, ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιου-
μένοις. ἐγὼ μὲν οὖν, εἰ δεῖ [8] τοὐμὸν ἴδιον εἰπεῖν, ἑλοίμην ἂν
ἀποθανεῖν ἤδη μὴ ποιήσας τὸ προσταττόμενον, μᾶλλον ἢ
[9] πολλαπλάσιον χρόνον ζῆν τοῦ τεταγμένου [10] ψηφισάμε-
νος ἃ Θηβαῖοι κελεύουσιν· αἰσχυνοίμην γὰρ ἂν, εἰ γεγονὼς
μὲν ἀφ᾽ Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύοντος, αὐτὸς δ᾽
e ἐπίδοξος ὢν τυχεῖν τῆς τιμῆς ταύτης, περιίδοιμι, καθ᾽ ὅσον
ἐστὶν [11] ἐπ᾽ ἐμοὶ, τὴν χώραν, ἣν ἡμῖν οἱ πρόγονοι κατέλι-
πον, ταύτην τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας. ἀξιῶ δὲ
καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν, ἐνθυμηθέντας ὅτι
μέχρι μὲν [12] ταυτησὶ τῆς ἡμέρας δεδυστυχηκέναι δοκοῦμεν
118 ἐν τῇ μάχῃ τῇ πρὸς Θηβαίους, καὶ τοῖς μὲν σώμασι κρατη-
θῆναι διὰ [13] τὸν οὐκ ὀρθῶς [14] ἡγησάμενον, τὰς δὲ ψυχὰς ἔτι
καὶ νῦν ἀηττήτους [15] ἔχειν· εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας
κινδύνους προησόμεθα τι τῶν ἡμετέρων [16] αὐτῶν, βεβαιώσο-

[1] ἂν φαυλ. δόξαιμεν A. C. L. [2] τι om. A. C. L. [3] ἀγαθόν τι A. C. L. [4] νῦν βουλευσόμενος συνελήλυθα A. C. L. [5] ὑπομονητέον A. [6] μηδὲ A. C. L. [7] λίαν om. A. C. L. [8] με τοῦτο ἴδιον A. L. μέ τι τῶν ἰδίων C. [9] πολὺ πλείονα A. L. πολὺ πλείω C. [10] ποιήσας A. C. L. [11] ἐν A. C. L. [12] ταύτης A. C. L. [13] τῶν A. C. L. [14] ἡγησαμένων A. C. L. [15] ἴσχειν C. L. [16] αὐτῶν om. A. C. L.

Ὡς ἐξ οὗ] Ὡς hic significat *quia*, quam significationem interdum habet, et idem valet ac γάρ. Auger. Ego idem esse quod sequens ἐξ οὗ et prorsus redundare puto. Vid. Zeune ad Viger. p. 539. Lang.

Τὰς δὲ ψυχὰς — ἴσχειν] Ἴσχειν revocavi, quum optime respondeat praecedenti κρατηθῆναι. Verte: *quoad animos autem invictos valere seu invictos esse.* Idem.

μεν τὰς Θηβαίων ἀλαζονείας καὶ πολὺ σεμνότερον τρόπαιον
τοῦ περὶ Λεῦκτρα καὶ φανερώτερον στήσομεν καθ᾽ ἡμῶν
αὐτῶν· τὸ μὲν γὰρ ἀτυχίας, τὸ δὲ τῆς ἡμετέρας διανοίας
ἔσται γεγενημένον. μηδεὶς οὖν ὑμᾶς [1] πείσῃ τοιαύταις αἰσχύ-
ναις τὴν πόλιν περιβαλεῖν.

δʹ. Καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβεβουλεύ- b
κασιν ὑμῖν, ὡς χρὴ [2] Μεσσήνην ἀφέντας ποιήσασθαι τὴν
εἰρήνην. οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε πολὺ μᾶλλον ἢ τοῖς
ἐξ ἀρχῆς ἀποστᾶσιν ὑμῶν. ἐκεῖνοι μὲν γὰρ ἀφέμενοι τῆς
[3] ἡμετέρας φιλίας τὰς αὐτῶν πόλεις ἀπώλεσαν, εἰς στάσεις
καὶ σφαγὰς καὶ πολιτείας πονηρὰς ἐμβαλόντες, οὗτοι δὲ
[4] ἡμᾶς κακῶς ποιήσοντες ἥκουσι· τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ
πρόγονοι μετὰ πολλῶν κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι [5] κτη- c
σάμενοι κατέλιπον, [6] ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν
ὑμᾶς ἀποβαλεῖν, ἧς οὔτ᾽ ἀπρεπεστέραν τῇ Λακεδαίμονι
[7] συμφορὰν οὔτε δεινοτέραν οὐδέποτ᾽ ἂν εὑρεῖν ἠδυνήθησαν.
εἰς τοῦτο δ᾽ ἥκουσι πλεονεξίας, καὶ τοσαύτην ἡμῶν [8] κατε-
116 γνώκασιν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς ἀξιώσαντες
ὑπὲρ τῆς αὐτῶν πολεμεῖν, ὑπὲρ Μεσσήνης οὐκ οἴονται δεῖν
ἡμᾶς κινδυνεύειν, ἀλλ᾽ ἵν᾽ αὐτοὶ τὴν σφετέραν αὐτῶν ἀσφα- d
λῶς καρπῶνται, πειρῶνται διδάσκειν ἡμᾶς ὡς χρὴ τοῖς
ἐχθροῖς τῆς ἡμετέρας παραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις
ἐπαπειλοῦσιν, ὡς εἰ μὴ ταῦτα συγχωρήσομεν ποιησόμενοι
τὴν εἰρήνην κατὰ σφᾶς αὐτούς. ἐγὼ δ᾽ οὐ [9] τοσούτῳ χαλε-
πώτερον ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων,
[10] ὅσῳ καλλίω καὶ λαμπρότερον καὶ παρὰ πᾶσιν ἀνθρώποις
ὀνομαστότερον. τὸ γὰρ μὴ δι᾽ ἑτέρων ἀλλὰ δι᾽ ἡμῶν αὐτῶν e
πειρᾶσθαι σώζεσθαι καὶ περιγενέσθαι τῶν ἐχθρῶν, ὁμολο-
γούμενον τοῖς ἄλλοις [11] τοῖς τῆς πόλεως ἔργοις ἐστίν. οὐδὲ
πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ᾽ ἀεὶ νομίζων τοὺς περὶ
[12] τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι [13] πρὸς τὰς πράξεις, 119

[1] πεῖσαι L. [2] Μεσήν. A. L. passim. [3] ὑμετέρας A. C. [4] ὑμᾶς A. C.
[5] κτησάμενοι om. A. C. L. [6] αὐτὴν A. [7] συμφορὰν om. A. C. L.
[8] κατεγνώκασιν ἡμῶν A. C. L. [9] τοσοῦτον C. [10] ὅσον C. [11] τοῖς om. A. C.
[12] ταῦτα A. C. L. [13] πρὸς om. A. L.

Οἱ σύμμαχοι] Ἐπιθι τὸν Ξενοφ. Ἑλλην. Ζ. βʹ. 2. καὶ δʹ. 7—10. Cor.

Ἧς οὔτ᾽] Malim ἧς πρᾶξιν οὔτ᾽ etc. Nam ad δόξαν non sat commode referri posse videtur. Wolf. Subaudi cum Augero γνώμης. Lang. Ἧς συμβουλῆς· ὑπονοεῖται δὲ ἀπὸ τῶν προηγησαμένων, συμβεβουλεύκασιν καὶ πείθουσιν. Cor.

νῦν οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν. ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπίζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει.

έ. Πρῶτον μὲν οὖν οἶμαι δεῖν [1] διαλεχθῆναι πρὸς ὑμᾶς [2] ὃν τρόπον ἐκτησάμεθα Μεσσήνην, καὶ δι᾽ ἃς αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε Δωριεῖς τὸ παλαιὸν ὄντες. διὰ τοῦτο
b δὲ προλήψομαι [3] πορρωτέρωθεν, ἵν᾽ ἐπίστησθ᾽ [4] ὅτι ταύτην ὑμᾶς τὴν χώραν ἀποστερεῖν ἐπιχειροῦσιν, ἣν ὑμεῖς οὐδὲν ἧττον ἢ τὴν ἄλλην Λακεδαίμονα κέκτησθε δικαίως.

ς΄. [5] Ἐπειδὴ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον, θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλάνοις [6] καὶ κινδύνοις ἦσαν, τελευτήσαντος δ᾽ Εὐρυσθέως κατῴκησαν ἐν Δωριεῦσιν. ἐπὶ δὲ [7] τρίτης γενεᾶς ἀφίκοντο εἰς Δελφοὺς, χρήσασθαι
c τῷ μαντείῳ περί τινων βουληθέντες. ὁ δὲ θεὸς περὶ μὲν [8] ὧν ἐπηρώτησαν οὐκ ἀνεῖλεν, ἐκέλευσε δ᾽ [9] αὐτοὺς ἐπὶ τὴν πατρῴαν ἰέναι χώραν. σκοπούμενοι δὲ τὴν μαντείαν, εὕρισκον Ἄργος μὲν κατ᾽ ἀγχιστείαν αὐτῶν γιγνόμενον — Εὐρυσθέως γὰρ ἀποθανόντος μόνοι [10] Περσειδῶν ἦσαν καταλελειμμένοι —, Λακεδαίμονα δὲ [11] κατὰ δόσιν — ἐκβληθεὶς γὰρ 117
Τυνδάρεως ἐκ τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυδεύκης
d ἐξ ἀνθρώπων ἠφανίσθησαν, καταγαγόντος αὐτὸν Ἡρακλέους δίδωσι [12] αὐτῷ τὴν χώραν διά τε τὴν εὐεργεσίαν ταύτην καὶ διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας —, Μεσσήνην δὲ δοριάλωτον ληφθεῖσαν — συληθεὶς γὰρ Ἡρακλῆς τὰς βοῦς [13] τὰς ἐκ τῆς Ἐρυθείας [14] ὑπὸ Νηλέως καὶ τῶν παίδων,

[1] ὑμᾶς ὑπομνῆσαι A. C. L. [2] δι᾽ ὃν A. L. [3] πόῤῥωθεν A. C. L. [4] διότι A. C. L. [5] ἐπεὶ A. C. L. [6] καὶ κίνδυνος om. A. L. [7] τῆς τρίτης A. C. L. [8] ὧν μὲν A. C. L. [9] αὐτοὺς om. A. C. L. [10] Περσιδῶν A. [11] καταδουλωθεῖσαν A. C. L. [12] αὐτῷ om. A. C. L. [13] ἃς A. C. L. [14] ἐξήλασεν ὑπὸ A. C. L.

Ἐλπίζω] Videtur poni ἀντὶ τοῦ ἐλπίζοιμι ἂν, ὑποθετικῶς. Wolf.

Τὴν ἄλλην Λακεδ.] *reliquam Lacedæmona*, i. e. reliqua Lacedæmonis dominia. Auger.

Ἐπὶ τρίτης γενεᾶς] Herodotus et Pausanias tradunt Herculis filium fuisse Hyllum, qui genuerit Cleodæum, hic Aristomachum, cujus filius fuerit Aristodemus Herculis adnepos, qui cum Doriensibus Peloponnessum occuparit. Wolf.

Ἐξ ἀνθρώπων ἠφανίσθησαν] Non ἐτελευτήθησαν, quia, quum de obitu Castoris et Pollucis nihil certi traderetur, credebantur non mortui fuisse, sed in numerum deorum relati. Auger.

Τὴν συγγένειαν] Subaudi Ἡρακλέους. Lang.

Παῖδας] Tyndarei, Castorem et Pollucem. Idem.

Δοριάλωτον ληφθεῖσαν] *bello captam* ab Herculo. Repete εὕρισκον. Lang.

πλὴν [1]ὑπὸ Νέστορος, λαβὼν αὐτὴν αἰχμάλωτον τοὺς μὲν
ἀδικήσαντας ἀπέκτεινε, Νέστορι δὲ παρακατατίθεται τὴν
πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν, ὅτι νεώτατος ὢν οὐ συν- e
εξήμαρτε τοῖς ἀδελφοῖς —.

ζʹ. Ὑπολαβόντες δ' οὕτως ἔχειν τὴν μαντείαν, καὶ τοὺς
προγόνους τοὺς ὑμετέρους παραλαβόντες καὶ [2]στρατόπεδον
συστησάμενοι, τὴν μὲν ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνα-
κολουθήσασιν ἔδοσαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοὶ 120
παρ' ἐκείνων ἔλαβον, ἐπὶ δὲ τούτοις [3]πίστεις ἀλλήλοις δόν-
τες ἐποιοῦντο τὴν στρατείαν. τοὺς μὲν οὖν κινδύνους τοὺς ἐν
τῇ πορείᾳ γενομένους καὶ τὰς ἄλλας πράξεις τὰς οὐδὲν
πρὸς τὸ παρὸν φερούσας τί δεῖ λέγοντα διατρίβειν; πολέμῳ
δὲ κρατήσαντες τοὺς ἐν τοῖς τόποις τοῖς εἰρημένοις κατοι-
κοῦντας τριχῇ διείλοντο τὰς βασιλείας. ὑμεῖς μὲν οὖν μέχρι
[4]ταυτησὶ τῆς ἡμέρας ἐμμένετε ταῖς συνθήκαις καὶ τοῖς ὅρ- b
κοις, οὓς ἐποιήσασθε πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους.
διὸ καὶ τὸν παρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε,
καὶ τὸν ἐπιόντα προσδοκᾷν χρὴ τοιούτους ὄντας βέλτιον ἢ
νῦν πράξειν. Μεσσήνιοι δ' εἰς τοῦτ' ἀσεβείας ἦλθον, ὥστ'
ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην, τὸν οἰκιστὴν μὲν
τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον δ' Ἡρακλέους,
[5]αὐτῶν δὲ γεγενημένον ἡγεμόνα. διαφυγόντες δ' οἱ παῖδες c
αὐτοῦ τοὺς κινδύνους ἱκέται κατέστησαν [4]ταυτησὶ τῆς πό-
λεως, ἀξιοῦντες [6]βοηθεῖν τῷ τεθνεῶτι καὶ τὴν χώραν δι-
δόντες ἡμῖν. ἐπερόμενοι δὲ τὸν θεὸν, κἀκείνου προστάξαντος
δέχεσθαι ταῦτα καὶ [7]τιμωρεῖν τοῖς ἠδικημένοις, ἐκπο-
λιορκήσαντες Μεσσηνίους οὕτως ἐκτήσασθε τὴν χώραν.

118 ηʹ. Περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ἡμῖν ὑπαρξάντων ἀκριβῶς
μὲν οὐ διῆλθον — ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ μυθολογεῖν,
ἀλλ' ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέστερον διαλεχθῆναι d
περὶ αὐτῶν —, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων οἶμαι πᾶσιν

[1] ὑπὸ om. A. C. L. [2] τὸ στρατόπεδον A. C. L. [3] πίστιν A. C. L.
[4] ταύτης A. C. L. [5] αὐτὸν A. L. [6] τιμωρεῖν L. [7] βοηθεῖν L.

Τὸν οἰκιστὴν] Non quod condiderit, sed quia occupaverat. Wolf.

Βοηθεῖν τῷ τεθν.] Τιμωρεῖν τῷ τεθν. (quod, sicuti τιμωρεῖσθαι, cum dativo non raro ponitur pro ἐνδικεῖν, *vindicare*, *ulcisci*) ex egregia Segaarii conject., propter loquendi usum, loco βοηθεῖν huc translatum est, et posterius in locum τοῦ τιμωρεῖν v. 26. successit, quanquam ipse inter *opem ferre* et *ulcisci* affinitatem esse fatetur, ut Livius ait xxxi. 24. "proxima auxilio est ultio." Sed §. ιαʹ. ubi idem repetitur, legitur βοηθεῖν ἀδικουμένοις. Lang.

εἶναι φανερὸν διότι τὴν ὁμολογουμένην ἡμετέραν εἶναι χώραν οὐδὲν διαφερόντως κεκτημένοι τυγχάνομεν ἢ τὴν ἀμφισβητουμένην. ταύτην [1] τε γὰρ οἰκοῦμεν, δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς
e ἔχοντας· ἐκείνην [2] τ᾽ ἐλάβομεν παρὰ τῶν αὐτῶν [3] καὶ τὸν αὐτὸν τρόπον καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐταῖς. εἰ μὲν οὖν οὕτως ἔχομεν ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν, μηδ᾽ [4] ἐὰν αὐτὴν τὴν Σπάρτην [5] ἐκλιπεῖν ἡμῖν προστάττωσι, περίεργόν ἐστι [6] ὑπὲρ Μεσσήνης σπουδάζειν· εἰ δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν ἀποστερούμενος τῆς πατρίδος, προσήκει
121 καὶ περὶ ἐκείνης ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν. τὰ γὰρ αὐτὰ δικαιώματα καὶ τοὺς αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν εἰπεῖν [7] ἔχομεν.

Θ΄. Ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖν᾽ ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις καὶ τὰς ἰδίας καὶ τὰς κοινάς, ἢν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. ἡμεῖς τοίνυν Μεσσήνην εἵλομεν πρὶν [8] Πέρσας λαβεῖν τὴν βασιλείαν καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων
b τῶν Ἑλληνίδων. καὶ τούτων ὑπαρχόντων ἡμῖν, τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν [9] ὡς πατρῴαν οὖσαν [10] ἀποδιδόασιν, ὃς οὔπω διακόσι᾽ ἔτη [11] κατέσχηκε τὴν ἀρχήν, ἡμᾶς δὲ [12] Μεσσήνην ἀποστεροῦσιν, οἳ [13] πλέον ἢ διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ [14] Πλαταιὰς μὲν καὶ Θεσπιὰς ἐχθὲς καὶ πρώην πεποιήκασιν ἀναστάτους, ταύτην δὲ διὰ [15] τετρακοσίων ἐτῶν [16] μέλλουσι κατοικίζειν, ἀμφό-
c τερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες. καὶ εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ᾽ [17] εὐλογωτέρως ἂν εἰς ἡμᾶς [18] ἐξημάρτανον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν, ὥστε μὴ

[1] μὲν A. C. L. [2] δὲ A. C. L. [3] κατὰ A. C. L. [4] ἂν A. C. L. [5] ἐκλείπειν A. C. L. [6] περὶ A. C. L. [7] ἔχοιμεν A. L. [8] ἢ Πέρσας A. C. L. [9] ὥσπερ A. C. L. [10] ἀπεδίδοσαν A. C. L. [11] κατέσχε A. C. L. [12] Μεσσήνης A. C. L. [13] πλεῖον A. C. L. [14] Πλάταιαν A C. L. [15] τριακοσίων A. C. L. [16] κατοικίζουσιν A. C. L. [17] εὐλογώτερον A. C. L. [18] ἐξήμαρτον A. C. L.

Προστάττωσι] Sub. Θηβαῖοι. Idem.

Ἀποδιδόασιν] Scil. Θηβαῖοι.

Πλέον ἢ διπλάσιον χρόνον ἢ τοσοῦτον] Πλέον τετρακοσίων ἐτῶν. Cor.

Ἐχθὲς καὶ πρώην] nuper admodum. Lang.

Τετρακοσίων] Ita quoque Dinarchus in orat. c. Demosth.; at Lycurgus in orat. c. Leocr. πεντακόσια, Plutarchus in Apothegm. et Ælianus V. H. xiii. 42. τριάκοντα καὶ διακόσια, et Diodorus Sic. l. xv. 80. τριακόσια ἔτη numerat.

119 τοῦτ' εἶναι χαλεπώτατον, εἰ τῆς χώρας [1] στερησόμεθα παρὰ
τὸ δίκαιον, ἀλλ' εἰ τοὺς δούλους τοὺς ἡμετέρους ἐποψόμεθα
κυρίους αὐτῆς ὄντας.

ί. Ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σαφέστερον, d
ὅτι καὶ νῦν δεινὰ πάσχομεν καὶ τότε δικαίως Μεσσήνην εἴχο-
μεν. πολλῶν γὰρ κινδύνων γεγενημένων ἡμῖν ἤδη ποτὲ [2] ποι-
ήσασθαι τὴν εἰρήνην ἠναγκάσθημεν πολὺ χεῖρον πράττοντες
τῶν πολεμίων. ἀλλ' ὅμως ἐν τοιούτοις καιροῖς [3] γιγνομένων
τῶν συνθηκῶν, ἐν οἷς οὐχ οἷόν τ' ἦν πλεονεκτεῖν, περὶ μὲν
ἄλλων τινῶν [4] ἀμφισβητήσεις ἐγίγνοντο, περὶ δὲ [5] Μεσσή-
νης οὔθ' ὁ βασιλεὺς οὔθ' ἡ τῶν [6] Ἀθηναίων πόλις οὐδὲ e
πώποθ' ἡμῖν [7] ἐνεκάλεσεν ὡς ἀδίκως κεκτημένοις αὐτήν.
καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκριβεστέραν ταύτης
εὕροιμεν τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν ἐγνωσμένης, ἐν δὲ ταῖς
ἡμετέραις δυσπραξίαις γεγενημένης;

ιά. Τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν [8] ὁμολογήσειαν 112
ἀρχαιότατον εἶναι καὶ κοινότατον καὶ πιστότατον, οὐ μόνον
ἔγνω τόθ' ἡμετέραν εἶναι Μεσσήνην, ὅτε διδόντων ἡμῖν [9] αὐ-
τὴν τῶν Κρεσφόντου παίδων προσέταξε δέχεσθαι τὴν [10] δω-
ρεὰν καὶ βοηθεῖν τοῖς [11] ἀδικουμένοις, ἀλλὰ καὶ τοῦ πολέμου
μακροῦ γιγνομένου, πεμψάντων [12] ἀμφοτέρων εἰς Δελφούς,
[13] κἀκείνων μὲν σωτηρίαν αἰτούντων, ἡμῶν δ' ἐπερωτώντων
ὅτῳ τρόπῳ τάχιστ' ἂν κρατήσαιμεν τῆς πόλεως, τοῖς μὲν
οὐδὲν ἀνεῖλεν ὡς οὐ δικαίαν ποιουμένοις τὴν αἴτησιν, ἡμῖν δ' b
ἐδήλωσε καὶ [14] τὰς θυσίας [15] ἃς ἔδει ποιήσασθαι, καὶ βο-
ήθειαν παρ' ὧν [16] μεταπέμψασθαι.

ιβ΄. Καίτοι πῶς ἂν [17] τις μαρτυρίαν μείζω καὶ σαφεστέ-
ραν τούτων [18] παράσχοιτο; φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ
τῶν κυρίων λαβόντες τὴν χώραν — οὐδὲν γὰρ κωλύει διὰ
βραχέων πάλιν περὶ αὐτῶν [19] διελθεῖν —, ἔπειτα κατὰ
πόλεμον αὐτὴν [20] ἑλόντες, ὅνπερ τρόπον αἱ πλεῖσται τῶν πό- c

[1] στερηθησόμεθα A. C. L. [2] ποιεῖσθαι A. C. L. [3] γενομένων A. C. L.
[4] ἀμφισβήτησις ἐγίγνετο A. C. L. [5] τῆς Μεσσ. A. C. L. [6] Θηβαίων A. C. L.
[7] ἐνεκάλεσαν A. C. L. [8] ὁμολογήσαιεν A. C. L. [9] αὐτὴν om. A. C. L.
[10] πόλιν A. C. L. [11] ἠδικημένοις C. [12] ἡμῶν ἀμφοτ. A. C. L.
[13] ἐκείνων A. C. L. [14] τὰς om. A. C. L. [15] οἵας A. C. L.
[16] μεταπέμπεσθαι A. C. L. [17] τις om. A. C. L.
[18] παράσχοι τις τούτων A. L. παρασχοιτό τις τούτων C. [19] ἔτι διελθεῖν A. C. L.
[20] ἔχοντες A. C. L.

Βοήθειαν παρ' ὧν μεταπεμψ.] Nota fabula de Tyrtæo.

λεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν, ἔτι δὲ τοὺς ἠσε-
βηκότας εἰς τοὺς παῖδας [1] τοὺς Ἡρακλέους ἐκβεβληκότες,
οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερωρίσθησαν,
πρὸς δὲ τούτοις καὶ τῷ πλήθει τοῦ χρόνου καὶ τῇ τῶν 120
ἐχθρῶν κρίσει καὶ ταῖς τοῦ θεοῦ μαντείαις προσηκόντως
ἔχοντες αὐτήν. ὧν [2] ἓν ἕκαστόν ἐστιν ἱκανὸν διαλῦσαι τοὺς
d λόγους τῶν κατηγορεῖν τολμώντων, ὡς ἢ νῦν διὰ πλεονεξίαν
οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυ-
μοῦντες ἐπολεμήσαμεν πρὸς Μεσσηνίους. περὶ μὲν οὖν τῆς
κτήσεως ἔνεστι μὲν εἰπεῖν ἴσως πλείω τούτων, οὐ μὴν ἀλλὰ
καὶ ταῦθ' ἱκανῶς εἰρῆσθαι νομίζω.

ιγ΄. Λέγουσι δ' οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν
εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν αὐτὴν γνώμην
e ἔχειν περὶ τῶν πραγμάτων εὐτυχοῦντας [3] καὶ δυστυχοῦν-
τας, ἀλλὰ πρὸς τὸ παρὸν [4] ἀεὶ βουλεύεσθαι καὶ ταῖς τύ-
χαις ἐπακολουθεῖν καὶ μὴ [5] μεῖζον φρονεῖν τῆς δυνάμεως,
μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς ἀλλὰ τὸ συμφέρον
ζητεῖν.

ιδ΄. Ἐγὼ δὲ περὶ μὲν τῶν α ἄλλων ὁμολογῶ τούτοις, ὅπως
δὲ τοῦ δικαίου χρὴ ποιεῖσθαί [6] τι προὐργιαίτερον [7] οὐδεὶς ἂν
123 με λέγων πείσειεν. ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου
κειμένους, καὶ τοὺς ἄνδρας τοὺς καλοὺς [8] κἀγαθοὺς ἐπὶ
τούτῳ φιλοτιμουμένους, καὶ τὰς πόλεις τὰς εὖ καὶ φιλοτί-
μως πολιτευομένας περὶ [9] τούτου μάλιστα σπουδαζούσας,
[10] ἔτι δὲ τοὺς πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς
δυνάμεις ἀλλὰ [11] κατὰ τὸ δίκαιον [12] τὸ τέλος ἅπαντας εἰλη-
φότας· ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν
b ἀπολλύμενον δι' ἀρετὴν δὲ σωζόμενον. ὥστ' οὐκ ἀθυμεῖν δεῖ
τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν μέλλοντας, ἀλλὰ πολὺ
μᾶλλον τοὺς ὑβρίζοντας καὶ τοὺς τὰς εὐτυχίας μὴ μετρίως
φέρειν ἐπισταμένους. ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν· [13] νυνὶ γὰρ

[1] τοῦ A. C. L. [2] ἓν om. A. C. L. [3] τε καὶ A. C. L. [4] εὖ A. C. L. [5] μείζονα A. C. L. [6] τι om. C. [7] τὸ συμφέρον οὐδεὶς A. C. L. [8] τε κἀγ. A. C. L. [9] τοῦτο A. C. L. [10] καὶ τοὺς A. C. L. [11] καὶ κατὰ A. L. [12] τὸ om. A. C. L. [13] νυνὶ μὲν γὰρ περὶ A. C. L.

Διαλῦσαι] Ἀνατρέψαι, ἀνασκευάσαι, ψευδεῖς ἀποδεῖξαι. Cor.

Οὐδεὶς ἂν μελετῶν πείσειεν] Leg. οὐδεὶς ἄν με λέγων πείσειεν. nemo verbis mihi persuaserit. Isocrat. de Big. §. ιε΄. ταῦτα οὐδεὶς ἂν ὑμᾶς λέγων ἔπεισε. Aristoph. Lys. 1231. ἣν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων. Ad Herodot. l. iii. 115. Valckenaer. Qui τὸ συμφέρον porro inclusit.

Τούτου] Np. τοῦ δικαίου. Auger.

περὶ μὲν τοῦ δικαίου πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμφέροντος ἀντιλέγομεν. δυοῖν δὲ [1] προτεινομένοιν ἀγαθοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου τοῦ δὲ ἀγνοουμένου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν ὁμολογούμενον ἀποδοκιμάσαιτε, τὸ δ᾽ ἀμφισβητούμενον c
ἑλέσθαι δόξειεν ὑμῖν, ἄλλως τε καὶ τῆς αἱρέσεως τοσοῦτον
121 διαφερούσης; ἐν μὲν γὰρ τοῖς [2] ἐμοῖς λόγοις ἔνεστι μηδὲν [3] μὲν προέσθαι τῶν [4] ἡμετέρων αὐτῶν μηδ᾽ αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγωνιεῖσθαι τῶν ἐχθρῶν, ἐν δὲ τοῖς τούτων ἀφεστάναι μὲν ἤδη Μεσσήνης, [5] προεξαμαρτόντας δὲ τοῦτ᾽
εἰς ὑμᾶς αὐτοὺς τυχὸν καὶ τοῦ συμφέροντος καὶ τοῦ δικαίου d
καὶ τῶν ἄλλων ἁπάντων ὧν προσδοκᾶτε [6] διαμαρτεῖν. καὶ γὰρ οὐδὲ τοῦτό [7] πω φανερόν ἐστιν, ὡς, ἐὰν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρήνην [8] ἄξομεν. οἶμαι γὰρ οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων διαλέγεσθαι, τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσταττόμενον ἀεὶ [9] πλείω προσεπιβάλλειν οἷς ἂν ἐξ
ἀρχῆς [10] διανοηθῶσιν, ὥστε συμβαίνειν βελτίονος εἰρήνης τυγ- e
χάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων.

ιέ. Ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον διατρίβειν, [11] ἁπάντων τῶν τοιούτων ἀφέμενος ἐπὶ τὸν ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. εἰ μὲν γὰρ μηδένες 124
πώποτε τῶν δυστυχησάντων ἀνέλαβον αὑτοὺς μηδ᾽ ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ᾽ ἡμᾶς εἰκὸς ἐλπίζειν περιγενήσεσθαι πολεμοῦντας· εἰ δὲ πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν [12] κατακεκλειμένων διαφθαρῆναι, τί θαυμαστὸν, εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν;

[1] προκειμένοιν A. C. L. [2] ἡμετέροις A. C. L. [3] μὲν om. A. C. L.
[4] ὑμετέρων C. [5] προεξαμαρτάνοντας A. C. L. [6] διαμαρτάνειν A. C. L.
[7] πω om. A. C. L. [8] ἕξομεν A. C. L. [9] πλέον προσεπιτάττειν ὧν ἂν A. C. L.
[10] ἐπινοηθῶσιν A. L. ἐπινοήσωσιν C. [11] πάντων A. C. L.
[12] κατακεκλεισμένων A. C. L.

Ἐν δὲ τοῖς τούτων (adversariorum)] Sub. λόγοις ἔνεστι. Auger. In oratione eorum Lacedæmoniorum qui pacem quocunque modo faciendam suadent. Lang.

Προσδοκᾶτε] Malim προσδοκῶμεν. Aug.

Ἀνέλαβον αὐτοὺς] *recollegissent se, seu pristinum statum restituissent.* Lang.

Μετάστασιν] Μεταβολήν. Cor.

b ιϛʹ. [1] Ἐπὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω τοιοῦ-
τον εἰπεῖν· ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις οὐδένες πώποτε
[2] κρείττους [3] ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον· ἐπὶ δὲ
τῶν ἄλλων πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ
μάλιστ' ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων. τούτους γὰρ
εὑρήσομεν, ἐξ ὧν [4] μὲν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς
Ἕλληνας διαβληθέντας, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας [5] ἠμύ-
ναντο, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. τοὺς μὲν οὖν
c παλαιοὺς κινδύνους [6] εἰ διεξιοίην, οὓς ἐποιήσαντο πρὸς
Ἀμαζόνας ἢ Θρᾷκας ἢ Πελοποννησίους τοὺς μετ' Εὐρυσθέως
εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ [7] πόῤῥω 122
τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περσικῷ
πολέμῳ τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν
κατέστησαν; μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούν-
των, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον
d οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ τῶν προσταττομέ-
νων αὐτοῖς, ἀλλ' εὐθὺς εἵλοντο περιιδεῖν τὴν πόλιν ἀνάστα-
τον [8] γεγενημένην μᾶλλον ἢ δουλεύουσαν. ἐκλιπόντες δὲ τὴν
χώραν [9] [καὶ τὴν πόλιν], καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν
νομίσαντες, κοινωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης
μεταβολῆς ἔτυχον, ὥστε ὀλίγας ἡμέρας στερηθέντες τῶν
e αὑτῶν πολὺν χρόνον δεσπόται τῶν ἄλλων κατέστησαν.

ιζʹ. Οὐ μόνον δ' ἄν τις ἐπὶ ταύτης τῆς πόλεως ἐπιδεί-
ξειε τὸ τολμᾷν ἀμύνεσθαι τοὺς ἐχθροὺς, ὡς πολλῶν ἀγα-
θῶν αἴτιόν ἐστιν, ἀλλὰ καὶ Διονύσιος ὁ τύραννος καταστὰς
εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων, οὐδεμιᾶς αὐτῷ σωτηρίας
125 [10] ὑποφαινομένης, ἀλλὰ καὶ τῷ πολέμῳ κατεχόμενος, καὶ
τῶν πολιτῶν πρὸς αὐτὸν δυσχερῶς διακειμένων, αὐτὸς μὲν
ἐμέλλησεν ἐκπλεῖν, τῶν δὲ χρωμένων τινὸς τολμήσαντος
εἰπεῖν ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννὶς, αἰσχυνθεὶς ἐφ'

[1] περὶ A. [2] κρείττονες A. C. L. [3] ἡμῖν L. [4] μὲν om. A. C. L.
[5] ἠμύνοντο A. C. L. [6] εἰ διεξέλθοιμι κινδύνους A. C. L. [7] πορρωτέρω A. C. L.
[8] γινομένην A. C. L. [9] uncos om. A. C. L. [10] ὑπολειπομένης A. C. L.

Διονύσιος] Cf. Plutarch. in Vit. et Ælian. V. H. iv. 8.

Τῶν δὲ χρωμένων] Τῶν ἑταίρων ἢ φίλων. Cor.

Τινὸς] Qui nuncupatus est Eloris juxta Diod. Sic. l. xiv. et Ellopides juxta Ælian. l. l.

Ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννὶς] *quam pulcrum ac decorum est tanquam tyrannum mori.* ἐντάφιον vestis est, qua mortuorum corpora honeste ad sepulturam involvebantur. Plures hujusmodi locutiones collegit Wesseling. ad Diod. Sic. xi. 11. Lang.

οἷς διενοήθη καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν, πολλὰς μὲν
μυριάδας Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ τὴν
ἀρχὴν [1] τὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ μείζω
τὴν δύναμιν τὴν αὐτοῦ τῆς πρότερον ὑπαρχούσης ἐκτήσατο,
τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ τὸν υἱὸν ἐν ταῖς αὐταῖς b
τιμαῖς καὶ δυναστείαις, ἐν αἷσπερ αὐτὸς ἦν, κατέλιπε.

ιή. Παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ [2] Μακεδόνων βα-
σιλεὺς ἔπραξεν. ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρβάρων τῶν προσ-
οικούντων μάχῃ καὶ πάσης Μακεδονίας ἀποστερηθεὶς, τὸ
μὲν πρῶτον ἐκλιπεῖν τὴν χώραν διενοήθη καὶ τὸ σῶμα
διασώζειν, ἀκούσας δέ τινος ἐπαινοῦντος τὸ πρὸς Διονύσιον
ῥηθὲν, καὶ μεταγνοὺς ὥσπερ ἐκεῖνος, χωρίον μικρὸν καταλα- c
βὼν καὶ βοήθειαν ἐνθένδε μεταπεμψάμενος, ἐντὸς [3] μὲν
123 τριῶν μηνῶν ἅπασαν κατέσχε Μακεδονίαν, τὸν δ᾽ ἐπίλοιπον
χρόνον βασιλεύων γήρᾳ τὸν βίον ἐτελεύτησεν.

ιθ΄. Ἀπείποιμεν δ᾽ ἂν ἀκούοντές τε καὶ λέγοντες, εἰ
πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν· ἐπεὶ καὶ τῶν
περὶ Θήβας πραχθέντων εἰ μνησθείημεν, ἐπὶ μὲν τοῖς γεγε-
νημένοις ἂν [4] λυπηθεῖμεν, περὶ δὲ τῶν μελλόντων βελτίους
ἂν ἐλπίδας λάβοιμεν. τολμησάντων γὰρ αὐτῶν ὑπομεῖναι d
τὰς εἰσβολὰς καὶ τὰς ἀπειλὰς τὰς ἡμετέρας, εἰς τοῦθ᾽ ἡ
τύχη τὰ πράγματα περιέστησεν αὐτῶν, ὥστε τὸν ἄλλον
χρόνον ὑφ᾽ [5] ἡμῖν ὄντες νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

κ΄. Ὅστις οὖν ὁρῶν [6] τοσαύτας μεταβολὰς γεγενημένας
ἐφ᾽ ἡμῶν οἴεται [7] παύσεσθαι, λίαν ἀνόητός ἐστιν· ἀλλὰ δεῖ
καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαῤῥεῖν περὶ τῶν μελλόντων,
ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπαν- e
ορθοῦνται πολιτείᾳ χρηστῇ καὶ ταῖς περὶ τὸν πόλεμον

[1] τὴν om. A. C. L. [2] τῶν Μακ. A. C. L. [3] μὲν om. A. L.
[4] λυπηθείημεν A. C. L. [5] ἡμᾶς A. C. L. [6] τοιαύτας A. C. L.
[7] παύεσθαι A. L.

Ἐγκρατεστέραν — κατεστήσατο] Ἐγκρατέστερος ἐγένετο τῶν πολιτῶν, τουτέστιν, ἀσφαλέστερον αὐτῶν ἐτυράννησε. Cor.

Ὑπὸ τῶν βαρβάρων] Οἱ Ἰλλυριοὶ ἦσαν οὗτοι, ὡς ἱστορεῖ Διόδωρος ὁ Σικ. ΙΕ. ιθ΄. Cor.

Ἐνθένδε] I. e. παρ᾽ ἡμῶν τῶν Λακεδαιμονίων. Nam in Panegyrica mentio fit Amyntæ a Lacedæmoniis adjuti. Hoc malo quam ἐνθένδε pro ἐκεῖθεν accipere. Wolf. *hinc*, i. e. ex Lacedæmone. Auger. Sed obstat historia. V. Morus ad Paneg. §. λε΄. Hinc ἐνθένδε malim esse *e Græcia in universum*. Lang. Μήποτε δὲ ἀντὶ τοῦ ἐκεῖθεν ἐκληπτέον, τουτέστιν, ἐξ ἐκείνου τοῦ μικροῦ χωρίου, ὃ κατέλαβε, καλέσας πρὸς ἑαυτὸν, ἤγουν ἐλθεῖν ποιήσας, ἄλλοθεν βοήθειαν· παρὰ τίνων δὲ οὐ λέγει, οὐδὲ λέγειν ἐπαναγκὲς ἦν. ἦσαν δὲ οἱ συλλαβόντες αὐτῷ εἰς τὴν τῆς ἀρχῆς ἀνάκτησιν οἱ Θετταλοί. Διόδ. Σικ. ΙΔ. ϟβ΄. Cor.

ἐμπειρίαις. περὶ ὧν οὐδεὶς [1] ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ
τὴν μὲν ἐμπειρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν, [2] πολιτείαν
126 δ' οἵαν [3] εἶναι χρὴ, παρὰ μόνοις ἡμῖν ἐστίν. ὧν [4] ὑπαρχόν-
των, οὐκ ἔστιν ὅπως οὐκ ἄμεινον πράξομεν τῶν μηδ' ἑτέρου
τούτων πολλὴν ἐπιμέλειαν πεποιημένων.

κα΄. Κατηγοροῦσι δέ τινες τοῦ πολέμου, καὶ διεξέρχον-
ται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε πολλοῖς
χρώμενοι καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις, καὶ
θαυμάζουσιν εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πρά-
γματι πιστεύειν ἀξιοῦσιν.

κβ΄. Ἐγὼ δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγά-
b λην εὐδαιμονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης
[5] ἀποστερηθέντας διὰ τὴν εἰρήνην· οὐδὲν γὰρ τῶν [6] τοιούτων
ἐστὶν ἀποτόμως οὔτε κακὸν οὔτ' ἀγαθὸν, ἀλλ' [7] ὡς ἂν χρή-
σηταί τις [8] τοῖς πράγμασι καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη
καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. χρὴ δὲ τοὺς μὲν εὖ πράτ-
τοντας [9] τῆς εἰρήνης ἐπιθυμεῖν· ἐν γὰρ τῇ καταστάσει ταύτῃ
πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειε· τοὺς δὲ
c δυστυχοῦντας τῷ πολέμῳ προσέχειν τὸν νοῦν· ἐκ γὰρ τῆς 124
ταραχῆς καὶ τῆς [10] καινουργίας θᾶττον ἂν μεταβολῆς τύ-
χοιεν. ὧν ἡμεῖς δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν·
ὅτε [11] μὲν γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους
ἐποιούμεθα τοῦ δέοντος, ἐπειδὴ δ' εἰς ἀνάγκην [12] καθέσταμεν
μεν ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν καὶ περὶ ἀσφα-
λείας βουλευόμεθα. καίτοι χρὴ τοὺς βουλομένους ἐλευθέρους
d εἶναι τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν ὡς ἐγ-
γὺς δουλείας οὔσας, ποιεῖσθαι δὲ τὰς διαλλαγὰς, ὅταν ἢ πε-
ριγένωνται τῶν ἐχθρῶν ἢ [13] τὴν δύναμιν τὴν αὐτῶν ἐξισώσωσι

[1] ἂν om. A. C. L. [2] πολιτεία A. L. [3] εἶναι om. A. C. L. [4] ὑπαρξάντων A. L [5] στερηθέντας A. C. L. [6] ὄντων A. L. [7] ὅπως A. C. L. [8] καὶ τοῖς A. C. L. [9] τῆς om. A. C. L. [10] πανουργίας A. C. L. [11] μὲν om. A. L. [12] καθίσταμεν A. κατέστημεν L. [13] τὴν αὐτῶν δύναμιν A. C. L.

Τὴν ἀπιστίαν] Passive *fidem incertam*, sive etiam active *perfidiam*. Lang. Τὸ ἄδηλον καὶ ἀβέβαιον. Cor.

Ἀποτόμως] *absolute, per se.* Sensus: Nulla res per se aut bona est aut mala, sed fit utrumque tractatione. Lang. Ἀκριβῶς, ἀπολύτως, τουτέστιν, καθ' ἑαυτὸ καὶ μὴ πρὸς ἕτερα τὴν ἀναφορὰν ἔχον. Cor.

Καινουργίας] *novis rebus moliendis*. Wolf.

Χρὴ τοὺς κ. τ. λ.] Μνημονεύει τοῦ χωρίου Ἀριστοτέλης Ῥητορ. Γ. ιζ΄. Cor.

Τὰς ἐκ τῶν ἐπιταγμάτων συνθήκας] Σπονδὰς ὀνομάζει τὰς τοιαύτας Ἀνδοκίδης ἀντιδιεσταλμένως πρὸς τὴν εἰρήνην. π. τ. πρὸς Λακ. εἰρην. §. α΄. Idem.

τῇ τῶν πολεμίων· [1] ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν,
οἵαν περ ἂν τοῦ πολέμου ποιήσωνται τὴν [2] κατάλυσιν.

κγʹ. Ὧν ἐνθυμουμένους χρὴ μὴ προπετῶς ἡμᾶς αὐτοὺς
[3] ἐμβαλεῖν εἰς αἰσχρὰς ὁμολογίας, μηδὲ ῥαθυμότερον ὑπὲρ τῆς
πατρίδος ἢ [4] τῶν ἄλλων φανῆναι βουλευομένους. ἀναμνήσθητε e
δὲ πρὸς ὑμᾶς αὐτοὺς ὅτι τὸν παρελθόντα χρόνον, εἰ πολιορ-
κουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων εἷς μόνος [5] Λα-
κεδαιμονίων βοηθήσειεν, ὑπὸ πάντων [6] ἂν ὡμολογεῖτο παρὰ
τοῦτον [7] γενέσθαι τὴν σωτηρίαν αὐτοῖς. καὶ τοὺς μὲν πλεί-
στους τῶν τοιούτων ἀνδρῶν παρὰ τῶν πρεσβυτέρων ἄν τις 127
ἀκούσειε, τοὺς δ᾽ ὀνομαστοτάτους ἔχω κἀγὼ διελθεῖν.
[8] Πεδάριτος μὲν γὰρ εἰς Χίον [9] εἰσπλεύσας τὴν πόλιν αὐτῶν
διέσωσε· Βρασίδας δὲ εἰς Ἀμφίπολιν εἰσελθὼν, ὀλίγους περὶ
αὑτὸν τῶν πολιορκουμένων συνταξάμενος, πολλοὺς ὄντας
τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος· Γύλιππος δὲ [10] Συ-
ρακοσίοις βοηθήσας οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ
τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν ἅπασαν αἰχμάλωτον ἔλαβε. καίτοι πῶς οὐκ b
αἰσχρὸν τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι τὰς ἀλλοτρίας
πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μηδὲ πειρᾶσθαι τὴν
ἡμετέραν αὐτῶν διασώζειν; καὶ τὴν μὲν Ἀσίαν καὶ τὴν
Εὐρώπην μεστὴν πεποιηκέναι τροπαίων ὑπὲρ τῶν ἄλλων
πολεμοῦντας, ὑπὲρ δὲ τῆς πατρίδος οὕτω φανερῶς ὑβριζο-
125 μένης μηδεμίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημέ-
νους; ἀλλ᾽ ἑτέρας μὲν πόλεις, ὑπὲρ τῆς ἡμετέρας ἀρχῆς c
τὰς ἐσχάτας ὑπομεῖναι πολιορκίας, αὐτοὺς δ᾽ ἡμᾶς, ὑπὲρ
τοῦ μηδὲν ἀναγκασθῆναι [11] παρὰ τὸ δίκαιον ποιεῖν, μηδὲ
μικρὰν οἴεσθαι δεῖν [12] ὑπενεγκεῖν κακοπάθειαν, ἀλλὰ ζεύγη
μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι τρέφοντας,
ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας ἀφιγμένους καὶ
τῶν καθ᾽ ἡμέραν ἐνδεεῖς ὄντας οὕτω ποιεῖσθαι τὴν εἰρήνην;

[1] ὥστε L. [2] διάλυσιν A. C. L. [3] ἐμβάλλειν εἰς αἰσχρὰν ὁμολογίαν A. C. L. [4] περὶ τῶν A. C. L. [5] Λακεδαιμόνιος A. C. L. [6] ἂν om. A. C. L. [7] γεγενῆσθαι A. C. L. [8] Παιδάριτος A. [9] πλεύσας A. C. L. [10] Συρακουσίοις A. C. L. [11] παρὰ τὸ δικ. ἀναγκασθῆναι A. C. L. [12] ὑπομεῖναι A. C. L.

Πεδάριτος] Vid. Vales. ad Harpocrat. sub voc.

Αὐτῶν] Np. Χίων. AUGER.

Ζεύγη μὲν ἵππων] Cf. Xenoph. Hellen. vi. 4. 10.

d κδ΄. Ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι δο-
κοῦντες εἶναι τῶν Ἑλλήνων ῥᾳθυμότερον [1] τῶν ἄλλων βου-
λευσόμεθα περὶ τούτων. [2] τίνας γὰρ ἴσμεν, ὧν καὶ ποιή-
σασθαι μνείαν ἄξιόν ἐστιν, οἵτινες ἅπαξ ἡττηθέντες καὶ
μιᾶς εἰσβολῆς γενομένης οὕτως ἀνάνδρως ὡμολόγησαν [3] πάν-
τα τὰ προσταττόμενα ποιήσειν; [4] πῶς δ᾽ ἂν οἱ τοιοῦτοι
δυστυχοῦντες πολὺν χρόνον [5] ἀνταρκέσειαν; τίς δ᾽ οὐκ ἂν
e ἐπιτιμήσειεν ἡμῖν, εἰ Μεσσηνίων [6] ὑπὲρ τῆς χώρας ταύτης
εἴκοσιν ἔτη πολιορκηθέντων ἡμεῖς οὕτω ταχέως κατὰ συν-
θήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγόνων μνη-
σθείημεν, ἀλλ᾽ ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων καὶ κινδύνων
128 ἐκτήσαντο, ταύτην ἡμεῖς ὑπὸ λόγων πεισθέντες ἀποβά-
λοιμεν;

κε΄. Ὧν οὐδὲν ἔνιοι φροντίσαντες, ἀλλὰ πάσας τὰς
αἰσχύνας ὑπεριδόντες, τοιαῦτα [7] συμβουλεύουσι ὑμῖν, ἐξ ὧν
εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. οὕτω δὲ προθύμως
[8] ἐπαγοῦσιν ὑμᾶς πρὸς τὸ παραδοῦναι [9] Μεσσήνην, ὥστε καὶ
διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς πόλεως ἀσθένειαν καὶ τὴν
b τῶν πολεμίων δύναμιν, καὶ κελεύουσιν ἀποκρίνασθαι τοὺς
ἐναντιουμένους αὐτοῖς, πόθεν βοήθειαν προσδοκῶντες [10] ἥξειν
διακελευόμεθα [11] πολεμεῖν.

κϛ΄. Ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ
βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν — εἰκὸς γὰρ καὶ τὴν
τῶν θεῶν εὔνοιαν [12] γενέσθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ
τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις —,
πρὸς δὲ ταύτῃ τὸ καλῶς πολιτεύεσθαι καὶ σωφρόνως
c [13] ζῆν καὶ μάχεσθαι τοῖς πολεμίοις [14] ἐθέλειν καὶ μηδὲν 126
οὕτω δεινὸν νομίζειν ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν πολιτῶν·
[15] ἃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. μεθ᾽ ὧν

[1] τῶν ἄλλων om. A. C. L.
[2] τίνα δὲ τῶν περιισταμένων ἡμῖν ἐξ ἀνδρῶν τοιούτων ἀπειλῶν καὶ ποιεῖσθαι A. C. L.
[3] ἅπαντα A. C. L. [4] ἢ πῶς ἂν A. C. L. [5] ἐπαρκέσειαν A. C. L.
[6] ἐπὶ A. L. [7] συμβουλεύουσι ταῦτα, ἐξ A. C. L. [8] παρακαλοῦσιν ἡμᾶς A. C. L.
[9] τὴν Μεσ. A. C. L. [10] ἕξειν A. C. L. [11] πολεμεῖν ὑμῖν A. C. L.
[12] ἔσεσθαι A. C. L. [13] καὶ μέχρι θανάτου μάχεσθαι A. C. L. [14] θέλειν A. L.
[15] ὃ A. C. L.

Μετὰ τούτων] Scil. Λακεδαιμονίων, vel τῶν τα δίκαια πραττόντων. AUGER. Μετὰ τῶν τα δίκαια πραττόντων. LANG. COR.

Πρὸς δὲ ταύτῃ] Np. συμμαχίᾳ, supple καὶ ταύτην εἶναι συμμαχίαν ἡγοῦμαι, τὸ καλῶς —. AUGER. Supple συμμαχίᾳ, μεγίστην εἶναι συμμαχίαν ἡγοῦμαι. LANG. Πρὸς τῇ ἐκ τῆς δικαιοπραγίας συμμαχίᾳ. COR.

ἂν ἐγὼ πολὺ ἥδιον πολεμοίην ἢ μετὰ πολλῶν μυριάδων·
οἶδα γὰρ καὶ τοὺς [1] πρώτους ἡμῶν εἰς ταύτην τὴν χώραν
[2] ἀφικομένους οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους,
ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ὑπ' ἐμοῦ προειρημέναις· ὥστ' οὐκ
ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ
τυγχάνουσιν ὄντες, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἐκείνοις θαῤῥεῖν, d
ὅταν ὁρῶμεν ἡμᾶς μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμ-
φορὰς ὡς οὐδένες ἄλλοι πώποτε, καὶ τοῖς [3] τε νόμοις καὶ τοῖς
ἐπιτηδεύμασιν ἐμμένοντας, οἷς ἐξ ἀρχῆς κατεστησάμεθα,
τοὺς δὲ [4] μηδὲ τὰς εὐτυχίας φέρειν [5] δυναμένους, ἀλλὰ δια-
τεταραγμένους, καὶ τοὺς μὲν [6] τὰς συμμαχίδας πόλεις κα-
ταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας,
ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦντας, [7] τοὺς
δὲ μᾶλλον [8] ἀλλήλοις φθονοῦντας ἢ πρὸς ἡμᾶς πολεμοῦντας. e
ὥστε [9] θαυμάζω τῶν μείζω συμμαχίαν ζητούντων, ὧν οἱ
πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες. [10] [ταῦθ' ἡμῖν βο-
ηθήσει].

κζ'. Εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν,
[11] ἡγοῦμαι πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἡμῖν [12] ἐπα- 129
μύνειν. ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ
πάντα μεθ' ἡμῶν εἰσὶν, ἀλλ' [13] ὑπέρ γε τῆς σωτηρίας τῆς
ἡμετέρας ὁτιοῦν ἂν ποιήσοντας· ἔπειτα τῶν ἄλλων πόλεων
[14] ἔστιν ἃς ὁμοίως ἂν ὑπὲρ τῶν [15] ἡμῖν συμφερόντων ὡς περὶ
τῶν αὑταῖς βουλευσομένας· ἔτι δὲ Διονύσιον τὸν τύραννον
καὶ [16] τὸν Αἰγυπτίων βασιλέα καὶ τοὺς ἄλλους τοὺς κατὰ
τὴν Ἀσίαν δυνάστας, καθ' ὅσον [17] ἕκαστοι δύνανται, προθύ-
μως ἂν ἡμῖν ἐπικουρήσοντας· πρὸς δὲ τούτοις καὶ τῶν Ἑλ- b
λήνων τοὺς ταῖς οὐσίαις προέχοντας καὶ ταῖς δόξαις πρω-
τεύοντας καὶ [18] βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ

[1] προγόνους A. C. L. [2] ἀφικνουμένους A. C. L. [3] νομιζομένοις A. C. L.
[4] μηδὲ om. A. C. L. [5] μὴ δυναμ. A. C. L. [6] ἔχοντας συμμαχίας, A. C. L.
[7] τοὺς δὲ om. A. L. [8] ἀλλήλοις φθονοῦντας om. A. L. [9] θαυμάζειν A. C. L.
[10] uncos om. A. C. L. [11] ὑπολαμβάνω A. om. C. L. [12] ἐπαμύνειν [ἐλπίς]. C.
[13] οὖν ὑπέρ γε τῆς ἑαυτῶν σωτηρίας πάντα ποιήσ. A. C. L. [14] τινὰς ὁμοίως A. C. L.
[15] νῦν ἡμῖν A. C. L. [16] τῶν L. [17] ἂν ἕκ. δύνωνται A. C. L.
[18] τῶν βελτίστων A. C. L.

Ἐπ' ἐκείνοις] Scil. τοῖς νῦν λεχθησομένοις. Τὸ ἐκείνοις sic accipere malo, quam referre ad personam Thebanorum. WOLF.

Μὴ πάντα] Πάντα adverbialiter, idem ac πάντως. AUGER.

Κατὰ τὴν Ἀσίαν] Quæ apud veteres Africam, tanquam partem, complectebatur. LANG. At vero Pindarus Pyth. ix. 14. Libyam dicit ῥίζαν ἀπείρου τρίταν.

καὶ μήπω συνεστήκασιν, ἀλλὰ ταῖς γ᾽ εὐνοίαις μεθ᾽ ἡμῶν ὄντας, ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας [1]ἐλπίδας ἔχοιμεν.

κή. Οἶμαι δὲ καὶ τὸν [2]ἄλλον ὄχλον τὸν ἐν Πελοπον- 127
νήσῳ καὶ τὸν δῆμον, ὃν οἰόμεθα [3]μάλιστα πολεμεῖν ἡμῖν, ποθεῖν ἤδη τὴν ἡμετέραν ἐπιμέλειαν. οὐδὲν γὰρ αὐτοῖς
c ἀποστᾶσι γέγονεν ὧν προσεδόκησαν, ἀλλ᾽ ἀντὶ μὲν τῆς ἐλευθερίας τοὐναντίον [4]ἀποβέβηκεν — ἀπολέσαντες γὰρ αὑτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν —, ἀντὶ δε τῆς αὐτονομίας εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν. εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ᾽ ἡμῶν ἐφ᾽ ἑτέρους ἰέναι, νῦν τοὺς ἄλλους ὁρῶσιν [5]ἐφ᾽ αὑτοὺς στρατευομένους, καὶ τὰς στάσεις, ἃς ἐπυνθάνοντο
d πρότερον παρ᾽ ἑτέροις οὔσας, νῦν παρ᾽ αὑτοῖς ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἡμέραν [6]γιγνομένας. οὕτω δ᾽ [7]ὡμαλισμένοι ταῖς συμφοραῖς εἰσὶν, ὥςτε [8]μηδένα διαγνῶναι δύνασθαι τοὺς κάκιστα πράττοντας αὐτῶν. οὐδεμία γάρ ἐστι τῶν πόλεων ἀκέραιος [9]οὐδ᾽ ἥ τις οὐχ ὁμόρους ἔχει τοὺς κακῶς ποιήσοντας· [10]ὥςτε τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆσθαι τοὺς οἴκους τοὺς
e ἰδίους, ἀνεστράφθαι δὲ τὰς πολιτείας καὶ καταλελύσθαι τοὺς νόμους, μεθ᾽ ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων [11]ἦσαν. οὕτω δ᾽ ἀπίστως [12]τὰ πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχουσιν, ὥςτε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδίασιν· ἀντὶ δὲ τῆς ἐφ᾽ ἡμῶν [13]ὁμονοίας καὶ τῆς παρ᾽ [14]ἀλ-
130 λήλων εὐπορίας εἰς τοσαύτην ἀμιξίαν ἐληλύθασιν, ὥςθ᾽ οἱ μὲν κεκτημένοι τὰς οὐσίας ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ᾽ αὐτῶν [15]ἐκβάλοιεν ἢ τοῖς δεομένοις ἐπαρκέσειαν, οἱ δὲ καταδεέστερον πράττοντες οὐδ᾽ ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι· καταλύσαντες δὲ τὰς

[1] τὰς ἐλπίδας A. C. L. [2] ἄλλον om. A. C. L.
[3] κἂν οὐ πρότερον, ἀλλὰ νῦν γε πολλὴν ποιήσεσθαι τὴν ἐπιμ. A. C. L.
[4] αὐτοῖς ἀποβέβηκεν A. C. L. [5] ἐπ᾽ αὐτοὺς ὁρῶσι A. C. L. [6] γιγν. ὁρῶσιν. A. C. L.
[7] δεδαμασμένοι A. C. L. [8] μηδὲ A. C. L. [9] οὐδ᾽ om. A. C. L.
[10] ὡς A. C. L. [11] ἐτύγχανον A. C. L. [12] τὰ om. A. C. L. [13] εὐπορίας A. C. L.
[14] ἡμῶν εὐνοίας εἰς A. C. L. [15] βάλοιεν A. C. L.

Συνεστήκασιν] Scil. μετ᾽ ἀλλήλων, vel, quod magis placet, μεθ᾽ ἡμῶν. Wolf.

Ἀπολέσαντες —] Τὰς τῶν ἐν Πελοποννήσῳ πόλεων στάσεις αἰνίττεται, καὶ μάλιστα τῆς τῶν Κορινθίων, ἐν ᾗ πλείστους τῶν λακωνιζόντων ὁ δῆμος κατέσφαξε. Cor.

θυσίας ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους· πλείους δὲ φεύγουσι νῦν ἐκ μιᾶς πόλεως ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννήσου. καὶ τοσούτων ἀπηριθμημένων κακῶν, πολὺ b
πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν· οὐδὲν γὰρ ὅ τι τῶν δεινῶν ἢ χαλεπῶν [1] οὐκ ἐνταῦθα συνδεδράμηκεν. ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ [2] διὰ ταχέων ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν παρόντων πρα-
128 γμάτων εὑρεῖν ἀπαλλαγήν. μὴ γὰρ οἴεσθ' αὐτοὺς [3] μενεῖν ἐπὶ τούτοις· οἵτινες γὰρ εὖ πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες πολὺν χρόνον καρτερήσειαν; ὥστ', οὐ μόνον [4] ἢν μαχόμενοι [5] νικήσωμεν, ἀλλ' ἐὰν ἡσυχίαν ἔχον- c
τες [6] περιμείνωμεν, ὄψεσθ' αὐτοὺς [7] μεταβαλλομένους καὶ τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν [8] αὑτῶν εἶναι νομίζοντας. τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.

κθ'. Τοσοῦτον δ' ἀπέχω τοῦ [9] ποιῆσαί τι τῶν προσταττομένων, ὥστ', εἰ μηδὲν γίγνοιτο τούτων μηδὲ βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλήνων οἱ μὲν ἀδικοῖεν ἡμᾶς οἱ δὲ [10] περιορῷεν, οὐδ' ἂν οὕτω μεταγνοίην, ἀλλὰ d
πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους ὑπομείναιμι πρὶν ποιήσασθαι τὰς ὁμολογίας ταύτας. αἰσχυνθείην γὰρ ἂν [11] ὑπὲρ ἀμφοτέρων, εἴτε καταγνοίημεν τῶν προγόνων, ὡς ἀδίκως [12] Μεσσηνίους ἀφείλοντο τὴν χώραν, εἴτ' ἐκείνων ὀρθῶς κτησαμένων [13] καὶ προσηκόντως ἡμεῖς παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς. τούτων μὲν οὖν [14] οὐδέτερον ποιητέον, σκεπτέον δ' ὅπως ἀξίως ἡμῶν αὐτῶν [15] πολεμήσομεν, καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν ἡμῶν τὴν e
πόλιν [16] ἐλέγξομεν ψευδεῖς ὄντας, ἀλλὰ τοιούτους [17] ἡμᾶς αὐτοὺς [18] παρασχήσομεν, ὥστ' ἐκείνους ἐλάττω [19] τῶν ὑπαρχόντων δοκεῖν εἰρηκέναι περὶ ἡμῶν.

λ'. Οἶμαι μὲν οὖν [20] οὐδὲν δεινότερον συμβήσεσθαι τῶν νῦν

[1] ὃ οὐκ A. L. [2] ταχέως A. C. L. [3] μένειν A. L. [4] ἂν A. C. L. [5] νικῶμεν, ἀλλὰ ἂν A. C. L. [6] περιμένωμεν C. [7] μεταβαλλομένους αὐτοὺς A. C. L. [8] αὐτοῖς A. C. L. [9] ποιεῖν A. C. L. [10] ὑπερορῷεν A. C. L. [11] ὑπ' A. L. [12] Μεσσηνίων A. C. L. [13] καὶ προσηκόντως om. A. C. L. [14] οὐθέτερον C. οὐθ' ἕτερον L. [15] πολεμήσωμεν A. [16] ἐλέγξωμεν A. L. ἐξελέγξωμεν C. [17] ἡμᾶς αὐτοὺς om. A. L. [18] παρασχήσωμεν A. [19] τι τῶν A. L. [20] μηδὲν A. C. L.

Ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους] Τὰς σφαγὰς δῆλός ἐστι λέγων ἐνταῦθα τὰς ἐν Κορίνθῳ συμβάσας τῷ τρίτῳ τῆς ϞϚ'. Ὀλυμπ. περὶ ὧν ὁ Ξενοφ. Ἑλληνικ. Δ. γ'. 3. IDEM.

Πλείους] Πεντακοσίους φησὶν ὁ Σικελιώτης Διόδωρος ΙΔ. πς'. φυγαδευθῆναι πολίτας ἐν τῇ προειρημένῃ στάσει. IDEM.

131 παρόντων, ἀλλὰ τοὺς ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ
πράξειν, ἐξ ὧν ἐπανορθώσουσιν ἡμᾶς· ἂν δ᾽ ἄρα ψευσθῶμεν
τῶν ἐλπίδων καὶ πανταχόθεν ἐξειργώμεθα καὶ μηδὲ τὴν
πόλιν ἔτι δυνώμεθα [1]διαφυλάττειν, χαλεπὰ μέν ἐστιν ἃ
μέλλω λέγειν, ὅμως δ᾽ οὐκ ὀκνήσω παῤῥησιάσασθαι περὶ
αὐτῶν. καὶ γὰρ ἐξαγγελθῆναι τοῖς Ἕλλησι καλλίω ταῦτ᾽
ἐστὶ καὶ μᾶλλον ἁρμόττοντα τοῖς ἡμετέροις φρονήμασιν,
[2]ὧν ἔνιοί τινες ἡμῖν συμβουλεύουσι.
b λά. Φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμετέρους
αὐτῶν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τὸν ὄχλον τὸν
ἄλλον ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς μὲν ἐς Σικελίαν καὶ
Ἰταλίαν, τοὺς δ᾽ εἰς Κυρήνην, τοὺς δ᾽ εἰς τὴν ἤπειρον — 129
[3]ἄσμενοι δ᾽ αὐτοὺς ἅπαντες οὗτοι δέξονται καὶ χώρᾳ πολλῇ
καὶ ταῖς ἄλλαις [4]ταῖς περὶ τὸν βίον εὐπορίαις, οἱ μὲν χάριν
ἀποδιδόντες ὧν εὖ πεπόνθασιν ὑφ᾽ ἡμῶν, οἱ δὲ [5]κομιεῖσθαι
c προσδοκῶντες ὧν ἂν [6]προϋπάρξωσιν —, ὑπολειφθέντας
δὲ τοὺς βουλομένους καὶ δυναμένους κινδυνεύειν, τῆς μὲν
πόλεως [7]ἀφεῖσθαι καὶ τῶν ἄλλων κτημάτων, πλὴν ὅσα
ἂν [8]οἷοί τ᾽ ὦμεν ἀπενέγκασθαι μεθ᾽ ἡμῶν αὐτῶν, καταλα-
βόντας δὲ χωρίον, ὅ τι ἂν [9]ἐχυρώτατον ᾖ καὶ πρὸς τὸν
πόλεμον συμφορώτατον, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν παύσωνται τῶν
ἡμετέρων ἀμφισβητοῦντες. καὶ ταῦτ᾽ ἐὰν τολμήσωμεν καὶ
d μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν ἐπιτάττοντας, ἱκετεύον-
τας καὶ δεομένους ἡμῶν Μεσσήνην ἀπολαβεῖν καὶ ποιήσα-
σθαι τὴν εἰρήνην.

λβ΄. Ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ τοι-

[1] φυλάττειν A. C. L. [2] ἢ ὧν A. L. [3] ἀσμένως A. C. L.
[4] ταῖς om. A. C. L. [5] κομίσασθαι A. L. κομίσεσθαι C. [6] προϋπάρχωσιν A. C. L.
[7] ἀφίστασθαι A. C. L. [8] δυνώμεθα A. C. L. [9] ὀχυρώτατον A. C. L.

Ἔνιοί τινες] Coraes laudat similem usum ex Panath. §. ιδ΄. Demosth. Aristog. B. §. ζ΄. et Lysiam c. Philon. §. ϛ΄.

Εἰς τὴν ἤπειρον] Supra dixit opem laturos Lacedæmoniis τοὺς κατὰ τὴν Ἀσίαν δυνάστας. Quare ἤπειρος hic ἀντὶ τῆς Ἀσίας τῆς ὑπὸ τῷ μεγάλῳ βασιλεῖ non incommode intelligitur, quo remotiores sint ab hostium violentia. Sed si quis mavult Epirum Græciæ regionem intelligere, non impedio. Wolf.

Δέξονται καὶ χώρᾳ πολλῇ] Ἐλλειπτικῶς τῆς ἐν. ὁ δὲ νοῦς· δέξονται χορηγοῦντες χώραν πολλήν, εἴς τε οἴκησιν δηλάδη καὶ γεωργίαν καὶ τὰς ἄλλας εὐπορίας τοῦ βίου. Cor.

Οἱ δὲ κομιεῖσθαι — προϋπάρξωσιν] *alii sperantes reddita accipere pro illis in quibus anteiverunt.* Lang. Οἱ δὲ χάριν ἀπολαβεῖν προϋπηργμένων ἀγαθῶν ἐλπίζοντες. Cor.

Ὑπολειφθέντας — κινδυνεύειν] Refer ad φημὶ χρῆναι. Intellige ὑπολειφθέντας non *relictos*, sed *reliquos*. Auger.

οὗτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς [1] γενέσθαι βουληθέν-
των ἡμῶν; τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσαιεν στρα-
τόπεδον συνιστάμενον, τοιαῦτα μὲν [2] διαπεπραγμένον,
δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠργισμένον, ἀπονενοημένως
δὲ πρὸς τὸ ζῆν διακείμενον; καὶ τῷ μὲν σχολὴν [3] ἄγειν, e
καὶ [4] μηδὲ περὶ ἓν ἄλλο διατρίβειν ἢ περὶ τὸν πόλεμον
τοῖς ξενικοῖς στρατεύμασιν ὡμοιωμένον, ταῖς δὲ ἀρεταῖς
καὶ τοῖς ἐπιτηδεύμασι τοιοῦτον οἷον ἐξ ἁπάντων ἀνθρώπων
οὐδεὶς ἂν συντάξειεν; ἔτι δὲ [5] μηδεμιᾷ πολιτείᾳ τετα-
γμένῃ χρώμενον, ἀλλὰ θυραυλεῖν καὶ πλανᾶσθαι κατὰ 132
τὴν χώραν δυνάμενον, καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούλη-
ται γιγνόμενον, τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς τὸν
πόλεμον συμφέροντας πατρίδας εἶναι νομίζον; ἐγὼ μὲν
γὰρ οἶμαι τῶν λόγων [6] μόνον ῥηθέντων [7] τούτων καὶ δια-
σπαρέντων εἰς τοὺς Ἕλληνας εἰς πολλὴν ταραχὴν κατα-
στήσεσθαι τοὺς ἐχθροὺς [8] ἡμῶν, ἔτι δὲ μᾶλλον, [9] ἢν καὶ
τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶμεν. τίνα γὰρ οἰηθῶ-
μεν αὐτοὺς γνώμην ἕξειν, ὅταν αὐτοὶ μὲν κακῶς πάσχωσιν, b
ἡμᾶς δὲ μηδὲν δύνωνται [10] ποιεῖν; καὶ τὰς μὲν αὑτῶν
[11] πόλεις ἴδωσιν εἰς πολιορκίαν καθεστηκυίας, τὴν δ' ἡμε-
τέραν οὕτω [12] διεσκευασμένην ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ
130 περιπεσεῖν; ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν
ῥᾳδίαν [13] οὖσαν ἔκ τε [14] τῶν ὑπαρχόντων [15] καὶ τῶν ἐκ τοῦ
πολέμου γιγνομένων, αὐτοῖς δὲ χαλεπὴν [16] διὰ τὸ μὴ ταὐ-
τὸν εἶναι, στρατόπεδόν [17] τε [18] τοιοῦτον διοικεῖν καὶ [19] τοὺς
ὄχλους τοὺς ἐν ταῖς πόλεσι διατρέφειν; ὃ δὲ [20] πάντων c
ἄλγιστον [21] ἐκείνοις, ὅταν τοὺς μὲν ἡμετέρους οἰκείους ἐν

[1] ἢ γενέσθαι A. C. L. [2] συμπεπραγμένον A. C. L. [3] πρῶτον ἄγειν A. C. L. [4] μηκέτι ἐν ἄλλῳ A. L. [5] ἐν μηδεμιᾷ πόλει τεταγμένον, ἀλλὰ A. C. L. [6] μόνων C. [7] τούτων καὶ διασπαρέντων om. A. C. L. [8] ἡμῶν om. A. C. L. [9] εἰ A. L. [10] ποιεῖν μὴ δύνωνται A. C. L. [11] πόλεις αὐτῶν A. C. L. [12] παρεσκευασμένην A. C. L. [13] οὖσαν om. A. C. L. [14] τῆς τῶν A. C. L. [15] κτήσεως καὶ A. L. χρήσεως καὶ C. [16] εἶναι διὰ A. C. L. [17] τε om. C. [18] τοιοῦτο A. C. L. [19] τὸν ὄχλον τὸν A. C. L. [20] παντὸς L. [21] ἐκείνοις ἀλγεινότατον A. C. L.

Θυραυλεῖν] Περιέρχεσθαι τὴν χώραν καὶ μηδεμιᾷ πόλει ἐγκατατετάχθαι. εἴη δ' ἂν πῶς καὶ τὸ Γαλλιστὶ λεγόμενον bivouaquer. Cor.

Διοικεῖν] *curare*, seu *alere*. Sensus: Talis exercitus pluribus eget alimentis, quam urbis alicujus incolæ. Lang.

Τοὺς μὲν ἡμετέρους οἰκείους] Γραπτέον ἔοικεν· οἴκους. τὸ γὰρ ἡμετέρους οἰκείους ἀντὶ τοῦ ἡμῖν οἰκείους οὐ πάνυ τι πιθανόν. ὁποτέρως δ' ἂν γράφῃς, πρὸς τοὺς μικρῷ πρόσθεν (λα'.) γονέας, παῖδας, καὶ γυναῖκας τὴν ἀναφορὰν ἔχει, οἳ παρὰ τοῖς ἐν Σικελίᾳ Κυρήνῃ τε καὶ ἠπείρῳ ἐν πάσαις ταῖς περὶ τὸν βίον εὐπορίαις διάξειν ἔμελλον. Cor.

πολλαῖς [1] εὐπορίαις πυνθάνωνται γεγενημένους, τοὺς δ'
αὑτῶν ὁρῶσι καθ' ἑκάστην [2] τὴν ἡμέραν ἐνδεεῖς ὄντας τῶν
ἀναγκαίων, καὶ μηδ' ἐπικουρῆσαι δύνωνται τοῖς κακοῖς
[3] τούτοις, ἀλλ' ἐργαζόμενοι μὲν τὴν χώραν τὰ σπέρματα
προσαπολλύωσιν, ἀργὸν δὲ περιορῶντες μηδένα χρόνον [4] ἀν-
ταρκεῖν οἷοί τ' ὦσιν.

d λγ'. Ἀλλὰ γὰρ ἴσως ἀθροισθέντες καὶ κοινὸν ποιησά-
μενοι στρατόπεδον παρακολουθήσουσι, [5] καὶ κωλύσουσιν
ἡμᾶς κακῶς ποιεῖν αὐτούς. καὶ τί ἂν εὐξαίμεθα μᾶλλον
ἢ λαβεῖν πλησιάζοντας καὶ [6] παρατεταγμένους καὶ περὶ
τὰς αὐτὰς [7] δυσχωρίας ἡμῖν ἀντιστρατοπεδεύοντας ἀνθρώ-
πους ἀτάκτους καὶ μιγάδας καὶ πολλοῖς ἄρχουσι χρωμέ-
e νους; [8] οὐδὲν γὰρ ἂν πολλῆς πραγματείας [9] δεήσειεν, ἀλλὰ
ταχέως [10] ἂν αὐτοὺς [11] ἐξαναγκάσαιμεν ἐν τοῖς ἡμετέροις
[12] καιροῖς ἀλλὰ μὴ [13] τοῖς αὑτῶν ποιήσασθαι τοὺς κινδύνους.

λδ'. [14] Ἐπιλίποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ
τὰς πλεονεξίας τὰς [15] ἐσομένας λέγειν ἐπιχειρήσαιμεν.
ἐκεῖνο δ' [16] οὖν [17] πᾶσι φανερὸν, ὅτι τῶν Ἑλλήνων διενηνόχα-
μεν οὐ τῷ μεγέθει τῆς πόλεως οὐδὲ τῷ πλήθει τῶν
133 [18] ἀνθρώπων, ἀλλ' ὅτι τὴν πολιτείαν ὁμοίαν κατεστησά-
μεθα στρατοπέδῳ καλῶς διοικουμένῳ καὶ πειθαρχεῖν
[19] ἐθέλοντι τοῖς ἄρχουσιν. ἢν οὖν εἰλικρινὲς τοῦτο [20] ποιήσω-
μεν, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν, οὐκ ἄδηλον ὅτι
[21] ῥᾳδίως τῶν πολεμίων ἐπικρατήσομεν.

λε'. Ἴσμεν δὲ καὶ τοὺς [22] οἰκιστὰς ταυτησὶ τῆς πόλεως
γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόν-

[1] ἐμπειρίαις καὶ εὐπορίαις A. L. [2] τὴν om. A. C. L. [3] τούτοις om. A. C. L. [4] αὐταρκεῖν A. C. L. [5] ἡμῖν καὶ A. C. L. [6] παρατατταττομένους C. [7] δυσχερείας A. L. [8] οὐδὲ A. C. L. [9] δενηθείημεν A. C. L. [10] μὲν A. L. [11] ἀναγκάσαιμεν A. C. L. [12] καιροῖς om. A. C. L. [13] ἐν τοῖς A. C. L. [14] ἐπιλείποι A. L. [15] ἡμετέρας A. C. L. [16] αὖ A. L. [17] πᾶσι om. A. C. L. [18] ἀνδρῶν A. C. L. [19] θέλοντι A. L. [20] ποιησώμεθα A. C. L. [21] ῥᾳδίως om. A. C. L. [22] ἐπικρατεῖς ταύτης A. C. L.

Δυσχωρίας] Significat Lacedæmonios versaturos in locis impeditis, arduis et præruptis, ubi ab hostibus oppugnari facile non possint. Wolf.

Ἐν τοῖς ἡμετέροις καιροῖς] *quando nostra utilitas postulabit.* Auger.

Ἐπίλιποι δ' ἂν] Ἴσως· ἐπίλιποι δ' ἄν με. ὡς ἡρμήνευσεν ὁ Ἰταλὸς μεταφραστὴς, non mi basterà tutto oggi, καὶ ὡς αὐτὸς Ἰσοκράτης εἴρηκεν ἐν Συμμαχικ. ιζ'. Cor.

Ἐπιχειρήσαιμεν] Ἴσως· ἐπιχειρήσαιμι. Idem.

Ἢν οὖν εἰλικρινὲς κ. τ. λ.] Ὁ νοῦς· Τούτῳ διαφέρομεν τῶν ἄλλων Ἑλλήνων, ὅτι ἡ παρ' ἡμῖν πολιτεία ὡμοίωτο στρατοπέδῳ, τουτέστιν ἐμιμεῖτο, καὶ εἰρήνης οὔσης, στρατόπεδον καλῶς διοικούμενον. ἐὰν οὖν νῦν πολεμούμενοι ποιήσωμεν εἰλικρινῶς καὶ ἀληθῶς τοῦτο, οὗ ἡ μίμησις ἐν τοῖς πρόσθεν χρόνοις ἡμᾶς ὠφέλησε καὶ προέχειν τῶν ἄλλων Ἑλλήνων ἐποίησε, δῆλον ὅτι νικήσωμεν τοὺς ἡμῖν πολεμοῦντας. Idem.

νησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγάλων [1] πόλεων
ἐκράτησαν. καλὸν οὖν μιμήσασθαι τοὺς προγόνους, καὶ b
πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας, ἐπειδὴ προσεπταί-
131 καμεν, πειραθῆναι τὰς τιμὰς [2] καὶ τὰς δυναστείας ἀναλα-
βεῖν, ἃς πρότερον ἐτυγχάνομεν ἔχοντες. πάντων δ᾽ ἂν δεινό-
τατον ποιήσαιμεν, εἰ συνειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν
[3] αὑτῶν χώραν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας,
ἡμεῖς μηδὲ ὑπὲρ τῆς ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς c
πόλεως τολμήσαιμεν, ἀλλά, δέον ἡμᾶς [4] παράδειγμα [5] τῶν
τοιούτων ἔργων [6] τοῖς ἄλλοις παρέχειν, μηδὲ [7] μιμήσασθαι
τὰς ἐκείνων πράξεις ἐθελήσαιμεν. ἔτι δὲ [8] τούτου καταγε-
λαστότερον, εἰ Φωκαεῖς μὲν φεύγοντες τὴν βασιλέως τοῦ
μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν εἰς Μασσαλίαν
ἀπῴκησαν, ἡμεῖς δ᾽ εἰς [9] τοσοῦτον μικροψυχίας ἔλθοιμεν
ὥστε τὰ προστάγματα τούτων ὑπομεῖναι, ὧν ἄρχοντες
ἅπαντα τὸν χρόνον διετελέσαμεν.

λϛ΄. Χρὴ δὲ [10] μὴ περὶ τὴν ἡμέραν ταύτην ταῖς ψυχαῖς d
διατρίβειν, ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειοτάτους [11] ἀφ᾽
ἡμῶν αὐτῶν, ἀλλ᾽ [12] ἐπ᾽ ἐκείνους τοὺς χρόνους ἀφορᾶν, ἐν οἷς
περιγενόμενοι τῶν ἐχθρῶν [13] ἀνορθώσομεν τὴν πόλιν, κομιού-
μεθα δὲ τοὺς ἡμετέρους [14] αὐτῶν, ἐπιδειξόμεθα δὲ πᾶσιν ὅτι
νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ [15] παρελθόντα χρό-
νον δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν. ἔχει δ᾽ οὕτως.
ἐγὼ [16] τούτους εἴρηκα τοὺς λόγους, οὐχ ὡς δέον ἡμᾶς ἤδη e
ταῦτα πράττειν οὐδ᾽ ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς
πράγμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προπαρα-
σκευάσαι τὰς γνώμας, ὡς καὶ ταύτας [17] τὰς συμφορὰς καὶ
πολὺ δεινοτέρας τούτων ὑπομενετέον ἡμῖν, πρὶν περὶ Μεσσή-
νης ποιήσασθαι συνθήκας οἵας κελεύουσιν ἡμᾶς. 134

[1] πόλεων om. A. C. L. [2] καὶ τὰς δυναστείας om. A. C. L. [3] αὑτῶν om. A. C. L. [4] παραδείγματα A. C. L. [5] τῶν om. A. C. L. [6] καὶ A. C. L. [7] μιμεῖσθαι A. C. L. [8] τοῦτο A. L. [9] τοῦτο A. C. L. [10] μηδὲ A. C. L. [11] εὐθὺς ἀφ᾽ A. C. L. [12] ἐπ᾽ om. A. C. L. [13] ἐπανορθώσομεν A. C. L. [14] αὐτῶν οἰκείους, A. C. L. [15] παρεληλυθότα A. C. L. [16] γὰρ τούτους A. C. L. [17] καὶ πολὺ τούτων δεινοτέρας συμφορὰς A. C. L.

Συνειδότες Ἀθηναίοις ἐκλιποῦσι] Idem, Latino quidem more, εἰδότες ὅτι οἱ Ἀθηναῖοι τὴν πόλιν ἐξέλιπον. Wolf.

Καταγελαστότερον] Scil. ποιήσαιμεν ἄν.

Φωκαεῖς] Qui urbem Phocæam in Asia habitabant. Vid. Herodot. i. 163. sqq. et Harpocrat. sub v. Μασσαλία.

Ἀπῴκησαν] *in coloniam migraverunt.* Lang.

λζ΄. Οὐχ οὕτω δ᾽ ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς
παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων ἐξ ὧν μὲν ἐγὼ λέγω
καλὴν καὶ βεβαίαν γενησομένην, ἐξ ὧν δ᾽ ἔνιοί [1] τινες συμ-
βουλεύουσιν, [2] οὐ μόνον αἰσχρὰν ἐσομένην, ἀλλ᾽ οὐδὲ χρό-
νον οὐδένα παραμενοῦσαν. [3] ἢν γὰρ [4] παρακατοικισώμεθα
[5] τοὺς Εἵλωτας καὶ τὴν πόλιν ταύτην [6] περιίδωμεν αὐξη-
θεῖσαν, τίς οὐκ οἶδεν, ὅτι πάντα [7] τὸν [8] βίον ἐν ταραχαῖς
καὶ κινδύνοις [9] διατελοῦμεν ὄντες; ὥσθ᾽ οἱ περὶ ἀσφαλείας
b διαλεγόμενοι λελήθασιν αὑτοὺς τὴν μὲν εἰρήνην ὀλίγας
ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ πόλεμον εἰς [10] ἅπαντα τὸν
χρόνον κατασκευάζοντες.

λη΄. Ἡδέως δ᾽ ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴονται 132
χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν; οὐχ ὅταν οἱ πολέ-
μιοι προστάττωσί [11] τι παρὰ τὸ δίκαιον καὶ τῆς χώρας
ἀποτέμνωνται καὶ τοὺς οἰκέτας ἐλευθερῶσι; καὶ [12] τούτους
c μὲν κατοικίζωσιν [13] εἰς ταύτην ἣν ἡμῖν οἱ πατέρες κατέλι-
πον, ἡμᾶς δὲ μὴ μόνον τῶν ὄντων ἀποστερῶσιν, ἀλλὰ [14] καὶ
πρὸς τοῖς ἄλλοις [15] κακοῖς εἰς ὀνείδη καθιστῶσιν; ἐγὼ μὲν
γὰρ ὑπὲρ τούτων οὐ μόνον πόλεμον, ἀλλὰ καὶ φυγὰς καὶ
θανάτους οἴομαι προσήκειν ἡμῖν ὑπομένειν. πολὺ γὰρ κρεῖτ-
τον ἐν ταῖς δόξαις αἷς ἔχομεν τελευτῆσαι τὸν βίον μᾶλλον,
ἢ ζῆν ἐν [16] ταῖς ἀτιμίαις, [17] ἃς ληψόμεθα [18] ποιήσαντες ἃ
προστάττουσιν ἡμῖν. [19] ὅμως δ᾽ εἰ δεῖ μηδὲν ὑποστειλάμενον
d εἰπεῖν, [20] αἱρετώτερον ἡμῖν [21] ἐστὶν [22] ἀναστάτοις γενέσθαι
μᾶλλον ἢ [23] καταγελάστοις ὑπὸ τῶν ἐχθρῶν. τοὺς γὰρ ἐν
ἀξιώμασι καὶ φρονήμασι [24] τηλικούτοις βεβιωκότας δυοῖν
δεῖ θάτερον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν
[25] ἀνῃρῆσθαι μηδὲν ταπεινὸν διαπραξαμένους, [26] ἀλλὰ κα-
λὴν τὴν τελευτὴν τοῦ βίου ποιησαμένους.

[1] τινες om. A. C. L. [2] οὐ μόνον om. A. C. L. [3] ἐὰν A. C. L. [4] παροικήσωμεν A. C. L. [5] τοὺς Εἵλωτας καὶ τὴν πόλιν om. A. C. L. [6] περιίδωμεν om. A. C. L. [7] τὸν πάντα A. C. L. [8] χρόνον A. L. [9] διατελέσομεν A. C. L. [10] πάντα A. C. L. [11] τι om. A. C. L. [12] τοὺς A. C. L. [13] εἰς ταύτην κατάγωσιν A. C. L. [14] καὶ om. A. C. L. [15] καὶ A. C. L. [16] πάσαις A. C. L. [17] ἃς ληψόμεθα om. A. C. L. [18] ποιήσαντας A. C. L. [19] εἰ δὲ A. C. L. [20] τὸ φαινόμενον αἱρετώτερον A. C. L. [21] ἐστὶν om. A. C. L. [22] ἀναστάτους A. C. L. [23] καταγελάστους A. C. L. [24] τοιούτοις A. C. L. [25] ἀναιρεῖσθαι A. C. L. [26] ἀλλὰ - - - - - ποιησαμένους om. A. C. L.

Ὀλίγας ἡμέρας] Ἀντὶ τοῦ, ἐν ὀλίγαις ἡμέραις, τῶν Ἀττικῶν εἶναί φησιν ὁ Πρισκιανὸς Βιβ. λ. ΙΗ. 1191. Cor.

Τῆς χώρας ἀποτέμνωνται] Τὸ πλῆρες· Ἀπὸ τῆς χώρας μέρος τέμνωσιν ἑαυτοῖς. Idem.

λθ΄. Ἃ χρὴ [1]διαλογισαμένους μὴ φιλοψυχεῖν, μηδ᾽
ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις ὧν ἡγεῖσθαι e
πρότερον ἠξιοῦμεν, ἀλλ᾽ αὐτοὺς σκεψαμένους ἑλέσθαι μὴ
[2]τὸ τούτοις ῥᾷστον, ἀλλ᾽ ὃ πρέπον ἔσται τῇ Λακεδαίμονι καὶ
τοῖς πεπραγμένοις ἡμῖν. περὶ γὰρ τῶν αὐτῶν οὐχ ὁμοίως
ἅπασι βουλευτέον, ἀλλ᾽ ὡς ἂν ἐξ ἀρχῆς ἕκαστοι [3]τοῦ βίου
ποιήσωνται [4]τὴν ὑπόθεσιν. Ἐπιδαυρίοις μὲν [5]γὰρ καὶ
Φλιασίοις καὶ Κορινθίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς 135
ἄλλου φροντίζοιεν ἢ τοῦ διαγενέσθαι καὶ περιποιῆσαι σφᾶς
αὐτούς· Λακεδαιμονίους δ᾽ οὐχ οἷόν τ᾽ ἐστὶν ἐκ παντὸς
τρόπου ζητεῖν τὴν σωτηρίαν, ἀλλ᾽ ἂν μὴ [6]προσῇ τὸ καλῶς
[7]τῷ σώζεσθαι, θάνατον ἡμῖν αἱρετέον ἐστί. τοῖς γὰρ [8]ἀρε-
τῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον, ὡς ὑπὲρ
τοῦ μηδὲν αἰσχρὸν πράττοντας φανῆναι. εἰσὶ δ᾽ [9]αἱ τῶν
πόλεων κακίαι καταφανεῖς οὐχ ἧττον ἐν τοῖς τοιούτοις b
βουλεύμασιν ἢ τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. τῶν μὲν γὰρ
ἐκεῖ γιγνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι, [10]τὸ
δ᾽ ἐνθάδε [11]γνωσθὲν αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν. ὥσθ᾽
133 ὁμοίως ἡμῖν φιλονεικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε [12]ψηφι-
σθησομένων, ὥσπερ ὑπὲρ τῶν ἐν τοῖς [13]ὅπλοις ἀγώνων.

μ΄. Θαυμάζω δὲ τῶν ὑπὲρ [14]μὲν τῆς ἰδίας [15]δόξης ἀπο-
θνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώ-
μην ἐχόντων· ὑπὲρ ἧς ὁτιοῦν πάσχειν ἄξιον, [16]ὥστε μὴ c
καταισχῦναι τὴν πόλιν, μηδὲ περιιδεῖν [17]τὴν τάξιν λιποῦσαν,
εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. πολλῶν δὲ πραγμά-
των καὶ δεινῶν ἡμῖν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο
μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα
διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ
τὸ δίκαιον. αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέν-
τας ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας, καὶ τοσοῦτον
ἀπολειφθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν ὑπὲρ τοῦ τοῖς
ἄλλοις ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δ᾽ ὑπὲρ τοῦ
μὴ ποιεῖν τὸ [18]κελευόμενον μὴ τολμᾶν [19]διακινδυνεύειν. d

[1] λογιζομένους A. C. L. [2] ὃ A. C. L. [3] τοῦ βίου om. A. C. L.
[4] τούτου τὴν A. C. L. [5] οὖν A. C. L. [6] ᾖ πρὸς τῷ καλῷ A. [7] τῷ om. A. C. L.
[8] περὶ ἀρετῆς A. C. L. [9] αἱ om. A. C. L. [10] τῶν C. L.
[11] γνωσθέντων C. L. [12] ψηφιζομένων, ὡς A. C. L. [13] πολέμοις A. C. L.
[14] μὲν om. A. C. L. [15] χώρας A. C. L. [16] καὶ μὴ καταισχύνειν A. C. L.
[17] αὐτὴν ἐκλείπουσαν τὴν τάξιν A. C. L.
[18] προσταττόμενον A. C. L. [19] κινδυνεύειν A. C. L.

μα΄. Ἄξιον δὲ καὶ τὴν [1]Ὀλυμπιάδα καὶ τὰς ἄλλας
αἰσχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος
ἦν καὶ θαυμαστότερος τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι
e τὰς νίκας ἀναιρουμένων. εἰς ἃς [2]τίς ἂν ἐλθεῖν τολμήσειεν,
ἀντὶ μὲν τοῦ τιμᾶσθαι [3]καταφρονηθησόμενος, ἀντὶ δὲ τοῦ
[4]περίστατος ὑπὸ πάντων δι᾽ ἀρετὴν εἶναι [5]περίβλεπτος
136 ὑπὸ τῶν αὐτῶν ἐπὶ κακίᾳ [6]γενησόμενος, ἔτι δὲ πρὸς τού-
τοις [7]ὀψόμενος μὲν τοὺς οἰκέτας [8]ἀπὸ τῆς χώρας [9]ἧς οἱ
πατέρες ἡμῖν κατέλιπον ἀπαρχὰς καὶ θυσίας μείζους
ἡμῶν ποιουμένους, [10]ἀκουσόμενος δ᾽ αὐτῶν τοιαύταις βλασ-
φημίαις χρωμένων, οἵαις περ εἰκὸς τοὺς χαλεπώτερον μὲν
τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας
τοῖς δεσπόταις πεποιημένους· ἐφ᾽ αἷς [11]ἕκαστος ἡμῶν οὕτως
[12]ἂν ἀλγήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ [13]λόγου δηλώ-
b σειεν. ὑπὲρ ὧν χρὴ βουλεύεσθαι, καὶ μὴ τότ᾽ ἀγανακτεῖν
ὅτ᾽ οὐδὲν ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν σκοπεῖν ὅπως μηδὲν
συμβήσεται [14]τοιοῦτον. ὡς ἔστιν ἓν τῶν αἰσχρῶν πρότερον
μὲν μηδὲ [15]τῆς τῶν ἐλευθέρων ἰσηγορίας [16]ἀνέχεσθαι, νῦν δὲ
καὶ τὴν τῶν δούλων παῤῥησίαν ὑπομένοντας φαίνεσθαι. δό- 134
ξομεν γὰρ τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν
μὲν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δὲ αὐθαδείαις καὶ
c ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς ἀλλὰ πεπλασμέναις κεχρῆ-
σθαι. μηδὲν οὖν ἐνδῶμεν [17]τοιοῦτον τοῖς εἰθισμένοις ἡμᾶς
κακολογεῖν, ἀλλὰ τοὺς [18]λόγους [19]αὐτῶν ἐξελέγξαι πειρα-
θῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προγόνων ἔργοις.

μβ΄. Ἀναμνήσθητε δὲ τῶν [20]ἐν Διπαίᾳ πρὸς Ἀρκάδας
ἀγωνισαμένων, οὕς φασιν ἐπὶ μιᾶς ἀσπίδος παραταξαμέ-

[1] Ὀλυμπίαν A. C. L. [2] τίνας ἂν τολμήσειν ἡμῶν οἴεσθε ἐλθεῖν A. C. L. [3] καταφρονηθησομένους A. C. L. [4] περιόπτους A. L. περιστάτους C. [5] περιβλέπτους A. C. L. [6] γενησομένους A. C. L. [7] ὀψομένους A. C. L. [8] ἐκ A. C. L. [9] ἣν A. C. L. [10] ἀκουσομένους A. C. L. [11] ἕκαστον A. L. [12] ἀναγκάσειαν A. L. ἂν ἀγανακτήσειεν C. [13] λόγων δηλῶσαι A. C. L. [14] τοιοῦτο A. C. L. [15] τὰς A. C. L. [16] ἀνασχέσθαι A. C. L. [17] τοιοῦτον om. A. C. L. [18] μὲν λόγους A. C. L. [19] αὐτῶν om. A. C. L. [20] προγόνων τῶν πρὸς τοὺς Ἀρκάδας ἠγωνισμένων A. C. L.

Ἐφ᾽ αἷς] Scil. συνθήκαις. Sic enim malo quam ἐφ᾽ αἷς βλασφημίαις. Significat, opinor: Si quis Lacedæmonius vicinum habuerit Messenium, cui aliquid eripere videatur, Messenios statim pacta et conventa objecturos. Wolf.

Ὅμοιοι — ἔργοις] Ἀντὶ τοῦ, ὅμοιοι γενόμενοι τοῖς προγόνοις, ἤ, ὅμοια ἐργασάμενοι τοῖς τῶν προγόνων ἔργοις. Περὶ τῆς Ἀντιδ. κθ΄. Ὁμοίους γενέσθαι ταῖς αἰτίαις κ. τ. λ. Cor.

Ἐπὶ μιᾶς ἀσπίδος] Quid fuerit apud Græcos prorsus ignoro: sed hic patet hanc fuisse oratoris mentem, ut diceret

νους τρόπαιον στῆσαι πολλῶν μυριάδων, καὶ τῶν τριακοσίων d
τῶν ἐν [1] Θυρέαις ἅπαντας Ἀργείους μάχῃ νικησάντων, καὶ
τῶν χιλίων τῶν εἰς Θερμοπύλας ἀπαντησάντων, οἳ πρὸς
ἑβδομήκοντα μυριάδας τῶν βαρβάρων συμβαλόντες οὐκ
ἔφυγον οὐδ᾽ ἡττήθησαν, ἀλλ᾽ ἐνταῦθα τὸν βίον ἐτελεύτησαν
οὗ [2] περ ἐτάχθησαν, τοιούτους σφᾶς αὐτοὺς παρασχόντες,
ὥστε τοὺς μετὰ τέχνης ἐγκωμιάζοντας μὴ δύνασθαι τοὺς
ἐπαίνους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς. ἁπάντων οὖν τού-
των [3] ἀναμνησθέντες ἐῤῥωμενέστερον ἀντιλαβώμεθα τοῦ e
[4] πολέμου, καὶ μὴ περιμείνωμεν ὡς ἄλλων τινῶν τὰς παρ-
ούσας ἀτυχίας ἰασομένων, ἀλλ᾽ ἐπειδήπερ ἐφ᾽ ἡμῶν γεγόνα-
σιν, ἡμεῖς αὐτὰς [5] καὶ διαλῦσαι πειραθῶμεν. χρὴ [6] δὲ τοὺς 137
ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοιούτοις καιροῖς φαίνεσθαι
διαφέροντας· αἱ μὲν γὰρ εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν
ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι
ταχέως καταφανεῖς ποιοῦσιν [7] ὁποῖοί τινες ἕκαστοι τυγχά-
νουσιν ὄντες· ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστὶν, [8] εἴ τι τῶν ἄλλων
ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.

μγ΄. Ἔστι δ᾽ οὐδὲν ἀνέλπιστον ἐκ τῶν [9] νῦν παρόντων b
συμβῆναί τι τῶν [10] δεόντων ἡμῖν. οἶμαι γὰρ ὑμᾶς οὐκ
ἀγνοεῖν, ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦτα γεγόνασιν, ἃς ἐν
ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφορὰς καὶ τοῖς παθοῦσι
συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν
μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. καὶ τί δεῖ τὰ πόῤῥω
λέγειν; ἀλλὰ [11] καὶ νῦν τὰς πόλεις τὰς [12] γε πρωτευούσας,
λέγω [13] δὲ τὴν Ἀθηναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ c
135 τῆς εἰρήνης μεγάλην ἐπίδοσιν [14] λαβούσας, ἀλλ᾽ ἐξ ὧν [15] ἐν

[1] Θυρεαῖς A. C. L. [2] περ om. A. C. L. [3] μνησθέντες ἐῤῥωμένως A. C. L. [4] πολεμεῖν A. C. L. [5] καὶ om. A. C. L. [6] γὰρ A. C. L. [7] οἷοί περ ἕκ. A. C. L. [8] ὅτι A. C. L. [9] νυνὶ A. C. L. [10] μὴ παρόντων A. C. L. [11] καὶ om. A. C. L. [12] γε om. A. C. L. [13] δὴ A. C. L. [14] λαμβανούσας A. C. L. [15] ἐν om. A. L.

Lacedæmonios fuisse perquam paucos, et ita paucos ut sub una aspide, si ita loqui fas est, occultari potuissent. Sic dicimus Gallice *une poignée de soldats*. AUGER. Male. *acie simplici*. Nostri: *einen mann hoch*. Græci: *einen schild hoch*. Vid. Xenoph. Hell. i. 6, 22. vi. 5, 19. 4, 12. LANG. Οὕτως ὀλίγους, ὡς ἑνὶ στίχῳ πάντας ἐπὶ μετώπου προάγειν, οὐκ ἔχοντας βάθος. COR.

Θυρεαῖς] Vid. Duker. ad Thucyd. iv. p. 270. LANG. Historia exstat apud Herodot. i. 82. et Pausan. Corinth. c. 38.

Συμβῆναι] Ἀντὶ τοῦ συμβήσεσθαι. WOLF.

Τὰ πόῤῥω] Τὰ παλαιά. COR.

Ἐξ ὧν] H. l. interpretor *ex quo tempore*, ita ut respondeat p. 321. 1. ἐκ δὲ τούτων. Verte: *ex quo calamitatibus belli se roborarant*. δὲ, inquam. LANG.

τῷ πολέμῳ [1] προδυστυχήσασαι πάλιν ἀνέλαβον αὐτὰς, ἐκ δὲ τούτων τὴν μὲν ἡγεμόνα [2] τῶν Ἑλλήνων καταστᾶσαν, τὴν δ' ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην ὅσην οὐδεὶς πώποτ' [3] ἔσεσθαι προσεδόκησεν. αἱ γὰρ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ' ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσιν. ὧν ἡμᾶς ὀρέγεσθαι προσήκει, μήτε
d τῶν σωμάτων μήτε τῆς ψυχῆς μήτε τῶν ἄλλων ὧν ἔχομεν μηδενὸς φειδομένους. [4] ἢν γὰρ κατορθώσωμεν καὶ τὴν πόλιν εἰς ταὐτὸ καταστῆσαι δυνηθῶμεν, ἐξ ὧνπερ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων μᾶλλον [5] θαυμασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας ὑπολείψομεν, ἀλλὰ καὶ τοὺς βουλομένους ἡμᾶς [6] εὐλογεῖν ἀπορεῖν ποιήσομεν, [7] ὅ τι τῶν πεπραγμένων ἡμῖν [8] ἄξιον ἐροῦσι.
e δεῖ δὲ [9] μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλλόγῳ τούτῳ καὶ τοῖς γνωσθησομένοις ὑφ' ὑμῶν [10] προσέχουσι τὸν νοῦν. ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν Ἑλλήνων διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὑτοῦ φύσεως οὕτω διακείσθω τὴν γνώμην.

138 μδ'. Ἔστι δ' ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι περὶ τούτων. [11] ἢν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῇν· εἰ δὲ [12] φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. παρακαλέσαντες οὖν ἀλλήλους ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα
b καὶ καταφρονηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος [13] φανῶμεν ποιούμενοι τὸ ζῇν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν, ἐνθυμηθέντες ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυχῆς ἧς [14] οὐχ ἕξομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην εὔκλειαν ἣ πάντα

[1] δυστυχήσασαι A. C. L. [2] τῶν Ἑλλήνων om. A. C. L. [3] ἔσεσθαι πώποτε A. C. L. [4] ἐὰν A. C. L. [5] ἐγκωμιασθησόμεθα A. C. L. [6] εὐλογεῖν ἡμᾶς A. C. L. [7] τί A. C. L. [8] ἀξίως A. C. L. [9] μὴ A. L. [10] προσέξουσι A. C. L. [11] ἐὰν A. C. L. [12] φοβηθησόμεθα A. C. L. [13] ποιούμενοι τὸ ζῇν προδόται φανῶμεν A. C. L. [14] οὐκ εὐπορήσομεν A. C. L.

Ἐξ ὧνπερ] Hic nota, licet εἰς ταὐτὸ præcesserit. Quod quidem non est juxta grammaticæ regulas, sed spiritui eloquentiæ non adversatur. Auger.

Ψυχῆς ἧς οὐχ ἕξομεν ὀλίγων ἐτῶν] Ζωῆς ἧς μετ' ὀλίγα ἔτη στερηθησόμεθα. Cor.

τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν [1] γενομένοις παραμενεῖ, πολὺ [2] μᾶλ- c
λον ἢ μικροῦ χρόνου [3] γλιχομένους μεγάλαις αἰσχύναις ἡμᾶς
136 αὐτοὺς περιβαλεῖν. ἡγοῦμαι δ' ἂν ὑμᾶς οὕτω μάλιστα πα-
ροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις ὥσπερ παρε-
στῶτας ἴδοιτε τοὺς γονέας καὶ τοὺς παῖδας τοὺς ὑμετέ-
ρους [4] αὐτῶν, τοὺς μὲν παρακελευομένους μὴ καταισχῦναι
τὸ τῆς Σπάρτης ὄνομα μηδὲ τοὺς νόμους ἐν οἷς ἐπαιδεύ- d
θημεν μηδὲ τὰς μάχας τὰς ἐφ' αὐτῶν γενομένας, τοὺς δ'
ἀπαιτοῦντας τὴν χώραν ἣν οἱ πρόγονοι κατέλιπον, καὶ
[5] τὴν δυναστείαν [6] τὴν ἐν τοῖς Ἕλλησι, καὶ τὴν ἡγεμονίαν
ἥνπερ αὐτοὶ παρὰ τῶν πατέρων παρελάβομεν· πρὸς οὓς
οὐκ ἂν ἔχοιμεν εἰπεῖν ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι
λέγοντες.

με'. Οὐκ οἶδ' ὅτι δεῖ μακρολογεῖν, πλὴν τοσοῦτον, ὡς
[7] πλείστων τῇ πόλει [8] ταύτῃ πολέμων καὶ κινδύνων γεγε-
νημένων οὐδεπώποθ' οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν
ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας. ἔστι δὲ e
νοῦν ἐχόντων ἀνδρῶν, οἷσπερ [9] ἂν ἐν ταῖς μάχαις ἡγεμόσι
χρώμενοι [10] κατορθῶσι, τούτοις καὶ περὶ τῶν μελλόντων κιν-
δύνων συμβουλεύουσι μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι.

[1] γιγνομένοις A. C. L.
[2] γὰρ μᾶλλον κρεῖττον μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι ἢ A. C. L.
[3] γλιχομένους om. A. C. L. [4] αὐτῶν om. A. C. L. [5] τὴν om. L. [6] τῶν L.
[7] πολλῶν A. C. L. [8] ταύτῃ om. A. C. L. [9] ἂν om. A. C. L.
[10] κατορθοῦσι A. C. L.

Τοὺς μὲν] Τοὺς γονέας. Idem.

Τοὺς δ'] Τοὺς παῖδας. Idem.

Ἀμφότεροι] Intellige παῖδες καὶ πατέρες. Lang.

Ἐκ τῆς οἰκίας τῆς ἡμετέρας] Heraclidæ fuerunt Spartani reges, et plerumque bini eodem tempore, sed e diversis familiis: quarum altera ab Eurysthene, altera a Procle, gemellis fratribus propagata erat. Archidamus autem ad Proclem ortum suum refert; eamque familiam tanquam perpetuo victricem commendat. Wolf.

BERGMANI
AD AREOPAGITICUM
PRÆFATIO.

ANTEQUAM ad Orationem Isocrateam perpetua annotatione illustrandam accedamus, operæ pretium duximus pauca quædam de ea universe præfari, quo facilior ad ejus intelligentiam aditus pateat.

Primum de Titulo operis dicendum. Inscribitur hæc oratio Ἀρειοπαγιτικὸς, scilicet λόγος. Sic certe legitur in Editione Wolfiana majori et minori, et apud reliquos Wolfium ætate consecutos Editores, Stephanum, Battieum, Augerium, Langium, Coraem. Sed Veteres multi, neglecta diphthongo, scripserunt Ἀρεοπαγιτικός. Hoc habent primum Editiones Mediolanensis, Aldina, Isingriniana: deinde Codex Lugduno-Batavus: denique scriptores veteres, Dionysius Halicarnassensis duobus locis, quibus de hac oratione agit, περὶ συνθ. ὀνομ. p. 27. 8. et in Vita Isocratis p. 97. 6. Harpocration in διεσκαριφησάμεθα, ἐπιθέτους ἑορτὰς, ὅσιον, συγγραφεῖς. Etymologus in ἐπιθέτους ἑορτάς. Grammaticus περὶ συντάξεως a Bekkero editus in Anecd. Gr. Vol. I, p. 125. in Ἀμύνω καὶ ἐπαμύνω, et in Ἀπορῶ. Photius Cod. CLVIII. cujus verba retulit Coraes inter testimonia veterum de Isocrate. Pseudo-Plutarchus in Vita Isocratis p. 838. B. Quæritur quæ sit verior scriptura. Quod si auctoritatibus certandum est, sane illi hæc anteponenda videtur: sed videndum quid cum Linguæ Analogia, quid cum usu veterum conveniat. Quod ad hunc attinet, Areopagi tribunal a Græcis frequentissime dici τὴν ἐξ Ἀρείου πάγου βουλὴν, vel et τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴν, ducta appellatione a loco quodam Athenis, qui Ἄρειος πάγος, hoc est, *Martis collis* diceretur, non est quod dedita opera ostendamus. Cf. modo §. ιζ′. Plutarchus in Sol. p. 88. D. E. Dicitur etiam Ἄρειος πάγος. Vid. §. ιε′. (quanquam ibi fortasse de ipso *Martis colle* appellatio adhibetur, potius quam de Senatorum concilio) Panath. p. 265. B. ed. H. Stephan. Plutarch. p. 88. F. Aristoteles Rhet. l. 1. 3. Aristides Panath. p. 15. E. Usquamne, duabus vocibus in unam conflatis, dicatur Ἀρειόπαγος vel et Ἀρεόπαγος, ignoro. Sed apud Græcos certe illud frequens non est; nam Latini scriptores constanter *Areopagum*, *consilium Areopagi* ap-

pellant. Vid. Cicero de Nat. Deor. II. 29. de Div. I. 25. ad Att. V. 11. quibus tamen locis Ernestus edidit *Ariopagus*, uti et apud Senecam de Tranq. An. C. 3. in f. *Ariopagos* legitur. Juvenalis et Ovidius Græcam rationem secuti appellant, ille Sat. IX. 101. "curiam Martis," hic Met. V. 70. "scopulum Mavortis." Quidquid vero ejus rei sit, ab ista appellatione Ἄρειος πάγος ducitur Judicum sive Senatorum appellatio Ἀρειοπαγῖται. Plutarch. p. 88. E. Sed frequentioris usus videtur, neglecta diphthongo, Ἀρεοπαγῖται. Plutarch. p. 89. A. T. II. p. 384. B. Hyperides apud Athenæum XIII. p. 566. laudandus §. ιη'. Lucianus de Gymnas. T. I. p. 742 et 743. Ed. Bas. Dinarchus contra Demosth. §. θ'. etiam Lucas Act. XVII. 34. Hinc Latinum *Areopagitæ*. Cicero de Off. I. 32. Phil. V. 5. Balb. 12. item de Div. I. 25. ubi tamen Ed. Ern. habet *Ariopagita:* ad Div. XIII. 1. Quinctilianus V. 9. Gellius XII. 7. Macrobius Saturn. VII. 1. Unde formatum adjectivum *Areopagiticus* habet Sidonius Apollinaris IX. Ep. 9. Ut videatur apud Græcos usurpatum fuisse Ἀρεοπαγιτικὸς (quæ et Orationis Lysiacæ VI. inscriptio est, non autem Ἀρειοπαγιτικὸς), itidem ductum a nomine substantivo Ἀρεοπαγίτης. Quod, nisi præstet totam varietatem librariis tribuere, ex Linguæ analogia forte ita explicari potest, ut ortum dicas non e conjunctione adjectivi Ἄρειος cum nomine substantivo πάγος, h. e. *collis Martius;* sed ab Ἄρεος, Genitivo nominis Ἄρης, et πάγος, ut sit Ἄρεος πάγος, *collis Martis*, contracte Ἀρεόπαγος, quemodmodum a Genitivo nominis Pelops ducitur Πελοπόννησος pro Πέλοπος νῆσος: ab Ἀρεόπαγος autem, etsi non videatur in usu fuisse, ducatur Ἀρεοπαγίτης. Accedit fortasse Latinorum, etsi non constans, consuetudo diphthongum εἰ in *i* mutandi, ut si Græce nunquam aliter scriptum fuisset, quam Ἀρειόπαγος, Ἀρειοπαγίτης, illi potius scripturi fuisse videantur *Ariopagus, Ariopagita, Ariopagiticus.* Sed et hic libri variant. Certe cum Ἀρεοπαγιτικὸς in Inscriptione Isocratei operis, Grammaticorum, aliorum Scriptorum, Codicis unius (et fortasse plurium, nam de ista varietate nemo, quod sciam eorum, qui eos contulerunt, quidquam annotavit), postremo Editionum principum auctoritate nitatur; sic statuo, eam scribendi rationem non plane spernendam, sed ulteriore examine dignam esse. Maluimus tamen vulgo recepto Ἀρειοπαγιτικὸς suum locum relinquere.

Quæriter insuper, qua de causa ita inscribatur Oratio. Nihil hac de re Veteres. Vulgo existimatur eam ita dictam esse, quod ab Isocrate in Areopago habita fuerit. Vid. Wolfii argumentum in fine, qui præterea in Annotatione ait eam Latine dici posse *Senatoriam* sive *Censoriam*, sive de *Corrigenda et Ordinanda Republica.* Potius simpliciter vertatur *Oratio Areopagitica*, vel et *Areopagiticus.* Aliter H. Stephanus in Diatribe Isocratea III. qua agitur de di-

versis titulis seu inscriptionibus quarumdam Orationum, censet fieri etiam posse (suo quidem judicio) ut a dignitate et præstantia nomen hoc consecuta sit: tanquam digna quæ vel in medio Areopago haberetur. Oblocutus quoque est vulgari sententiæ Auctor Gallicus Vitarum veterum Oratorum Græcorum,[1] T. I. p. 88. qui putat ita inscriptam esse hanc orationem ob magnificam Areopagi, quæ in ea legitur, laudationem; neque enim, si eam habuisset Isocrates coram Areopago, eum de hujus, quæ erat sua ætate, conditione, tanta fiducia et acerbitate dicturum fuisse, quantæ v. gr. §. ιε΄. apparent. Mihi quidem neque Stephani neque hujus ratio placet: neque enim Areopagi laudes præcipuum argumentum operis faciunt. Sed ne vulgaris quidem sive Wolfii sententia stare potest, si quidem vere referat Pseudo-Plutarchus in Vita Isocr. p. 837. A. Isocratem tenui voce præditum et in dicendo timidum, ***unam tantum habuisse orationem de Permutatione*** (cf. et p. 838. A.), sed schola instituta, Panegyricum et alias quasdam orationes generis deliberativi (*τῶν συμβουλευτικῶν*) partim ipsum qui scripserat recitavisse (nimirum in schola, coram paucis auditoribus, coll. p. 838. D.), partim aliis recitandas tradidisse. Hujus autem orationis mentionem cum Laudationis Helenæ mentione conjunxit, nihil aliud dicens quam hoc p. 838. B. *ἐποίησε δὲ καὶ εἰς Ἑλένην ἐγκώμιον καὶ Ἀρεοπαγιτικόν.* Cur isti auctori fides denegetur causa nulla est, quandoquidem ejus testimonium ipse Isocrates comprobat in Exordio Panathenaici. Ergo falsum est orationem hanc habuisse Isocratem, falsum etiam eam coram Areopagi Senatu habitam esse. Et tamen nulla satis probabilis ratio inscriptionis afferri potest, si ea non habita est in Areopago. Quamobrem ego quidem sic existimem, dictam eam esse Areopagiticam, quia fingebatur habita esse in Areopago, sive quod eodem redit, quia ab Isocrate ad Areopagitas missa est. Nihil, fateor, certi hac de re novimus: sed maxime probabilia sequimur. Neque, si ita statuas, quidquam valet, quod a Scriptore Gallico opponi vidimus, Isocratem audacius, quam par esset, Areopagitas

[1] Liber, anno 1752. Lutetiæ Parisiorum, non addito auctoris nomine, forma octava editus, inscribitur: *Vies des Anciens Orateurs Grecs avec des Reflexions sur leur Eloquence, des Notices de leurs Ecrits, et des Traductions de quelques uns de leurs Discours.* Duos Operis Tomos possideo, quorum altero de Isocrate, altero de Dione Chrysostomo agitur. Utrum plures prodierint ignoro: certe consilium Operis hisce duabus tractationibus minime absolutum est. Prior autem ille complectitur primum *Vitam Isocratis*, deinde *Observationes de ejus Eloquentia*, tum *Dissertationem de Operibus ejus*, addita eorum Tabula Chronologica, porro *Disputationem de historia Athenarum ad illustrandas Orationes Isocratis in primis Panegyricum*, postremo *Interpretationem Gallicam* nonnullarum orationum, *Nicoclis*, *Panegyrici*, *Laudationis Evagoræ*, *Amartyri adversus Euthynum.* Opus non indoctum, nec ineleganter scriptum, quod etiam post *Wolfium* in Ed. Isocr. *Fabricium* in Bibl. Græca cum fructu legi potest, et multa continet, nisi vera, certe vero quam simillima, dignaque, quæ diligentius perpendantur, maxime in ea parte ubi de Operibus Isocratis agitur.

reprehendisse. Aliud enim est dicere, aliud scribere. Quæ dicere forte erubuisset, commode scribere potuit; quæ auribus forte ingrata fuissent, prudenti lectori displicere non poterant: neque Areopagi erat, æquissimi judicii, in Isocratem vera prædicantem ira commoveri. Neque alia ratio videtur, ob quam Lysiæ quoque illa Oratio Areopagitica dicatur, quam quod coram Areopagi Judicibus habita fuerit, in primis cum causa esset ad religionem pertinens (continetur enim ea ὑπὲρ τοῦ σηκοῦ ἀπολογία, *de sacræ olivæ trunco*, uti vertit interpres Latinus), quales Areopagus dijudicare solebat. Vid. Harpocr. in ἐπιθέτους ἑορτάς. Parum autem refert utrum dicas de oratione aliqua eam esse esse habitam, an habitam fingi tantum.

Sequitur ut de Orationis Argumento ejusque tractandi ratione dicamus. Qua de causa ad dicendum accesserit Orator, jam inde ab initio declaravit cum diceret sese περὶ σωτηρίας τὴν πρόσοδον ποιήσασθαι, quod, ut haud male Wolfius monuit, idem valet ac si Latine dicas, de eo dicere *providendum esse ne quid respublica detrimenti capiat*, uti et docent sequentia. Quo autem consilio (ἥντινα γνώμην ἔχων), cum res Atheniensium satis prosperæ viderentur, de eo providendum esse censeret, docent hæc ex ultimo Capite: ἡγούμενος μὲν οὖν ἐγὼ, ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων (*odio Græcorum, contemptu barbarorum, paupertate* cæt. quæ Capitibus duobus præcedentibus enumeraverat) ἀπαλλαγήσεσθαι, καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην καὶ τοὺς λόγους εἴρηκα τούτους. Hoc ergo sibi vult, ut ad majorum imitationem Athenienses adhortetur, atque hoc consilio laudandam sibi sumpsit eam reipubl. administrandæ rationem, qua usi majores optime rem gesserant, et in qua sola civitatis salus posita erat. Docent id quæ §. ε'. in f. et ϛ'. leguntur: ὑπὲρ ἧς (πολιτείας ὑπὸ τῶν προγόνων καταλειφθείσης) ἐγὼ καὶ τὸν λόγον μέλλω ποιεῖσθαι καὶ τὴν πρόσοδον ἀπεγραψάμην. εὑρίσκω γὰρ ταύτην ἂν μόνην γενομένην, καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν καὶ τῶν παρόντων κακῶν ἀπαλλαγὴν, ἢν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ δημοτικώτατος γενόμενος ἐνομοθέτησε, Κλεισθένης δὲ, ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγὼν, πάλιν ἐξ ἀρχῆς κατέστησεν. Illam ergo Reipubl. formam primum a Solone constitutam, deinde, sopita Pisistratidarum tyrannide, a Clisthene revocatam et magis magisque confirmatam, quæ vero postea, in primis postquam Periclis et Ephialtæ opera Areopagi auctoritas labefactata erat, quod ipse Isocrates significat §. ιθ'., a prudenti rerum omnium administratione, quæ æqua ἀριστοκρατίας ac δημοκρατίας mixtura sive conjunctione efficiebatur, in intolerabilem plebis insanientis dominationem, bonorumque magistratuum inopia in omnis generis tur-

pissimam licentiam, *εἰς ὀχλοκρατίαν καὶ ἀναρχίαν*, ab altera vero parte in paucorum tyrannidem sive *ὀλιγαρχίαν* conversa fuerat (cf Wolfius initio Annot.); illam, inquam, pristinam reip. formam in præsentis perversi et corrupti rerum status locum restituendam esse, summum est dicentis consilium, dicendorumque argumentum. In quo pertractando ita versatur ut utriusque Reip. formæ virtutes, vitia, commoda, incommoda exponat. Summam omnium paucis verbis complexus est Photius l. c. Καὶ ὁ Ἀρεοπαγιτικὸς δὲ, inquit, *τῶν συμβουλευτικῶν ἐστὶ, προτρέπων τοὺς Ἀθηναίους ἐπ' ἀρετὴν, ἐξ ἐπαίνου μὲν τῶν προγεγονότων, καταδρομῆς δὲ τῶν ἔτι τῷ βίῳ περιόντων.* Majore ubertate et orationis elegantia Dionysius Halicarnassensis in Vita Isocratis p. 97. insigni loco, quem plerique Editores argumenti loco Operi Isocrateo præfixerunt, nos huc referre maluimus, censentes Dionysium non adeo argumentum sibi conscribendum sumpsisse, quam præstantiam operis ostendere voluisse, de hac oratione ita disserit: Τίς δὲ τὸν Ἀρεοπαγιτικὸν ἀναγνοὺς λόγον, οὐκ ἂν *γένοιτο κοσμιώτερος; ἢ τίς οὐκ ἂν θαυμάσειε τὴν ἐπιβολὴν τοῦ ῥήτορος; ὃς ἐτόλμησε διαλεχθῆναι περὶ πολιτείας Ἀθηναίοις, ἀξιῶν μεταθέσθαι μὲν τὴν τότε καθεστῶσαν δημοκρατίαν, ὡς μεγάλα βλάπτουσαν τὴν πόλιν, ὑπὲρ ἧς (τῶν) δημαγωγῶν οὐθεὶς ἐπεχείρει λέγειν· θεωρῶν εἰς τοσαύτην αὐτὴν προεληλυθυῖαν ἀκοσμίαν, ὥςτε μηδὲ τοὺς ἄρχοντας ἔτι τῶν ἰδιωτῶν κρατεῖν, ἀλλ' ἕκαστον ὅ, τι καθ' ἡδονὴν αὐτῷ γίνοιτο, καὶ ποιοῦντα καὶ λέγοντα, καὶ τὴν ἄκαιρον παῤῥησίαν δημοτικὴν ἐξουσίαν ὑπὸ πάντων νομιζομένην· ἀνασώσασθαι δὲ τὴν ὑπὸ Σόλωνός τε καὶ* Κλεισθένους *κατασταθεῖσαν πολιτείαν· ἧς τὴν προαίρεσιν καὶ τὰ ἔθη*[1] *διεξιὼν, δεινότερον μὲν ἡγεῖσθαί φησι τοὺς τότε ἀνθρώπους τὸ τοῖς πρεσβυτέροις ἀντειπεῖν, ἢ τὴν τάξιν λύειν· δημοκρατίαν δὲ αὐτοὺς νομίζειν οὐ τὴν ἀκολασίαν, ἀλλὰ τὴν σωφροσύνην· τὸ δὲ ἐλεύθερον οὐκ ἐν τῷ καταφρονεῖν τῶν ἀρχόντων, ἀλλ' ἐν τῷ τὰ κελευόμενα ποιεῖν τίθεσθαι· ἐξουσίαν τε οὐδενὶ τῶν ἀκολάστων ἐπιτρέπειν, ἀλλὰ τοῖς βελτίστοις ἀνατιθέναι τὰς ἀρχὰς, τοιούτους ἔσεσθαι τοὺς ἄλλους ὑπολαμβάνοντας οἷοίπερ ἂν ὦσιν οἱ τὴν πόλιν διοικοῦντες· ἀντὶ δὲ τοῦ τὰς ἰδίας οὐσίας ἐκ τῶν δημοσίων ἐπανορθοῦν, τοὺς ἰδίους πλούτους εἰς τὰ κοινὰ καταχορηγῆσαι· χωρὶς δὲ τούτων, πλείω τὴν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πατέρας τῶν υἱῶν ἀνδρῶν γενομένων, ἢ παίδων ὄντων ἐποιοῦντο· ἐνθυμουμένους ὡς οὐκ ἐξ ἐκείνης τῆς παιδείας,*[2] *ἀλλ' ἐκ ταύτης τῆς σωφροσύνης, μᾶλλον ὠφελεῖται τὸ κοινόν· κρείττονά τε ὑπολαμβάνειν τὰ χρηστὰ ἐπιτηδεύματα τῆς ἀκριβοῦς νομοθεσίας, σκοποῦντας οὐχ ὅπως ταῖς τιμωρίαις τοὺς ἁμαρτάνοντας ἀνείρξουσιν, ἀλλ' ὡς μηδὲν ἄξιον ζημίας ἕκαστον ἐπιτηδεύειν·*[3] *καὶ τὴν μὲν πατρίδα δεῖν οἰομένους*

[1] Reiskius in Ed. Dionys. Hal. T. V. p. 550. dedit ἤθη, quem in hoc loco referendo secutus est Coraes, quem Vid. in Ann. T. II. p. 102.

[2] Langius in Isocratis Edit. p. 215. emendandum censet παιδίας. Cf. Ann. ad locum Isocr. §. ιδ'.

[3] Reiskius T. V. p. 683. emendat ἕκαστος ἐπιτηδεύῃ· Augerius ἕκαστος ἐπιτηδεύσει.

ἐν ἐξουσίᾳ διάγειν μεγάλῃ, τοῖς δ' ἰδιώταις μηδὲν ἐξεῖναι ποιεῖν ὅ, τι ἂν οἱ νόμοι κωλύωσι· καρτερεῖν δὲ τὰ δεινὰ, καὶ μὴ ἐκπλήττεσθαι ταῖς συμφοραῖς.

Hæc ille. Nos pauca adjungamus de argumenti tractandi ratione, sive de ea, quam dispositionem dicunt Rhetores.

verba criminationis speciem habeant, mente tamen differunt, ideoque non malevolus, sed optimus civis vocari mereor. (κϛ'.) Optime, inquam, perspicietis, maris imperium nobis inutile esse, si reipublicæ statum ante acceptam istam potentiam cum præsenti forma contuleritis. (κζ'.) Ante maris imperium populus Atheniensis, ab optimis oratoribus ductus, fortis et laboriosus et temperans fuit, tantaque apud omnes fide gaudebat, ut se ultro traderent, idem vero maris imperio et malignis demagogis pigritiæ, iguaviæ vanæque spei plenus redditus est, tantumque odium sibi peperit, ut parum abesset, quin sociorum consensu urbs nostra exscinderetur. (κη'.) Ne vero patrum nostrorum, imperii tempore rempublicam administrantium, delicta percensendo indignationem vestram nimium moveam, sepositis iis, quæ vobis odiosissima esse possint, ea solummodo commemorabo, e quibus amentiam illorum optime cognoscere possitis. (κθ'.) Pecuniam, quæ ex tributis supererat, populo in theatro distribuerunt, atque occisorum in bello pupillos introduxerunt, scilicet quo sociis facultatum suarum æstimationem et aliis clades ipsorum demonstrarent. Usqueadeo sua neglexerunt et aliena appetiverunt, ut, dum in conspectu suo patria a Lacedæmoniis vastabatur, in Siciliam triremes implerent, Italiamque cum Carthagine expugnare sperarent. Neque tamen calamitatibus correcti sunt. In Ægypto ducentas triremes cum ipsis hominibus, ad Cyprum quinquaginta et centum, in Ponto decem millia armatorum, partim civium, partim sociorum, amiserunt; in Sicilia quadraginta millia virorum cum ducentis et quadraginta triremibus; in Hellesponto denique ducentæ perierunt. Sepulcra publica civibus et civium tabulas exteris implebant, ita ut nobilissimorum virorum generibus amplissimisque familiis sub hoc imperio eversis, permutati et pæne alii facti videamur. (λ'.) Quodsi ea civitas laudanda est, quæ antiquissimas familias studiosius conservat, iique viri æmulandi sunt, qui imperio, quod iis a populo defertur, digni sunt, imitari ac laudari merentur circa Persica bella viventes, qui victu quotidiano non egentes nec abundantes, æquitatem reipublicæ gerendæ suasque virtutes laudi sibi ducentes suavissimam vitam transigebant. Hos autem proxime secuti, non principatum obtinere, sed tyrannidem exercere maluerunt, quorum alterum ab altero longissime distat. Quo factum est, ut, tyrannorum fortuna usi, suas arces suosque liberos hostium potestati permittere cogerentur. (λα'.) Quis vero nostrum est, nisi sit mente captus, omniumque, quæ homini sancta et cara esse solent, prorsus negligens, qui imperii ejusmodi calamitates, mediocris vitæ prosperitati, opesque justitiæ anteponere possit? E quibus omnibus apparet, et nostram terram viros aliis præstantiores alere, et imperium maris omnes, qui illo utuntur, deteriores efficere. (λβ'.) Atque hanc sui ipsius naturam citius etiam in Lacedæmoniis patefecit, quorum constitutionem, per septingentos annos intactam, ita concussit, ut parum abesset, quin funditus interiret. Reddidit enim illos injustos, socordes, iniquos, avaros, sociorum contemptores, alienarum rerum appetentes, jurisjurandi ac fœderum negligentes, bellorumque ita studiosos, ut neque sociis neque maxima sibi tribuentibus parcerent. Exemplo sunt Chii, Thebani rexque Persarum. (λγ'.) Hinc causa malorum Spartæ non in Leuctrica clade, sed in iis quærenda est, quæ istam cladem anteiverunt, quum Lacedæmonii alios vastabant, alios vexabant, respublicas aliorum abrogabant, alios denique bellis ac seditionibus implebant. Hac demum principatus licentia factum est, ut etiam terrestre imperium, cujus bona gubernatione maris illud facile acceperant, celeriter amitterent, neglectis nempe patrum legibus et institutis, nec cogitantes, istam potestatem meretricibus esse similem, quæ amatores alliciunt ac perdunt. (λδ'.) Hanc vero esse nimiæ potentiæ naturam et indolem, et Lacedæmoniorum et nostra simillima exempla docent. Utrique enim simulatque hanc potestatem adepti sumus, omni flagitiorum genere maculati et sociis invisi redditi, alteri alteros ab interitu vindicavimus. (λε'.) Neque vero mirum est, Lacedæmonios et Athenienses de maxima malorum causa armis contendisse, quum plurimorum natura ferat, ut vel in iis rebus, quæ illis præcipue curæ sunt, noxia utilibus anteponant, et hostibus melius quam sibimetipsis consulant. (λϛ'.) Idemque evenire videmus iis, qui in libera civitate potestatem summam, rem et odii et periculi plenissimam, summis viribus appetunt, aliosque sua ipsorum cupiditate veluti excusatos reddunt. (λζ'.) Quod de monarchia probatis, idem de maris imperio negatis, etsi monarchia a maris imperio nihil prorsus differt, atque pru-

[1] περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων, καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους, ἄμεινον τῶν ἄλλων πράττειν. τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν.

[1] περί τε A. C. L.

dentiæ non levissimum signum est, de iisdem rebus eadem ubique judicare. Thebanos quidem injuste agere creditis, quoniam finitimos lædunt, vos autem ipsi, qui in socios non æquiores estis, quam illi in Bœotos, justitiam exercere putatis. (λη'.) Quodsi inquirere velitis, quæ causa sit, quare nostra et Lacedæmoniorum civitas ab exiguis initiis profecta Græcis imperarint, ac deinde, aucta in immensum potentia, de excidio dimicarint, quareque Thessali, a majoribus maxima potentia instructi, in maximas angustias adducti sint, Megarenses autem, quibus ab initio res parvæ et tenues essent, maximas inter Græcos facultates nunc possideant, illi bello premantur, hi pace fruantur; omnium malorum causam esse, invenietis, intemperantiam et superbiam, bonorum vero modestiam, quæ a civitatibus multo magis colenda est, quam a privatis hominibus, quum civitas, ob immortalitatem, humanam ac divinam pœnam vix effugiat, privatus vero fortasse prius obierit, quam scelerum pœnas dare possit. (λθ'.) Cujus rei memores non iis auscultare debetis, qui in præsentia grata dicentes futuri temporis nullam rationem habent, quique, dum populo studere simulant, totam rempublicam evertunt, sed iis, qui rempublicam amplificaverunt, et quorum consiliis democratia multos per annos neque mota neque mutata est, quique viros in exsilium per Triginta actos revocarunt, et ob virtutem maxime celebrantur. (μ'.) Licet vero tam multa monumenta exstent, e quibus, qualis sub utrorumque administratione urbis conditio fuerit, appareat, ita tamen oratorum improbitate delectamur, ut hosce divites ac beatos, cives vero, ob bella et excitatas ab iis turbas, inopes ac infelices factos esse, æquis animis feramus. Qui quidem a Pericle tantum differunt, ut hic octo millibus talentorum in arcem relatis minorem censum relinqueret, quam a patre acceperat, hi contra e pauperibus ditissimi facti sint, populumque pauperiem pati cogant. (μα'.) Miror equidem, si non perspicere possitis, nullum genus hominum populo inimicius et malevolentius esse, quam oratores improbos et plebis concitatores, qui dum ipsi regnare cupiunt, nihil magis optant, quam ut cives etiam iis indigeant, quæ ad victum necessaria sunt, siquidem opulentiores civitati bene volunt, pauperes vero ipsis servire coguntur. (μβ'.) *Peroratio.* Quæ his malis medela adhiberi possit, antea quidem jam dixi, sed uti in mentem incurrebat. Hinc repetere ea, quæ gravioris momenti sunt, non inutile erit. (μγ'.) Res igitur civitatis emendabimus felicioresque reddemus, primum, si tales consiliarios in publicis negotiis adhibuerimus, quales in privatis nobis contingere optamus, neque calumniatores pro popularibus, honestos vero pro oligarchicis habuerimus. (μδ'.) Deinde socii eodem loco habendi sunt, quo amici, neque iis dominorum more, sed amicorum præesse debemus. (με'.) Denique præter pietatem in deos nihil nobis potius esse debet, quam apud Græcos bene audire. (μς'.) Quodsi his accesserit, ut exercitatione et apparatu bellicosi, revera pacis studiosi simus, non tantum civitatem nostram, sed omnes omnino Græcos felices reddimus. Potentiores enim Græciæ civitates, quibus inferiorem aliquam lædendi animus erit, ubi paratum viderint nostram læsis opitulari, aut abstinebunt, aut omnes, qui in angustiis et metu erunt, ad nos confugient seque nobis tradent. Hinc neque amici nobis, neque opes et potentia, neque denique gloria deerunt, si, in aliorum injuriis et insania, primi nos ad sanam mentem reversi, recuperata majorum laude, libertatis potius vindices quam Græciæ pestis fuerimus appellati. (μζ'.) Totius autem rei caput est, si maledicta, quibus nunc petimur, exstinguere et a bellis temere susceptis cessare principatumque in omne tempus tenere cupimus, ut principatus noster non tyrannico imperio, sed Lacedæmoniorum regum illi similis sit, qui suos servare, non opprimere solent, indeque apud cives suos in maximo honore et amore sunt. (μη'.) Juniores vero et per ætatem robustiores in fine moneo, ut ea dicant et scribant, quibus maximas civitates aliisque mala inferre solitas ad virtutem et justitiam adhortentur, cogitantes, a Græciæ salute suam quoque ipsorum prosperam fortunam pendere. Lang. Videtur scripta fuisse oratio anno ante Christum 337. et Isocratis ætatis 79. Auger.

Μέγεθος] Sub. τούτων. Idem.

β'. Ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόα-
σιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν, τῶν
δ' οὐδὲ τὴν φωνὴν ἀνεχομένους. καὶ θαυμαστὸν οὐδὲν ποιεῖτε·
καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε πάντας τοὺς ἄλλους ἐκ- c
βάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς ὑμετέραις ἐπιθυ-
μίαις. ὃ καὶ δικαίως ἄν τις ὑμῖν ἐπιτιμήσειεν, ὅτι, συνειδό-
τες πολλοὺς καὶ μεγάλους οἴκους ὑπὸ τῶν κολακευόντων
ἀναστάτους γεγενημένους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων
τοὺς ταύτην ἔχοντας τὴν [1] τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ
ὁμοίως διάκεισθε πρὸς αὐτοὺς, ἀλλὰ κατηγοροῦντες τῶν
προσιεμένων καὶ χαιρόντων τοῖς τοιούτοις αὐτοὶ φαίνεσθε d
μᾶλλον τούτοις πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις. καὶ
[2] γάρ τοι πεποιήκατε τοὺς ῥήτορας μελετᾷν καὶ φιλοσοφεῖν
οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκον-
τας ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν
συνεῤῥύηκεν. [3] πᾶσι γὰρ ἦν φανερὸν, ὅτι μᾶλλον [4] ἡσθή-
σεσθε τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς
159 περὶ τῆς εἰρήνης συμβουλεύουσιν. οἱ μὲν γὰρ προσδοκίαν e
ἐμποιοῦσιν ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι κομιού-
μεθα καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν ἣν [5] πρότερον
ἐτυγχάνομεν ἔχοντες· οἱ δ' οὐδὲν τοιοῦτον [6] ὑποτείνουσιν,
ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων ἐπιθυμεῖν
παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦσιν, ὃ χαλεπώ- 160
τατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώπων ἐστίν. οὕτω
γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι
πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστ' οὐδ' οἱ κεκτημένοι
τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν,
ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι [7] περὶ τῶν ὑπαρχόντων

[1] γνώμην A. C. L. [2] γὰρ αὐτοὶ A. L. [3] ἅπασι γάρ ἐστι A. C. L.
[4] ἥδεσθε A. C. L. [5] καὶ πρότερον A. C. L. [6] προτείνουσιν A. C. L.
[7] καὶ περὶ A. C. L.

Ὑπὸ τῶν κολακευόντων] Ὑπὸ τῶν δημηγόρων, οἳ λέγουσιν ὑμῖν ἐν ταῖς ἐκκλησίαις, ὅτι οὐδὲν πώποτε πεπλημμελήκατε. Ἔπιθι Ἐπιστ. Β. η'. Cor.

Ἀλλὰ κατηγοροῦντες — τοιούτοις] *quum reprehendatis istos, qui tales viros* (adulatores) *admittant eorumque consuetudine delectentur.* Lang.

Φιλοσοφεῖν] Idem ac πονεῖσθαι juxta Harpocrat. *laborando exquirere.* φιλοσοφεῖν ὅπως, *laborare, studere, ut.* Auger.

Ὅπως ἀρέσκοντας κ. τ. λ.] Εὐριπίδ. Ἑκάβ. 252.

Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
Ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοιθ' ἐμοὶ,
Οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Cor.

κινδυνεύουσιν. ὅπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς
ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις· λίαν γάρ τινές
b μοι δοκοῦσιν ὡρμῆσθαι πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν
τυχόντων συμβεβουλευκότων, [1] ἀλλὰ τῶν θεῶν ἀκηκοότες
ὅτι [2] κατορθώσομεν ἅπαντα καὶ ῥᾳδίως τῶν ἐχθρῶν ἐπι-
κρατήσομεν.

γʹ. Χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ
βουλεύεσθαι — περίεργον γάρ — ἀλλὰ πράττειν ὡς ἐγνώ-
κασι, περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι
c τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν
τύχῃ δὲ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ αὐτῶν. ὧν
ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε τα-
ραχωδέστατα διάκεισθε. συνεληλύθατε μὲν γὰρ ὡς δέον
ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον,
ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστὶν, οὐκ ἐθέλετ'
ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. καίτοι
d προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμ-
φέρον, μᾶλλον τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις
προσέχειν τὸν νοῦν ἢ τοῖς καταχαριζομένοις, εἰδότας, ὅτι
τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες ῥᾳδίως
ἐξαπατᾷν δύνανται — τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ
τῷ καθορᾷν ὑμᾶς τὸ βέλτιστον —, ὑπὸ δὲ τῶν μὴ πρὸς
ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον· οὐ γάρ
e ἐστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς, μὴ φανερὸν
τὸ συμφέρον ποιήσαντες. χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι
καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενημένων ἢ βουλεύ- 160
σασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς
161 τῶν ἐναντιουμένων παρ' ἀλλήλους ἐξετάζοιεν, αὐτοὶ δ'
αὑτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς [3] παράσχοιεν;

δʹ. Θαυμάζω δὲ τῶν [4] τε πρεσβυτέρων, εἰ μηκέτι μνη-

[1] ἀλλ' ὡς τῶν A. C. L. [2] καὶ κατορθώσομεν A. C. L. [3] παρέχοιεν A. C. L.
[4] τε om. A. C. L.

Ὅπερ ἄξιον] Malim διόπερ ἄξιον. Wolf. Ἄμεινον. Cor.

Ὡς δόξῃ — περὶ αὐτῶν] Ordo verborum hic est: χρὴ οὕτω διανοεῖσθαι περὶ αὐτῶν, ὡς δόξῃ μὲν χρωμένους, γενησόμενον δ' ὅ, τι ἂν τύχῃ. Τῇ δόξῃ χρῆσθαι est δοξάζειν καὶ οἴεσθαι, et γενησόμενον ἀντὶ τοῦ γενησομένου, ut mox ὡς δέον pro ὡς δέοντος, ὡς ἂν δέῃ. Wolf.

Μεταπεῖσαι] Ἕτερόν τι ἢ τοὐναντίον πεῖσαι, οὗ βούλεσθε. Idem.

Εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων] F. leg. εἰ μὴ τῶν μὲν λόγων τοὺς ἐναντιουμένους. Auger. Quod opus non est. Lang.

μονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ
μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε
κακὸν ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον [1]αἱρου-
μένους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν.
ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ᾽ ἑτοίμως ἔχομεν,
μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις b
πληροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν καὶ
πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει
κινδυνεύοντες. τούτων δ᾽ αἴτιόν ἐστιν, ὅτι [2]προσῆκον
ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπου-
δάζειν, [3]οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ᾽
ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους
τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δὲ ὑπὲρ [4]τῆς c
πόλεως ἐκκλησιάζητε, τοῖς μὲν τοιούτοις ἀπιστεῖτε καὶ
φθονεῖτε, τοὺς δὲ [5]πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόν-
των [6]ἀσκεῖτε, καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς με-
θύοντας τῶν νηφόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ
φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ
τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. ὥστ᾽ ἄξιον θαυμά-
ζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρω- d
μένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν.

έ. Ἐγὼ δ᾽ οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παῤῥησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις — ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρ-

[1] ἀναιρουμένους A. C. L. [2] προσῆκεν A. [3] ὑμεῖς δὲ οὐ A. C. L.
[4] τῶν τῆς A. C. L. [5] πονηροὺς C. L. [6] ἐπαινεῖτε A C. L.

Μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες] Alii aliter interpretantur, sed haud dubie sententia est: *μηδὲν προκόπτοντες διὰ τούτων καὶ μηδὲν ὠφελούμενοι.* Recte Onophrius Bartholinus [cui assentitur Langius]: *nullam ex ea re utilitatem nobis comparantes.* Wolf. *nihil facientes nobismetipsis in anteriora,* i. e. juxta me, de futuro securi, non solliciti. Auger. Πράττοντες ἀντὶ τοῦ προκόπτοντες, τοῦ νοῦ μηδὲν ὡς εἰπεῖν παραλλάττοντος. ἔστι γάρ· Μηδὲν ἑαυτοῖς ποιοῦντες, ὧν χρὴ ποιεῖν τοὺς εἰς τοὔμπροσθεν προχωρῆσαι βουλομένους. Ὡς τοίνυν τὸ τοῦ Πλάτωνος Πολιτ. I. 604. Εἰς τὸ πρόσθεν προβαίνειν, οὕτω καὶ τὸ τοῦ Ἰσοκράτους Εἰς τοὔμπροσθεν πράττειν, μόνῃ σχεδὸν τῇ λέξει διαφέρει τοῦ Εὐριπιδείου Ἑκάβ. 960. Εἰς πρόσθεν προκόπτειν. Cor. Eum vide.

Πρόσαντες] Δυσχερὲς, ἀηδὲς, ὡς ἐξηγεῖται Ἡσύχιος. Cor.

Παῤῥησία] Ἐξουσία, ἄδεια τοῦ λαλεῖν. Idem.

Ἐνθάδε] *in suggestu.* Lang.

Τοῖς κωμῳδοδιδασκάλοις] Τοῖς ποιοῦσι καὶ διδάσκουσι τὰς κωμῳδίας, οἷος ἦν Ἀριστοφάνης, ὁ τοσαῦτά τε καὶ τοιαῦτα σκώψας τοὺς Ἀθηναίους. Cor.

e τήματα τοσαύτην ἔχετε χάριν, ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως, ὥσπερ [1] πρὸς τοὺς κακόν τι τὴν πόλιν 161
ἐργαζομένους — · ὅμως δὲ καὶ τούτων ὑπαρχόντων οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. παρελήλυθα γὰρ οὐ χαριούμενος
162 ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων πρῶτον μὲν περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν, ἔπειτα [2] περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων· οὐδὲν γὰρ ὄφελος [3] ἔσται τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα.

ϛ'. Φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους καὶ Ῥοδίους καὶ [4] Βυζαντίους, ἀλλὰ πρὸς
b ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθήκαις μὴ ταύταις αἷς νῦν τινὲς γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

c ζ'. Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ' ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς καὶ τὰς ἄλλας πόλεις ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δὲ ἔξιμεν μηδεμιᾶς ἀνάγκης οὔσης ἐξ ὧν τυγχάνομεν ἔχοντες· ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας [5] ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν
d εἶναι νομιζόντων καὶ τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ [6] κατεχόντων καὶ μὴ λογιζομένων τὰς συμφορὰς τὰς ἐκ τῶν

[1] πρὸς om. A. L. [2] καὶ περὶ A. C. L. [3] ἐστι C. L.
[4] Βυζαντίους καὶ Κώους A. [5] ἂν ὑμᾶς A. C. L. [6] κατεχόντων βίᾳ A. C. L.

Χειροτονίαν] *suffragia*, i. e. magistratus qui dabantur per suffragia populi. Auger. Οὐδὲ τοῦτο σπουδάζων, ὅπως διὰ τῆς χειροτονίας ψηφίσεσθε ἃ μέλλω λέξειν. Cor. Cf. Areopag. §. λθ'.

Περὶ ὧν] Περὶ πολέμου δήπου καὶ εἰρήνης. Wolf.

Πρυτάνεις] Præsides senatus quingentorum, qui ad populum referebant id de quo deliberandum esset. Auger.

Φημὶ δ' οὖν κ. τ. λ.] Observetur hic probari quod in Panegyrica improbatum est, fœdus scilicet Persicum Antalcida Lacedæmonio interprete factum. Wolf. Cf. Diodor. Sic. xvi. 7. 21.

Πλεονεξίαν] Κέρδος. ἐπὶ καλοῦ γὰρ ἐνταῦθα ἡ λέξις. Cor.

τοιούτων ἔργων γιγνομένας. ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ
λόγου [1] πειρασόμεθα διδάσκειν ὑμᾶς.

ή. Περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκε-
ψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι [2] βουληθεῖμεν ἡμῖν.
ἢν γὰρ ταῦτα [3] καλῶς ὁρισώμεθα καὶ νουνεχόντως, πρὸς
ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες ἄμεινον βουλευσόμεθα e
καὶ περὶ τῶν ἄλλων.

θ'. Ἆρ' οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφα-
162 λῶς οἰκοῖμεν καὶ τὰ [4] περὶ τὸν βίον εὐπορώτεροι γιγνοί-
μεθα καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν καὶ παρὰ
τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖμεν; ἐγὼ μὲν γὰρ ἡγοῦμαι
τούτων ὑπαρξάντων τελέως τὴν πόλιν [5] εὐδαιμονήσειν. ὁ μὲν 163
τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκε·
καὶ [6] γὰρ πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους
ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε,
καὶ [7] πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς. ἢν δὲ τὴν
εἰρήνην ποιησώμεθα καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν
οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν
ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων b
καὶ κινδύνων καὶ ταραχῆς εἰς ἣν νῦν πρὸς ἀλλήλους [8] καθέ-
σταμεν, καθ' ἑκάστην δὲ τὴν ἡμέραν [9] πρὸς εὐπορίαν ἐπιδώ-
σομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν
καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς δὲ
γεωργοῦντες καὶ τὴν θάλατταν πλέοντες καὶ ταῖς ἄλλαις
ἐργασίαις ἐπιχειροῦντες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοί-
πασιν. ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς c
προσόδους λαμβάνουσαν, μεστὴν δὲ [10] γιγνομένην ἐμπόρων
καὶ ξένων καὶ μετοίκων, ὧν νῦν [11] ἐρήμη καθέστηκε. τὸ δὲ
μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βε-

[1] πειράσομαι A. C. L. [2] βουληθείημεν A. C. L. [3] καλῶς ταῦτα A. C. L. [4] πρὸς A. C. L. [5] πάλιν εὐδαιμ. A. C. L. [6] γάρ τοι A. C. L. [7] πάντα τρόπον A. C. L. [8] κατέστημεν A. L. [9] εἰς A. C. L. [10] γενομένην A. C. L. [11] ἔρημος A. C. L.

Ἀπαλλαγέντες — ταραχῆς] Ἀριστοφαν. Εἰρήν. 292.

Νῦν ἐστὶν ἡμῖν, ὦ 'νδρες Ἕλληνες, καλὸν,
Ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν,
Ἐξελκύσαι τὴν πᾶσιν εἰρήνην φίλην.

IDEM.

Καθέσταμεν] Ὧ καὶ Θουκυδίδης καὶ ἕτεροι ἐχρήσαντο, ἀντὶ τοῦ καθίσταμεν, παρὰ τὸ θέμα ἕστημι. IDEM.

Ξένων καὶ μετοίκων] Ξένοι dicebantur peregrini qui urbem invisebant, in ea non permansuri. Μέτοικοι, peregrini qui in urbem migrarunt, in ea habituri. AUGER. Cf. Harpocrat. sub v. μετοίκιον.

βιασμένους ἀλλὰ πεπεισμένους, οὐδ' ἐν μὲν ταῖς ἀσφαλείαις
διὰ τὴν δύναμιν ἡμᾶς [1]ὑποδεχομένους, ἐν δὲ τοῖς κινδύνοις
d ἀποστησομένους, ἀλλ' οὕτω διακειμένους ὥσπερ χρὴ τοὺς
ἀληθῶς συμμάχους καὶ φίλους ὄντας. πρὸς δὲ τούτοις, ἃ
νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου καὶ πολλῆς
δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμεθα. μὴ
γὰρ οἴεσθε μήτε Κερσοβλέπτην ὑπὲρ Χεῤῥονήσου μήτε
Φίλιππον ὑπὲρ Ἀμφιπόλεως [2]πολεμήσειν, ὅταν ἴδωσιν
ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. νῦν μὲν γὰρ
εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν ταῖς
αὑτῶν δυναστείαις - - ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας
e [3]ἐφ' οἷς ἂν [4]ἔχωμεν, ἀλλ' ἀεὶ τοῦ πλείονος ὀρεγομένους—,
ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον καὶ δόξαν βελτίω λάβω-
μεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς 163
αὑτῶν προσδώσουσι· λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι
τὴν δύναμιν τὴν τῆς πόλεως ἀσφαλῶς ἔχειν τὰς αὑτῶν
βασιλείας. καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται το-
164 σαύτην [5]ἀποτεμέσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς
ἄφθονον ἔχειν, ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων καὶ
δι' ἀπορίαν πλανωμένοις ἱκανὸν δύνασθαι βίον παρασχεῖν.
ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος, ὁ μὲν ἰδιώτης
ὤν, ὁ δὲ φυγὰς, οἰκίσαι πόλεις οἷοί τε γεγόνασιν, ἦ που
βουληθέντες ἡμεῖς πολλοὺς ἂν τόπους τοιούτους [6]δυνηθεῖμεν
κατασχεῖν. χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦν-
b τας τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι πολὺ μᾶλλον ἢ
πολέμου καὶ [7]στρατοπέδων ξενικῶν, ὧν νῦν ἡμεῖς ἐπιθυ-
μοῦντες τυγχάνομεν.

ι'. Περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ
ταῦθ' ἱκανὰ, καὶ πολλὰ ἂν ἴσως τις προσθείη τούτοις·

[1] ὑποδεξομένους A. C. L. [2] ἡμῖν πολεμήσειν A. C. L. [3] ἐφ' om. A. C. L.
[4] ἔχομεν A. ἔχοιμεν L. [5] ἀποτέμνεσθαι A. [6] δυνηθείημεν A. C. L.
[7] στρατοπέδου ξενικοῦ A. C. L.

Ἄφθονον] Refer ad βίον quod sequitur. Auger.

Ἀθηνόδωρος] Athenodorum στρατιώτην Ἀθηναῖον vocat Suidas. Birisadis Thraciæ regis et affinis et dux fuit, sicut Charidemus Cersobleptis: de quorum utrisque prolixe agitur in oratione Demosthenis contra Aristocratem. De Callistrato oratore Atheniensi vide Plutarchum in vita Demosthenis §. ε'. et ipsum Demosthenem in oratione περὶ τοῦ ἐπιτριηραρχήματος §. ιγ'. [et Lycurgum c. Leocrat. §. κβ'.] Wolf.

Οἱ πρέσβεις] Incertum est de quibus hic legatis orator loquatur, an de legatis aliunde missis Athenas, vel de legatis Atheniensibus qui redierant unde missi fuere. Auger.

ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ
τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως
ἄξομεν αὐτὴν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν, ὀλίγον c
χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα
ταραχὰς, μηδ᾽ ἀναβολὴν ἀλλ᾽ ἀπαλλαγὴν εὑρήσομέν τινα
τῶν κακῶν τῶν παρόντων. οὐδὲν δὲ τούτων οἷόν τ᾽ ἐστὶ γε-
νέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελι-
μωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης,
τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν
τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. περὶ ὧν οὐδεὶς πώποτε τῶν
ῥητόρων εἰπεῖν [1] ἐν ὑμῖν ἐτόλμησεν· ἐγὼ δὲ περὶ αὐτῶν τού- d
των τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς
ὑμᾶς· ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ᾽
οὐκ ἐν οἷς [2] νῦν [3] τυγχάνομεν πράττοντες. ἀνάγκη δὲ τὸν
ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν καὶ τὰς ὑμε-
τέρας γνώμας μεταστῆσαι βουλόμενον πολλῶν πραγμά-
των ἅψασθαι καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι,
καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ᾽ ἐπαι- e
164 νέσαι, περὶ δὲ τῶν συμβουλεῦσαι. μόλις γὰρ ἄν τις ὑμᾶς
ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη
προαγαγεῖν.

ια΄. Ἔχει γὰρ οὕτως. ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπι-
θυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν ἄλλων,
οὐκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας, ἀλλὰ 165
ταῖς δόξαις διαφέρειν ἀλλήλων· οἱ μὲν γὰρ [4] ἔχειν ἐπιεικεῖς
καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας, οἱ δ᾽ ὡς οἷόν τε
πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας. ὅπερ καὶ τῇ
πόλει συμβέβηκεν. ἡμεῖς γὰρ οἰόμεθα μὲν, ἢν τὴν θάλατ-
ταν πλέωμεν πολλαῖς τριήρεσι καὶ βιαζώμεθα τὰς πόλεις
συντάξεις διδόναι καὶ συνέδρους ἐνθάδε πέμπειν, [5] διαπρά-
ξασθαί τι τῶν δεόντων· πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀλη- b
θείας. ὧν μὲν γὰρ ἠλπίζομεν οὐδὲν ἀποβέβηκεν, ἔχθραι δ᾽
ἡμῖν ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι [6] μεγάλαι γεγό-

[1] ἐν om. A. L. ἐν ὑμῖν om. C. [2] νῦν om. A. C. L. [3] ἐτυγχάνομεν A. L. [4] ἔχουσιν A. C. L. [5] διαπράξεσθαί C. [6] πολλαὶ A. C. L.

Ἄξομεν αὐτὴν] Ita Sallust. in Epist. Mithrid. "Liceatne tum pacem agere."

Ἐπιεικεῖς — διαμαρτανούσας] Subaudi δόξας. AUGER. Et ἔχειν refer ad δοκοῦσιν.

Συνέδρους] *assessores*, quos urbes sociæ mittere cogebantur, ut deliberationibus de re communi interessent. AUGER.

νασιν, εἰκότως· καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης
πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν,
ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοηθεῖν τοῖς
ἀδικουμένοις καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν παρ' ἑκόν-
c των τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν· ὧν νῦν ἀλογί-
στως καὶ λίαν εἰκῇ πολὺν ἤδη χρόνον καταφρονοῦμεν.

ιβ΄. Εἰς τοῦτο γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ' ὑπει-
λήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν
δὲ καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ
δικαιοσύνην εὐδόκιμον μὲν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυνα-
μένην τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτὴν, κακῶς
εἰδότες ὡς οὔτε πρὸς χρηματισμὸν οὔτε πρὸς δόξαν οὔτε
d πρὸς ἃ δεῖ πράττειν οὔθ' ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν ἂν
συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην περ ἀρετὴ καὶ τὰ
μέρη ταύτης. τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ,
τούτοις κτώμεθα καὶ τὰς [1]ἄλλας ὠφελείας ὧν δεόμενοι
τυγχάνομεν· ὥσθ' οἱ τῆς αὑτῶν διανοίας [2]ἀμελοῦντες λε-
λήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ
πράττειν [3]βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες. θαυμάζω δ'
e εἴ τις οἴεται τοὺς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦν- 165
τας [4]καρτερεῖν καὶ μένειν [5]ἐν τούτοις [6]ἐλπίζοντας ἔλαττον
ἕξειν τῶν πονηρῶν, ἀλλ' οὐχ ἡγουμένους καὶ παρὰ θεοῖς
166 καὶ παρὰ ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων. ἐγὼ μὲν
γὰρ πέπεισμαι τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν, τοὺς δ'
ἄλλους ὧν οὐ βέλτιόν ἐστιν. [7]ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδικίαν
προτιμῶντας καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων μέγιστον
ἀγαθὸν [8]νομίζοντας ὅμοια πάσχοντας τοῖς δελεαζομένοις
τῶν ζώων, καὶ κατ' ἀρχὰς μὲν ἀπολαύοντας ὧν ἂν λάβω-
σιν, ὀλίγῳ δ' ὕστερον ἐν τοῖς μεγίστοις κακοῖς ὄντας, τοὺς
δὲ μετ' εὐσεβείας καὶ δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι

[1] ἄλλας om. A. C. L. [2] ὀλιγωροῦντες A. C. L. [3] βέλτιον τῶν ἄλλων πράττειν A. C. L. [4] καὶ καρτερεῖν A. C. L. [5] ἐπὶ A. C. L. [6] ἐθέλοντας A. C. L. [7] ὁρῶμεν C. ὁρῶ μὲν A. L. [8] εἶναι νομίζ. A. C. L.

Καὶ γὰρ τὸ πρότερον] Videntur hæc intelligenda de classe missa ad subigendam Siciliam et Samum expugnandam, quamvis ipsi Athenienses eo tempore a Lacedæmoniis obsiderentur. Etsi nihil vetat totum illud tempus intelligi, quo, ademto Lacedæmoniis imperio, Græciæ præfuerunt. Wolf.

Πρὸς ἃ δεῖ πράττειν] *ad ea quæ necessaria sunt gerenda seu ad rem bene gerendam.* Lang.

Τοὺς δ' ἄλλους ὧν οὐ βέλτιόν ἐστιν] Τοὺς δὲ λοιποὺς, τουτέστιν τοὺς πονηροὺς, πέπεισμαι πλεονεκτεῖν ἐκείνοις τοῖς πράγμασιν, ἐν οἷς οὐ συμφέρει πλέον ἔχειν τῶν ἄλλων. Cor.

χρόνοις ἀσφαλῶς διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος b
ἡδίους τὰς ἐλπίδας ἔχοντας. καὶ ταῦτ᾽, εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, ἀλλὰ τό γ᾽ ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίνεται τὸν τρόπον. χρὴ δὲ τοὺς εὖ φρονοῦντας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφελοῦν, τοῦτο φαίνεσθαι προαιρουμένους. πάντων δ᾽ ἀλογώτατον πεπόνθασιν, ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον τὴν δικαιοσύνην τῆς ἀδικίας, c
χεῖρον δ᾽ οἴονται βιώσεσθαι τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν [1]προῃρημένων.

ιγ΄. Ἠβουλόμην δ᾽ ἂν, ὥσπερ πρόχειρόν ἐστιν ἐπαινέσαι τὴν ἀρετὴν, οὕτω [2]ῥᾴδιον εἶναι τοὺς ἀκούοντας [3]πεῖσαι ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. διεφθάρμεθα γὰρ πολὺν ἤδη χρόνον ὑπ᾽ ἀνθρώπων οὐδὲν ἀλλ᾽ ἢ φενακίζειν δυναμένων, οἳ τοσοῦτον τοῦ πλήθους κα- d
ταπεφρονήκασιν ὥσθ᾽ [4]ὁπόταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες, λέγειν τολμῶσιν ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾷν ἡμᾶς αὐτοὺς καταγελωμένους μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν.

ιδ΄. Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσι [5]ὁμοίους [6]γίγνεσθαι; πότερον
166 τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ πολέμου
τοῦ Δεκελεικοῦ τὴν πόλιν διοικήσασιν; εἰ μὲν γὰρ τούτοις, e
οὐδὲν ἀλλ᾽ ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν, εἰ δὲ τοῖς [7]Μαραθῶνι [8]τοὺς βαρβάρους
νικήσασι καὶ τοῖς πρὸ [9]τούτων γενομένοις, πῶς οὐ πάντων 167
ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε [10]πολιτευομένους ἐπαινοῦντες τἀναντία πράττειν ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ᾽ ἐξαμαρτάνειν περὶ ὧν [11]ἀπορῶ τί ποιήσω, πότερα χρήσωμαι ταῖς ἀληθείαις, ὥσπερ καὶ περὶ

[1] προαιρουμένων A. C. L. [2] καὶ ῥᾴδιον A. C. L. [3] πεῖσαι τοὺς ἀκούοντας A. C. L. [4] ὅταν A. C. L. [5] ὁμοίους κελεύουσιν A. C. L. [6] γεγενῆσθαι A. L. [7] ἐν Μαραθῶνι A. C. L. [8] τοὺς βαρβάρους om. A. C. L. [9] αὐτῶν γεγενημένοις, πῶς οὐχ ἁπάντων A. C. L. [10] πεπολιτευμένους A. L. [11] καὶ ἀπορῶ A. C. L.

Τὸ μέλλον ἀεὶ συνοίσειν] quid semper utile futurum sit. LANG.

Φαίνεσθαι προαιρουμένους] I. e. φανερῶς προαιρεῖσθαι καὶ προτιμᾷν τοῦ ἐναντίου.

WOLF.

Διεφθάρμεθα] Τὸν νοῦν, ἢ τὴν φρόνησιν, ᾗ δῆλον ἀλλαχόθεν Παναθ. οθ΄. COR.

Πλέοντας] Subaudi περιορᾷν. AUGER.

τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέ-
χθειαν;

ιε΄. Δοκεῖ μὲν γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ
b αὐτῶν· ὁρῶ δ' ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς
ἐπιτιμῶντας ἢ πρὸς τοὺς αἰτίους τῶν κακῶν γεγενημένους.
οὐ μὴν ἀλλ' αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων
τῆς ἐμαυτοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. ἐμὸν [1] μὲν οὖν
ἔργον ἐστὶ, καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως,
προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους ἀλλὰ τοὺς ὠφε-
λιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώσκειν,
ὅτι τῶν [2] μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι
c καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς δὲ ψυχαῖς
ταῖς [3] ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν οὐδέν
ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανο-
μένοις ἐπιπλήττειν, ἔπειθ' ὅτι καταγέλαστόν ἐστι τὰς μὲν
καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειό-
νων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμά-
ζειν πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ'
ὠφελῆσαι τοὺς ἀκούοντας.

d ις΄. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν λοι-
πῶν οὐδὲν ὑποστειλάμενος ἀλλὰ παντάπασιν ἀνειμένως
μέλλω τοὺς λόγους [4] ποιεῖσθαι πρὸς ὑμᾶς. τίς γὰρ [5] ἄλ-
λοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαί-
φνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παρα-
φρονεῖν ἡμᾶς νομίσειεν; οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς
e τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέν-
των ἐγκωμιάζειν ἔχομεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκείνοις πράτ- 167
τομεν, [6] ἀλλὰ πᾶν τοὐναντίον. οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλ-
λήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ
τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορίζομένους ἐκεῖθεν ἀναστή-
168 σαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν· κἀκεῖνοι μὲν ἐλευθε-
ροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς

[1] μὲν om. A. C. L. [2] μὲν om. A. C. L. [3] νοσούσαις A. C. L.
[4] ποιεῖσθαι τοὺς λόγους A. C. L. [5] ἂν ἄλλοθεν C. [6] ἀλλ' ἅπαν C.

Ἀνειμένως] Ἐλευθέρως, πεπαρρησιασμένως. Cor.
Ἔχομεν] Quid si ἀξιοῦμεν. Wolf. Ὅπερ ἄμεινον. Cor.

Τοὺς ἐκ τῆς Ἀσίας] Intelligantur Græci mercenarii milites, qui in Asiam militatum abierant, et regi Persarum aut satrapis illius navabant operam. Wolf.

τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ
τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν
αὐτὴν τιμὴν [1] ἐκείνοις [2] ἕξομεν, οἳ τοσοῦτον ἀπολελείμμεθα
καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρό-
νον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας
τήν τε πατρίδα τὴν αὑτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μα-
χόμενοι καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν, ἡμεῖς b
δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν
ἀξιοῦμεν, ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύε-
σθαι δ' οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς
ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς
αὐτοὺς ἀσκοῦμεν, ἀλλ' ἀνθρώπους [3] αἱρούμεθα τοὺς μὲν
ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν ἄλλων κα- c
κουργιῶν συνεῤῥυηκότας, οἷς ὁπόταν τις [4] πλείω μισθὸν
διδῷ, μετ' ἐκείνου ἐφ' ἡμᾶς ἀκολουθήσουσιν. ἀλλ' ὅμως
οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν
ἡμετέρων, [5] εἴ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν
δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας
καὶ [6] παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς
ἥξειν οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν ὅταν
ἀκούσωμεν αὐτοὺς τοιοῦτόν τι [7] διαπεπραγμένους. εἰς τοῦτο d
δὲ μωρίας ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς τῶν καθ'
ἡμέραν [8] ἐσμὲν, ξενοτροφεῖν δ' ἐπικεχειρήκαμεν, καὶ τοὺς
συμμάχους τοὺς ἡμετέρους αὐτῶν λυμαινόμεθα καὶ δασμο-
λογοῦμεν, ἵνα τοῖς ἁπάντων [9] ἀνθρώπων κοινοῖς ἐχθροῖς τὸν
μισθὸν ἐκπορίζωμεν. τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προ-
γόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων ἀλλὰ καὶ τῶν μιση-

[1] ἐκείνοις τιμὴν A. C. L. [2] ἔχοιμεν A. [3] αἱρούμεθα om. A. L. [4] πλείονα A. L. [5] ἢν A. L. [6] πλεονεξίας A. C. L. [7] διαπραττομένους A. C. L. [8] ἔσμεν τῶν καθ' ἡμέραν A. C. L. [9] ἀνθρώπων om. A. C. L.

Ἡγεμονίας ἠξιώθ.] Post Pausaniæ interitum, qui crudelitate et superbia Græcorum animos a Lacedæmoniis alienaverat. IDEM.

Ὥσθ' ὑπὲρ τῶν μὲν παίδων — ὑποσχεῖν] Verte: *ut propter liberos nostros si quem læserint, pœnam suscipere nolimus*, ideoque illis talia facere interdicimus, illorum vero rapina etc., licet pœnam ipsi subibimus, gaudeamus. Augerius cum Wolfio locum male intellexit, dum vertit: *ut, si liberis nostris injuriam fecerint*, scil. isti homines. LANG.

Μελλόντων τῶν ἐγκλημ.] Quidam perperam interpretantur: *cum crimina* seu *querelæ de illorum rapinis* etc. *ad nos deferenda sint*. Sed sententia est: Quicquid peccaverint milites, id imputari Atheniensibus, qui Græcorum odia propter illos suscipiant. WOLF.

Οὐχ ὅπως] *non solum non.* AUGER. LANG.

Τοὺς συμμάχους κ. τ. λ.] Cf. Demosth. Phil. A. §. θ'.

e θέντων, ὅσον ἐκεῖνοι μὲν, εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο,
μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου τῆς ἀκροπόλεως ὅμως 168
ὑπὲρ τῶν δοξάντων τοῖς αὐτῶν σώμασιν ᾤοντο δεῖν κινδυ-
νεύειν, ἡμεῖς δ᾽ εἰς τοσαύτην ἀπορίαν ἐληλυθότες καὶ το-
σοῦτοι τὸ πλῆθος ὄντες ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς
169 χρώμεθα τοῖς στρατοπέδοις. καὶ τότε μὲν εἰ τριήρεις πλη-
ροῖεν, τοὺς μὲν ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον,
τοὺς δὲ πολίτας μεθ᾽ ὅπλων ἐξέπεμπον· νῦν δὲ τοῖς μὲν
ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγ-
κάζομεν, ὥσθ᾽ ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων,
οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον ἔχοντες
b ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις [1]ὄντες οἵους ὀλίγῳ
πρότερον διῆλθον, μεθ᾽ ὅπλων κινδυνεύουσιν.

ιζ΄. Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς
διοικούμενα [2]περὶ τῶν ἄλλων θαῤῥήσειεν, ἀλλ᾽ οὐκ ἂν ἐπ᾽
αὐτοῖς τούτοις μάλιστ᾽ ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες
μὲν εἶναι φαμὲν καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι
τῶν ἄλλων, προσῆκον δ᾽ ἡμᾶς ἅπασιν εἶναι παράδειγμα
c τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ τα-
ραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς
πόλεις οἰκιζόντων, καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦ-
μεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾷον δὲ μεταδί-
δομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τριβαλλοὶ
καὶ Λευκανοὶ τῆς αὐτῶν δυσγενείας· πλείστους δὲ τιθέ-
μενοι νόμους οὕτως ὀλίγον αὐτῶν φροντίζομεν — ἓν γὰρ
ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων — ὥστε θανά-

[1] ὄντες om. C.

[2] καὶ περὶ A. C. L.

Μεστῆς οὔσης] *quamvis tanta pecuniæ vis parata erat, ut mercenarios alere possent.* Lang.

Ἐλαύνειν] *remigare.* Vid. Areopag. §. κ΄. Idem.

Ὑπηρέσιον] Legit Wolfius ὑπειρέσιον, aitque esse τὸ ὑποκείμενον τοῖς ἐρέταις, i. e. *pulvinum nauticum,* sive *cui insideant nautæ,* ne diuturna sessione atterantur nates; vel quem sub axillis gestarent, ne illæ exulcerarentur: alios vero per *remum* interpretari. Batt. Interpretor cum nonnullis *remum.* Auger. Τὸ Κῶας ὧδ᾽ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς, ὡς φησὶν ὁ σχολιαστὴς τοῦ Θουκυδίδου B. ϟγ΄. Cor.

Ὀλίγῳ πρότερον διῆλθον] Ἀπόλιδας δηλονότι, αὐτομόλους, καὶ ἐκ τῶν ἄλλων κακουργιῶν συνεῤῥυηκότας. Idem.

Ἀλλὰ γὰρ — ἀγανακτήσειεν] Ἐμιμήσατο τόδε τὸ χωρίον ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτ. 614. Idem.

Οἵτινες] Ante οἵτινες subaudi vel ἡμᾶς ἰδὼν vel παρ᾽ ἡμῶν. Auger.

Αὐτόχθονες] Justinus ii. 6. vertit; "eodem solo quod incolunt innati." Lang.

Ῥᾷον δὲ μεταδίδ.] Cf. Demosth. π. συνταξ. §. θ΄. et Athen. i. p. 12. et iii. 119.

Τριβαλλοὶ καὶ Λευκανοὶ] Triballi ignobiles barbari fuerunt, vicini Macedoniæ: Lucani, Italiæ populi, Apuliæ vicini. Wolf.

του τῆς ζημίας ἐπικειμένης ἣν τις ἁλῷ δεκάζων, τοὺς d
τοῦτο φανερώτατα ποιοῦντας στρατηγοὺς χειροτονοῦμεν,
καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα,
τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν·
σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν
σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες
ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ
διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν,
169 πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρχι- e
κοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον [1] ποιοῦντας
ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν· ἐμ-
πειρότατοι δὲ λόγων καὶ πραγμάτων ὄντες οὕτως ἀλογίστως
ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ 170
γιγνώσκομεν, ἀλλ᾽ ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι
κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν
δὲ χρόνον [2] διαλιπόντες τοῖς [3] ἐνθάδε ψηφισθεῖσιν, ἐπειδὰν
ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι
τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα [4] συμβούλοις, ὧν
οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς
τούτους κυρίους ἁπάντων [5] τῶν κοινῶν καθίσταμεν, οἷς b
οὐδεὶς ἂν τῶν ἰδίων οὐδὲν ἐπιτρέψειε. [6] ὃ δὲ πάντων σχε-
τλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι
τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα
τῆς πολιτείας εἶναι· καὶ τοὺς μὲν μετοίκους τοιούτους
εἶναι νομίζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν,
αὐτοὶ δ᾽ οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προ-

[1] ἐμποιοῦντας A. C. L. [2] διαλείποντες A. C. L. [3] ἐνταῦθα A. C. L.
[4] *συμβούλοις χρώμεθα* A. C. L. [5] τῶν κοινῶν ἁπάντων A. C. L. [6] τὸ A. C. L.

Δεκάζων] *largitione corrumpens.* LANG. Hinc ortum esse vocabulum inquit Wolfius, quod rei, causæ suæ diffidentes, decimam controversæ pecuniæ partem judicibus promittere solebant, si secundum ipsos pronuntiassent: hinc transferri ad quamvis largitionem, corruptelam munerum et ambitus. Harpocration sub voc. aliam explicationem dat, quam valde obscuram et intellectu difficilem dicit Augerus, ἔτυμον Coraes. Harpocrat. vide.

Σχετλιώτατον] Ἀνοητότατον. COR.

Πονηροτάτους] Ἀριστοφ. Βατρ. 730. τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυῤῥίαις Καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα. COR.

Τοὺς προστάτας] Peregrini, qui Athenis consederant, cogebantur patronum aliquem civem Atheniensem adsciscere, a quo non tantum defenderentur, sed etiam observarentur, ne vel insidiarentur reipub. WOLF. Cf. Harpocrat. sub voc. προστάτης et ἀπροστασίου, et Suid. tom. ii. 606.

Νέμωσιν] Ἀντὶ τοῦ αἱρῶνται. WOLF. Consuetam habet significationem: *quos patronos colunt.* LANG. Ἀντὶ τοῦ ἔχωσιν [cum Hesych. et Suid.] COR.

c εστῶσιν ἡμῶν. τοσοῦτον δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας [1] τε τῆς πόλεως ἐποιοῦντο καὶ στρατηγοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα [2] συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὑτὸν [3] γενόμενον. ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ
d ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν συμβουλεύσαιτο, τούτους δ' αὐτοκράτορας ἐκπέμπομεν ὡς ἐκεῖ σοφωτέρους ἐσομένους καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων [4] ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. λέγω δὲ ταῦτ' οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. [5] ἐπιλίποι δ' ἄν με τὸ λοι-
e πὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασι [6] ἐγγεγενημένας ἐξετάζειν ἐπιχειροίην.

ιή. Τάχ' οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειε, Πῶς, [7] εἴπερ οὕτω κακῶς 170
βουλευόμεθα, σωζόμεθα καὶ δύναμιν οὐδεμιᾶς πόλεως
171 ἐλάττω κεκτημένοι τυγχάνομεν; ἐγὼ δὲ πρὸς ταῦτ' ἀποκριναίμην [8] ἂν ὅτι τοὺς ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας. εἰ γὰρ μετὰ τὴν μάχην, ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόννησον καὶ τοὺς ἄλλους Ἕλληνας αὐτονόμους ποιήσαντες ἡσυχίαν εἶχον, ἡμεῖς δὲ [9] τοιαῦτ' ἐξημαρτάνομεν, οὔτ' ἂν οὗτος [10] ἔσχε ποιήσασθαι ταύτην τὴν ἐρώτησιν, ἡμεῖς τ' ἂν ἔγνωμεν ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυ-
b πραγμονεῖν. νῦν δ' ἐνταῦθα περιέστηκε τὰ πράγματα, ὥστε Θηβαῖοι μὲν ἡμᾶς σώζουσιν, ἡμεῖς δὲ Θηβαίους, καὶ συμμάχους ἐκεῖνοι μὲν [11] ἡμῖν ποιοῦσιν, ἡμεῖς δ' [12] ἐκείνοις.

[1] τε om. A. C. L. [2] συμβουλεύσασθαι C. [3] δυνάμενον L.
[4] καὶ πολεμικῶν ἢ A. L. καὶ πολιτικῶν ἢ C. [5] ἐπιλείποι A. L.
[6] γεγενημένας A. C. L. [7] οὖν, εἴπερ A. C. L. [8] ἂν ἀποκριναίμην A. C. L.
[9] ταῦτα A. L. [10] εἶχε A. C. L. [11] ἡμᾶς A. L. [12] ἐκείνους A. L.

Καθ' αὑτὸν γενόμενον] Στρατηγὸν αὐτοκράτορα χειροτονηθέντα, καὶ μόνον ἐν τῷ στρατοπέδῳ διοικοῦντα τὰ τοῦ πολέμου πράγματα. Idem.

Οἷς μὲν γὰρ κ. τ. λ.] Cf. Diog. Laert. in. Vit. Antisth. et Aristoph. Nub. 584. et Eq. 1313.

Συμμάχους ἐκεῖνοι — ἐκείνοις] Ὁ νοῦς· Ἡ Θηβαίων ἄνοια συμμάχους ἡμῖν παρασκευάζει οὓς ἂν κακῶς ἐκεῖνοι διατιθῶσι τῶν Ἑλλήνων, ὥσπερ καὶ ἡ ἡμετέρα ἄνοια συμμάχους ἐκείνοις ποιεῖ τοὺς κακῶς ὑφ' ἡμῶν διατιθε-

ὥστ', εἰ νοῦν εἴχομεν, ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀργύ-
ριον παρείχομεν· ὁπότεροι γὰρ ἂν πλεονάκις συλλεγῶσιν,
οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσι. χρὴ δὲ τοὺς
καὶ μικρὰ λογίζεσθαι δυναμένους οὐκ ἐν τοῖς τῶν ἐχθρῶν
ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν τοῖς c
αὑτῶν πράγμασι καὶ ταῖς αὑτῶν διανοίαις· τὸ μὲν γὰρ διὰ
τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν τυχὸν ἂν παύ-
σαιτο καὶ λάβοι μεταβολήν, τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γιγνό-
μενον [1] βεβαιοτέρως ἂν ἔχοι καὶ μᾶλλον παραμείνειεν ἡμῖν.

ιθ'. Πρὸς μὲν οὖν τοὺς εἰκῇ τὰς [2] ἐπιλήψεις ποιουμένους
οὐ χαλεπὸν ἀντειπεῖν· εἰ δὲ δή τίς μοι παραστὰς τῶν ἐπιει- d
κέστερον διακειμένων ἀληθῆ μὲν λέγειν με προσομολογήσειε
καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ' εἶναι
φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν
πεπραγμένων, ἀλλὰ καὶ συμβουλεύειν [3] τίνων ἀπεχόμενοι
καὶ [4] ποίων ὀρεγόμενοι παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν
γνώμην καὶ τοιαῦτ' ἐξαμαρτάνοντες, οὗτος ὁ λόγος ἀπορεῖν
ἄν με ποιήσειεν ἀποκρίσεως, οὐκ ἀληθοῦς [5] καὶ συμφερούσης,
ἀλλὰ ἀρεσκούσης ὑμῖν. οὐ μὴν ἀλλ', ἐπειδήπερ ἀποκεκα- e
λυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι
καὶ περὶ τούτων.

171 κ'. Ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν,
τήν τ' εὐσέβειαν καὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην
καὶ τὴν ἄλλην ἀρετὴν ὀλίγῳ πρότερον εἰρήκαμεν· ὡς δ' ἂν 172
τάχιστα πρὸς τὸ τοιοῦτοι γενέσθαι [6] παιδευθεῖμεν, ἀληθὲς
μέν ἐστι τὸ ῥηθησόμενον, ἴσως δ' ἂν ἀκούσασιν ὑμῖν δεινὸν
εἶναι δόξειεν καὶ παρὰ πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον
διανοίας.

κα'. Ἐγὼ γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον
οἰκήσειν καὶ βελτίους αὐτοὺς ἔσεσθαι καὶ πρὸς ἁπάσας τὰς
πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ
θάλατταν ἐπιθυμοῦντες. αὕτη γάρ ἐστιν ἡ καὶ νῦν εἰς τα- b

[1] βεβαίως A. C. L. [2] ὑπολήψεις A. C. L. [3] ποίων A. C. L. [4] τίνων A. C. L. [5] οὐδὲ A. C. L. [6] παιδευθείημεν A. C. L.

μένους. Τὰ αὐτὰ δὲ σχεδὸν εἴρηκε καὶ ἀλλαχοῦ (λε'. μς'. περὶ Ἀντιδ. κθ'.) περί τε Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων. Idem.

Τὰς ἐπιλήψεις ποιουμ.] Retberg. ἐπιλήψεις ποιεῖσθαι circumscriptionem esse putat pro ἐπιλαμβάνεσθαι, *reprehendere*.

Μὴ μόνον κατηγορεῖν] Cf. Demosth. Olynth. A. §. ζ'. init.

Ἐξηλλαγμένον] Διαφέρον. Cor.

ραχὴν ἡμᾶς καθιστᾶσα, καὶ τὴν δημοκρατίαν ἐκείνην κατα-
λύσασα, μεθ' ἧς οἱ πρόγονοι ζῶντες εὐδαιμονέστατοι τῶν
Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων τῶν κακῶν αἰτία, ὧν
αὐτοί τε ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν. οἶδα μὲν οὖν,
ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάντων ἐρωμένης καὶ
περιμαχήτου γεγενημένης κατηγοροῦντα δοκεῖν ἀνεκτόν τι
c λέγειν· ὅμως δ', ἐπειδήπερ ὑπεμείνατε καὶ τοὺς ἄλλους
λόγους, ἀληθεῖς μὲν ὄντας, φιλαπεχθήμονας δὲ, καὶ τού-
των ὑμᾶς [1] ἀνασχέσθαι δέομαι, καὶ μὴ καταγνῶναί μου
τοσαύτην μανίαν, ὡς ἄρα ἐγὼ προειλόμην [2] ἂν διαλεχθῆναι
πρὸς ὑμᾶς περὶ πραγμάτων οὕτω παραδόξων, εἰ μή τι
λέγειν ἀληθὲς εἶχον περὶ αὐτῶν. νῦν δ' οἶμαι φανερὸν ποιή-
σειν ἅπασιν, ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν οὔτε γενέ-
σθαι δυνατῆς οὔτε συμφερούσης ἡμῖν.

d κβ'. Ὅτι μὲν οὖν οὐ δικαίας, παρ' ὑμῶν μαθὼν ὑμᾶς
ἔχω διδάσκειν. ὅτε γὰρ Λακεδαιμόνιοι ταύτην εἶχον τὴν
δύναμιν, ποίους λόγους οὐκ [3] ἀνηλώσαμεν κατηγοροῦντες
μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δ' ὡς δίκαιόν ἐστιν αὐ-
τονόμους εἶναι τοὺς Ἕλληνας; τίνας δὲ τῶν πόλεων τῶν
[4] ἐλλογίμων οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν τὴν ὑπὲρ
e τούτων συστᾶσαν; πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν
μέγαν [5] ἀπεστείλαμεν, [6] διδαξούσας αὐτὸν ὡς οὔτε δίκαιόν
ἐστιν οὔτε συμφέρον μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων;
οὐ πρότερον δὲ ἐπαυσάμεθα [7] πολεμοῦντες καὶ κινδυνεύοντες 172
173 καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν Λακε-
δαιμόνιοι ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονο-
μίας. ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττό-
νων ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις [8] τυγχάνομεν ἐγνω-
κότες, καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ' ἡμῖν καθε-
στώσης.

[1] ἀνέχεσθαι A. C. L. [2] ἂν om. A. C. L. [3] ἀναλώσαμεν C.
[4] Ἑλληνίδων A. C. L. [5] [οὐκ] ἀπεστείλ. C. [6] διδασκούσας A. C. L.
[7] πολεμοῦντες ἐπαυσάμεθα A. C. L. [8] ἐτυγχάνομεν A. C. L.

Φιλαπεχθήμονας] *invidiosos, odiosos.* Lang.

Ἐπὶ τὴν συμμαχίαν] Intelligo Græcorum conspirationem, cum triginta millibus sagittariorum (nomisma Persicum id erat) corrupti Lacedæmonios ita oppugnarunt, ut Agesilaum ex Asia revocare cogerentur. Wolf.

Τῆς πολιτείας] Τῆς δημοκρατίας, καθ' ἣν οἱ πένητες καὶ ἄποροι ἐξ ἴσου ζῆν καὶ πολιτεύεσθαι τοῖς πλουσιωτάτοις καὶ δυνατωτάτοις ἀξιοῦσιν. Idem. Post καθεστώσης subaudi vel adde *γινώσκομεν* vel *ἐπιδείκνυμεν*. Auger.

κγ΄. Ὡς δ᾽ οὐδ᾽ ἂν [1]δυνηθεῖμεν τὴν ἀρχὴν ταύτην
καταστήσασθαι, ταχέως οἶμαι δηλώσειν. ἣν γὰρ μετὰ
μυρίων ταλάντων οὐχ οἷοί τ᾽ ἦμεν διαφυλάξαι, πῶς ἂν
ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι [1]δυνηθεῖμεν,
ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν, οὐχ οἷς ἐλάβομεν, ἀλλ᾽ b
οἷς ἀπωλέσαμεν αὐτήν;

κδ΄. Ὡς τοίνυν οὐδὲ διδομένην δέξασθαι τῇ πόλει συμφέρει, δοκεῖτέ μοι τάχιστ᾽ ἂν ἐκεῖθεν καταμαθεῖν. μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν· δέδοικα γὰρ, μὴ διὰ τὸ [2]πολλοῖς ἐπιτιμᾷν δόξω τισὶ [3]προῃρῆσθαι τῆς πόλεως κατηγορεῖν.

κε΄. Ἐγὼ δ᾽, εἰ μὲν πρὸς ἄλλους τινὰς οὕτως ἐπεχείρουν
διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως ἂν εἶχον τὴν αἰτίαν c
ταύτην· νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς λόγους, οὐ διαβάλλειν [4]ἑτέροις ἐπιθυμῶν, ἀλλ᾽ αὐτοὺς [5]βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην, περὶ ἧς ἅπας ὁ λόγος ἐστὶ, βεβαίως καὶ τὴν πόλιν καὶ [6]τοὺς ἄλλους Ἕλληνας ἀγαγεῖν. ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ
[7]διανοίας ἔχειν [8]ἀλλήλοις ὡς οἷόν τ᾽ ἐναντιωτάτας. ὥστε d
περὶ τῶν ταὐτὰ λεγόντων οὐκ [9]ἀεὶ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει, τοὺς δ᾽ ἐπ᾽ [10]ὠφελίᾳ νουθετοῦντας ἐπαινεῖν καὶ [11]βελτίστους τῶν πολιτῶν νομίζειν, καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι τάς τε πονηρὰς τῶν πράξεων καὶ τὰς συμφορὰς τὰς ἀπ᾽ αὐτῶν γιγνομένας. [12]οὗτος γὰρ ἂν τάχιστα ποιή-
173 σειεν ὑμᾶς, μισήσαντας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι πρα- e
γμάτων. ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος καὶ τῶν

[1] δυνηθείημεν A. C. L. [2] πολλάκις A. C. L. [3] προαιρεῖσθαι A. C. L.
[4] πρὸς ἑτέρους A. C. L. [5] ὑμᾶς βουλ. A. C. L. [6] τοὺς Ἑλλ. τοὺς ἄλλους A. C. L.
[7] δυνάμεις L. [8] ἀλλήλαις A. L. [9] ἀεὶ om. A. C. L.
[10] ὠφελείᾳ A. C. L. [11] βελτίους L. [12] οὕτω A. C. L.

Μετὰ μυρίων ταλάντων] Cf. Demosth. Olynth. Γ. §. θ΄. Thucyd. ii. 13. Andocid. de Pac. cum Laced. §. α΄. et Æschin. de male gesta leg. §. νδ΄.

Ἐκεῖθεν] Hic interrumpit se orator et pergit demum §. κϛ΄. Lang.

Κατηγοροῦντας] Segaar. l. c. p. 95. mutari suadet in κακηγοροῦντας, quoniam mox pariter opponit λοιδοροῦντας et νουθετοῦντας. Lang.

Τὰς μὲν διανοίας κ. τ. λ.] Οἱ μὲν γὰρ νουθετοῦντες ἐπ᾽ ὠφελείᾳ τῶν ἁμαρτημάτων καθάπτονται, παῦσαι τούτων τὸν νουθετούμενον βουλόμενοι· οἱ δὲ κατηγοροῦντες, κακόνοι ὄντες τῷ ἁμαρτάνοντι, ἐπὶ τῷ ὀνειδίζειν μᾶλλον ἢ ἐπανορθοῦν αὐτὸν τοῦτο ποιοῦσι. Cor.

εἰρημένων καὶ τῶν ῥηθήσεσθαι μελλόντων ταῦτ' ἔχω λέγειν
πρὸς ὑμᾶς· ὅθεν δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.

174 κς'. Ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς καταμα-
θεῖν, ὡς οὐ [1] συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχὴν,
εἰ σκέψαισθε τίνα τρόπον ἡ πόλις [2] διέκειτο, πρὶν τὴν δύνα-
μιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν· ἢν
γὰρ ταῦτα παρ' ἄλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθ'
[3] ὅσων κακῶν αἰτία τῇ πόλει γέγονεν.

κζ'. Ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν καὶ
b κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳ περ Ἀρι-
στείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀμείνους
ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος καὶ τῶν νῦν δημηγορούν-
των· τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον οὐκ
Jovis servatoris simulacrum posuimus, tum maximi in Græcos beneficii tum arctissimæ inter ipsos amicitiæ monumentum. (κβ'.) Aliter autem erga illos affectus fuit Persarum rex; quippe qui Evagoram adeo reformidarit, ut dum beneficia illius experiebatur, bellum adversus illum moliretur, timens nimirum, ne, quæ erat illius magnanimitas et rerum gestarum gloria et successus, non Cypri tantum, sed totum Persarum regnum everteret. (κγ'.) Quo facto Evagoras, quanquam omnibus copiis inferior, ita tamen præclare se gessit, ut sua ipsius virtute filioque Protagora sociis, tota pæne Cypro potiretur, Phœniciam vastaret, Tyrum vi caperet, Ciliciam ad defectionem a rege impelleret, atque ita hostes bello satiaret, ut, bello per decem annos frustra gesto, cupide pacem facerent. (κδ'.) Quapropter Evagoras non tantum reliqua bella, sed illud etiam Trojanum ab Heroibus gestum superasse videtur, siquidem unius urbis dominus, vires totius Asiæ sustinuit, dum illi conjunctis universæ Græciæ viribus solam Trojam expugnaverunt. Hinc majorem etiam quam illi gloriam adeptus esset, si tot laudis suæ præcones habuisset, quot illi. (κε'.) Quis enim illorum tanta perfecit, quanta Evagoras? Ex privato regem se constituit; gentem suam regno pulsam restituit; cives e Barbaris Græcos, ex mollibus bellicosos reddidit; urbem inhospitabilem mansuetiorem et mitiorem fecit; regis socius ad navale prœlium circa Cnidum maximas vires contulit; sed hostis factus ejusdem, tam præclare ultus est, ut bellum in Cypro gestum alta mente regis maneat repostum. (κς'.) Hinc quid maximum sit inter Evagoræ facinora, dicere nequeo, quocunque enim me convertero, omnia mihi maxima et admiratione dignissima videntur. (κζ'.) Quapropter illum immortalitate dignatum esse judico, siquidem perpetua felicitate ad obitum usque gravis est. (κη'.) *Epilogus.* Nulla nempe felicitatis pars illi defuit. Tales enim habuit majores, quales præter illum nemo alius; corpore et animo cæteris longe præstitit; immortalem nominis sui memoriam reliquit; senex factus, morborum senectutis expers decessit; multos, eosque pulcros, liberos suscepit, quorum alius rex, alius princeps vocatus est, ita ut nomen dei aut numinis aut immortalis in eum perquam commode conveniat. (κθ'.) Sentio quidem, multa, quæ de Evagora dici poterant, ob senectutis infirmitatem prætermissa esse, verumtamen pro viribus non illaudatus fuit. (λ'.) Pulcra sunt corporum imagines monumenta, attamen mentis rerumque gestarum illa, quæ in artificiosis orationibus conspiciuntur, multis de causis anteponenda videntur. Nam primum viri præstantes rerum gestarum gloria magis quam corporis forma superbiunt; deinde expressæ corporum formæ eodem loco manent; orationes vero evulgantur et eruditos delectant; porro fictis et pictis imaginibus nec quisquam corpus assimilare potest, mentem vero ac mores oratione depictos mente imitari valet. (λα'.) Atque hæc præcipua causa est, quare hanc orationem scripserim, quia ejusmodi pictura, non aliena præsertim, sed domestica, te tuosque tum in agendo tum in dicendo omnibus superiores reddere potest. (λβ'.) Ne vero putes, me segniorem te credere et stimulo egentem, quum tam sæpe te hortor, scias, me spectatoribus certaminum esse similem, qui non ultimos cursorum, sed primos metæque proximos instigare solent. (λγ'.) Meum igitur est aliorumque, qui tibi bene volunt, te hortari, ut eadem, qua incepisti via, pergas, tuum contra eniti, ut majoribus tuis quam simillimus fias, non contentus, nisi non tantum aliis, sed etiam iis, qui in iisdem tecum honoribus versantur, antecellueris. Atque hoc facile perfeceris, dummodo in sapientiæ studio perseveraveris, tantosque, quantos hucusque, feceris progressus. Lang. Videtur hæc oratio inscripta fuisse anno ante Christum 374. et Isocratis ætatis 62. Auger.

Νικόκλεις] Filius Evagoræ, regis Salaminis, urbis Cypri, atque ejus in regno successor: quare ab Isocrate de Permut. §. ις'. ὁ τῶν Σαλαμινίων βασιλεὺς et §. κε'. ὁ Κύπριος appellatur, ut et a Maximo Tyrio Dissert. xx. et ab Ælian. V. H. vii. 2. Alio nomine dici putatur Nicocreon a Leopardo Emend. i. 10. et a Casaubono ad Athenæum viii. 9. Duos fuisse, quibus nomen Nicoclis tributum offenderetur docet Perizonius ad Ælian. l. l. quorum priorem hunc Evagoræ filium, cujus mentio ab Æliano fieret, fuisse existimat. Videtur eidem Perizonio regno privatus esse a Prytagora, seu Protagora, qui §. κγ'. ab Isocrate commemoratur. Findeisen. Cf. Diod. Sic. l. xiv. 98. Aristot. Polit. v. 10. et Justin. v. 6.

Τῶν ἐπιφερομένων] *inferiarum.* ἐπιφέρεσθαι enim idem est ac Lat. *inferre.* Lang.

Μουσικῇ] Morus ad Paneg. §. μϛ'. conjicit hic legendum esse μουσικῆς, improbantibus Findeiseno et Langio.

Λείποντ' οὐδεμίαν ὑπερβολὴν] Λείπειν,

b ἐνθάδε γιγνομένων, εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα
καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὴν
σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ
τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων
αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπρα-
γμένων· εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους
τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλο-
c μένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν [1] εὐκόλως αἱρουμέ-
νους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας,
καὶ πάντα ποιοῦντας ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν
μνήμην [2] καταλείψουσιν. αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιού-
των οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν. οἱ
δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν
τὰς δυνάμεις [3] τὰς αὑτῶν οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, 189
d σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· ὁ δὲ λόγος, εἰ καλῶς
διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν
Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.

β'. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ'
αὑτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ τε δυνάμενοι τὰ
190 τῶν [4] ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους
ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε νεώτεροι φιλοτι-
μοτέρως διέκειντο πρὸς τὴν ἀρετήν, εἰδότες ὅτι τούτων [5] εὐ-
λογήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παρά-

[1] εὐκλεῶς A. C. L. [2] καταλείψωσιν A. [3] αὑτῶν A. C. L.
[4] παλαιῶν A. L. [5] εὐλογηθήσονται A. C. L.

item ἀπολείπειν et καταλείπειν, οὐδεμίαν ὑπερβολὴν dicitur apud Isocratem is omnino, qui tantum facit, quantum nec exspectari ab eo nec fieri ab aliis potest, qui talem se quadam in re præstat, ut alios quidem superet, ab his vero, experientibus etiam, superari nequeat, qui adeo aliis longe præstat, et quidem in utramque partem. Sic usurpatur de insigniter improbis Paneg. §. λβ'. et Panath. §. κη'. de eo qui summam gloriam nactus est, ita ut alii eandem, nedum majorem, consequi non possint. Inprimis usurpatur de iis, qui magnificentia vincunt alios, et tantum insumunt in aliquam rem, quantum ab aliis fere insumi non possit. V. c. de Big. §. ιδ'. dicitur Alcibiades, τοῖς μέλλουσιν ἱπποτροφεῖν οὐδεμίαν ὑπερβολὴν καταλιπών. et paulo post Isocrates alia commemorans munera publica, quibus Alcibiades vacaverit, utitur verbo διαφέρειν. Find.

Ἔχειν] Wolf. mavult ἕξειν, præter necessitatem, quum duo præsentia antecedant, et præsens apud optimos et Isocratem pro futuro ponatur. Lang.

Εἴ τις] Idem est h. l. ac τούτῳ, ὅς. Idem.

Τῶν ἐκείνῳ πεπραγμένων] Regitur ab ἀξίως. Auger.

Ἀντὶ τῶν τοιούτων] Refer ad ἐπιφερομένων etc. p. 438. 2. Lang.

Οἱ δὲ — ὄντες] Nominativus absolutus pro τῶν δὲ — ὄντων. Idem.

Ἀγωνίας] *certamina*, i. q. ἀγῶνες. Sic ap. Æschin. Socrat. Dial. i. §. 7. Find.

Ἐν εἰδόσι] Wolf. recte intellexit, et explicuit παρὰ τοῖς εἰδόσι. Verte: *qui rerum quæ sua ætate gestæ sunt notitiam habent.* Lang.

σχωσι. νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν
περὶ τὰ Τρωϊκὰ [1] καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους
καὶ τραγῳδουμένους, αὑτὸν δὲ προειδῇ, μηδ᾽ ἂν [2] ὑπερβάλ-
λῃ τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιω- b
θησόμενον; τούτων δ᾽ αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον πρόσ-
εστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. οὕτω
γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ᾽ ἥδιον [3] ἂν εὐλογουμέ-
νων [4] ἀκούοιεν οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, [5] ἢ τούτους ὑφ᾽
ὧν εὖ πεπονθότες αὐτοὶ [6] τυγχάνουσιν. οὐ μὴν δουλευτέον
[7] τοὺς νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν
μὲν τοιούτων ἀμελητέον, τοὺς δ᾽ ἄλλους ἐθιστέον ἀκούειν c
περὶ ὧν καὶ λέγειν [8] δίκαιόν ἐστιν, ἄλλως [9] τ᾽ ἐπειδὴ καὶ
τὰς ἐπιδόσεις [10] ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν
ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν,
ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν
τῶν μὴ καλῶς ἐχόντων.

γ΄. Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν,
ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. σημεῖον δὲ μέγιστον·
περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολ-
μῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, περὶ δὲ τῶν τοιούτων d
οὐδεὶς πώποτ᾽ αὐτῶν συγγράφειν ἐπεχείρησε. καὶ πολλὴν
αὐτοῖς ἔχω συγγνώμην. τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέ-
δονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς
θεοὺς οἷόν τ᾽ αὐτοῖς ἐστὶ ποιῆσαι, καὶ διαλεγομένους καὶ
190 συναγωνιζομένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δη-
λῶσαι, μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν

[1] τούς τ᾽ A. L. [2] ὑπερβάληται A. C. L. [3] ἂν om. A. C. L.
[4] ἀκούειν A. C. L. [5] ἤ τι τούτων A. C. L. [6] τυγχάνουσιν ἀποδέχεσθαι. A. C. L.
[7] τούς γε A. C. L. [8] δικαιότερόν A. C. L. [9] τε καὶ ἐπειδὴ C. [10] ὁρῶμεν A. C. L.

Τοὺς ἐπέκεινα γενομ.] Intelliguntur ii a quibus bellum Thebanum gestum est. Vid. Fischer. ad Anacreont. Od. 1. FIND. Λέγει τοὺς πρὸ τῶν Τρωϊκῶν γενομένους, οἷον Ἡρακλέα, Θησέα, καὶ τοὺς τοιούτους. COR.

Ὑμνουμένους] Δι᾽ ὕμνων ἐγκωμιαζομένους. IDEM.

Τραγῳδουμένους] Ἐν δράμασιν ᾀδομένους. IDEM.

Τοὺς νοῦν ἔχοντας] Est vel accus. absolut. pro dat. τοῖς ἔχουσι (quo autem Isocrates noluit hic uti, ne orationi inde exsisteret ambiguitas, quod statim dativ. sequatur), vel pendet a δεῖ latens in δουλευτέον, quod est i. q. δεῖ δουλεύειν. Sic ap. Xenoph. Mem. iii. 2. 10. τί δὲ, τοὺς κινδυνεύειν μέλλοντας, ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον. FIND.

Ἀκούειν] Supple περὶ τούτων. LANG.

Οἱ περὶ τὴν φιλοσοφίαν ὄντες] *oratores* seu *homines eruditi.* IDEM.

Πολλοὶ δέδονται κόσμοι] Συγκεχώρηται πλεοναχῶς κοσμεῖν τὰ λεγόμενα. COR.

Συναγωνιζομένους] *opem ferentes.* LANG.

Βουληθῶσι] Scil. οἱ ποιηταί. IDEM.

Τοῖς τεταγμένοις ὀνόμασι] *verbis receptis* seu *usitatis.* IDEM. Τοῖς ἐν πλείονι χρήσει, ἃ μετ᾽ ὀλίγον πολιτικὰ ὀνόματα καλέσει. COR.

Τὰ μὲν ξένοις] Ξένα μὲν ὀνόματα τὰ ἀφ᾽

ξένοις τὰ δὲ καινοῖς τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλι-
πεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικίλαι τὴν ποίησιν· τοῖς
δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτό-
μως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς [1] μόνον καὶ τῶν ἐν-
θυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι
191 χρῆσθαι. πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν
ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν· ἃ το-
σαύτην ἔχει χάριν, ὥστ', ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμή-
μασιν ἔχῃ κακῶς, ὅμως [2] αὐταῖς ταῖς [3] εὐρυθμίαις καὶ ταῖς
συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας· [4] γνοίη δ' ἄν
τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἣν γάρ τις τῶν ποιημάτων
τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας κατα-
b λίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα
τῆς δόξης ἧς νῦν ἔχομεν περὶ αὐτῶν. ὅμως δὲ, καίπερ το-
σοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ'
ἀποπειρατέον ἐστὶ τῶν λόγων εἰ καὶ [5] τοῦτο δυνήσονται, τοὺς
ἀγαθοὺς ἄνδρας [6] εὐλογεῖν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς
καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.

c δ'. Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, καὶ
τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι
πρέπειν [7] κἀμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν, ἵνα
πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παρα-
δειγμάτων καταλειφθέντων οὐδὲν καταδεέστερον αὑτὸν ἐκεί-
νων παρέσχεν. ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγε-

[1] μόνον om. A. C. L. [2] αὐταῖς om. A. C. L. [3] γε εὐρ. A. C. L. [4] καταμάθοι A. C. L. [5] οὗτοι A. C. L. [6] εὖ λέγειν A. C. L. [7] καὶ ἐμὲ A. C. L.

ἑτέρας γλώσσης ἢ διαλέκτου· καινὰ δὲ, τὰ ἐφ' ἑτέρας τασσόμενα σημασίας τῆς ἐφ' ἧς τέως ἐτέτακτο, ἢ καὶ ἀνάλογον τοῖς τεταγμένοις πλαττόμενα. λέγοιντο δ' ἂν καθ' ἕτερον τρόπον [καινὰ καὶ αὐτὰ τὰ ἀρχαϊκά· εἰ γάρ τις τοῖς μηκέτι ἐν χρήσει ὀνόμασι χρῷτο, οὐκ ἂν ἀπεικότως κἀκεῖνον καινοῖς ὀνόμασι χρῆσθαι φήσαιεν οἱ ἀκούοντες. Cor.

Πᾶσι τοῖς εἴδεσι] *omni modo.* Lang.

Λόγους] Supple οὖσιν. Idem.

Τοῖς πολιτικοῖς] *ad sensum populi accommodatis seu usitatis.* Idem. Οἷς ἐν τῇ πόλει χρῶνται, ἢ ἅπερ οἱ πολῖται γνωρίζουσιν. Cor.

Τῶν ἐνθυμημάτων] Ἐνθυμήματα τοῖς ῥήτορσι λέγεται (ἀντιδιεσταλμένως πρὸς τὰ ὀνόματα) ἃ συλλογισμοὺς καλοῦσιν οἱ διαλεκτικοί. Idem.

Τοῖς περὶ αὐτὰς τὰς πράξεις] *quas* (sententias) *res* ipsæ suppeditant. Lang. Τοῖς μὴ πόῤῥωθεν καὶ πανταχόθεν λαμβανομένοις, ἀλλ' ἐγγὺς οὖσι τῶν πράξεων, ὥς φησιν Ἀριστοτέλης Ῥητορικ. B. κβ'. Cor.

Ἂν καὶ τῇ λέξει — κακῶς] I. e. εἰ καὶ ἡ λέξις καὶ τὰ ἐνθυμήματα τῶν ποιημάτων κακά ἐστι. Wolf.

Περὶ τῆς φύσεως] *de natalibus*, quæ sequuntur §. η'. Wolf. [improbante quoque Findeiseno, qui proximum καὶ exponit *scilicet*] de corporis et animi virtutibus hoc vocabulum intelligi mavult. Lang. Περὶ τῆς γενέσεως. Cor.

Τῶν ἄλλων ἕνεκα] Τῶν μὴ ἐπισταμένων χάριν. Idem.

Ἀπὸ Διὸς] Supple γενομένους. Lang.

νεστάτους τῶν ἡμιθέων εἶναι, τούτων δ' αὐτῶν οὐκ ἔστιν
ὅστις οὐκ ἂν Αἰακίδας προκρίνειεν, ἐν μὲν γὰρ τοῖς ἄλλοις d
γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας τοὺς δὲ κατα-
δεεστέρους ὄντας, οὗτοι δ' ἅπαντες ὀνομαστότατοι τῶν καθ'
αὑτοὺς γεγόνασι.

έ. Τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ
γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν ὥστε
γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι καὶ πολλῶν ἀνθρώπων
191 διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς [1] ὑπερέβαλ-
λεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, e
νομίζοντες διὰ τῆς [2] συγγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου
τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν
ἀπαλλαγήν. σωθέντες δὲ καὶ τυχόντες [3] ὧν ἐδεήθησαν, ἱερὸν
ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος
ἐποιήσατο τὴν εὐχήν. καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον, ἕως 192
ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης [4] ὢν δόξης διετέλεσεν·
ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ
Κόρῃ μεγίστας [5] τιμὰς ἔχων παρεδρεύειν ἐκείνοις.

ς'. Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεὺς, ὧν ὁ
μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος

[1] ὑπερέβαλεν A. C. L. [2] εὐγενείας A. C. L. [3] ἁπάντων ὧν A. C. πάντων ὧν L. [4] δόξης ὢν A. C. L. [5] τιμὰς μεγίστας A. C. L.

Καθ' αὑτοὺς] Idem est quod supra §. β'. ἐφ' αὑτῶν. Cæterum repete γενομένων. Idem.

Τοῦτο μὲν] Anantapodoton est. Sequi enim debet τοῦτο δὲ, quod ob periodi prolixitatem et mutatam constructionem est omissum. Sequitur enim §. ς'. τούτου δὲ, et §. ζ'. τούτοιν δ'. Wolf.

Αἰακὸς] Fuit filius Æginæ, filiæ Asopi (unde ab Ovidio Metam. vii. 113. 484. dicitur Asopiades), et Jovis, qui in ignem conversus Æginam compressit. V. Ovid. Metam. vii. 113. Præter filios ab Isocrate laudatos, Telamonem et Peleum, ex Enclaide filia Chironis susceptos, tertius a veteribus, nomine Phocus, e Psammathe filia Nerei natus, commemoratur. V. Metam. vii. 668. [et Pindar. Nem. iv. 20. sqq.] Ab hoc Phoco, qui ab Apollon. Rod. i. 93. sq. dicitur interemptus esse a Telamone et Peleo, Phocenses nomen traxisse putantur. Vid. Schol. ad Apollon. Rhod. i. 207. Find.

Ἐν τοῖς Ἕλλησι] Pro ἐν τῇ Ἑλλάδι. Vid. Diod. Sic. iv. x. Qui scribit, ex imprecatione Minois pestilentiam istam invasisse Græciam, et precibus Æaci a cæteris depulsam solos Athenienses infestare non destitisse donec tributum illud, cujus in Helena mentio fit, Minoi pependissent. Wolf. Vid. Hemsterhus. ad Aristoph. Plut. p. 389. Find.

Ὑπερέβαλλεν] Ἐλλειπτικῶς τοῦ πᾶσαν ἀνθρωπίνην βοήθειαν, ἢ τινὸς τοιούτου. Cor.

Ἱκετεύοντες] F. leg. ἱκετεύσοντες, ut Plataic. §. α'. ἥκομεν ἱκετεύσοντες. Certe, ut ab aliis, ita semper ab Isocrate verbis, quibus notio eundi subjecta est, junguntur participia futurorum. Infra §. κα'. ἦλθον οἰκήσοντες, Plataic. §. κ'. κα'. Verum nil mutandum videtur. Participium præs. etiam hac in re poni solet. v. c. ap. Lucian. Timon. §. 110. προσῆλθεν ἐπικουρίας δεόμενος. Find.

Εὑρέσθαι] Pro εὑρήσεσθαι. Wolf.

Ἱερὸν ἐν Αἰγ.] Τὸ καὶ Αἰάκειον παρὰ τὸν ἥρωα καλούμενον. Cor. Vid. Pausan. Corinth. c. 29.

Λαομέδοντα] Vid. Ovid. Metam. xi. 210. sqq. Apollod. ii. 123. Hygin. fab. 89. Find.

[1] ἀριστείων ἠξιώθη, Πηλεὺς δ' ἔν [2] τε τῇ μάχῃ τῇ πρὸς Κεν-
ταύρους ἀριστεύσας καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐ-
b δοκιμήσας Θέτιδι τῇ Νηρέως, θνητὸς ὢν [3] ἀθανάτῃ, συνῴ-
κησε, καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν
ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι.

ζ΄. Τούτοιν δ' [4] ἑκατέρου, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦ-
κρος [5] ἐγενέσθην, Πηλέως δὲ Ἀχιλλεύς, οἳ μέγιστον καὶ
σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς· οὐ γὰρ ἐν
ταῖς αὑτῶν πόλεσιν μόνον [6] ἐπρώτευσαν, οὐδ' ἐν τοῖς τόποις
ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς
c βαρβάρους [7] γενομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροι-
σθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τού-
τοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας
δὲ μετ' ἐκεῖνον ἠρίστευσε, Τεῦκρος δὲ τῆς τε τούτων συγγε-
νείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ
Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον, Σαλαμῖνά τε
κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος
d οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε.

η΄. Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων
ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι. τοῦτον δὲ τὸν τρό-
πον τῆς πόλεως [8] κατοικισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γε- 192
γονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον· χρόνῳ δὲ ὕστερον
ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγάς, καὶ πιστευθεὶς ὑπὸ
e τοῦ τότε [9] βασιλεύοντος καὶ μεγάλας δυναστείας λαβών,
οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κακὸς μὲν [10] γενόμενος περὶ
τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν
εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν.
ἀπιστῶν δὲ τοῖς πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς
[11] κατασκευάσασθαι τὰ περὶ αὑτόν, τήν τε πόλιν ἐξεβαρ-

[1] τῶν ἀριστείων ἔτυχε A. C. L. [2] τε om. A. C. L. [3] ἀθανάτῳ A. C. L.
[4] ἑκατέροιν A. C. L. [5] ἐγεννήθη A. C. L. [6] ἐπρώτευσαν μόνον A. C. L.
[7] γινομένης L. [8] οἰκισθείσης A. C. L.
[9] βασιλεύοντας τότε καὶ δυναστείας μεγάλας A. C. L. [10] γινόμενος A. L.
[11] καταθέσθαι A. C. L.

Κενταύρους] Vid. Palæphat. c. 1. et quos ibi laudat Fischer. cf. Hygin. fab. 33. Idem.

Μόνου τούτου] Pendet a sequenti γάμοις. Lang. Idem contigisse Cadmo in nuptiis narrat Theognis ver. 15. sqq. et Diodor. Sic. V. 49.

Ἑκατέρωθεν] *ab utraque parte*, et Græcorum et barbarorum. Lang.

Ἐξεβαρβάρωσε] Βάρβαρον ἀνθ' Ἑλληνικῆς ἐποίησε, καὶ αὐτῶν τῶν κατοικούντων Ἑλλήνων τὰ ἤθη τῇ πρὸς τοὺς βαρβάρους ἐπιμιξίᾳ εἰς τὸ ἄγριον καὶ ἄμικτον τελέως μεταστήσας· τοιαῦτα γὰρ ἀπεργάζεται ἡ μετὰ βαρβάρων

βάρωσε καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.

θʹ. Οὕτω δὲ [1] καὶ τῶν πραγμάτων καθεστώτων [2] καὶ 193
τῶν ἐκγόνων τῶν ἐκείνου τὴν ἀρχὴν ἐχόντων Εὐαγόρας γίγνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν [3] μειζόνως ἂν φανείη γεγονὼς ἢ κατὰ ἄνθρωπον, αἱροῦμαι [4] παραλιπεῖν, οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα πᾶσι ποιήσω φανερὸν ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν b
περὶ αὐτοῦ.

ιʹ. Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστί. καὶ τούτων μάρτυρας [5] ἄν τις ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς ἀγῶνας ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρία c
προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτ' οὐ μέσως οὐδὲ ὥσπερ [6] ἑτέροις, ἀλλ' ἕκαστον αὐτῶν [7] εἰς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥσθ', ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν

[1] καὶ om. A. C. L. [2] καὶ τῶν - - - - - ἐχόντων om. A. C. L. [3] μείζω A. C. L. [4] καταλιπεῖν A. C. L. [5] ἄν τις μάρτυρας A. C. L. [6] ἐν ἑτέροις τισὶν A. C. L. [7] πρὸς A. C. L.

ἀναστροφὴ καὶ συμβίωσις. Διὸ καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Τυνδαρέως (Ὀρέστ. 485.) πρὸς Μενέλαον, ἀπὸ τοῦ περὶ Τροίαν ἐπανιόντα πολέμου, λέγει· Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις. Cor.

Φήμας] Hic videtur φῆμαι *omina* intelligi et *voces ex occulto editæ*. Wolf.

Τοῖς τηλικούτοις] Τοῖς τοιαύτην ἡλικίαν ἔχουσι, τοῖς παισὶ δηλονότι. Cor.

Ἐκρατίστευσεν] Κρείττων ἐγένετο, ὑπερεβάλετο. Idem.

Ἀνδρὶ δὲ γενομένῳ] Ἄνδρα γίγνεσθαι, *robustiorem fieri* (Corn. Nep. Alcib. 2. fin.), est Romanorum togam virilem sumere, et Græcorum inter ephebos referri, quod fiebat ætatis anno xviii. i. q. al. ἐγγράφεσθαι εἰς τοὺς ἐφήβους. Guarinus reddidit ad verbum: *virum fieri*. Wolfius melius per *adolescere*. Find.

Ἕκαστον αὐτῶν] *unaquæque harum* scil virtutum, ἀνδρία, σωφροσύνη, et δικαιοσύνη, pro ἑκάστη. Idem.

Οἱ τότε βασιλεύοντες] Aut positum est pro singulari, aut rex cum filiis et proceribus intelliguntur. Lang.

Τὸν τοιοῦτον τὴν φύσιν] *oriundum a tam*

d ἰδιώτου μέρει διαγαγεῖν, ὁπότε δ' εἰς τοὺς τρόπους ἀπο-
βλέψαιεν οὕτω σφόδρα πιστεύειν, [1]ὥστ' εἰ καί τις ἄλλος 193
τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς
ἔσεσθαι βοηθόν.

ια'. Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέ-
ρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν
οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων
ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν,
e ὥσθ', ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσε-
βείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως
καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν, [2]Εὐαγόρᾳ διεφύλαξεν. εἷς
γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας τόν τε τύραννον
ἀπέκτεινε καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος
οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκ
194 ποδῶν [3]ποιήσαιτο. διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς
Σόλους τῆς Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς
τοιαύταις συμφοραῖς περιπίπτουσιν. οἱ μὲν γὰρ ἄλλοι, κἂν
ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινο-
τέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς τοσοῦτον μεγα-
λοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ
[4]φεύγειν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. καὶ τοὺς μὲν
b πλάνους τοὺς φυγαδικοὺς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κά-
θοδον καὶ θεραπεύειν [5]αὑτοῦ χείρους, ὑπερεῖδε· λαβὼν δὲ
ταύτην [6]ἀφορμὴν ἥνπερ χρὴ τοὺς [7]εὐσεβεῖν βουλομένους,
ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ
κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν. παρακα-

[1] ὥστε καὶ εἰ A. C. L. [2] Εὐαγόραν A. C. Εὐαγόρας L. [3] ποιήσειε A. C. L.
[4] φυγεῖν A. C. L. [5] τοὺς αὐτοῦ A. C. L. [6] τὴν ἀφορμὴν A. C. L.
[7] εὐσεβεῖς A. L.

præclaris majoribus. Wolfius: *talem natura.* Guarinus æque male: *qui tali ingenio præditus esset.* Find.

Αὐτοῖς] Findeisen. cum Wolf. non male αὐτοῖς, βοηθὸν enim h. l. verte: *ultorem.* Lang.

Εὐαγόρᾳ διεφύλαξεν] Scil. ταῦτα, h. e. ut hæc Evagoræ servaret integra. Find. Alteram lectionem Εὐαγόρᾳ recipisse malim, ut ὁ δαίμων subjectum maneat. Lang.

Εἷς τῶν δυναστ.] Ἀβδήμονα καλεῖ τοῦτον Διόδωρος ὁ Σικ. ΙΔ. ϛη'. καὶ Τύριον γεγονέναι φησίν· ἔστι δ' ἡ Τύρος τῆς Φοινίκης. Cor.

Σόλους] Auctore Diogene Laertio condita est a Solone. Vid. Freinshem. ad Curt. iii. 7. 2. Find.

Κἂν ἐκ τυρανν. ἐκπέσωσι] *etiam si regno exciderint.* Supple: ideoque majoribus animis res adversas ferre deberent. Lang.

Τοὺς φυγαδικοὺς] Τοὺς διὰ τὴν φυγὴν ἐξ ἀνάγκης συμβαίνοντας, οὓς εἰκὸς πλανᾶσθαι τοὺς φεύγοντας. Cor.

Ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους] Ἣν ὀφείλουσι λαμβάνειν οἱ βουλόμενοι εὐσεβεῖν· ἔστι δ' αὕτη τὸ ἀμύνεσθαι τοὺς κακῶς ποιήσαντας, ἀλλὰ μὴ προτέρους αὐτοὺς κακῶς ποιεῖν ἄλλους. Idem. Cf. Paneg. §. μθ'.

λέσας ἀνθρώπους — ὡς οἱ [1] τοὺς πλείστους λέγοντες —
περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι
τὴν κάθοδον. ὅθεν καὶ μάλιστ᾽ ἄν τις [2] καὶ τὴν φύσιν τὴν
ἐκείνου καὶ τὴν δόξαν ἣν εἶχε παρὰ τοῖς ἄλλοις θεωρήσειε· c
μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην
[3] πόλιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων,
οὔτ᾽ ἐκεῖνος ἠθύμησεν οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀπο-
στῆναι τῶν κινδύνων ἠξίωσεν, ἀλλ᾽ οἱ μὲν ὥσπερ θεῷ
194 [4] συνακολουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις,
ὁ δ᾽, [5] ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων
ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην. d

ιβ΄. Δῆλον δ᾽ ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον,
οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν καὶ τὸ σῶμα
[6] ἐν ἀσφαλείᾳ καταστήσας περιιδεῖν, εἴ τινες αὐτῷ τῶν
πολιτῶν βοηθήσουσιν· ἀλλ᾽ εὐθὺς, ὥσπερ εἶχε, ταύτης τῆς
νυκτὸς διελὼν τοῦ τείχους πυλίδα καὶ ταύτῃ τοὺς μεθ᾽
αὑτοῦ διαγαγὼν προσέβαλε πρὸς τὸ βασίλειον. καὶ τοὺς
μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς [7] γιγνομένους καὶ e
τοὺς φόβους [8] τοὺς τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς
ἐκείνου τί δεῖ λέγοντα διατρίβειν; γενομένων δ᾽ αὐτῷ τῶν
μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ᾽ ἄλλων πολι-
τῶν θεατῶν — δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν τοῦ δὲ τὴν 195
ἀρετὴν ἡσυχίαν [9] εἶχον —, οὐ πρότερον ἐπαύσατο μαχόμενος
καὶ μόνος πρὸς πολλοὺς καὶ μετ᾽ ὀλίγων πρὸς ἅπαντας
τοὺς ἐχθροὺς, πρὶν ἑλὼν τὸ βασίλειον καὶ τοὺς ἐχθροὺς
ἐτιμωρήσατο καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς

[1] πλεῖστοι λέγουσιν A. C. L. [2] καὶ om. A. C. L. [3] πρᾶξιν A. C. L.
[4] συνακολουθήσαντες A. C. L. [5] ὡσπερεὶ στρατ. A. C. L. [6] ἐπ᾽ A. C. L.
[7] συμβαίνοντας A. C. L. [8] τοὺς om. A. L. [9] ἦγον A. C. L.

Τῶν παρακληθέντων] Οἱ παρακληθέντες dicuntur qui in societatem expeditionis suscipiendæ veniunt. Wolfius: *commilitones*. bene. Guarinus: *quos adhortatus fuerat*. male. Find.

Περιιδεῖν] Ἀναμεῖναι. Cor.

Ὥσπερ εἶχε] Usurpatur de eo, qui statim nulla mora interjecta, nec aliis opinantibus, aliquam rem suscipiendam aggreditur. Præmittitur εὐθύς. Sic ap. Xenoph. Cyrop. iii. 1. εὐθὺς πορεύεται ὥσπερ εἶχε, πρὸς τὸν Κῦρον, de Tigrane, qui ex itinere redux factus et cognito parentum et reliquorum necessariorum casu statim ad Cyrum se confert. Find.

Τῶν ἄλλων] Pro ἄλλων Wolf. mavult πολιτῶν aut πολλῶν. Ad quos autem ἄλλων pertineat, auctor ipse definire noluit. In antecedentibus supple τούτων. *horum aliorum*. Lang. Ἔστι ἡ φράσις κατὰ πρωθύστερον, ἀντὶ τοῦ, καὶ τὰς παρακελεύσεις ἐκείνου καὶ τοὺς φόβους τῶν ἄλλων. Cor.

Τῷ γένει — ἐκομίσατο] I. q. §. κε΄. τὸ γένος εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε. Find.

τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν.

b ιγ'. Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ' ἐνταῦθα [1]καταλείποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τε ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων. οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων [2]οἴομαι δηλώσειν.

ιδ'. Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου
c κτησάμενος. εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου [3]παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς [4]καιροῖς ἁρμόσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· [5]ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον [6]ἐξετῶμεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.

ιε'. Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλα- 195
βόντων τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν;
d οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον ἢ κτησάμενος [7]ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν.

ις'. Καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστ' εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ μόνον τῶν [8]γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰς συντιθέασιν. ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ
e φοβεροὺς ποιησάμενος [9]τοὺς κινδύνους εἰς τὴν αὑτοῦ κατῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν.

[1] καταλίποιμι A. C. L. [2] οἶμαι A. C. L. [3] παραβάλοιμεν A. C. L.
[4] ἀκούουσιν ἀρέσειεν A. C. L. [5] ἐὰν A. C. L. [6] ἕξομεν A. L. λέξομεν C.
[7] ὁσίως ὥσπερ A. C. L. [8] προγεγενημένων A. C. L. [9] τοὺς om. A. C. L.

Ἐπὶ τούτων] Ἴσως γρ. περὶ τούτων. Cor.

Τὴν ἀρχὴν ταύτην] Ταύτην mihi videtur hic suspectum esse: aut τοιαύτην legendum, aut suo loco motum librariorum culpa et post verba ὥσπερ ἐκεῖνος collocandum esse existimo. Find. Τὴν τῆς βασιλείας δηλονότι· ἀναφέρεται γὰρ πρὸς τὸ μικρὸν ἀνωτέρω βασιλείας. Cor.

Μᾶλλον] Non cum Guarino et Wolfio pertinere arbitror ad δέξαιτο, sed seq. ἢ h. l. notare æque ac. Find.

Μεμυθολόγηκεν] Sub. περί τινος. Auger. Lang. Προσυπάκουε ἄνδρα, ἥρωα, ἤ τι τοιοῦτον, πρὸς ὃ ἔχοι ἀναφέρεσθαι τὸ ἐπαγόμενον ὅστις. Cor.

Πεποίηνται] inducti sunt, ap. a poetis. Auger.

ιζ΄. Ἀλλὰ μὴν τῶν [1] γ᾽ ἐπὶ τάδε γεγενημένων, ἴσως δὲ
καὶ τῶν ἁπάντων, Κῦρον τὸν [2] Μήδους μὲν ἀφελόμενον τὴν
ἀρχὴν, Πέρσαις δὲ κτησάμενον, [3] καὶ πλεῖστοι καὶ μάλιστα
θαυμάζουσιν. ἀλλ᾽ ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων 196
ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων
ῥᾳδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς αὑτοῦ καὶ τοῦ
σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξά-
μενος. ἔπειτ᾽ ἐκ μὲν τῆς Κύρου στρατείας οὔπω δῆλον ὅτι
καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τούτῳ
πεπραγμένων ἅπασι φανερὸν ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς
ἔργοις ἐπεχείρησε. πρὸς δὲ τούτοις, τῷ μὲν ὁσίως καὶ δι- b
καίως ἅπαντα [4] πέπρακται, τῷ δὲ οὐκ εὐσεβῶς ἔνια συμ-
βέβηκεν· ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν
πατέρα [5] τὸν τῆς μητρὸς ἀπέκτεινεν. ὥστ᾽, εἴ τινες βούλοιν-
το μὴ τὸ μέγεθος τῶν συμβάντων ἀλλὰ τὴν ἀρετὴν [6] τὴν
ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον
ἐπαινέσειαν. εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑποστειλάμενον
μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παῤῥησίᾳ χρησάμενον c
εἰπεῖν· οὐδεὶς οὔτε θνητὸς οὔτ᾽ ἡμίθεος οὔτ᾽ ἀθάνατος εὑρε-
196 θήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ᾽ εὐσεβέστερον λα-
βὼν ἐκείνου τὴν βασιλείαν. καὶ τούτοις ἐκείνως μάλιστ᾽
ἄν τις πιστεύσειεν, εἰ [7] σφόδρα τοῖς λεγομένοις ἀπιστήσας
ἐξετάζειν ἐπιχειρήσειεν ὅπως ἕκαστος [8] ἐτυράννευσε. φανή-
σομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυ-
μούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν οὕτω
περὶ αὐτοῦ θρασέως εἰρηκώς. d

ιη΄. Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ

[1] γε ἔπειτα γεγ. A. C. L. [2] Μήδων A. C. L. [3] οἱ A. C. L.
[4] πέπρακται ἅπαντα A. C. L. [5] τὸν om. A. C. L. [6] τὴν om. A. C. L.
[7] μὴ σφόδρα τοῖς νῦν λεγ. A. C. L. [8] ἐτυράννησε A. C. L.

Τὸν πατέρα τὸν τῆς μητρὸς] Intelligendus est Astyages rex Persarum, e cujus filia Mandane et Cambyse rege Persarum Cyrus natus fuit. Est hoc παρ᾽ ἱστορίαν amplificandi Evagoræ et extenuandi Cyri causa usurpatum. Wolf. Cf. Herodot. i. 130. Xenoph. Cyrop. i. 5. Aristot. Polit. v. 10. Diod. Sic. ii. 34. et Justin. i. 7.

Μηδὲν ὑποστειλάμενον] *nihil retrahentem*, metaphora sumpta a nautis, quam eleganter expressit Horatius: "Contrahes vento nimium secundo turgida vela." Wolf.

Ἐκείνου] Regitur ab εὐσεβέστερον, et ab aliis comparativis, *magis pie quam ille* [sc. Evagoras]. Auger.

Ἐκ παντὸς τρόπου] Καὶ δικαίως καὶ ἀδίκως. Cor.

Τοιούτων] Np. οἷα ἂν ἦν ἔργα. Interpretare: *conveniens esset ipsum tales assequi laudes qualia essent ipsius facta*, scil. mediocres laudes pro factis mediocribus. Auger. Μικρῶν δηλονότι. Cor.

τῶν λόγων αὐτὸν [1] προσῆκεν ἀξιοῦσθαι· νῦν [2] δ' ἅπαντες
ἂν ὁμολογήσειαν τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ
τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχη-
τότατον εἶναι. τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα
κτησάμενον, τίς ἂν [3] ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως
τῶν πεπραγμένων ἐπαινέσειεν;

e ιθ'. Οὐ τοίνυν ἐν τούτοις [4] ὑπερβαλλόμενος, ἐν τοῖς
ἄλλοις εὑρεθήσεται καταδεέστερος [5] γενόμενος, ἀλλὰ πρῶ-
τον μὲν εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα κατορθοῦν
δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν οὐδ' αὐτοσχεδιάζειν
197 περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν καὶ φροντίζειν
καὶ βουλεύεσθαι τὸν πλεῖστον [6] τοῦ χρόνου διέτριβεν,
ἡγούμενος μὲν, εἰ καλῶς τὴν αὑτοῦ φρόνησιν παρασκευάσειε,
καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν, θαυμάζων δ' ὅσοι
τῶν μὲν ἄλλων ἕνεκα [7] τῆς ψυχῆς ποιοῦνται τὴν ἐπιμέ-
λειαν, αὐτῆς δὲ [8] ταύτης μηδὲν τυγχάνουσι φροντίζοντες.
ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν·
b ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα
λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς
ἀργίαις ἀλλ' ἐν ταῖς εὐπραγίαις [9] καὶ καρτερίαις ἐνούσας,
οὐδὲν ἀνεξέταστον [10] παρέλιπεν, ἀλλ' οὕτως ἀκριβῶς καὶ
τὰς πράξεις ᾔδει καὶ τῶν πολιτῶν ἕκαστον ἐγίγνωσκεν,
ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν μήτε τοὺς
ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν

[1] προσῆκον ἦν A. C. L. [2] δὲ πάντες A. C. L. [3] ἢ ῥήτωρ A. [ἢ ῥήτωρ] C. L. [4] ὑπερβαλόμενος C. L. [5] γεγονὼς A. C. L. [6] χρόνον A. C. L. [7] τῆς μὲν ψυχῆς ἕνεκα τῶν ἄλλων A. C. L. [8] ταύτης om. A. C. L. [9] καὶ ταῖς καρτ. A. C. L. [10] παρέλειπεν C.

Τυραννίδα] Τὴν βασιλείαν. Idem.

Λόγων εὑρετὴς] Guarinus: *orationis inventor.* Wolfius: *verborum opifex.* Non probo. λόγων εὑρετὴς est vel i. q. λογοποιὸς, quod vocabulo ποιητὴς junctum legitur orat. ad Phil. §. μς'. λογοποιὸς autem auctore Harpocratione est i. q. ἱστορικὸς, vel λόγων εὑρετὴς significat h. l. *oratorem*, ita ut voc. ῥήτωρ sit e glossemate ortum: quod magis placet. Nam supra §. γ'. Isocrates de poetis et oratoribus exposuit, et orat. ad Phil. §. ξα'. λόγων εὑρετὴς copulatur cum voc. ποιητής. ita ut voc. ῥήτωρ legatur omissum. Find.

Αὐτοσχεδιάζειν] Ἀπροβουλεύτως καὶ μὴ προευτρεπισθέντα πράττειν ἢ λέγειν. Cor.

Ἕνεκα τῆς ψυχῆς] *voluptatis, animi recreandi causa.* Wolfius: *vitæ tuendæ causa.* male, opinor, ut seqq. docent. Æque male Guarinus: *quicunque aliorum gratia animi curam gerunt.* Find.

Ἔπειτα] *deinde*, respondet τῷ πρῶτον in antecedentibus. Lang.

Τὰς ἀληθινὰς τῶν ῥαθ.] *veras animi remissiones.* Idem.

Εὐπραγίαις] Hic intelligo εὐπραγίαι, non *boni rerum successus, sed diligentia in rebus gerendis.* Auger. Ταῖς τῶν ἀγαθῶν ἔργων πράξεσι. Cor.

Καρτερίαις] Ταῖς ὑπομοναῖς τῶν πόνων. Idem.

προσηκόντων· οὐ γὰρ ἐξ ὧν ἑτέρων ἤκουεν, οὔτ᾽ ἐκόλαζεν c
197 οὔτ᾽ [1] ἐτίμα τοὺς πολίτας, ἀλλ᾽ ἐξ ὧν αὐτὸς συνῄδει, τὰς
κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. ἐν [2] τοιαύταις δ᾽ ἐπιμελείαις
αὑτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην
προσπιπτόντων οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν, ἀλλ᾽
οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε
τοὺς [3] εἰσαφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς
ζηλοῦν ἢ τοὺς [4] ἄλλους τῆς ὑπ᾽ [5] ἐκείνου βασιλείας· ἅπαντα d
γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρη-
στοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ
τοὺς [6] ἐξαμαρτόντας κολάζων· οὐδὲν μὲν συμβούλων δεόμε-
νος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν
[7] χρωμένων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν [8] περιγι-
γνόμενος· σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς,
ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως e
οὐδ᾽ ἀνωμάλως διακείμενος, ἀλλ᾽ ὁμοίως τὰς ἐν τοῖς [9] ἔργοις
ὁμολογίας ὥσπερ τὰς ἐν τοῖς [10] λόγοις διαφυλάττων· μέγα
φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ᾽ ἐπὶ τοῖς δι᾽ αὑτὸν
[11] γιγνομένοις· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ᾽ αὑτῷ
ποιούμενος, τοὺς δ᾽ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλού- 198
μενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ
πολὺ τὴν τῶν ἄλλων [12] φύσιν ὑπερβάλλειν· ἡγούμενος τῶν
ἡδονῶν, ἀλλ᾽ οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν· ὀλίγοις πόνοις πολ-
λὰς ῥᾳστώνας κτώμενος, ἀλλ᾽ οὐ διὰ μικρὰς ῥᾳθυμίας με-
γάλους πόνους ὑπολειπόμενος· ὅλως [13] οὐδὲν [14] παραλείπων,
ὧν προσεῖναι [15] δεῖ τοῖς βασιλεῦσι, ἀλλ᾽ ἐξ ἑκάστης [16] τῆς b
πολιτείας [17] ἐξειλεγμένος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν
ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως
[18] ὅλης διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς [19] τοὺς κινδύνους

[1] ἐπετίμα τοῖς πολίταις A. L. [2] ταῖς τοιαύταις A. C. L. [3] ἀφικνουμένους A. C. L. [4] ἀρχομένους A. C. L. [5] ἐκείνῳ C. [6] ἐξαμαρτάνοντας A. C. L. [7] ἑταίρων A. [8] περιγενόμενος A. L. [9] λόγοις A. C. L. [10] ὅρκοις A. C. L. [11] γιγν. ἀγαθοῖς· A. C. L. [12] φύσιν τῶν ἄλλων A. C. L. [13] δὲ οὐδὲν A. C. L. [14] παραλιπὼν A. L. [15] τοῖς βασ. πρέπει A. C. L. [16] τῆς om. A. C. L. [17] ἐκλεγόμενος A. C. L. [18] ὅλης om. A. C. L. [19] τοὺς om. A. C. L.

Τῆς ἀρχῆς — βασιλείας] Sub. ἕνεκα. Auger.

Τῶν χρωμένων] Τῶν φίλων. Cor. Hunc locum exhibet Stobæus p. 329.

Ταῖς τοῦ προσώπου συναγωγαῖς] Ταῖς κατηφείαις, ἀπὸ τοῦ παρακολουθοῦντος τοῖς οὖσι σεμνοῖς ἢ δοκεῖν βουλομένοις· συνῆκται γὰρ αὐτῶν τὰ πρόσωπα. Idem.

Χαλεπαίνειν] De rege indignante dicitur, ut ap. Ælian. V. H. xii. 54. Vid. Valckenaer. Diatr. Eurip. Hippol. annexæ c. 25. p. 289. Find.

εὐβουλίᾳ, [1] μεγαλόφρων δὲ τῷ πᾶσι τούτοις διαφέρειν. καὶ
ταῦθ᾽ ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν
τῶν ἔργων ῥᾴδιον καταμαθεῖν.

κ΄. Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ
c διὰ τὴν [2] τῶν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδε-
χομένην οὔτε τέχνας ἐπισταμένην οὔτ᾽ ἐμπορίῳ χρωμένην
οὔτε [3] λιμένα κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, καὶ 198
πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο καὶ τείχη
προσπεριεβάλετο καὶ τριήρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλ-
λαις [4] κατασκευαῖς οὕτως ηὔξησε τὴν πόλιν ὥστε μηδεμιᾶς
τῶν Ἑλληνίδων [5] ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνε-
ποίησεν ὥστε φοβεῖσθαι πολλοὺς τῶν πρότερον καταφρο-
d νούντων αὐτῆς. καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμ-
βάνειν οὐχ οἷόν τ᾽ ἐστὶν, [6] ἢν μή τις αὐτὰς διοικῇ τοιούτοις
ἤθεσιν, οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δ᾽ ὀλίγῳ πρότερον
ἐπειράθην διελθεῖν. ὥστ᾽ οὐ δέδοικα, μὴ φανῶ μείζω λέγων
τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν ἀπολειφθῶ τῶν
πεπραγμένων αὐτῷ. τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως,
ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν, ἀλλὰ
e καὶ [7] τὸν τόπον ὅλον τὸν περιέχοντα τὴν νῆσον ἐπὶ πρᾳότητα
καὶ μετριότητα προήγαγε; πρὶν [8] μὲν λαβεῖν Εὐαγόραν τὴν
ἀρχὴν οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ
τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵ τινες
[9] ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν·
199 νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν, ὥσθ᾽ ἁμιλλᾶσθαι μὲν
οἵ τινες αὐτῶν δόξουσι φιλέλληνες εἶναι [10] μάλιστα, παιδο-
ποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας λαμβάνοντας
παρ᾽ ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι καὶ τοῖς ἐπιτηδεύ-

[1] τυραννικὸς A. C. L. [2] τῶν om. A. [3] λιμένας A. C. L.
[4] παρασκευαῖς A. C. L. [5] πόλεων ἀπολελ. A. C. L. [6] ἂν A. C. L.
[7] τὸν περιέχοντα τόπον A. C. L. [8] μὲν γὰρ A. C. L. [9] ἂν ὠμότατα A. C. L.
[10] μᾶλλον εἶναι A. C. L.

Τριήρεις ἐναυπηγήσατο] Sic τείχη τειχίζεσθαι Busir. §. ς΄. λειτουργίας λειτουργεῖν Ægin. §. ιζ΄. Idem.

Τοιαύτης φύσεως] Pro τοιούτου ἀνθρώπου. Auger. *dicendo sive verbis exæquet tale ingenium.* Lang.

Προήγαγε] Προάγειν significat præire aliis ad virtutem, h. e. suo exemplo auctoritateque, seu eo quod virtutem, quam aliis commendaveris, ipse vita exprimas, efficere ut hanc virtutem, antea ab iis neglectam, adamare atque colere incipiant. Find.

Ἀπροσοίστως] *omnem congressionem respuens inhumaniter.* Lang. Ἀπροσομιλήτως, ἀμίκτως, ἀγρίως, οἷς δηλονότι οὐχ οἷόν τε προσφέρεσθαι καὶ πλησιάζειν. Cor.

μασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς,
πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν καὶ [1] περὶ τὴν ἄλλην
παίδευσιν ἐν τούτοις τοῖς τόποις διατρίβειν ἢ παρ᾽ οἷς πρό-
τερον εἰωθότες ἦσαν. καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ b
ἂν Εὐαγόραν αἴτιον εἶναι [2] προσομολογήσειεν.

κα´. Μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς
ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ
[3] κἀγαθοὶ τὰς αὑτῶν πατρίδας ἀπολιπόντες ἦλθον εἰς Κύ-
προν οἰκήσοντες, ἡγούμενοι [4] κουφοτέραν καὶ νομιμωτέραν
εἶναι τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν. ὧν τοὺς
μὲν ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ
199 τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων τίς c
οὐκ οἶδεν, ὅτι δυστυχησάσης τῆς πόλεως ἐξ ἁπάντων ἐκλε-
ξάμενος ὡς Εὐαγόραν ἦλθε νομίσας καὶ τῷ σώματι βεβαι-
οτάτην εἶναι τὴν παρ᾽ [5] ἐκείνῳ καταφυγήν, καὶ τῇ πόλει
τάχιστ᾽ ἂν αὐτὸν γενέσθαι βοηθόν. [6] καὶ πολλὰ πρότερον
ἤδη κατωρθωκώς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν
ἄμεινον ἢ περὶ [7] τούτου βουλεύσασθαι· συνέβη γὰρ αὐτῷ
διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον καὶ ποιῆσαι καὶ παθεῖν d
πλεῖστα ἀγαθά. πρῶτον μὲν γὰρ οὐκ [8] ἔφθασαν ἀλλήλοις
πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς
ἢ [9] τοὺς πρότερον οἰκείους ὄντας. ἔπειτα περί τε τῶν ἄλλων
ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς
ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔσχον. ὁρῶντες γὰρ
αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν καὶ μεγάλῃ μεταβολῇ
κεχρημένην λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσή-
κοντα ποιοῦντες· τῷ μὲν γὰρ ἦν φύσει πατρίς, τὸν δὲ [10] διὰ e
πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο.

[1] τῶν περὶ A. C. L. [2] ὁμολογήσειεν A. L. [3] καὶ ἀγαθοὶ A. C. L. [4] κοινοτέραν εἶναι καὶ νομιμωτέραν A. C. L. [5] ἐκείνου A. L. ἐκεῖνον C. [6] πολλὰ δὲ A. C. L. [7] τούτων βεβουλεῦσθαι A. C. L. [8] ἔφθησαν A. C. L. [9] τοὺς om. L. [10] καὶ διὰ L.

Δυστυχησάσης τῆς πόλεως] Scil. τῆς τῶν Ἀθηναίων. Intelligenda est autem clades accepta in Hellesponto ad Ægospotamos: cum Athenienses a Lysandro tanta clade affecti sunt, ut et mœnia subruere cogerentur et libertatem amitterent. Wolf. Cf. Lysiam Ἀπολ. Δωροδ. Xenoph. Hell. ii. 1. Diod. Sic. xiii. 106. Pausan. iii. 11. Aristot. Rhet. ii. 23. Plutarch. in Lysand. Vit. Justin. v. 8.

Ἐκλεξάμενος] Scil. τὸν Εὐαγόραν. Wolf.

Περὶ πλείονος — ὄντας] Ὁ νοῦς· Περὶ πλείονος ἕτερος τὸν ἕτερον ἐποιήσατο ἢ τοὺς ὄντας ἑαυτῷ πρότερον οἰκείους. Cor. *se pluris fecerunt, quam si ante jam summa inter eos familiaritas intercessisset.* Find. Quocum facit Langius. Vid. Findeisenum in not. et Ind. s. voc. οἰκεῖος.

Τῷ μὲν] Τῷ Κόνωνι. Cor.

Τὸν δὲ] Τὸν Εὐαγόραν. Idem.

σκοπουμένοις δὲ αὐτοῖς ὅπως τῶν συμφορῶν αὐτὴν [1] ἀπαλ-
λάξουσι, [2] ταχὺν τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν·
200 ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θά-
λατταν, εἰς τοῦτ' ἀπληστίας ἦλθον ὥστε καὶ τὴν Ἀσίαν
κακῶς ποιεῖν ἐπεχείρησαν. λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν
καιρὸν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων ὅ τι
[3] χρήσωνται τοῖς [4] πράγμασιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ
γῆν ἀλλὰ κατὰ θάλατταν τὸν πόλεμον τὸν πρὸς Λακεδαι-
μονίους ποιεῖσθαι, νομίζοντες εἰ μὲν πεζὸν στρατόπεδον
καταστήσαιντο καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπει-
b ρον [5] μόνον καλῶς ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσειαν,
[6] ἅπασαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. ὅπερ
συνέβη· πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτι-
κοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν καὶ
τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώθησαν,
ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν
[7] ἀνέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. καὶ ταῦτ'
c ἐπράχθη, Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ αὐτόν 200
τε παρασχόντος καὶ τῆς δυνάμεως τὴν πλείστην παρα-
σκευάσαντος. ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς
μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, οὗπερ
τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος, πλησίον ἐκείνου τε καὶ
σφῶν αὐτῶν, ἀμφοτέρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς
εὐεργεσίας καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους.

κβ'. Βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν,
d ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσού-

[1] ἀπαλλάξωσι A. [2] ταχὺ A. C. L. [3] χρήσονται A. L.
[4] παροῦσιν A. C. L. [5] μόνην A. C. L. [6] πᾶσαν A. C. L.
[7] ἀπέλαβε A. C. L.

Ἄρχοντες γὰρ κ. τ. λ.] Scil. οὗτοι. *cum et mari et terra duces essent Lacedæmonii* (Corn. Nep. Aristid. 2.), vel *cum cuncta Græcia sub Lacedæmoniorum esset imperio* (Corn. Nep. Con. 4.). Find:

Ὥστε καὶ — ἐπεχείρησαν] Guarinus: *ut totius Asiæ imperium affectarent.* His verbis utitur Justinus, eadem de re exponens. vid. l. vi. 1. Fiebat autem hoc duce Agesilao, quem Lacedæmonii, victis ad Ægos flumen Atheniensibus, magno cum exercitu in Asiam miserunt ad eam occupandam. Vid. Xenoph. Ages. 1. Corn. Nep. Ages. c. 2. sq. Idem.

Ὅπερ συνέβη] Γραπτέον· ὅπερ καὶ συνέβη. Cor.

Κατεναυμαχήθησαν] Vid. Corn. Nep. Con. c. 4. et Justin. vi. 3.

Εὐαγόρου — παρασχόντος] Guarinus: *Evagoraque ipsam præbente victoriam.* inepte. Intell. συναγωνιζόμενον αὐτῷ. *ita autem ut Evagoras ei se præberet auxiliatorem, seu eum in hoc bello gerendo adjuvaret.* Find.

Τὴν πλείστην] Scil. μερίδα. Lang.

Πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν] *tum Jovi tum sibi ipsis vicinas.* Idem.

τῷ μᾶλλον ἔδεισεν αὐτούς. περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν
ἔσται λόγος· ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς
λαθεῖν ἐζήτησε. φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ
τὸν ἐν Κύπρῳ πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω
δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ Κῦρον
τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. [1] μέγιστον δὲ e
τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς τοσοῦτον
κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν
αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ
πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ πολεμεῖν
πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὴν παντά- 201
πασιν ἀλόγως βουλευσάμενος. ἠπίστατο μὲν γὰρ πολλοὺς
καὶ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων ἐκ ταπεινῶν καὶ
φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους,
ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις
αὐτῷ καὶ [2] τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν
γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα καὶ
τὴν τύχην αὐτῷ συναγωνιζομένην· ὥστ' οὐχ ὑπὲρ τῶν γεγε- b
νημένων ὀργιζόμενος ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος,
οὐδὲ περὶ Κύπρου μόνον δεδιὼς ἀλλὰ πολὺ περὶ μειζόνων,
ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν· οὕτω δ' οὖν ὥρμησεν,
ὥστ' εἰς τὴν [3] στρατείαν ταύτην πλέον ἢ [4] τάλαντα πεντα-
κισχίλια καὶ μύρια [5] κατηνάλωσεν.

[1] καὶ τούτου μέγιστον τεκμ. A. C. L. [2] τὰς δόξας τῶν A. C. L.
[3] στρατιὰν A. L. [4] πεντάκις μύρια τάλαντα A. C. L. [5] κατανάλωσεν C.

Ἄλλος] Idem valet ac ἄλλως. *alio loco.* Idem.

Ἔλαθεν αὐτὸν] Ὁ Κῦρος τὸν ἀδελφὸν αὐτοῦ καὶ βασιλέα Ἀρταξέρξην ἔλαθεν ἐπιστὰς ἐπὶ τὸ βασίλειον, τουτέστι, ἔφθη παραγενόμενος, πρὶν ἐκεῖνον εἰδῆσαι. Cor. Cf. Paneg. §. μ'.

Μεταξὺ πάσχων εὖ] *interim patiens bene,* i. e. interea dum beneficiis ab illo afficiebatur. Lang. Ἐν αὐτῷ τῷ χρόνῳ, ἐν ᾧ ὠφελεῖτο ὑπ' Εὐαγόρου. Cor.

Φαύλων] Εὐτελῶν. Idem.

Πραγμάτων] Post πραγμάτων Wolf. omissum esse putat, vel omissum videri posse dicit, ὁρμηθέντας: non negat tamen Isocratem et alibi ita locutum esse. Lang. *opibus et copiis parvis nec firmis.* ut πολλοὶ ἐκ ταπεινῶν καὶ φ. πραγμάτων μεγάλας δυναστείας κατεργάσασθαι dicantur, ut Paneg. §. λη'. μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ποιῆσαι. fere ut Corn. Nep. Pelop. c. 2. "Magnæ sæpe res non ita magnis copiis sunt gestæ." Vel verba vertenda sunt: *cum re tenui et vili uterentur.* nam præpositio cum suo casu sæpe totam propositionem exprimit. Sic. Nep. l. l. "sed profecto nunquam a tam tenui initio tantæ opes sunt profligatæ." Quare non est, cur cum Wolfio existimes hic omissum esse ὁρμηθέντας, etsi sciam id tum addi ab Isocrate. Find.

Ἔχοντα] Non significat *habentem,* sed *se habentem:* refertur ad φύσιν, et idem valet ac ὄντα. Auger.

Δεδιὼς] Ut enim Pomp. Mela l. ii. 7. tradit, Cyprus novem regna cepit, quæ sub imperio regis Persarum fuisse auctor est Diod. Sic. xvi. Quare rex Persarum timebat, ne Evagoras, cujus opes indies augebantur, a se deficeret, et reliqui, qui erant in Cypro reguli, hujus auctoritatem atque exemplum sequerentur. Find.

κγ΄. Ἀλλ᾽ ὅμως Εὐαγόρας, πάσαις ἀπολελειμμένος ταῖς
δυνάμεσιν, ἀντιτάξας τὴν αὑτοῦ γνώμην πρὸς τὰς οὕτως 201
c ὑπερμεγέθεις παρασκευὰς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ
θαυμαστότερον ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. ὅτε μὲν
γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν αὑτοῦ πόλιν [1] μόνην εἶχεν·
ἐπειδὴ δ᾽ ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν καὶ τοιοῦτον
εἶχε [2] Πνυταγόραν τὸν υἱὸν τὸν αὑτοῦ συναγωνιστὴν, ὥστε
μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δ᾽
ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε, Κιλικίαν δὲ βασι-
d λέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥστε
πολλοὺς [3] Περσῶν πενθοῦντας τὰς αὑτῶν συμφορὰς με-
μνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου· τελευτῶν δ᾽ οὕτως ἐνέπλη-
σεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστ᾽ εἰθισμένων τὸν ἄλλον χρόνον
τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι πρὶν κύριοι
γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο λύ-
σαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐα-
e γόρου τυραννίδος. καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ
δύναμιν μεγίστην ἐχόντων κατ᾽ ἐκεῖνον τὸν [4] χρόνον, ἐντὸς
τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν· Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη
δέκα τῶν αὐτῶν κύριον [5] αὐτὸν κατέλιπεν, ὧνπερ ἦν καὶ
πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. ὃ δὲ πάντων [6] δεινότατον·
202 τὴν γὰρ πόλιν ἣν Εὐαγόρας ἑτέρου τυραννεύοντος μετὰ πεν-
τήκοντ᾽ ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας τοσαύτην
δύναμιν ἔχων οὐχ οἷός τ᾽ ἐγένετο χειρώσασθαι.

κδ΄. Καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν ἢ τὴν φρόνησιν ἢ
σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου φανερώτερον ἐπιδεί-
ξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; οὐ γὰρ μόνον
φανεῖται τοὺς ἄλλους πολέμους ἀλλὰ καὶ τὸν τῶν ἡρώων
b ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. οἱ

[1] μόνην πόλιν A. C. L. [2] Πρωταγόραν A. C. L. [3] τῶν Περσῶν A. C. L
[4] καιρὸν A. C. L. [5] αὐτὸν om. A. C. L. [6] θαυμαστότατον A. C. L.

Πνυταγόραν] Vid. Theopompus ap. Phot. cod. clxxvi. et Diod. Sic. l. l.

Λύσαντες] Λύειν τὸν νόμον, *instituta patria non servare, recedere a more patriæ.* Vid. Raphel. Annott. ex Polyb. et Arrian. ad Ioh. vii. 23. Find.

Ἀφείλετο] Scil. rex Persarum.

Τῶν αὐτῶν κύριον] Hæ enim conditiones pacis fuerunt, ut Evagoras, regis nomine utens (servum enim se regis dici noluit, quod postulabatur), regi Persarum, sicut ante defectionem, dicto audiens esset. Vid. Συνθήκας Ὀρόντου πρὸς Εὐαγόραν Diod. Sic. xv. Wolf.

Τυραννεύοντος] Βασιλεύοντος. Cor.

μὲν γὰρ [1] μεθ' ἁπάσης Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ
μίαν πόλιν ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν·
ὥστ', εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν [2] ἐβουλή-
θησαν ὅσοιπερ ἐκείνους, πολὺ ἂν [3] μείζω καὶ τὴν δόξαν
αὐτῶν ἔλαβε.

κέ. Τίνα γὰρ [4] εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς
202 μύθους [5] ἀφέντες τὴν ἀλήθειαν [6] σκοποῖμεν, τοιαῦτα δια-
πεπραγμένον, ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πρά-
γμασιν αἴτιον γεγενημένον; ὃς αὐτὸν μὲν ἐξ ἰδιώτου τύραννον c
κατέστησε, τὸ δὲ γένος ἅπαν [7] ἀπεληλαμένον τῆς πολιτείας
εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε, τοὺς δὲ πο-
λίτας ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ
πολεμικούς, ἐξ ἀδόξων δὲ ὀνομαστούς, τὸν δὲ τόπον ἄμι-
κτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον ἡμερώ-
τερον καὶ πραότερον κατέστησεν, ἔτι δὲ πρὸς τούτοις εἰς
ἔχθραν μὲν βασιλεῖ καταστὰς οὕτως αὐτὸν ἠμύνατο καλῶς, d
ὥστ' ἀείμνηστον [8] γεγενῆσθαι τὸν πόλεμον τὸν περὶ Κύ-
προν, ὅτε δ' ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον αὐτὸν
παρέσχε τῶν ἄλλων, ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ
συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον, ἧς
γενομένης βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη,
Λακεδαιμόνιοι δ' ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν περὶ τῆς
αὑτῶν κινδυνεύειν ἠναγκάσθησαν, οἱ δ' Ἕλληνες ἀντὶ δου- e
λείας [9] αὐτονομίας ἔτυχον, Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν

[1] μετὰ πάσης A. C. L. [2] ἠβουλήθησαν C. [3] μείζω ἂν C. μείζον' ἂν A. L. [4] ἂν εὑρήσομεν A. C. L. [5] νῦν ἀφέντες A. C. L. [6] σκοπῶμεν A. L. [7] ἀπεληλαμένον ἅπαν A. C. L. [8] γενέσθαι A. C. L. [9] αὐτονομίαν ἔσχον A. C. L.

Τῶν τότε γενομ.] I. e. tempore Trojani belli. Augerus male: 'tunc quum Evagoras viveret.' Est enim expresse adjectum: Missis de heroibus temporis Trojani fabulis, quæ poetis, non veritati debentur. LANG.

Γεγενημένον] Supple ὅσων Εὐαγόρας. AUGER.

Ἀπεληλαμένον τῆς πολιτείας] *regno pulsum.* LANG.

Ἄμικτον] *purum*, i. e. cujus incolæ cum aliis hominibus non miscentur. H. l. idem est ac ἄξενος, *inhospitalis*, uti Wolf. explicuit. Alias ἀπρόσμικτος et δυσπρόσμικτος. LANG.

Σύμμαχος] Positum est pro ἐπίκουρος. FIND.

Τῶν ἄλλων] Intelliguntur reliqui, qui erant præter Evagoram in Cypro reguli, et aliæ civitates maritimæ, quibus auctore Corn. Nep. Con. c. 4. rex Persarum per Cononem ad bellum cum Lacedæmoniis gerendum naves longas imperavit. Vid. §. κα'. IDEM.

Τὴν ἤπειρον] Τὴν Ἀσίαν ὧδε, ἢ μᾶλλον τῆς Ἀσίας τὴν ὑπὸ τῷ Περσῶν βασιλεῖ τελοῦσαν. COR. Lacedæmonii enim, pugna navali apud Cnidum superati, a Thebanis et Atheniensibus bello petebantur, et ab his victi ex Asia Agesilaum revocabant, ut patriæ laboranti subveniret atque eam ab obsidionis periculo tutam præstaret. Vid. Xenoph. Ages. c. 1. §. 36. Corn. Nep. Ages. c. 4. et Justin. l. vi. 4. FIND.

Ἀθηναῖοι δὲ κ. τ. λ.] Citat Coraes Demosth. adv. Leptin. p. 477. ed. Reisk.

ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας ἐλθεῖν [1] αὐτοῖς τὴν ἀρχὴν [2] δώσοντας.

κϛʹ. Ὥστ᾽, εἴ τις ἔροιτό με τί νομίζω μέγιστον εἶναι τῶν
203 Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, [3] ἐξ ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν κατασταίην. [4] ἀεὶ γάρ μοι δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ᾽ ὅ τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην.

κζʹ. Ὥστ᾽, εἴ τινες τῶν προγεγενημένων δι᾽ ἀρετὴν
b ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς, σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε [5] χρόνον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ [6] τοὺς ὀνομαστοτάτους
εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, Εὐαγό- 203
ρας δ᾽ οὐ μόνον θαυμαστότατος ἀλλὰ καὶ μακαριώτατος [7] ἐξ ἀρχῆς ὢν διετέλεσεν.

κηʹ. Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας; ὃς τοιούτων μὲν προ-
c γόνων ἔτυχεν οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ γέγονε, τοσοῦτον δὲ καὶ τῷ σώματι καὶ τῇ γνώμῃ [8] τῶν ἄλλων διήνεγκεν ὥστε μὴ μόνον Σαλαμῖνος ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν, κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν ἐν ταύτῃ τὸν βίον διετέλεσε, θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὑτοῦ μνήμην κατέλιπε, τοσοῦτον δ᾽ ἐβίω χρόνον ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι μήτε τῶν [9] νόσων μετασχεῖν τῶν διὰ ταύτην τὴν
d ἡλικίαν γιγνομένων· πρὸς δὲ τούτοις, ὃ δοκεῖ σπανιώτατον

[1] ὡς αὐτοὺς A. C. L. [2] παραδώσοντας A. C. L. [3] δι᾽ A. C. L.
[4] τοῦτο A. C. L. [5] βίον A. C. L. [6] τοὺς om. A. C. L.
[7] ἐξ ἀρχῆς ὢν διετέλεσεν ἀλλὰ καὶ μακαριστότατος A. C. L.
[8] τῶν ἄλλων καὶ τῇ γνώμῃ (ῥώμῃ A.) A. C. L. [9] νοσημάτων A. C. L.

Καθ᾽ ὅ τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην] Refer αὐτῶν ad ἐπιμελείας et alios accusativos sequentes, et interpretare: *ad quodcunque horum mentem applicuero*, i. e. quodcunque horum mente attentiori considero. Auger. *ad quodcunque eorum animum intendam.* Lang. Καθ᾽ ὅ τι ἂν πρῶτον γένωμαι τῷ λογισμῷ καὶ προσέξω τὸν νοῦν. Cor.

Τὸν ἐνθάδε] Τὸν ἐπὶ τῆς γῆς. Wolf.

Θεοφιλέστερον] Ἀντὶ τοῦ, μᾶλλον ὑπὸ θεοῦ φιλούμενον. Cor.

Ἀπέλιπεν] I. e. οὐ προσῆν αὐτῷ. Wolf.

Εὐδαιμονίας] Scil. μέρος. Idem.

Τῇ γνώμῃ] Γνώμην ἐνταῦθα, καθὰ καὶ μικρὸν ἀνωτέρω, τὸν νοῦν ἢ τὴν ψυχὴν λέγει. Cor.

εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυ-
παιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ᾿ αὐτῷ
συνέπεσε· καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ [1] γεγονότων
οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον,
ἀλλὰ τὸν μὲν βασιλέα καλούμενον, τοὺς δὲ ἄνακτας, τὰς
δὲ ἀνάσσας. ὥστ᾿, εἴ τινες τῶν ποιητῶν περί τινος τῶν
[2] γεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες ὡς ἦν θεὸς e
ἐν ἀνθρώποις ἢ δαίμων [3] θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ
τὴν ἐκείνου φύσιν [4] ῥηθῆναι μάλιστ᾿ ἂν ἁρμόσειε.

κθʹ. Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἴομαι παρα-
λιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ᾿ ἧς 204
ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαι-
νον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον [5] κατὰ τὴν ἐμὴν
δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν.

λʹ. Ἐγὼ δ᾿, ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνη-
μεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας, πολὺ μέντοι πλείονος
ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις
ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε. προκρίνω δὲ
ταύτας, πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς [6] κἀγαθοὺς τῶν b
ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομέ-
νους, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ [7] γνώμῃ φιλοτιμουμένους·
204 ἔπειθ᾿ ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι
[8] μόνοις παρ᾿ οἷς ἂν σταθῶσι, τοὺς δὲ λόγους ἐξενεχθῆναι
οἷόν τ᾿ ἐστὶν εἰς τὴν Ἑλλάδα, καὶ διαδοθέντας ἐν ταῖς τῶν
εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ᾿ οἷς κρεῖττόν
ἐστιν ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς δὲ τού- c

[1] γενομένων A. C. L. [2] προγεγενημένων A. C. L. [3] ἀλλ᾿ οὐ θνητὸς A. C. L. [4] ῥηθῆναι φύσιν A. C. L. [5] ἦν κατὰ A. C. L. [6] καὶ ἀγαθοὺς A. C. L. [7] μνήμῃ A. C. L. [8] μόνον A. C. L.

Συνέπεσε] Συνέβη. Idem.

Τὸ μέγιστον] Sub. ἐστί. Auger.

Τὸν μὲν] Τὸν Νικοκλέα. Cor.

Ἄνακτας — ἀνάσσας] Anglice: *princes — princesses.*

Τῶν ποιητῶν] Τὸν Ὅμηρον αἰνίττεται, εἰπόντα περὶ τοῦ Ἕκτορος Ἰλ. Ω. 258.

Ἕκτορά θ᾿, ὃς θεὸς ἔσκε μετ᾿ ἀνδράσιν, οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.

διαφέρουσι δὲ θεῶν δαίμονες, τῷ τοὺς μὲν δώδεκα τὸν ἀριθμὸν ὄντας κυρίως θεοὺς εἶναι καὶ μεγάλους θεοὺς λέγεσθαι. τοὺς δὲ δαίμονας τρισμυρίους τὸν ἀριθμὸν, ὥς φησιν Ἡσίοδος, φύσιν ἔχειν μεταξὺ θεῶν καὶ ἀνθρώπων. τρίτοι δὲ παρὰ τούτους ἦσαν οἱ καλούμενοι ἡμίθεοι ἢ ἥρωες, τουτέστιν, οἱ γεγονότες ἐκ θεοῦ καὶ θνητῆς ἢ ἐκ θνητοῦ καὶ θεᾶς, καὶ μετὰ θάνατον εἰς θεοὺς ἀναγόμενοι. Cor.

Περὶ τὴν ἐκείνου φύσιν] Ἀντὶ τοῦ, περὶ τῆς ἐκείνου φύσεως. Idem.

Εἰς Εὐαγόραν] Ἀνηκόντων. Idem.

Τοὺς μὲν τύπους] Τὰς μὲν εἰκόνας. Idem.

Ἀγαπᾶσθαι] Θαυμάζεσθαι, ἐπαινεῖσθαι, ἀποδοχῆς ἀξιοῦσθαι. Idem.

τοις, ὅτι τοῖς μὲν πεπλασμένοις καὶ [1] γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε, τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας [2] ῥάδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥαθυμεῖν αἱρουμένοις ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις.

λα΄. Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τὸν λόγον [3] τοῦτον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ
d τοῖς ἄλλοις τοῖς ἀπ᾽ Εὐαγόρου γεγονόσι πολὺ καλλίστην ἂν γενέσθαι ταύτην [4] παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη θεωρεῖν ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς. τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες [5] τοὺς εὐλογουμένους τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλο-
e τρίοις παραδείγμασι χρώμενος ἀλλ᾽ οἰκείοις παρακαλῶ, καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν Ἑλλήνων.

λβ΄. Καὶ μὴ νόμιζέ με καταγιγνώσκειν ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. οὐ γὰρ οὔτ᾽
207 ἐμὲ [6] λέληθας οὔτε τοὺς ἄλλους, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων φιλοσοφεῖν καὶ φιλοπονεῖν [7] ἐπικεχείρηκας, οὐδ᾽ ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις ζηλώσαντας τὴν σὴν παίδευσιν τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ᾽ οἷς νῦν λίαν χαίρουσιν.

[1] τοῖς γεγρ. A. C. L. [2] ἐκ τούτων ῥᾴδιον A. C. L. [3] τοῦτον τὸν λόγον A. C. L. [4] τὴν παράκλησιν A. L. [5] ἐκ τούτων τοὺς A. C. L. [6] λέληθεν A. C. L. [7] ἐπεχείρησας A. C. L.

Τοῖς μὲν πεπλασμένοις κ. τ. λ.] Τοῖς ἐκ πηλοῦ πεποιημένοις καὶ τοῖς διὰ χρωμάτων μεμιμημένοις, ὁ δὲ νοῦς τοῦ ὅλου χωρίου· Οὐδεὶς ἂν πεπλασμένον ἢ γεγραμμένον ἰδὼν ἄνδρα, πρὸς ἐκεῖνον τὸ ἑαυτοῦ σῶμα ὁμοιώσειεν, οἷον εἴ τις Ἡρακλέους ἀνδριάντα ἀκριβῶς θεωρήσειε καὶ κατασκέψαιτο, οὐκ ἂν Ἡρακλέους ῥώμην προσκτήσαιτο, ἄῤῥωστος ὢν αὐτὸς τῷ σώματι. οἱ δὲ μὴ ῥαθυμεῖν, ἀλλ᾽ εἶναι χρηστοὶ βουλόμενοι, ῥᾳδίως ἂν ἐκ τῆς ἀκοῆς τῶν ἐπαίνων τούτων μιμήσαιντο τοὺς ἀλλήλων τρόπους, καὶ τὰς διανοίας τὰς ἐνυπαρχούσας ἐν τοῖς λεγομένοις, τουτέστι, τὰς διὰ τῶν λεγομένων φανερὰς γιγνομένας. Μετήνεγκε τοῦτο τὸ χωρίον ὁ Κικέρων ἐν τῷ ὑπὲρ Ἀρχίου λόγῳ κεφ. 12. μικρὸν παρεγκλίνας καὶ τῇ καθ᾽ ὑπόκρισιν ἐρωτήσει δεινώσας, πρὸς δὲ καὶ ὁ Τάκιτος ἐν τῷ βίῳ τοῦ Ἀγρικόλα κεφ. 46. Idem.

Ἀλλήλων] F. leg. τῶν ἄλλων. Auger. Cor. Attamen ferri potest ἀλλήλων. Lang.

Παράκλησιν] Προτροπὴν ἐπὶ τὴν Εὐαγόρου μίμησιν. Cor.

Θεωρεῖν] Ὡς εἰκόνα. Idem.

Συνδιατρίβειν αὐταῖς] Ἀναγινώσκειν αὐτάς. Idem.

Ἑτέρους] Opponitur οἰκείοις v. 15. Lang. Μηδὲν ἐκείνοις προσήκοντας, ἀλλοτρίους. Cor.

Τοὺς εὐλογουμένους] Τοὺς ἐπαινουμένους. Idem.

Οὐκ ἀλλοτρίοις κ. τ. λ.] Cf. Demosth. Olynth. Γ. §. θ΄.

Ἀφεμένους] Sub. ἀπὸ τούτων. Auger.

ἀλλ' ὅμως ἐγὼ ταῦτ' εἰδὼς οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταὐτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί· καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης [1] ἁμιλλωμένοις.

λγ'. Ἐμὸν μὲν οὖν [2] ἔργον καὶ τῶν ἄλλων φίλων τοιαῦτα
205 [3] λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ τὸν [4] λοιπὸν χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσῃ καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. [5] ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ' ὑμῖν τοῖς πλείστων [6] καὶ μεγίστων κυρίοις οὖσι. χρὴ δ' οὐκ ἀγαπᾷν εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν εἰ τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν [7] ἐκ Διὸς, τὸ δ' ὑπογυιώτατον ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετὴν, [8] μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἐὰν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ καὶ τοσοῦτον ἐπιδιδῷς ὅσον περ νῦν, ταχέως γενήσῃ τοιοῦτος οἷόν σε προσήκει.

[1] ἀγωνιζομένοις A. C. L. [2] ἔστι A. C. L. [3] καὶ λέγειν A. C. L. [4] ἄλλον A. C. L. [5] ὧν L. [6] καὶ μεγίστων om. A. C. L. [7] ἀπὸ A. C. L. [8] εἰ μὴ A. L. εἰ inclusit C.

Καὶ ποιῶ καὶ ποιήσω κ. τ. λ.] Ἔντεχνον καὶ πάνυ εὐφυὲς παράδειγμα, οὗ τῇ γλυκύτητι συνεκέρασε τὸ ἐκ τῆς συμβουλῆς αὐστηρόν. Cor.

Γυμνικοῖς] Quia vel nudi, ut athletæ, vel sola tunica induti, ut cursores, certabant. Find.

Παρακελεύονται] Παρακελεύεσθαι sensu proprio dicitur de spectatoribus, qui cursores cohortantur ad studium, eosque, ut loquitur Tacitus, clamore et plausu fovent. Idem.

Τοῖς περὶ τῆς νίκης] I. e. æmulos in currendo longe post se relinquentibus ideoque victoriæ proximos. Lang.

Ὧν ἅπασι κ. τ. λ.] Ὧν e Bav. revocavi et punctum post προγόνων delevi, ita ut vertendus sit locus: *quorum* (majorum vestrorum) *sapientiam magni facere omnibus quidem convenit, præsertim vero vobis, qui multos regitis.* Atque ita quoque legisse et construxisse videtur Guarinus, vertens: *quorum prudentiam.* Lang.

Ἀγαπᾷν] *contentum esse.* Sic, ἀγαπητῶς ἔχειν ap. Herodian. vi. 2. Find.

Τὸ δ' ὑπογυιώτατον] Τὸ νεώτατον, τὸ τελευταῖον, τὸ πρὸ μικροῦ, ἐπιῤῥηματικῶς. Cor.

I.

ΙΣΟΚΡΑΤΟΥΣ

ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

Pag. ed. H.Steph. 208 α΄. ΕΙΣΙ τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον Pag. ed. Cor. 206
καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν

SUMMARIUM. (α΄.) *Prologus.* Sunt qui valde sibi placeant, si de argumento absurdo et mirabili tolerabiliter dicere queant, rixisque tempus terant, quæ plus difficultatis quam utilitatis habent. (β΄.) Quodsi ineptiæ istæ ab istis inventæ essent, equidem non perinde mirarer de inventionis honore gloriantes, sed quis est, qui nesciat, Protagoram aliosque temporis illius sophistas, Gorgiam, Zenonem et Melissum, non solum talia, sed operosiora etiam scripta nobis reliquisse? (γ΄.) Qui licet evidenter ostenderint, haud difficile esse, falsam de quacunque re orationem comminisci, tamen rhetores nostri his nugis jam diu explosis immorantur, quos veritatem persequi potius decebat, auditoresque suos erudire et exercere in iis rebus, quæ ad vitam civilem pertinent, quarum vel mediocris notitia supervacanearum rerum cognitioni longe præferenda est. (δ΄.) Verum istis nihil curæ est, quam ut adolescentes bene nummatos de rebusque futilibus blaterare solentes, pecunia emungant. (ε΄.) Quæ res non tam adolescentibus quam doctoribus, discipulos decipientibus, vitio est vertenda, (ϛ΄.) qui arti mentiendi tantum favoris conciliarunt, ut nonnulli jam scribere audeant: exsulum egenorumque vitam quacunque alia optabiliorem esse, quo scilicet demonstrent, se de rebus civilibus facilius etiam dicere posse. At sophistas sapientiam sibi vindicantibus decet excellere indoctosque superare, non in iis rebus, quas Græci negligunt, sed in iis, quas universi æmulantur. Verum manifestum est, eos ob ingenii infirmitatem huc confugere, siquidem orationes ad omnium utilitatem spectantes inventionis et compositionis difficilioris sunt, quam istæ inutiles; nam parva facillime verbis superantur, et quidquid de illis dixerit aliquis, proprium ipsius est, de magnis vero secus est. (ζ΄.) Hinc laudatorem Helenæ laudo, quod sibi feminam elegerit et venustate et genere et gloria præstantem. Attamen in eo erravit, quod laudationem scripturus defensionem scripsit, ideoque rem diversissimam commiscuit. (η΄.) Ne vero reprehendere tantum videar, de propriis nihil ostendens, omnibus iis, quæ a cæteris dicta sunt, relictis, de Helena verba facere conabor. (θ΄.) *Confirmatio.* Omnium semideorum a se ortorum Jupiter solius Helenæ pater vocari voluit, eamque præ Hercule ita honoravit, ut huic robur, illi pulcritudinem dederit, ejusque formam ubique et conspicuam et viris efficerit expetendam. (ι΄.) Ac primum Theseus pulcritudine ejus victus, quum illam a parentibus fratribusque nondum adultam accipere non posset, periculis omnibus, quæ a Lacedæmone impendebant, neglectis, patria relicta Aphidnam Atticæ oppidum transtulit, ac tantum habuit gratiam Perithoo, qui cœptorum socius fuerat, ut illum ad inferos comitaretur Plutoni Proserpinam, Jovis et Cereris filiam, cujus Perithous nuptias petiit, erepturus. (ια΄.) Quodsi Theseus vir vulgaris fuisset, nondum constaret, utrum hæc narratio laus Helenæ an Thesei accusatio esset, at huic nullam virtutem defuisse reperiemur. Quo autem laudationi Helenæ majorem etiam fidem conciliemus, de Thesei, qui illam amabat, laudibus plura adjicere lubet; (ιβ΄.) in quibus viros illius ætatis fide dignissimos sequemur. (*Digressio in laudes Thesei.*) Theseus eodem tempore, quo Hercules natus, eandem quam ille gloriam æmulatus est. Uterque e fratribus, alter a Jove, a Neptuno alter, geniti, fraterna quoque studia habuerunt generisque humani quasi pugiles exstiterunt; (ιγ΄.) hoc tamen discrimine, quod Hercules,

δυνηθῶσι· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύο λόγω περὶ τῶν

laboribus ab Eurystheo sibi impositis, non tam aliis quam sibi periclitatus sit, Theseus vero, quum sui juris esset, ejusmodi certamina delegit, per quæ aut Græcorum aut suæ ipsius patriæ benefactor haberetur. Taurum nempe a Neptuno immissum, qui Atticam vastaret, quem universi aggredi non audebant, solus ille domuit magnaque trepidatione incolas urbis liberavit. Postea Lapitharum auxilio bimembres Centauros, alias urbes vastantes, aliis minitantes, prœlio vicit nec multo post funditus delevit. Circa eadem tempora monstrum illud ex Pasiphae natum, cui Atheniensium civitas bis septenos pueros ex oraculo mittebat, superavit, et liberos non solum incolumes parentibus restituit, sed civitatem etiam a tam injusto acerboque tributo liberavit. (ιδ'.) Thesei facinora semel ingressus non facile inducor, ut Scironis Cercyonisque inhumanitatem prætermittam, quibus ille superatis a multis magnisque calamitatibus Græcos liberavit. Ne vero morosis quibusdam auditoribus a proposito aberrare iisque nimium tamen concedere videar, plurimis de Theseo omissis, reliqua, quam brevissimis potero, absolvam. (ιε'.) Fortitudinem ille ostendit in iis certaminibus, ubi solus pugnavit; rei militaris peritiam in prœliis, quæ universa civitas se duce commisit; pietatem erga deos in Adrasti liberorumque Herculis supplicationibus; reliquas denique virtutes in administrandæ civitatis ratione. (ιϛ'.) Quum enim tyrannorum vitam multis de causis omnium miserrimam esse existimaret, eosque non principes, sed civitatum pestes judicaret, inter liberam civitatem et tyrannidem medium quoddam interesse ostendit. (ιζ'.) Ac primum quidem cives sparsim prius ac vicatim habitantes, in unam civitatem, quæ etiam nunc inter Græcas amplissima est, congregavit; deinde omnibus civibus aditum ad magistratus patefecit; populum summam rerum administrare jussit; pericula sibi privatim vindicavit; utilitates in commune contulit; potestate rex, beneficiis popularis vitam sine ullis insidiis summaque omnium caritate peregit. (ιη'.) Quanquam vero virtutum, quibus Helena prædita fuit, testem nec fide digniorem nec judicem magis idoneum habemus quam Theseum, tamen, ne unius viri gloria ad laudandam illam abuti videamur, ad reliqua transire placet. (ιθ'.) Post Thesei descensum ad inferos præstantissimi illius temporis reges, spretis domesticis nuptiis, Helenæ Lacedæmonem reversæ nuptias petierunt, congressique fidem sibi mutuo dederunt, se eum adjuturos, qui connubio illius dignus haberetur; (κ'.) manifestum enim fuit, de ea armis dimicatum iri. Brevi post orta inter deas de formæ præstantia contentione. Alexander, Priami filius, judex delectus, præ omnibus aliis, quæ illi offerebantur, Helenam ideo elegit, quod Jovis gener vocari, liberisque suis talem originem, quæ ad Jovem referri potest, honorificentissimum sibi et nobilitatem subolis quasi possessionem perpetuam esse existimavit. (κα'.) Sunt quidem, qui eventum hujus optionis spectantes conviciis eum incesserunt, sed isti rem maxime ridiculam faciunt, si sua ipsorum ingenia illius ingenio antecellere arbitrantur, cui deæ de re gravissima primas detulerint. (κβ'.) Non igitur mirum, Alexandrum cum illa vivere decrevisse, propter quam multi semidei mori non recusarunt, eamque rem omnibus anteposuisse, de qua deas contendere viderat. (κγ'.) Quis Helenæ conjugium neglexisset, qua rapta tantum inter Græcos Barbarosque bellum exortum est, quantum nunquam antea fuerat. Illi peregre senescere, quam hac relicta domum reverti maluerunt, hi urbes exscindi agrosque vastari siverunt, ne illam Græcis redderent, utrique existimantes, in utracunque illa femina habitaret, eam regionem felicem fore. (κδ'.) Cujus belli tanta omnes incessit cupiditas, ut non Græci solum Barbarique, sed dii etiam inter se dimicarent, nedum filios suos, etsi fatum illorum prævidebant, a certamine prohiberent. (κε'.) Atque hoc illi recte, quum omne certamen iniretur de pulcritudine, cui mortalium rerum quævis ita postponitur, ut virtus ipsa ideo præcipue celebretur, quod omnium studiorum est pulcherrimum. Pulcritudinis amor, omni deliberatione superior, a natura nobis tributus est. Formosis bene volumus, eosdem tanquam deos colimus, illis libentius inservimus quam aliis imperamus, servosque pulcritudinis strenuos elegantesque ducimus. Qui ætatis florem prostituunt, infamia notamus, formam vero suam ipsorum custodientes honoramus. (κϛ'.) At non tantum homines a pulcritudine superantur, sed ipse Jupiter omnibus rebus major pulcritudini est obnoxius, quod ejusdem cum Alcmena, Danae, Nemesi, Ledaque amores manifestant. Quin tantus apud deos pulcritudini honos tribuitur, ut uxoribus suis, quum ab illa vincuntur, ignoscant, eæque

αὐτῶν πραγμάτων ἀντειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρία
b καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι, καὶ φύσει μὲν οὐδὲν
αὐτῶν ἔχομεν, μία δ᾽ ἐπιστήμη [1] καθ᾽ ἁπάντων ἐστίν·
ἄλλοι δὲ περὶ τὰς ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφε-
λούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυνα-
μένας.

β΄. Ἐγὼ δ᾽, εἰ μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύτην
ἐν τοῖς λόγοις [2] ἐγγεγενημένην καὶ τούτους ἐπὶ [3] τῇ καινότητι
τῶν εὑρημένων φιλοτιμουμένους, οὐκ ἂν ὁμοίως ἐθαύμαζον
[4] αὐτῶν· νῦν δὲ τίς οὕτως ὀψιμαθής ἐστιν ὅστις οὐκ οἶδε
c Πρωταγόραν καὶ τοὺς κατ᾽ ἐκεῖνον τὸν χρόνον γενομένους
σοφιστὰς, ὅτι καὶ τοιαῦτα καὶ πολὺ τούτων [5] πραγματω-
δέστερα συγγράμματα κατέλιπον ἡμῖν; πῶς γὰρ ἄν τις
ὑπερβάλοιτο Γοργίαν τὸν τολμήσαντα λέγειν ὡς οὐδὲν τῶν
ὄντων ἐστὶν, ἢ Ζήνωνα τὸν ταὐτὰ δυνατὰ καὶ πάλιν ἀδύ-
d νατα πειρώμενον ἀποφαίνειν, ἢ Μέλισσον ὃς ἀπείρων τὸ

[1] κατὰ πάντων A. C. L. [2] γεγενημένην A. C. L. [3] τῇ om. A. C. L. [4] αὐτοὺς A. C. L. [5] ἔτι πραγμ. A. C. L.

non tam sileri suos cum mortalibus amores quam celebrari cupiant, pluresque ob pulcritudinem, quam ob alias virtutes in deorum numerum recipiantur. (κζ΄.) Quos quum Helena forma superaret omnes, non tantum immortalitate, sed divina etiam potentia donata est, ita ut et fratres suos immortales reddiderit et Agamemnonem, a communi Pelopidarum calamitate liberatum deumque pro mortali factum, assessorem sibi constituerit. Hinc in hunc usque diem Spartiatæ Therapnis in Laconia utrique ut diis sacra faciunt. (κη΄.) Stesichoro, qui initio carminis maledictis eam incesserat, illa potentiam suam eo ostendit, quod cæcus surrexit factaque palinodia visum recepit. Quin et Homerum ad carmina sua componenda ab ea impulsum Homeridæ quidam narrant, eaque re præcipue factum esse dictitant, ut poesis illius tam venusta tamque celebris reddita sit. (κθ΄.) Divites igitur sacrificiis illam honorare, doctos scriptis virtutes illius prædicare decet. (λ΄.) *Epilogus.* Ad ea, quæ prætermissa sunt, hoc imprimis pertinet, quod Helena in causa fuit, quod nos Barbaris non servimus. Constat enim, Græcos propter eam communem contra Barbaros expeditionem suscepisse atque tunc primum Europam de Asia triumphasse. Nam ante hoc bellum multi Barbari, calamitatibus in patria oppressi, in Græciam migrarunt ibique regnarunt, sed post idem bellum nos multas provincias Barbaris eripuimus; atque hic de Helenæ meritis locus longiori ejusdem laudationi materiam præbere potest. Lang. Non constat qua ætate hanc orationem scripserit Isocrates; sed ex hujus genere et stylo videtur tunc fuisse adolescens. Auger.

Καταγεγηράκασιν οἱ μὲν οὐ φασκ. κ. τ. λ.] I. e. διατελοῦσι λέγοντες πάντα τὸν χρόνον τῆς ἡλικίας. Wolf. Πρὸς Πρωταγόραν ταῦτα καὶ τοὺς μετ᾽ ἐκείνου σοφιστάς. Σεξτ. Ἐμπειρ. π. τ. Λογικ. 60. 382. Cor. Vid. Plat. in Protag.

Μία δ᾽ ἐπιστήμη καθ᾽ ἁπάντων ἐστὶ] Ἀντὶ τοῦ, περὶ ἁπάντων. *sola doctrina virtutes omnes comparari.* Wolf. Κατὰ pro ἐπὶ juxta Langium, pro ὑπὲρ juxta Augerum.

Τούτους] I. e. sophistas nostri temporis. Auger.

Πραγματωδέστερα] Πλείονας σοφιστικὰς καὶ ματαιολόγους δυσχερείας ἔχοντα. Cor.

Γοργίαν] Τὸν Λεοντῖνον σοφιστὴν, τὸν καὶ Ἐγκώμιον εἰς Ἑλένην γεγραφότα. Idem.

Ζήνωνα] Τὸν Ἐλεάτην φιλόσοφον, τὸν καὶ Ἀμφοτερόγλωσσον κληθέντα σκωπτικῶς ὑπὸ Τίμωνος τοῦ Φλιασίου. Idem.

Μέλισσον] Τὸν Σάμιον, ὃς καὶ στρατηγῶν τῶν Σαμίων κατεναυμάχησεν Ἀθηναίους. Idem.

πλῆθος πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς ὄντος τοῦ παν-
τὸς ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν;

γʹ. Ἀλλ' ὅμως, οὕτω φανερῶς ἐκείνων [1]ἐπιδειξάντων,
ὅτι ῥᾴδιόν ἐστι περὶ ὧν ἄν τις πρόθηται ψευδῆ μηχανήσα-
207 σθαι λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς 209
ἐχρῆν ἀφεμένους ταύτης τῆς [2]τερθρείας, τῆς ἐν μὲν τοῖς λό-
γοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις πολὺν ἤδη
χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν διώκειν, καὶ περὶ τὰς
πράξεις ἐν αἷς πολιτευόμεθα τοὺς συνόντας παιδεύειν, καὶ
περὶ τὴν ἐμπειρίαν τὴν τούτων γυμνάζειν, ἐνθυμουμένους
ὅτι πολὺ κρεῖττόν ἐστι περὶ τῶν χρησίμων ἐπιεικῶς δοξά-
ζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν
προέχειν ἐν τοῖς μεγάλοις [3]μᾶλλον ἢ πολὺ διαφέρειν ἐν b
τοῖς μικροῖς, καὶ τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν.

δʹ. Ἀλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει, πλὴν τοῦ
χρηματίζεσθαι παρὰ τῶν νεωτέρων. ἔστι δ' ἡ περὶ τὰς
ἔριδας [4]φιλοσοφία δυναμένη τοῦτο ποιεῖν· οἱ γὰρ μήτε τῶν
ἰδίων [5]πω μήτε τῶν κοινῶν φροντίζοντες τούτοις μάλιστα
χαίρουσι τῶν λόγων, οἳ μηδὲ πρὸς ἓν χρήσιμοι τυγχάνουσιν
ὄντες.

εʹ. Τοῖς μὲν οὖν τηλικούτοις πολλὴ συγγνώμη ταύτην c
ἔχειν τὴν διάνοιαν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων πρὸς
τὰς περιττότητας καὶ [6]τὰς θαυματοποιΐας οὕτω διακεί-
μενοι διατελοῦσι· τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον
ἐπιτιμᾶν, ὅτι κατηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς [7]ἰδίοις συμ-
βολαίοις ἐξαπατώντων καὶ μὴ δικαίως τοῖς λόγοις χρω-
μένων, αὐτοὶ δ' ἐκείνων δεινότερα ποιοῦσιν. οἱ μὲν γὰρ
ἄλλους τινὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας μάλιστα
βλάπτουσι. d

[1] ἀποδειξάντων A. C. L. [2] τεραθείας A. [3] μᾶλλον om. A. C. L.
[4] φιλονεικία A. C. L. [5] πω om. A. C. L. [6] τὰς om. A. C. L.
[7] ἰδίοις om. A. C. L.

Ῥᾴδιόν — λόγον] Ὡς γάρ φησιν Εὐριπίδης παρ' Ἀθην. ΙΕ. 677.

Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
Ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

IDEM.

Διατρίβουσιν] Velim addi οὗτοι, np. nostrates sophistæ. AUGER.

Τῆς τερθρείας — ἐξεληλεγμένης] *præstigiarum, quæ verbis convincere profitentur, dum reipsa convictæ sunt.* LANG.

Ἀλλὰ γὰρ οὐδενὸς κ. τ. λ.] Ἔπιθι τὸν τοῦ Ξενοφῶντος Κυνηγετικὸν κεφ. ιγʹ. ἐν ᾧ πολλὰ τοῖς Ἰσοκράτους παραπλήσια εὑρήσεις κατὰ τῶν σοφιστῶν. COR.

Τοῖς τηλικούτοις] Τοῖς ταύτην τὴν ἡλικίαν ἔχουσιν, ἤγουν τοῖς νεωτέροις, ὧν φθὰς ἐμνημόνευσε. IDEM.

Τοὺς συνόντας] Τοὺς ἰδίους μαθητάς. IDEM.

ς΄. Τοσοῦτον δὲ ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδολο-
γεῖν, ὥστ᾽ ἤδη τινὲς, ὁρῶντες τούτους ἐκ τῶν τοιούτων ὠφε-
λουμένους, τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων
καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων.
καὶ ποιοῦνται τεκμήριον ὡς, εἰ περὶ πονηρῶν πραγμάτων
ἔχουσί τι λέγειν, περί [1] γε τῶν καλῶν [2] κἀγαθῶν ῥαδίως
e εὐπορήσουσιν. ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον
τὸ διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν ὡς περὶ τῶν πολι-
τικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς οἷς ἐπαγγέλλον-
ται τὴν [3] ἐπίδειξιν ποιεῖσθαι· τοὺς γὰρ ἀμφισβητοῦντας
210 τοῦ φρονεῖν καὶ φάσκοντας εἶναι σοφιστὰς οὐκ ἐν τοῖς ἠμε- 208
λημένοις ὑπὸ τῶν ἄλλων, [4] ἀλλ᾽ ἐν οἷς ἅπαντές εἰσιν ἀντα-
γωνισταὶ προσήκει διαφέρειν καὶ κρείττους εἶναι τῶν ἰδιωτῶν.
νῦν δὲ παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις προσποιοῖτο
κράτιστος εἶναι τῶν ἀθλητῶν, ἐνταῦθα καταβαίνων οὗ μη-
δεὶς ἂν ἄλλος ἀξιώσειε. τίς γὰρ ἂν τῶν εὖ φρονούντων συμ-
φορὰς ἐπαινεῖν ἐπιχειρήσειεν; ἀλλὰ δῆλον ὅτι δι᾽ ἀσθένειαν
b ἐνταῦθα καταφεύγουσιν. ἔστι γὰρ τῶν μὲν τοιούτων συγ-
γραμμάτων μία τις ὁδὸς, ἣν οὔθ᾽ εὑρεῖν οὔτε μαθεῖν οὔτε
μιμήσασθαι δύσκολόν ἐστιν· οἱ δὲ κοινοὶ καὶ πιστοὶ καὶ
τούτοις ὅμοιοι τῶν λόγων διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν
δυσκαταμαθήτων εὑρίσκονταί τε καὶ λέγονται, καὶ τοσούτῳ
χαλεπωτέραν ἔχουσι τὴν σύνθεσιν, ὅσῳ περ τὸ σεμνύνε-
σθαι τοῦ σκώπτειν καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπο-
νώτερόν ἐστι. σημεῖον δὲ μέγιστον· τῶν μὲν γὰρ τοὺς βομ-

[1] γε om. A. C. L. [2] καὶ ἀγαθῶν A. C. L. [3] ἀπόδειξιν A. C. L. [4] Ἑλλήνων, ἀλλ᾽ A. C. L.

Ὠφελουμένους] Χρηματιζομένους καὶ δόξαν λαμβάνοντας. WOLF.

Καὶ ποιοῦνται τεκμήριον] et (ejusmodi futile argumentum) *tanquam exemplum exhibent.* LANG. Καινοπρεπὴς ἡ σύνταξις, ἀντὶ τοῦ, Καὶ τὸ ἔχειν τι λέγειν περὶ πονηρῶν πραγμάτων ποιοῦνται τεκμήριον τοῦ ῥᾳδίως εὐπορήσειν καὶ περὶ τῶν ἀγαθῶν εἰπεῖν. COR.

Συμφορὰς] Ut vitam exsulum et mendicorum, quam quidem prædicant. LANG.

Μία τις ὁδὸς] Adhibetur nempe nil nisi occupationes, exaggerationes, insinuationes, extenuationes, comparationes, etc. IDEM.

Οἱ δὲ κοινοὶ] Οἱ λόγοι, ἐν οἷς κοινῶς ἅπαντές εἰσιν ἀνταγωνισταί. COR.

Πιστοὶ] Οἱ ἀληθεῖς εἶναι δοκοῦντες τοῖς πλείστοις τῶν ἀνθρώπων καὶ ἔνδοξοι. WOLF. *certi.* AUGER. Οἱ ἀληθεῖς, ἀντιδιεσταλμένως πρὸς τοὺς ψευδεῖς τῶν σοφιστῶν λόγους. COR.

Τούτοις ὅμοιοι] I. e. οἱ πιθανοί. WOLF. *his*, i. e. *certis*, *similes.* AUGER.

Διὰ πολλῶν ἰδεῶν] *per multas formas et decentius cognitu difficiles.* LANG. Διὰ πολλῶν εἰδῶν ἢ τρόπων. COR.

Τοὺς βομβυλιοὺς] Βομβυλιός· ζῶον παραπλήσιον μελίττῃ, ὠνομασμένον ἀπὸ τοῦ βόμβου. Harpocrat. Εἶδος μελίσσης παρὰ τὸ βομβεῖν, ἐκ πηλοῦ τὰ κηρία πλαττούσης. Suid. "Ὥσπερ μέλιττ᾽ ἢ βομβυλιὸς εἰσέρχεται. Aristoph. Vesp. 107. Quod Angli forsan vocant *a humblebee* or *bumblebee.*

βυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαι- c
νεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν, οἱ δὲ περὶ τῶν ὁμολο-
γουμένων ἀγαθῶν [1]ἢ καλῶν ἢ τῶν διαφερόντων ἐπ' ἀρετῇ
[2]λέγειν ἐπιχειρήσαντες πολὺ καταδεέστερον τῶν ὑπαρχόν-
των ἅπαντες εἰρήκασιν. οὐ γὰρ τῆς αὐτῆς γνώμης ἐστὶν
ἀξίως εἰπεῖν περὶ ἑκατέρων αὐτῶν, ἀλλὰ τὰ μὲν [3]μικρὰ
ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ
μεγέθους ἐφικέσθαι· καὶ περὶ μὲν τῶν δόξαν ἐχόντων σπά-
νιον εὑρεῖν [4]ἃ μηδεὶς πρότερον εἴρηκε, περὶ δὲ τῶν φαύλων d
καὶ ταπεινῶν ὅ τι ἂν τις τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν
ἐστι.

ζ'. Διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαινῶ
μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων, ὅτι περὶ τοιαύτης
ἐμνήσθη γυναικὸς, ἣ καὶ τῷ γένει καὶ τῷ κάλλει καὶ τῇ
δόξῃ πολὺ διήνεγκεν. οὐ μὴν ἀλλὰ καὶ τοῦτον μικρόν τι
παρέλαθε· φησὶ [5]μὲν γὰρ ἐγκώμιον [6]γεγραφέναι περὶ
αὐτῆς, τυγχάνει δ' ἀπολογίαν εἰρηκὼς ὑπὲρ τῶν ἐκείνῃ e
πεπραγμένων. ἔστι δ' οὐκ ἐκ τῶν αὐτῶν ἰδεῶν οὐδὲ περὶ
τῶν αὐτῶν ἔργων ὁ λόγος, [7]ἀλλὰ πᾶν τοὐναντίον· ἀπο-
209 λογεῖσθαι μὲν γὰρ προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόν- 211
των, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινὶ διαφέροντας.

η'. Ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾷν τοῖς
ἄλλοις, μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαι περὶ
[8]τῆς αὐτῆς ταύτης εἰπεῖν, παραλιπὼν ἅπαντα τὰ τοῖς
ἄλλοις εἰρημένα.

θ'. Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν
τοῦ γένους αὐτῆς. πλείστων γὰρ ἡμιθέων γεννηθέντων ὑπὸ
Διὸς μόνης ταύτης [9]γυναικὸς πατὴρ ἠξίωσε κληθῆναι.

[1] καὶ A. [2] τι λέγειν A. C. L. [3] [μικρὰ] C. [4] ὃ A. C. L. [5] μὲν om. A. C. L. [6] γράφειν A. L. [7] ἀλλ' ἅπαν A. C. L. [8] τῆς om. A. C. L. [9] τῆς γυναικὸς A. C. L.

Τοὺς ἅλας] Plat. in Sympos. §. 5. Ἀλλ' ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλες ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν.

Τῶν διαφερόντων] Scil. ἀνδρῶν ἢ ἀνθρώπων. Wolf.

Περὶ ἑκατέρων αὐτῶν] I. e. περὶ μικρῶν καὶ μεγάλων. Auger.

Τῶν δὲ χαλεπὸν] Verba sic ordinentur: ἐφικέσθαι δὲ τοῦ μεγέθους τῶν, scil. μεγάλων, χαλεπόν ἐστι. Wolf.

Τὸν γράψαντα] Scil. Gorgias.

Εὖ λέγειν] *laudare*. Construe: διὸ τῶν (i. e. ἐν τοῖς) εὖ λέγειν τι βουληθέντων ἐπαινῶ μάλιστα τὸν γράψαντα περὶ τῆς Ἑλένης. Lang.

Οὐκ ἐκ τῶν αὐτῶν ἰδεῶν] *non ejusdem generis*. ἀπολογία enim ad genus judiciale, λόγος (*laudatio*) contra ad genus demonstrativum, pertinet. Idem.

b σπουδάσας δὲ μάλιστα περί [1]τε τὸν ἐξ Ἀλκμήνης [2]καὶ τοὺς ἐκ Λήδας, τοσούτῳ μᾶλλον Ἑλένην Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν, ἣ βίᾳ τῶν ἄλλων ἁπάντων κρατεῖν δύναται, τῇ δὲ κάλλος ἀπένειμεν, ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. εἰδὼς δὲ τὰς λαμπρότητας καὶ τὰς ἐπιφανείας οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ' ἐκ τῶν
c πολέμων καὶ τῶν ἀγώνων γιγνομένας, καὶ βουλόμενος αὐτῶν μὴ μόνον τὰ σώματ' εἰς θεοὺς ἀναγαγεῖν ἀλλὰ καὶ τὰς δόξας ἀειμνήστους καταλιπεῖν, τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησε.

ι'. Καὶ πρῶτον μὲν Θησεύς, ὁ λεγόμενος μὲν Αἰγέως, γενόμενος δ' ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν ἀκμάζουσαν, [3]ἤδη δὲ τῶν ἄλλων διαφέρουσαν, τοσοῦτον ἡττήθη τοῦ
d κάλλους [4]ὁ κρατεῖν τῶν ἄλλων εἰθισμένος, ὥσθ' ὑπαρχούσης αὐτῷ καὶ πατρίδος μεγίστης καὶ βασιλείας ἀσφαλεστάτης ἡγησάμενος οὐκ ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἄνευ τῆς πρὸς ἐκείνην οἰκειότητος, ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ' ἦν αὐτὴν λαβεῖν, ἀλλ' [5]ἐπέμενον τήν τε τῆς παιδὸς ἡλικίαν καὶ τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν τὴν Τυνδάρεω, καὶ καταφρονήσας τῆς
e ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους, καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας, βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς [6]κατέθετο, καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς ἁρπαγῆς, ὥστε, βουληθέντος αὐτοῦ μνηστεῦσαι Κόρην τὴν Διὸς καὶ Δήμητρος καὶ παρα- 210
212 καλοῦντος αὐτὸν ἐπὶ τὴν [7]εἰς ᾅδου κατάβασιν, ἐπειδὴ

[1] τε om. A. L. [2] καὶ τοὺς ἐκ Λήδας om. A. L. [3] εἴδει A. C. L.
[4] ὁ om. A. C. L. [5] ἀνέμενον A. C. L. [6] ἐκόμισε A. C. L. [7] εἰς om. A. L.

Περί τε τὸν ἐξ Ἀλκμ.] Τὸν Ἡρακλέα. Cor.

Τοὺς ἐκ Λήδας] Τὴν Ἑλένην καὶ οἱ ἀδελφοὶ αὐτῆς Κάστωρ καὶ Πολυδεύκης. Idem.

Ἡ βίᾳ τῶν ἄλλων] Herculi quidem Jupiter ἰσχὺν ἔδωκεν, ἣ μία τῶν ἄλλων κ. τ. λ. Sic litera mutata legendum arbitror. *In Annot. ad Hippol.* 1403. Valckenaer. Οὐκ ἀπιθάνως ἴσως. Cor.

Καὶ πρῶτον μὲν Θησεὺς] Cf. Lucian. Charid. in quo dialogo Isocratem imitatus est.

Αἰγέως] Scil. γενέσθαι, ἢ υἱὸς εἶναι. Wolf.

Τῶν ἄλλων] Ἤτε ἀνδρῶν, ἤτε ἐπιθυμιῶν. Potest enim hæc clausula vel ad fortitudinem vel ad continentiam Thesei referri. Idem.

Ἄνευ τῆς πρὸς ἐκείνην οἰκειότητος] *sine consuetudine illius.* Lang.

Παρὰ τῶν κυρίων] Scil. τῆς Ἑλένης, i. e. τῶν γονέων καὶ τῶν ἀδελφῶν. De oraculo isto non memini me quicquam legisse. Wolf.

Δεινῶν] Ἴσως· δυνατῶν. Cor.

Κόρην] Κόρη κατ' ἐξοχὴν ἡ Περσεφόνη, οὕτως ἐπονομασθεῖσα ὑπὸ τοῦ πατρὸς Ἅδου, βασιλέως Μολοσσῶν, διὰ τὸ κάλλος. Idem. Cf. Suid. in voc.

συμβουλεύων οὐχ οἷός τ' ἦν ἀποτρέπειν, προδήλου τῆς συμ-
φορᾶς οὔσης ὅμως αὐτῷ συνηκολούθησε, νομίζων ὀφείλειν
τοῦτον τὸν ἔρανον, μηδενὸς ἀποστῆναι τῶν ὑπὸ Πειρίθου
[1] προσταχθέντων, ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.

ιά. Εἰ μὲν οὖν ὁ ταῦτα πράξας εἷς ἦν τῶν τυχόντων
ἀλλὰ μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἄν πω δῆλος ἦν ὁ
λόγος, πότερον Ἑλένης ἔπαινος ἢ κατηγορία Θησέως ἐστί·
νῦν δὲ τῶν μὲν ἄλλων τῶν εὐδοκιμησάντων εὑρήσομεν τὸν μὲν b
[2] ἀνδρίας, τὸν δὲ σοφίας, τὸν δ' ἄλλου τινὸς τῶν τοιούτων
μερῶν ἀπεστερημένον, τοῦτον δὲ μόνον [3] οὐδενὸς ἐνδεᾶ γενό-
μενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον. δοκεῖ δέ μοι
περὶ αὐτοῦ καὶ διὰ μακροτέρων εἰπεῖν· ἡγοῦμαι γὰρ ταύτην
μεγίστην εἶναι πίστιν τοῖς βουλομένοις Ἑλένην ἐπαινεῖν, ἢν
ἐπιδείξωμεν τοὺς ἀγαπήσαντας καὶ θαυμάσαντες ἐκείνην
αὐτοὺς τῶν ἄλλων θαυμαστοτέρους ὄντας. c

ιβ'. Ὅσα μὲν γὰρ ἐφ' ἡμῶν γέγονεν, εἰκότως ἂν ταῖς
δόξαις ταῖς ἡμετέραις αὐτῶν διακρίνοιμεν, περὶ δὲ τῶν οὕτω
παλαιῶν προσήκει τοῖς κατ' ἐκεῖνον τὸν χρόνον εὖ φρονήσα-
σιν ὁμονοοῦντας ἡμᾶς φαίνεσθαι. κάλλιστον μὲν οὖν περὶ
Θησέως τοῦτ' εἰπεῖν ἔχω, ὅτι κατὰ τὸν αὐτὸν χρόνον
Ἡρακλεῖ γενόμενος [4] ἐνάμιλλον τὴν αὑτοῦ δόξαν πρὸς τὴν
ἐκείνου κατέστησεν· οὐ γὰρ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο
[5] παραπλησίοις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο d
τοῖς αὐτοῖς, πρέποντα τῇ συγγενείᾳ ποιοῦντες. ἐξ ἀδελφῶν
[6] γὰρ γεγονότες, ὁ μὲν ἐκ Διός, ὁ δ' ἐκ Ποσειδῶνος, ἀδελφὰς
καὶ τὰς ἐπιθυμίας ἔσχον. μόνοι γὰρ οὗτοι τῶν προγεγενη-
μένων ὑπὲρ τοῦ βίου [7] τοῦ τῶν ἀνθρώπων ἀθληταὶ κα-
τέστησαν.

ιγ'. Συνέβη δὲ τὸν μὲν ὀνομαστοτέρους καὶ μείζους, τὸν δὲ
ὠφελιμωτέρους καὶ τοῖς Ἕλλησιν οἰκειοτέρους, ποιήσασθαι
τοὺς κινδύνους· τῷ μὲν γὰρ Εὐρυσθεὺς προσέταττε τάς τε e
βοῦς τὰς [8] ἐκ τῆς Ἐρυθείας ἀγαγεῖν καὶ τὰ μῆλα [9] τὰ τῶν

[1] προσταττομένων A. C. L. [2] ἀνδρείας A. [3] οὐθενὸς L. [4] ἐφάμιλλον A. C. L. [5] παραπλησίως A. L. [6] δὲ A. C. L. [7] τοῦ om. A. C. L. [8] ἐξ Ἐρυθείας A. C. L. [9] τὰ om. A. C. L.

Τὸν δ' ἄλλου] Ad verbum: *alium aliqua alia hujusmodi partium caruisse.* Sciendum est, quod jam observavimus, veteres universam virtutem in plures partes divisisse, ita ut singulæ virtutes ipsius forent pars aliqua. AUGER.

Παραπλησίοις] Λέγει τὴν κορύνην, ἣν ἔφερε Θησεύς, ὀνόματι μόνον διαφέρουσαν τοῦ Ἡρακλείου ῥοπάλου. Ἐπιθ. Πλούταρχ. Θησ. η'. καὶ Εὐριπίδ. Ἱκέτ. 715. COR.

Ἑσπερίδων ἐνεγκεῖν καὶ τὸν Κέρβερον ἀναγαγεῖν καὶ τοιού- 211
τους ἄλλους [1] πόνους, ἐξ ὧν ἤμελλεν οὐ τοὺς ἄλλους [2] ὠφε-
213 λήσειν ἀλλ' αὐτὸς κινδυνεύσειν· ὁ δ' αὐτὸς αὑτοῦ κύριος ὢν
τούτους [3] προῃρεῖτο τῶν ἀγώνων, ἐξ ὧν [4] ἤμελλεν ἢ τῶν
Ἑλλήνων ἢ τῆς αὑτοῦ πατρίδος εὐεργέτης [5] γενήσεσθαι. καὶ
τόν τε ταῦρον τὸν ἀνεθέντα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ
χώραν λυμαινόμενον, ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μό-
νος χειρωσάμενος μεγάλου φόβου καὶ [6] πολλῆς ἀπορίας πάν-
τας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξε· καὶ μετὰ ταῦτα
Λαπίθαις σύμμαχος γενόμενος καὶ στρατευσάμενος ἐπὶ
b Κενταύρους τοὺς διφυεῖς, οἳ [7] τάχει καὶ ῥώμῃ καὶ τόλμῃ
διενεγκόντες τὰς μὲν ἐπόρθουν τὰς δ' [8] ἤμελλον ταῖς δ'
ἠπείλουν τῶν πόλεων, τούτους μάχῃ νικήσας εὐθὺς μὲν
αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον [9] χρόνῳ τὸ
γένος ἐξ ἀνθρώπων ἠφάνισε. περὶ δὲ τοὺς αὐτοὺς χρόνους τὸ
τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον δ' ἐκ Πασιφάης
τῆς Ἡλίου θυγατρός· ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως
c δὶς ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους
καὶ [10] πανδημεὶ προπεμπομένους ἐπὶ θάνατον ἄνομον καὶ
προὖπτον καὶ πενθουμένους ἔτι ζῶντας, οὕτως ἠγανάκτησεν
ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον ἢ ζῆν [11] ἄρχων
τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν
ἠναγκασμένης. σύμπλους δὲ γενόμενος, καὶ κρατήσας φύσεως
ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμιγμένης, τὴν δ' ἰσχὺν ἐχούσης
d οἵαν προσήκει τὴν ἐκ τοιούτων [12] σωμάτων συγκειμένην, τοὺς
μὲν παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκε, τὴν δὲ πόλιν
οὕτως ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου προστάγμα-
τος ἠλευθέρωσεν.

ιδ'. Ἀπορῶ δ' ὅ τι [13] χρήσωμαι τοῖς ἐπιλοίποις· ἐπιστὰς
γὰρ ἐπὶ τὰ Θησέως ἔργα καὶ λέγειν ἀρξάμενος περὶ αὐτῶν

[1] πόνους ἄλλους A. C. L. [2] ὠφελεῖν A. C. L. [3] προῄρητο A. C. L.
[4] ἔμελλεν A. L. [5] νομισθήσεσθαι A. C. L. [6] μεγάλης A. C. L.
[7] καὶ τάχει A. C. L. [8] ἔμελλον A. L. [9] χρόνῳ om. A. C. L.
[10] πάνδημον C. L. [11] αἰσχρῶς ἄρχων A. C. L. [12] σωμάτων τοιούτων A. C. L.
[13] χρήσομαι L.

Πάντες οὐκ ἐτόλμων] Καινῶς εἰρημένον, ἀντὶ τοῦ, οὐδεὶς ἐτόλμα. Idem.

Θυγατρὸς] Post θυγατρὸς subaudi ἠφάνισε, vel adde ἀνεῖλε, nisi mavis suspensionem quandam fieri post θυγατρὸς, et multis interjectis oratorem oblivisci præpositum accusativum; quæ artificiosa oblivio sæpe occurrit apud oratores. Auger. Ἄμεινον ἀνακόλουθον ἡγεῖσθαι τὴν σύνταξιν. Cor.

ὀκνῶ μὲν μεταξὺ παύσασθαι καὶ παραλιπεῖν τὴν [1] Σκίρω-
νός τε καὶ Κερκύονος καὶ τῶν ἄλλων τῶν τοιούτων παρανο-
μίαν, πρὸς οὓς ἀνταγωνιστὴς γενόμενος ἐκεῖνος πολλῶν καὶ e
212 μεγάλων συμφορῶν τοὺς Ἕλληνας ἀπήλλαξεν, αἰσθάνομαι
δ᾽ ἐμαυτὸν ἔξω φερόμενον τῶν καιρῶν, καὶ δέδοικα μή τισι
δόξω περὶ τούτου μᾶλλον σπουδάζειν ἢ περὶ ἧς τὴν ἀρχὴν
ὑπεθέμην. ἐξ ἀμφοτέρων οὖν τούτων αἱροῦμαι τὰ μὲν πλεῖ- 214
στα παραλιπεῖν διὰ τοὺς δυσκόλως ἀκροωμένους, περὶ δὲ
τῶν ἄλλων ὡς ἂν δύνωμαι συντομώτατα διελθεῖν, ἵνα τὰ
μὲν ἐκείνοις τὰ δ᾽ ἐμαυτῷ χαρίσωμαι, καὶ μὴ παντάπασιν
ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν καὶ τοῖς λεγομένοις ἅπασιν
ἐπιτιμᾶν.

ιε΄. Τὴν μὲν οὖν ἀνδρίαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις,
ἐν οἷς αὐτὸς καθ᾽ αὑτὸν ἐκινδύνευσε, τὴν δ᾽ ἐπιστήμην ἣν
εἶχε πρὸς τὸν πόλεμον, ἐν ταῖς μάχαις ἐν αἷς μεθ᾽ ὅλης τῆς b
πόλεως ἠγωνίσατο, τὴν δ᾽ εὐσέβειαν τὴν πρὸς τοὺς θεοὺς ἔν
τε ταῖς Ἀδράστου καὶ ταῖς τῶν παίδων τῶν Ἡρακλέους
ἱκετείαις — τοὺς μὲν γὰρ μάχῃ νικήσας Πελοποννησίους
διέσωσε, τῷ δὲ τοὺς ὑπὸ [2] τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ
Θηβαίων θάψαι παρέδωκε —, τὴν δ᾽ ἄλλην ἀρετὴν καὶ
[3] σωφροσύνην ἔν τε τοῖς προειρημένοις καὶ μάλιστ᾽ ἐν οἷς τὴν
πόλιν διῴκησεν.

ις΄. Ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ζητοῦντας [4] ἄρ- c
χειν ἑτέροις δουλεύοντας, καὶ τοὺς ἐπικίνδυνον τὸν βίον τοῖς
ἄλλοις καθιστάντας αὐτοὺς περιδεῶς ζῶντας καὶ πολεμεῖν
ἀναγκαζομένους μετὰ μὲν [5] τῶν πολιτῶν πρὸς τοὺς [6] πολε-
μίους, μετὰ δ᾽ ἄλλων τινῶν πρὸς τοὺς συμπολιτευομένους,
ἔτι δὲ συλῶντας μὲν τὰ τῶν θεῶν, [7] ἀποκτείνοντας δὲ τοὺς
βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς οἰκειοτάτοις,

[1] Σκείρωνος καὶ A. C. L. [2] τὴν Καδμείαν A. C. L. [3] τὴν σωφρ. A. C. L.
[4] ἄρχειν ζητοῦντας A. C. L. [5] τῆς πόλεως A. C. L.
[6] ἐπιστρατευομένους, μετ᾽ ἄλλων δέ A. C. L. [7] ἀποκτιννύντας A. C. L.

Ἔξω φερόμενον τῶν καιρῶν] *excedere modum.* Lang.

Περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην] Scil. λέγειν. *proposui me dicturum esse.* τὴν ἀρχὴν pro κατὰ τὴν ἀρχὴν vel ἐν τῇ ἀρχῇ. Neque enim placet conjungere ὑπεθέμην τὴν ἀρχὴν, *proposui principium*, vel *jeci fundamentum.* Wolf. Repete σπουδάζειν, et verte: *de qua ab initio dicere proposui.* Lang.

Βίᾳ Θηβαίων] Ἀκόντων Θηβαίων. ἐλλειπτικῶς, ἀντὶ τοῦ ἐν βίᾳ ἢ σὺν βίᾳ Θηβαίων. δῆλον δὲ τοῦτο ἐκ τοῦ παρὰ τῷ Σοφοκλεῖ (Αἴαντ. 1327.) πλήρους, Πρὸς βίαν ἐμοῦ. Cor.

Θάψαι παρέδωκε] Cf. Paneg. §. ιε΄. Lang.

οὐδὲν δὲ [1] ῥαθυμότερον ζῶντας τῶν ἐπὶ θανάτῳ συνειλημ-
d μένων, ἀλλὰ τὰ μὲν ἔξω ζηλουμένους, αὐτοὺς δὲ παρ'
αὑτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους — τί γάρ ἐστιν
ἄλγιον ἢ ζῆν [2] δεδιότα μή τις αὐτὸν τῶν παρεστώτων ἀπο-
κτείνῃ, καὶ μηδὲν ἧττον φοβούμενον τοὺς φυλάττοντας ἢ
τοὺς ἐπιβουλεύοντας;—, τούτων ἁπάντων καταφρονήσας,
καὶ νομίσας οὐκ ἄρχοντας ἀλλὰ νοσήματα τῶν πόλεων
εἶναι τοὺς τοιούτους, [3] ἐπέδειξεν ὅτι [4] ῥάδιόν ἐστιν ἅμα 213
e τυραννεῖν καὶ μηδὲν χεῖρον διακεῖσθαι τῶν ἐξ ἴσου πολι-
τευομένων.

ιζ΄. Καὶ πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ
κώμας οἰκοῦσαν εἰς [5] ταὐτὸ συναγαγὼν τηλικαύτην ἐποίη-
215 σεν, ὥστ' ἔτι καὶ νῦν ἀπ' ἐκείνου τοῦ χρόνου μεγίστην τῶν
Ἑλληνίδων εἶναι· μετὰ δὲ ταῦτα κοινὴν τὴν πατρίδα κατα-
στήσας, καὶ τὰς ψυχὰς τῶν [6] συμπολιτευομένων ἐλευθε-
ρώσας, ἐξ ἴσου τὴν ἅμιλλαν αὐτοῖς περὶ [7] τῆς ἀρετῆς
ἐποίησε, πιστεύων μὲν ὁμοίως αὐτῶν προέξειν ἀσκούντων
ὥσπερ ἀμελούντων, εἰδὼς δὲ τὰς τιμὰς ἡδίους οὔσας τὰς
παρὰ τῶν μέγα φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων.
b [8] τοσούτου [9] δ' ἐδέησεν ἀκόντων τι ποιεῖν τῶν πολιτῶν, ὥσθ'
ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας, οἱ δὲ μόνον
αὐτὸν ἄρχειν ἠξίουν, ἡγούμενοι πιστοτέραν καὶ κοινοτέραν
εἶναι τὴν ἐκείνου μοναρχίαν τῆς αὑτῶν δημοκρατίας. οὐ
γὰρ ὥσπερ ἕτεροι τοὺς μὲν πόνους ἄλλοις προσέταττε, τῶν
δ' ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν, ἀλλὰ τοὺς μὲν κινδύνους
ἰδίους ἐποιεῖτο, τὰς δ' ὠφελείας ἅπασιν εἰς τὸ κοινὸν ἀπε-
δίδου. καὶ γάρ τοι διετέλεσε τὸν βίον οὐκ ἐπιβουλευόμενος
c ἀλλ' ἀγαπώμενος· οὐδ' [10] ἐπάκτῳ δυνάμει τὴν ἀρχὴν διαφυ-
λάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ
μὲν ἐξουσίᾳ τυραννῶν, ταῖς δ' εὐεργεσίαις δημαγωγῶν.
οὕτω γὰρ νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν, ὥστ' ἔτι

[1] εὐθυμότερον A. L. [2] ἀεὶ δεδιότα A. C. L. [3] ἀπέδειξεν A. C. L. [4] ῥᾷον A. L. [5] ταὐτὸν A. C. L. [6] πολιτευομένων A. C. L. [7] τὴν ἀρχὴν A. C. L. [8] τοσοῦτον A. L. [καὶ] τοσοῦτον C. [9] δ' om. A. C. L. [10] ἐπεισάκτῳ A. C. L.

Μεγίστην] Conf. Panegyr. §. γ'. Idem.

Ἀσκούντων] Sub. ἑαυτούς, sicut ad ἀμελούντων, vel ἑαυτῶν vel τῶν πραγμάτων. Auger.

Τυράννων] Μοναρχῶν. Cor.

καὶ νῦν ἴχνος τῆς ἐκείνου πρᾳότητος ἐν τοῖς ἤθεσιν ἡμῶν καταλελεῖφθαι.

ιη΄. Τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διὸς, κρατήσασαν δὲ τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ ἐπαινεῖν χρὴ καὶ d
τιμᾷν καὶ νομίζειν πολὺ τῶν πώποτε γενομένων διενεγκεῖν; οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως διανοίας. ἵνα δὲ μὴ δοκῶ περὶ τὸν αὐτὸν τόπον δι' ἀπορίαν διατρίβειν, μηδ' ἀνδρὸς ἑνὸς δόξῃ καταχρώμενος ἐπαινεῖν αὐτὴν, βούλομαι καὶ περὶ τῶν ἐχομένων διελθεῖν.

214 ιθ΄. Μετὰ γὰρ τὴν Θησέως εἰς ᾅδου κατάβασιν ἐπανελ- e
θούσης αὐτῆς εἰς Λακεδαίμονα, καὶ πρὸς τὸ [1] μνηστεύεσθαι λαβούσης ἡλικίαν, ἅπαντες οἱ τότε βασιλεύοντες καὶ δυναστεύοντες [2] τὴν αὐτὴν γνώμην ἔσχον περὶ αὐτῆς. ἐξὸν γὰρ αὐτοῖς λαμβάνειν ἐν ταῖς αὑτῶν πόλεσι γυναῖκας τὰς πρω- 216
τευούσας, ὑπεριδόντες τοὺς οἴκοι γάμους ἦλθον [3] ἐκείνην μνηστεύσοντες. οὔπω δὲ κεκριμένου τοῦ μέλλοντος αὐτῇ [4] συνοικήσειν, ἀλλ' ἔτι κοινῆς τῆς τύχης οὔσης, οὕτω πρόδηλος ἦν ἅπασιν [5] ἐσομένη περιμάχητος, ὥστε συνελθόντες πίστεις ἔδοσαν ἀλλήλοις ἦ μὴν βοηθήσειν, εἴ τις ἀποστεροίη τὸν ἀξιωθέντα λαβεῖν αὐτὴν, νομίζων ἕκαστος ταύτην τὴν ἐπι- b
κουρίαν αὑτῷ παρασκευάζειν. τῆς μὲν οὖν ἰδίας ἐλπίδος πλὴν ἑνὸς ἀνδρὸς ἅπαντες ἐψεύσθησαν, τῆς δὲ κοινῆς δόξης, [6] ἧς ἔσχον περὶ ἐκείνης, οὐδεὶς αὐτῶν διήμαρτεν.

κ΄. Οὐ πολλοῦ γὰρ χρόνου διελθόντος, [7] γενομένης ἐν θεαῖς περὶ κάλλους ἔριδος ἧς Ἀλέξανδρος ὁ Πριάμου κατέστη κριτὴς, καὶ διδούσης Ἥρας μὲν ἁπάσης αὐτῷ [8] τῆς Ἀσίας βασιλεύειν, Ἀθηνᾶς δὲ κρατεῖν ἐν [9] τοῖς πολέμοις, Ἀφροδίτης δὲ τὸν γάμον τὸν Ἑλένης, τῶν μὲν σωμάτων οὐ δυνηθεὶς c
λαβεῖν διάγνωσιν, ἀλλ' ἡττηθεὶς τῆς τῶν θεῶν ὄψεως, τῶν

[1] μνηστεύσασθαι A. C. L. [2] ἐν ταῖς πόλεσι τὴν A. C. L. [3] ὡς ἐκείνην A. C. L. [4] συνοικεῖν A. C. L. [5] ἀνθρώποις ἐσομένη A. C. L. [6] ἣν A. C. L. [7] καὶ γενομένης A. C. L. [8] βασιλείαν τῆς Ἀσίας, A. C. L. [9] τοῖς om. A. C. L.

Οὐδὲ κριτὴν ἱκανώτερον] Ἔπιθι τὸν Ἀριστοτέλην Ῥητορικ. Β. κγ΄. 12. Idem. Vi receptam esse a fratribus, Theseo in exsilium acto a populo Atheniensi, callide dissimulat. Wolf.

Τῆς δὲ κοινῆς δόξης] Np. αὐτὴν ἔσεσθαι περιμάχητον. Lang.

Διδούσης] *promittente.* Idem.

Ἡττηθεὶς — ὄψεως] *adspectu dearum stupefactus.* Idem.

δὲ δωρεῶν ἀναγκασθεὶς γενέσθαι κριτὴς, εἵλετο τὴν οἰκειό-
τητα [1] τὴν Ἑλένης ἀντὶ τῶν ἄλλων ἁπάντων, οὐ πρὸς τὰς
ἡδονὰς ἀποβλέψας, — καίτοι [2] καὶ τοῦτο τοῖς εὖ φρονοῦσι
πολλῶν αἱρετώτερόν ἐστιν, ἀλλ' ὅμως οὐκ ἐπὶ τοῦθ' ὥρμη-
σεν, — ἀλλ' ἐπεθύμησε Διὸς γενέσθαι [3] [καὶ κληθῆναι]
κηδεστὴς, νομίζων πολὺ μείζω καὶ καλλίω ταύτην εἶναι τὴν
d τιμὴν ἢ τὴν τῆς Ἀσίας βασιλείαν, καὶ μεγάλας μὲν ἀρχὰς
καὶ δυναστείας καὶ φαύλοις ἀνθρώποις ποτὲ [4] παραγίγνε-
σθαι, τοιαύτης δὲ γυναικὸς οὐδένα τῶν ἐπιγιγνομένων ἀξιω-
θήσεσθαι, πρὸς δὲ τούτοις, οὐδὲν ἂν κάλλιον κτῆμα κατα-
λιπεῖν τοῖς παισὶν ἢ παρασκευάσας αὐτοῖς, ὅπως [5] μὴ
μόνον πρὸς πατρὸς [6] ἀλλὰ καὶ πρὸς μητρὸς ἀπὸ Διὸς
ἔσονται γεγονότες. ἠπίστατο γὰρ τὰς μὲν ἄλλας εὐτυ-
e χίας ταχέως μεταπιπτούσας, τὴν δ' εὐγένειαν ἀεὶ τοῖς
αὐτοῖς παραμένουσαν, ὥστε ταύτην μὲν τὴν αἵρεσιν ὑπὲρ 215
ἅπαντος τοῦ γένους ἔσεσθαι, τὰς δ' ἑτέρας δωρεὰς ὑπὲρ
τοῦ χρόνου [7] μόνον τοῦ καθ' αὑτόν.

κα'. Τῶν μὲν οὖν εὖ φρονούντων οὐδεὶς ἂν τοῖς λογι-
217 σμοῖς τούτοις ἐπιτιμήσειε, τῶν δὲ μηδὲν πρὸ τοῦ πράγματος
ἐνθυμουμένων ἀλλὰ τὸ συμβαῖνον [8] σκοπουμένων ἤδη τινὲς
ἐλοιδόρησαν αὐτόν· ὧν τὴν ἄνοιαν, ἐξ ὧν ἐβλασφήμησαν
περ ἐκείνου, ῥᾴδιον ἅπασι καταμαθεῖν. πῶς γὰρ οὐ [9] κα-
ταγέλαστον πεπόνθασιν, εἰ τὴν αὑτῶν φύσιν ἱκανωτέραν
εἶναι νομίζουσι τῆς ὑπὸ τῶν θεῶν προκριθείσης; οὐ γὰρ
δή [10] που περὶ ὧν εἰς τοσαύτην [11] ἔριν κατέστησαν, τὸν τυ-
χόντα διαγνῶναι κύριον ἐποίησαν, ἀλλὰ δῆλον ὅτι τοσαύτην
b ἔσχον σπουδὴν ἐκλέξασθαι [12] κριτὴν τὸν βέλτιστον, ὅσην
[13] περ αὐτοῦ τοῦ πράγματος ἐπιμέλειαν ἐποιήσαντο. χρὴ
δὲ σκοπεῖν ὁποῖός τις ἦν καὶ δοκιμάζειν αὐτὸν οὐκ ἐκ τῆς
ὀργῆς [14] τῆς τῶν ἀποτυχουσῶν, ἀλλ' ἐξ ὧν ἅπασαι βου-

[1] τῆς A. C. L. [2] καὶ om. A. C. L. [3] uncos om. A. C. L.
[4] παραγενήσεσθαι A. C. L. [5] καὶ πρὸς A. C. L. [6] ἀλλὰ om. A. C. L.
[7] μόνου C. [8] σκοπούντων A. C. L. [9] καταγελαστότατον A. C. L.
[10] που om. A. C. L. [11] φιλονεικίαν A. C. L. [12] κριτὴν ἐκλέξασθαι A. C. L.
[13] περὶ A. C. L. [14] τῆς om. A. C. L.

Τῶν δὲ μηδὲν πρὸ τοῦ πρ. ἐνθυμ.] *qui ea quæ actionibus antecedunt, seu actionum fines, non reputant.* Idem.

Ὁποῖός τις ἦν] Scil. ὁ Ἀλέξανδρος. Wolf.

Τῶν ἀποτυχουσῶν] *dearum victarum.* Lang.

Ἐξ ὧν] Pro ἐκ τούτου, ὅτι. Wolf.

λευσάμεναι προείλοντο τὴν ἐκείνου διάνοιαν. κακῶς μὲν
γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς
μηδὲν ἐξημαρτηκότας· τοιαύτης δὲ τιμῆς τυχεῖν, ὥστε c
θνητὸν ὄντα θεῶν γενέσθαι κριτὴν, οὐχ οἷόν τε μὴ οὐ τὸν
πολὺ τῇ γνώμῃ διαφέροντα.

κβ´. Θαυμάζω δ' εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι
τὸν μετὰ ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν ἡμιθέ-
ων ἀποθνήσκειν ἠθέλησαν. πῶς δ' οὐκ ἂν [1]ἦν ἀνόητος, εἰ
τὰς θεὰς εἰδὼς περὶ κάλλους φιλονεικούσας αὐτὸς κάλλους
κατεφρόνησε, καὶ μὴ ταύτην ἐνόμισε μεγίστην εἶναι τῶν
δωρεῶν, περὶ ἧς κἀκείνας ἑώρα μάλιστα σπουδαζούσας;

κγ´. Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς ἁρ- d
πασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ ὅλης
τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον ἐφρό-
νησαν ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν. δῆλον δ' ὡς
ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλη-
μάτων γενομένων περὶ μὲν τῶν ἄλλων ἡσυχίαν ἤγαγον,
ὑπὲρ δὲ ταύτης [2]τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ
216 μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ e
χρόνου καὶ τῷ πλήθει τῶν παρασκευῶν, ὅσος οὐδεὶς πώ-
ποτε γέγονεν. ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλ-
λάχθαι τῶν παρόντων κακῶν, τοῖς δ' ἀμελήσασιν ἐκείνης 216
ἀδεῶς οἰκεῖν τὸν ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν·
ἀλλ' οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας
καὶ τὴν χώραν πορθουμένην, ὥστε μὴ προέσθαι αὐτὴν τοῖς
Ἕλλησιν, οἱ δ' ᾑροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας κατα-
γηράσκειν καὶ μηδέποτε τοὺς αὑτῶν ἰδεῖν μᾶλλον ἢ [3]'κείνην
καταλιπόντες εἰς τὰς αὑτῶν πατρίδας ἐπανελθεῖν. καὶ b
ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ Μενελάου φιλονει-
κοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς Ἀσίας, οἱ δ' ὑπὲρ τῆς Εὐ-
ρώπης, νομίζοντες ἐν ὁποτέρᾳ τὸ σῶμα [4]τοὐκείνης κατοική-
σειε, ταύτην τὴν χώραν εὐδαιμονεστέραν ἔσεσθαι.

κδ´. Τοσοῦτος δ' ἔρως ἐνέπεσε τῶν πόνων καὶ τῆς [5]στρα-

[1] εἴη A. L. [2] τοσοῦτον A. C. L. [3] ἐκείνην A. C. L. [4] τὸ ἐκείνης A. C. L. [5] στρατιᾶς A. L.

Κακῶς — παθεῖν ὑπὸ τῶν κρειττ.] *male audire a potentioribus*, i. e. deabus. LANG.

Ὑπὲρ Ἀλεξάνδρου] *pro Alexandro*, i. e. pro Paride, filio Priami. AUGER.

τείας ἐκείνης οὐ μόνον τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις ἀλλὰ
καὶ τοῖς θεοῖς, ὥστε οὐδὲ τοὺς ἐξ αὐτῶν γεγονότας ἀπέτρε-
c ψαν τῶν ἀγώνων τῶν περὶ Τροίαν, ἀλλὰ Ζεὺς μὲν προει-
δὼς τὴν Σαρπηδόνος εἱμαρμένην, Ἠὼς δὲ τὴν Μέμνονος,
Ποσειδῶν δὲ τὴν Κύκνου, Θέτις δὲ τὴν Ἀχιλλέως, ὅμως
αὐτοὺς συνεξώρμησαν, καὶ [1] συνέπεμψαν, ἡγούμενοι κάλλιον
αὐτοῖς εἶναι τεθνάναι μαχομένοις περὶ τῆς Διὸς θυγατρὸς
μᾶλλον ἢ ζῆν ἀπολειφθεῖσι τῶν περὶ ἐκείνης κινδύνων. καὶ
τί δεῖ θαυμάζειν ἃ περὶ τῶν παίδων [2] διενοήθησαν; αὐτοὶ
γὰρ πολὺ μείζω καὶ δεινοτέραν ἐποιήσαντο [3] παράταξιν τῆς
d πρὸς [4] Γίγαντας αὐτοῖς γενομένης· πρὸς μὲν γὰρ ἐκείνους
μετ᾽ ἀλλήλων ἐμαχέσαντο, περὶ δὲ ταύτης πρὸς σφᾶς αὐ-
τοὺς ἐπολέμησαν.

κέ. Εὐλόγως δὲ κἀκεῖνοι ταῦτ᾽ ἔγνωσαν, κἀγὼ τηλι-
καύταις ὑπερβολαῖς ἔχω χρήσασθαι περὶ [5] αὐτῆς· κάλλους
γὰρ πλεῖστον μέρος [6] μετέσχεν, ὃ σεμνότατον καὶ τιμιώτα-
τον καὶ θειότατον τῶν ὄντων ἐστί. ῥᾴδιον δὲ [7] γνῶναι τὴν
δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρίας ἢ σοφίας ἢ δικαιοσύ-
e νης [8] μὴ μετεχόντων πολλὰ φανήσεται τιμώμενα μᾶλλον 217
[9] ἢ τούτων ἕκαστον, τῶν δὲ κάλλους ἀπεστερημένων οὐδὲν
εὑρήσομεν ἀγαπώμενον, ἀλλὰ πάντα καταφρονούμενα πλὴν
ὅσα τῆς ἰδέας ταύτης κεκοινώνηκε, καὶ τὴν ἀρετὴν διὰ τοῦτο
μάλιστ᾽ εὐδοκιμοῦσαν, [10] ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων
217 ἐστί. γνοίη δ᾽ ἄν τις κἀκεῖθεν, ὅσον διαφέρει τῶν ὄντων, ἐξ
ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν. τῶν μὲν γὰρ
ἄλλων, ὧν ἂν ἐν χρείᾳ [11] γενώμεθα, τυχεῖν μόνον βουλόμε-
θα, περαιτέρω δὲ περὶ αὐτῶν οὐδὲν τῇ ψυχῇ προσπεπόν-
θαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγίγνεται, τοσούτῳ μείζω
τοῦ [12] βούλεσθαι ῥώμην ἔχων, ὅσῳ περ καὶ τὸ πρᾶγμα κρεῖτ-
τόν ἐστι. καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατ᾽ ἄλλο τι προέ-
b χουσι φθονοῦμεν, ἢν μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ᾽ ἑκάστην

[1] συνεξέπεμψαν A. C. L. [2] ἔγνωσαν A. C. L. [3] τὴν παράταξιν A. C. L. [4] τοὺς Γίγ. A. C. L. [5] αὐτῶν A. L. [6] μετέσχηκεν A. C. L. [7] διαγνῶναι A. C. L. [8] μὴ om. A. C. L. [9] [ἢ τούτων ἕκαστον] C. L. [10] διότι A. C. L. [11] γιγνώμεθα A. L. [12] βουλεύσασθαι A. C. L.

Συνεξώρμησαν] *una erumpere faciebant.* Lang.

Περὶ αὐτῆς] Τῆς Ἑλένης δηλαδή. Cor.

Περαιτέρω δὲ περὶ — προσπεπόνθαμεν] F. pro περὶ legendum πρὸς, et verba sic ordinanda: προσπεπόνθαμεν τῇ ψύχῃ περαιτέρω πρὸς οὐδὲν τούτων. Wolf. *ulterius erga hæc propensione animi non progredimur.* Lang.

[1] τὴν ἡμέραν [2] προσαγάγωνται καὶ στέργειν σφᾶς αὐτοὺς [3] ἀναγκάσωσι· τοῖς δὲ καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα, καὶ μόνους αὐτοὺς ὥςπερ τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν θεραπεύοντες, ἀλλ' ἥδιον δουλεύομεν τοῖς τοιούτοις ἢ τῶν ἄλλων ἄρχομεν, πλείω χάριν ἔχοντες τοῖς πολλὰ προστάττουσιν ἢ τοῖς μηδὲν ἐπαγγέλλουσι. καὶ τοὺς μὲν [4] ὑπ' ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν καὶ κόλακας ἀποκαλοῦμεν, τοὺς δὲ τῷ κάλλει λατρεύοντας φιλοκάλους καὶ c
φιλοπόνους εἶναι [5] νομίζομεν. τοσαύτῃ δ' εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν ἰδέαν τὴν τοιαύτην, ὥςτε καὶ [6] τῶν ἐχόντων τὸ κάλλος τοὺς μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους περὶ τῆς αὑτῶν ἡλικίας μᾶλλον ἀτιμάζομεν ἢ τοὺς εἰς τὰ τῶν ἄλλων σώματ' [7] ἐξαμαρτόντας· ὅσοι δ' ἂν τὴν αὑτῶν ὥραν διαφυλάξωσιν, ἄβατον τοῖς πονηροῖς ὥςπερ ἱερὸν ποιήσαντες, τούτους εἰς τὸν ἐπίλοιπον χρόνον [8] ὁμοίως d
τιμῶμεν ὥςπερ τοὺς ὅλην τὴν πόλιν ἀγαθόν τι [9] ποιήσαντας.

κς'. Καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα διατρίβειν; ἀλλὰ Ζεὺς ὁ κρατῶν [10] πάντων ἐν μὲν τοῖς ἄλλοις τὴν αὑτοῦ δύναμιν ἐνδείκνυται, πρὸς δὲ τὸ κάλλος ταπεινὸς [11] γιγνόμενος ἀξιοῖ πλησιάζειν. Ἀμφιτρύωνι μὲν γὰρ εἰκασθεὶς ὡς Ἀλκμήνην ἦλθε, χρυσὸς δὲ ῥυεὶς Δανάῃ συνεγένετο,
218 κύκνος δὲ γενόμενος εἰς τοὺς Νεμέσεως κόλπους κατέφυγε, e
τούτῳ δὲ πάλιν ὁμοιωθεὶς Λήδαν ἐνύμφευσεν· ἀεὶ δὲ μετὰ τέχνης ἀλλ' οὐ μετὰ βίας θηρώμενος φαίνεται [12] τὴν φύσιν
τὴν τοιαύτην. τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος 218
παρ' ἐκείνοις ἢ παρ' ἡμῖν, ὥςτε καὶ ταῖς γυναιξὶ ταῖς αὑτῶν ὑπὸ τούτου κρατουμέναις συγγνώμην ἔχουσι· καὶ πολλὰς ἄν τις ἐπιδείξειε τῶν ἀθανάτων, αἳ θνητοῦ κάλλους ἡττήθησαν, ὧν οὐδεμία λαθεῖν τὸ γεγενημένον ὡς αἰσχύνην ἔχον ἐζήτησεν, ἀλλ' ὡς καλῶν ὄντων τῶν πεπραγμένων ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι περὶ αὐτῶν ἠβουλήθησαν. μέγιστον

[1] τὴν om. A. C. L. [2] προσάγωνται A. C. L. [3] ἀναγκάζωσι C. [4] ἐπ' A. [5] νομίζομεν εἶναι A. C. L. [6] αὐτῶν τῶν κεκτημένων A. C. L. [7] ἐξαμαρτάνοντας A. C. L. [8] ὁμοιώς om. A. C. L. [9] δράσαντας A. C. L. [10] ἁπάντων A. C. L. [11] γενόμενος A. C. L. [12] τὰς φύσεις τὰς τοιαύτας A. C. L.

Ἐπαγγέλλουσι] I. e. αἰτοῦσιν, ἢ ἀξιοῦσι λαμβάνειν. Wolf.

Μισθαρνήσαντας] *quæstum occipientes.* Lang.

Ταπεινὸς γενόμενος] *sive alia terrestri specie humana assumpta.* Idem.

Πολλὰς — τῶν ἀθανάτων] Scil. Auroram, Cererem, Venerem, etc.

Ὑμνεῖσθαι] Alludit ad hymnos Orphei, Homeri, et aliorum. Wolf.

b δὲ τῶν εἰρημένων τεκμήριον· πλείους γὰρ ἂν εὕροιμεν διὰ τὸ
κάλλος ἀθανάτους γεγενημένους ἢ διὰ τὰς ἄλλας ἀρετὰς
ἁπάσας.

κζ΄. Ὧν Ἑλένη τοσούτῳ πλέον ἔσχεν, ὅσῳ περ καὶ τὴν
ὄψιν αὐτῶν διήνεγκεν. οὐ γὰρ μόνον ἀθανασίας ἔτυχεν, ἀλλὰ
καὶ τὴν δύναμιν ἰσόθεον λαβοῦσα πρῶτον μὲν τοὺς ἀδελ-
φοὺς ἤδη κατεχομένους ὑπὸ τῆς πεπρωμένης εἰς θεοὺς ἀνή-
γαγε· βουλομένη δὲ πιστὴν ποιῆσαι τὴν μεταβολὴν οὕτως
c αὐτοῖς τὰς τιμὰς ἐναργεῖς ἔδωκεν, ὥσθ' ὁρωμένους ὑπὸ τῶν
ἐν τῇ θαλάττῃ κινδυνευόντων σώζειν οἵ τινες ἂν εὐσεβῶς
αὐτοὺς ἐπικαλέσωνται. μετὰ δὲ ταῦτα Μενελάῳ τοσαύτην
χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων οὓς δι'
ἐκείνην ὑπέμεινεν, ὥστε, τοῦ γένους ἅπαντος τοῦ Πελοπιδῶν
διαφθαρέντος καὶ κακοῖς ἀνηκέστοις περιπεσόντος, οὐ μόνον
αὐτὸν τῶν συμφορῶν τούτων ἀπήλλαξεν, ἀλλὰ καὶ θεὸν
[1] αὐτὸν ἀντὶ θνητοῦ ποιήσασα σύνοικον αὑτῇ καὶ πάρεδρον
d εἰς ἅπαντα τὸν αἰῶνα κατεστήσατο. καὶ τούτοις ἔχω τὴν
πόλιν [2] τὴν Σπαρτιατῶν τὴν μάλιστα τὰ παλαιὰ διασώ-
ζουσαν ἔργῳ παρασχέσθαι μαρτυροῦσαν· ἔτι γὰρ καὶ νῦν ἐν
Θεράπναις τῆς Λακωνικῆς θυσίας αὐτοῖς [3] ἁγίας καὶ πατρίας
ἀποτελοῦσιν οὐχ ὡς ἥρωσιν, ἀλλ' ὡς θεοῖς ἀμφοτέροις οὖσιν.

κη΄. [4] Ἐνεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν αὐ-
τῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς ἐβλασφήμησέ
e τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν [5] ἐστερημένος, ἐπειδὴ
δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην παλινῳ- 219
δίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε.
λέγουσι δέ τινες καὶ τῶν Ὁμηριδῶν, ὡς ἐπιστᾶσα [6] τῆς
νυκτὸς Ὁμήρῳ [7] προσέταξε ποιεῖν περὶ τῶν στρατευσαμένων
219 ἐπὶ Τροίαν, βουλομένη τὸν ἐκείνων θάνατον ζηλωτότερον ἢ
τὸν βίον [8] τὸν [9] τῶν ἄλλων καταστῆσαι· καὶ μέρος μέν τι

[1] αὐτὸν om. A. C. L. [2] τῶν A. C. L. [3] ἁγίους καὶ πατρίους ἐπιτελοῦσιν A. C. L. [4] ἐπεδείξατο A. C. L. [5] ἀπεστερημένος A. C. L. [6] τῆς om. A. C. L. [7] προστάξαι A. C. L. [8] τὸν om. A. L. [9] τῶν om. C.

Τοὺς ἀδελφοὺς] Κάστορα καὶ Πολυδεύκην. Cor.

Ἤδη κατεχ. ὑπὸ τῆς πεπρωμένης] *qui fato jam concesserant.* pro ἀποθανόντας. Lang.

Ὁρωμένους] Ἐγίγνετο δὲ ἡ τοιαύτη ἐπιφάνεια ἐν εἴδει πυρὸς περιπεφυσμένου τοῖς ἄκροις τῶν ἱστῶν· ὅπερ, καὶ μέχρι δεῦρο γιγνόμενον ἐν τοῖς χειμῶσιν, οὐδέν ἐστιν ἕτερον, ἢ ἠλεκτρικαὶ ἐκπυρσεύσεις. Cor.

Ἐν Θεράπναις] Τὰς Θεράπνας οἱ μὲν τόπον, οἱ δὲ πόλιν, τῆς Λακωνικῆς ἀποδεδώκασι. Cor. Castor et Pollux ibi sepulti sunt. Cf. Pind. Pyth. xi. fin. et Nem. x. 105. et Harpocrat. sub voc.

Ποιεῖν] *canere.* de poetis proprium. Lang.

[1]διὰ τὴν Ὁμήρου τέχνην, μάλιστα δὲ διὰ ταύτην οὕτως ἐπαφρόδιτον καὶ παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέσθαι τὴν ποίησιν.

κθʹ. Ὡς οὖν καὶ δίκην [2]λαβεῖν καὶ χάριν [3]ἀποδοῦναι δυναμένην, τοὺς μὲν τοῖς χρήμασι προέχοντας ἀναθήμασι καὶ θυσίαις καὶ ταῖς ἄλλαις προσόδοις ἱλάσκεσθαι καὶ τιμᾶν
αὐτὴν χρὴ, τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι λέγειν περὶ b
αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ· τοῖς γὰρ πεπαιδευμένοις πρέπει τοιαύτας ποιεῖσθαι τὰς ἀπαρχάς.

λʹ. Πολὺ δὲ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστί. [4]χωρὶς γὰρ τεχνῶν καὶ φιλοσοφιῶν καὶ τῶν ἄλλων ὠφελειῶν, ἃς ἔχοι τις ἂν εἰς ἐκείνην καὶ τὸν πόλεμον τὸν Τρωϊκὸν ἀνενεγκεῖν, δικαίως ἂν καὶ τοῦ μὴ δουλεύειν ἡμᾶς
τοῖς βαρβάροις Ἑλένην αἰτίαν εἶναι νομίζοιμεν. εὑρήσομεν c
γὰρ τοὺς Ἕλληνας [5]δι' αὐτὴν ὁμονοήσαντας καὶ κοινὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους ποιησαμένους, καὶ τότε πρῶτον τὴν Εὐρώπην [6]τῆς Ἀσίας τρόπαιον στήσασαν· ἐξ ὧν τοσαύτης μεταβολῆς ἐτύχομεν, ὥςτε τὸν μὲν ἐπέκεινα χρόνον οἱ δυστυχοῦντες ἐν τοῖς βαρβάροις τῶν Ἑλληνίδων πόλεων ἠξίουν ἄρχειν, καὶ Δαναὸς μὲν ἐξ Αἰγύπτου φυγὼν Ἄργος κατέσχε, Κάδμος δὲ [7]Σιδώνιος Θηβῶν ἐβασίλευσε,
Κᾶρες δὲ τὰς νήσους κατῴκουν, Πελοποννήσου δὲ συμπάσης d
ὁ Ταντάλου Πέλοψ ἐκράτησε, [8]μετὰ δ' ἐκεῖνον τὸν πόλεμον τοσαύτην ἐπίδοσιν τὸ γένος ἡμῶν ἔλαβεν, ὥςτε καὶ πόλεις μεγάλας καὶ χώραν πολλὴν ἀφελέσθαι τῶν βαρβάρων. ἢν οὖν τινὲς βούλωνται ταῦτα [9]διεργάζεσθαι καὶ μηκύνειν, οὐκ ἀπορήσουσιν ἀφορμῆς ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων ἕξουσιν ἐπαινεῖν, ἀλλὰ πολλοῖς [10][καὶ καλοῖς] καὶ καινοῖς λόγοις ἐντεύξονται περὶ αὐτῆς.

[1] καὶ διὰ A. C. L. [2] λαμβάνειν A. C. L. [3] ἀποδιδόναι C.
[4] καὶ χωρὶς A. C. L. [5] διὰ ταύτην A. C. L. [6] κατὰ τῆς A. C. L.
[7] ὁ Σιδ. A. C. L. [8] μετ' ἐκεῖνον δὲ A. C. L. [9] ἐπεξεργάζεσθαι A. C. L.
[10] uncos om. A. C. L.

Ταῖς ἄλλαις προσόδοις] Alias *reditus* sunt, ut intelligi possit Helenæ certos reditus esse assignandos, quo magnificentius colatur: alias sunt *supplicationes*, quas nunc vulgo *processiones* vocant. Wolf. Malim abesse ταῖς ἄλλαις, ut inutile et sensum impediens. Auger. Quod verum est, si ἀναθήματα et θυσίαι non vocari possunt πρόσοδοι, *accessus cujuscunque generis.* Lang.

Τοὺς δὲ φιλοσόφους] *viros eruditos, viros literatos.* Auger. Τοὺς περὶ τοὺς λόγους σπουδάζοντας ἰδίως ὧδε λέγει, ἤγουν τοὺς ῥήτορας. Cor.

Φιλοσοφιῶν] Præter *disciplinas.* Lang. Τῶν παρ' ἀνθρώπους ἁπασῶν ἐπιστημῶν, παρὰ τὰς καλουμένας τέχνας. Cor.

ΙΑ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΒΟΥΣΙΡΙΣ.

ΥΠΟΘΕΣΙΣ

ΑΔΗΛΟΥ ΤΟΥ ΓΡΑΨΑΝΤΟΣ.

Pag. ed. H. Steph. | Pag. ed. Cor.

220 ΤΟΥΤΟΝ τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστὴν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφι- 220
στεύειν διὰ πενίαν, Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. γράφει δὲ αὐτῷ ὡς
φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ
ἐγκωμίῳ τοῦ Βουσίριδος καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους. αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν
λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ [1] Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ.
κατηγόρουν δὲ αὐτοῦ ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων [2] δεῖν σέβειν ὄρνεα
καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο [3] διαφθείρει τοὺς νέους τοὺς μανθάνοντας. ἐζή-
τησαν δέ τινες διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ᾽ αὐτοῦ λόγον εἰσῆλθεν, εἴ γε φεί-
δεται τοῦ διδασκάλου; καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι, ἀρτίως Σωκράτους κατα-
ψηφισάμενοι. δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψηφισαμένους. καὶ γὰρ
καὶ αὐτοὶ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν καταψηφισάμενοι Σωκράτους, εἶτα καὶ
σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ ἐγκατασκήψαντος αὐτοῖς διὰ τὸν Σωκράτους θάνατον. ἀπέ-
θανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ,
λέγειν περὶ Σωκράτους. ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ
αὐτοῦ καὶ δεδιότος, ἀναπλάσασθαι Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι
εἰς τὸν Σωκράτην καὶ εἰς τοὺς Ἀθηναίους, Ἐκάνετε, ἐκανέτε τῶν Ἑλλήνων τὸν ἄρι- 221

[1] Μέλιτον A. C. L. [2] δὴ A. L. [3] διαφθείρειν A. L.

Πολυκράτη] De hoc obtrectatore vid. Aristot. Rhet. ii. 24. Ælian. V. H. xi. 10. et Athenæus viii. p. 335.

Αὐτὸς γάρ ἐστιν κ. τ. λ.] Huic facto contradicit Phavorinus apud Diogenem Laertium, ostenditque accusationem Socratis fuisse scriptam a Polycrate exercendi duntaxat ingenii causa. AUGER.

Ὡς ὅτι] Alterutrum videtur redundare, nisi peculiaris idiotismus fuerit recentium sophistarum. WOLF.

Μὴ φανερῶς τὸν κατ᾽ αὐτοῦ] Puto leg. καὶ τὸν ἕτερον κατ᾽ αὐτοῦ. IDEM. κατ᾽ αὐτοῦ ad Polycratem, εἰσῆλθεν ad Isocratem, spectat. LANG. Ὁ νοῦς· Διὰ τί ὡς συμβουλεύων, καὶ μὴ φανερῶς κατηγορῶν Πολυκράτους, ἔγραψε τὸν κατ᾽ αὐτοῦ λόγον, εἴγε ἀσπάζεται καὶ ἀγαπᾷ τὸν διδάσκαλον. COR.

Εἴγε] Pro εἴγε Wolf. mavult ἢ cum interrogatione. Quod non est opus. LANG.

Τοῦ διδασκάλου] Socratem, magistrum suum, intelligit Coraes: cæteri Polycratem, magistrum non suum, sed aliorum.

Διὰ τούτου] Intellige λόγου, vel Πολυκράτους, *sub persona Polycratis.* WOLF. Νp. τοῦ λόγου. AUGER.

Ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψ.] F. leg. ἐλέγχειν αὐτοὺς ὥσπερ κακῶς καταψ. WOLF.

Εἶτα] Wolf. per *præsertim* interpretaretur, si exemplum adesset. Interea accipit pro *sane*, aut ejusmodi aliquo. LANG.

Ἀμέλει] *deinceps, profecto.* IDEM.

Ὡς ὅτι] Jungendum est cum ἀναπλάσασθαι, etsi Auger. hoc fieri vetat. Vid. Viger. p. 530. IDEM.

Τοῦ αἰνίξασθαι] *obscure alludendi.* IDEM.

Ἐκάνετε, ἐκάνετε] Diogenes Laertius hos versiculos sic citat:

Ἐκτάνετε, ἐκτάνετε τὰν πάνσοφον
Τὰν οὐδένα ἀλγύνουσαν ἀηδόνα μουσᾶν.

et addit, Meletum damnatum capitis, Anytum et cæteros accusatores in exsilium actos, Socrati æneam statuam a Lysippo factam esse decretam, civitatem lustratam, palæstras et gymnasia, velut in publico civitatis luctu, clausa. Nos

στον, ὅ ἐστιν ἐφονεύσατε. καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο. γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥςπερ εἴπομεν, ἐπιλαμβανόμενος αὐτοῦ. εἰ δέ τις ζητήσει τὴν αἰτίαν διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην, λέγομεν, ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι ἔναγχος καταψηφισάμενοι. Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη. Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως εἵλετο τὴν ἐν Αἰγύπτῳ, καὶ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥ τις καὶ νῦν οὕτω κέκληται. αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης καὶ ὡς θύων τοὺς ξένους. ὁ οὖν Πολυκράτης, ἅτε δὴ καὶ σοφιστὴς καὶ λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γράψαι ὑπὲρ τοῦ Βουσίριδος καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται, καὶ ὑποτίθεται αὐτὸς πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστί.

α'. ΤΗΝ μὲν [1] ἐπιείκειαν τὴν σὴν, ὦ Πολύκρατες, καὶ 221
τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμενος οἶδα·

[1] ἀποικίαν A.

Euripidis Palamedem amisimus. Sed historia exstat apud Dictym Cretensem et in Philostrati Heroicis; qui in Ulysse scribit: ἐκάνετε, ἐκάνετε etc. ut loco nostro. Wolf.

Νοῆσαν] *intelligens, animadvertens, quid sibi velint hæc verba.* Lang.

Αὐτῷ] I. e. Polycrati. Idem.

Ἐπιλαμβανόμενος] *reprehensurus.* Idem.

Τῶν τεσσάρων ἐγκωμίων ἐστὶ] Scil. εἷς. una de quatuor, quarum nomina Evagoras, Helena, Bousiris, Panathenaicus. Nam Panegyricus inter suasorias est potius numerandus, si Quinctilianum sequimur; et oratio Περὶ Ζεύγους, quanquam ibi prædicatur virtus Alcibiadis, tamen ad judiciales pertinet, ut et Plataicus. Wolf.

SUMMARIUM. (α'.) Orationum tuarum, o Polycrates, quibusdam lectis, equidem lubentissime de omni rhetorica arte tecum libere deseruissem, sed hæc in tempus opportunius differre et in præsentia de iis, quæ tibi utilia esse possint, per literas agere decrevi. Vereor quidem, ne in offensionem tuam incurram, quod omnibus, qui admonent, accidere solet; attamen operam dabo, ut te ab hac animi affectione abducam meque tibi ex animo bene velle demonstrem. (β'.) Animadvertens igitur, te et defensione Busiridis et Socratis accusatione, quas edidisti, vel imprimis gloriari, ego tibi manifestum reddere conabor, Busiridem non tam defensum quam accusatum, Socratem contra, quem accusare instituis, a te magis esse laudatum. (γ'.) Æoli Orpheique gloriam illum æmulatum esse dicis eique contraria prorsus instituta tribuis. Æolus hospites in regionem ipsius ejectos in patriam quemque suam reducendos curavit; hic vero, si tibi credendum est, hospites immolatos devoravit. Orpheus mortuos ab inferis reduxit; hic viventes ante fatum Orco tradidit. Absurdissimum est, quod contra genealogiam hunc illos æmulatum esse scribis, quorum ne patres quidem illis temporibus nati erant. (δ'.) Ne vero a te dicta tantum reprehendam, in hoc ipso argumento tibi paucis ostendere conabor, quæ sit tum laudandi tum defendendi ratio. (ε'.) (*Confirmatio.*) Neptunus illi pater, mater Libya fuit, quam primam regno potitam regioni nomen dedisse ferunt. Sed tales parentes nactus non splendore natalium superbiit, sed suæ virtutis perpetuum monumentum relinquendum esse putavit. (ς'.) Relicto imperio materno regnum armorum vi in Ægypto constituit, quam propter situm cœlique temperiem ac fertilitatem, Nili denique præsidium, Ægypto fœcunditatem continentis commoditatemque insulæ præbentis, qua quæ desunt importari et quæ supersunt exportari possunt, omnibus omnino terris anteposuit, locum amœnissimum et eum, qui incolis omnia ad victum necessaria præbere possit, recte is eligens. (ζ'.) Civium in ordines distributorum alios sacris præfecit, aliis artes designavit, alios rei militari vacare jussit, existimans, necessitates vitæque commoditates e terræ artiumque cultura profectas, tum rei militaris exercitatione tum erga deos pietate optime custodiri. (η'.) Quum observasset, qui rebus iisdem perpetuo essent occupati, eos in suo genere plurimum excellere, singulos easdem semper artes tractare jussit. Hinc Ægyptiorum artificum præstantia, hinc præclara illorum reipublicæ administrandæ ratio. Hinc Lacedæmonii, qui quandam illius partem ad se transtulerunt, optime civitatem administrant; hoc tamen discrimine, quod Ægyptii non omnes militiæ operam dant nec ob victus penuriam aliis sua eripere coguntur. Lacedæmoniorum enim pigritia atque rapacitas penuriam et, si omnibus communes essent, bella parerent, Ægyptiorum contra labor dominiique tutela securam beatamque vitam efficerent. (θ'.) Quin etiam ingenii cultura Busiridi accepta refertur: nam sacerdotibus, opes, moderationem et otium

τῶν δὲ λόγων τινὰς, ὧν γέγραφας, αὐτὸς ἀνεγνωκὼς ἥδιστα μὲν ἂν σοι περὶ ὅλης ἐπαῤῥησιασάμην τῆς παιδεύσεως, περὶ ἣν ἠνάγκασαι διατρίβειν — ἡγοῦμαι γὰρ τοῖς μὲν ἀναξίως δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν

ut haberent, prospexit, per quas illi commoditates artem medicam repererunt; philosophiam introduxit; senibus gravissima quæque munia mandavit, adolescentibus persuasit, ut in astronomia, arithmetica et geometria versarentur, quæ studia non tantum ad alias res, verum etiam ad virtutem fructuosissima sunt. (ι'.) Maxime vero admiranda est illorum pietas cultusque deorum a Busiride institutus. In quacunque alia arte vel disciplina decipientes deceptis nocent; qui autem deos ad præmia pœnasque paratiores docent, in causa fuerunt ab initio, ne homines more ferarum inter se viverent. Hinc juramenti sanctitas apud Ægyptos, qui pœnas non differri, sed extemplo exigi opinantur. Deinde ut plebem ad omnia principum edicta observanda assuefaceret et in manifestis rebus tentaret, quid illa de occultis sentiret, ille quoque multa contempta apud nos animalia coli jussit. (ια'.) Sanctitatem Ægyptorum, de qua plura adjicere possem, imprimis perspexit Pythagoras, qui tum reliquam philosophiam ex Ægypto huc transtulit, tum consecrationibus in templis et sacrificiis illorum tantopere studuit, ut omnes Græcos nominis celebritate antecelleret et ut ejus discipulos magis admiremur tacentes quam eloquentiæ gloria præstantissimos. (ιβ'.) Quodsi vero omnium harum rerum, quas laudavi, Busiridem esse auctorem, demonstrari posse negas, (ιγ'.) ego tibi hæc non licere contendo, quum et ipse tuas de illo narrationes non probes, et talia illi tribuas, quæ neque in hominum imbecillitatem neque mansuetudinem cadant. Deinde etiamsi mea tuaque falsa sint, ego tamen illum laudo, tu contra vituperas, ideoque dupliciter peccas. (ιδ'.) Quæ ego profero, verosimilia sunt; siquidem receptorum illic institutorum præter Busiridem, Neptuno et Libya ortum, nemo auctor esse possit. (ιε'.) Denique rationi temporum non congruunt, quæ Busiridi objiciuntur. Ab Hercule illum propter cæsos hospites occisum esse dictitant, etsi constat, Herculem quatuor ætatibus illo juniorem fuisse, quod a te neglectum esse valde miror. (ιϛ'.) Sed nulla tu veritatis ratione habita poetarum maledicta secutus es, qui de diis immortalibus eorumque filiis tales fabulas commenti sunt, quales nemo in suos inimicos dicere audeat. Pro quibus, quum pœnas, etsi non meritas, dederint, istorum deliramenta, si sapimus, non imitemur, cogitantes, eos, qui talia credunt et dicunt, eadem delinquere. (ιζ'.) Ego igitur non tantum deos, sed et illorum filios a quovis scelere alienos esse puto, aliisque ad optima quæque duces et magistros esse. Quoniam vero homines nos sobolis prosperitatem diis acceptam referimus, nostrosque liberos probos esse optamus eosque tales reddere possumus, absurdum esset, credere, deos nullam prorsus suorum liberorum curam gerere, eosque ex sese genitos adeo pravos et impios esse sinere. Quodsi eosdem bonos esse nolunt, deteriore sunt quam homines ingenio, si nequeunt, minore sunt quam sophistæ, qui discipulos emendant, potentia instructi. (ιη'.) Equidem laudationem et defensionem Busiridis facile dilatare possem, sed hæc sufficiant, quum non ostendendi mei, sed erudiendi tui causa, quomodo laudatio et apologia conficiendæ sint, hæc scripserim; nam tua oratio non defensio, sed criminum confessio rectius nominanda est. (ιθ'.) Tecum velim reputes, si ipse ad istum modum defenderere, quem tu animum erga defensorem habiturus sis! (κ'.) Deinde consideres, quam noxia ejusmodi sit oratio, quæ auditorum quempiam infelicem reddere possit! (κα'.) At si te hac oratione demonstrare voluisse ais, quomodo oporteat fœda crimina purgare, intelliges nunc, melius esse tacere, quam hac ratione quemquam defendere, præsertim cum ejusmodi orationibus arti oratoriæ maxima invidia contrahatur. (κβ'.) In posterum igitur talia improba argumenta ne tractes te rogo, (κγ'.) neque mireris, si ego te junior, nec ulla necessitudine tecum conjunctus monere instituerim, quum de ejusmodi rebus consilia dare eorum sit, qui et plurima sciant et prodesse velint. Lang. De hac oratione non magis constat, quam de illa quæ præcedit, qua ætate scripserit Isocrates; sed videtur tunc non fuisse annis provectior. Auger.

Ἐπιείκειαν] *æquitatem*, qua admonitionem hanc tibi salutarem æqui bonique facies. Wolf. conjicit ἀποίκησιν, vel ἀποικίαν. Lang. Ἴσον, ὡς εἰπεῖν, ὧδε δύναται ἡ ἐπιείκεια τῇ πενίᾳ, ᾗ δῆλον οὐ μόνον ἐκ τῶν ἑπομένων, ἀλλὰ καὶ ἐξ ὧν Ὅμηρος (Ἰλ. Ψ. 245.) τὸν ἐπιεικῆ πρὸς τὸν πολλὸν ἀντιδιέσταλκε. Cor.

ἅπαντας τοὺς πλείω πεπραγματευμένους καὶ μᾶλλον ἀπη-
κριβωμένους προσήκειν ἐθελοντὰς τοῦτον εἰσφέρειν τὸν ἔρα-
νον —, ἐπειδὴ δ᾽ οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ
μὲν τῶν ἄλλων, [1]ἤν ποτ᾽ εἰς ταὐτὸν [2]ἔλθωμεν, τόθ᾽ ἡμῖν
ἐξέσται διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν, ἃ δ᾽ ἐν
τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα δ᾽ ᾠήθην
[3]χρῆναι σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλλους ὡς οἷόν
τε μάλιστ᾽ ἀποκρύψασθαι. γιγνώσκω μὲν οὖν, ὅτι τοῖς
222 πλείστοις τῶν νουθετουμένων ἔμφυτόν ἐστι μὴ πρὸς τὰς
ὠφελείας ἀποβλέπειν, ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν 222
τῶν λεγομένων, ὅσῳπερ ἄν τις ἀκριβέστερον αὐτῶν ἐξετάζῃ
τὰς ἁμαρτίας· ὅμως δ᾽ οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέ-
χθειαν ταύτην τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ
πειρατέον μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμ-
βουλεύοντας διακειμένων.

β΄. [4]Αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον
ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγο-
ρίᾳ, πειράσομαί σοι ποιῆσαι καταφανὲς, ὅτι πολὺ [5]τοῦ b
δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες. ἁπάντων γὰρ
εἰδότων ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινὰς βουλομένους πλείω
τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς [6]προσόντ᾽ ἀποφαίνειν,
τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν, [7]τοσούτου
δέεις οὕτω κεχρῆσθαι τοῖς λόγοις, ὥσθ᾽ ὑπὲρ μὲν Βουσίριδος
ἀπολογήσασθαι φάσκων οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτὸν
διαβολῆς ἀπήλλαξας, ἀλλὰ καὶ τηλικαύτην αὐτῷ τὸ c
μέγεθος παρανομίαν προσῆψας, ἧς οὐκ ἔσθ᾽ ὅπως ἄν τις
δεινοτέραν ἐξευρεῖν δυνηθείη· τῶν γὰρ ἄλλων τῶν ἐπιχειρη-
σάντων ἐκεῖνον λοιδορεῖν τοσοῦτο μόνον περὶ αὐτοῦ βλασφη-
μούντων, ὡς ἔθυε τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ
κατεσθίειν αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω· Σωκράτους δὲ
κατηγορεῖν [8]ἐπιχειρήσας, ὥσπερ ἐγκωμιάσαι βουλόμενος
Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητὴν, ὃν ὑπ᾽ ἐκείνου μὲν d

[1] ὁπόταν εἰς A. C. L. [2] συνέλθωμεν A. C. L. [3] δεῖν A. C. L.
[4] αἰσθανόμενος A. C. L. [5] τοῦ δέοντος πολὺ A. C. L.
[6] τὰ προσόντα A. [τὰ] προσόντα C. L. [7] τοσούτῳ A. L. [8] ἐγχειρήσας A. C. L.

Ἀπηκριβωμένους] *exercitatiores.* LANG.

Τοὺς μὲν εὐλογεῖν κ. τ. λ.] *plura illis inesse bona, quam quæ insunt, monstrare oportet.* IDEM.

Τἀναντία τούτων ποιεῖν] I. e. plura inesse illis mala demonstare. IDEM.

Οὐχ ὅπως] *non modo non.* IDEM.

Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθ.] Idem fe-

οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ πολὺ διήνεγκε τῶν ἄλ-
λων, ἅπαντες ἂν ὁμολογήσειαν. τοιγαροῦν, εἰ γένοιτ' ἐξουσία
τοῖς τετελευτηκόσι βουλεύσασθαι περὶ τῶν εἰρημένων, ὁ
μὲν [1] ἄν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς κατηγορίας ὅσην
οὐδενὶ τῶν ἐπαινεῖν αὐτὸν εἰθισμένων, ὁ δ' εἰ καὶ περὶ τοὺς
ἄλλους πρᾳότατος ἦν, ἀλλ' οὖν ἐπί γε τοῖς ὑπὸ σοῦ λεγο-
μένοις οὕτως [2] ἂν ἀγανακτήσειεν, ὥστε μηδεμιᾶς ἂν ἀπο-
σχέσθαι τιμωρίας. καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ
e σεμνύνεσθαι προσήκει, τὸν παρὰ τοῖς λοιδορουμένοις [3] ὑφ'
αὐτοῦ μᾶλλον ἀγαπώμενον ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις;

γ'. Οὕτω δ' ἠμέλησας εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς, ὥστε
[4] φῂς μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως ζηλῶσαι δόξαν, 223
ἀποφαίνεις δ' [5] οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύσαντα.
[6] πότερα γὰρ τοῖς περὶ Αἰόλου λεγομένοις αὐτὸν [7] παρατά-
223 ξωμεν; ἀλλ' ἐκεῖνος μὲν τῶν ξένων τοὺς ἐπὶ τὴν χώραν
ἐκπίπτοντας εἰς τὰς αὑτῶν πατρίδας ἀπέστελλεν, ὁ δ', εἰ
χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις πιστεύειν, [8] θύσας κατήσθιεν.
[9] ἢ τοῖς Ὀρφέως ἔργοις ὁμοιώσωμεν; ἀλλ' ὁ μὲν ἐξ ᾅδου
τοὺς τεθνεῶτας ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας ἀπώλ-
λυεν. ὥσθ' ἡδέως ἂν εἰδείην [10] τί ποτ' ἂν ἐποίησεν, εἰ κα-
ταφρονῶν αὐτῶν ἐτύγχανεν, ὃς θαυμάζων τὴν ἀρετὴν τὴν
b ἐκείνων ἅπαντα φαίνεται τἀναντία διαπραττόμενος. ὃ δὲ
πάντων ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας ἐσπουδα-
κὼς ἐτόλμησας εἰπεῖν ὡς τούτους ἐζήλωσεν, ὧν οὐδ' οἱ πατέ-
ρες πω κατ' ἐκεῖνον τὸν χρόνον γεγονότες ἦσαν.

δ'. Ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν, ἐπιλαμ-
βάνεσθαι τῶν εἰρημένων μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ,
πειρασομαί σοι διὰ βραχέων δηλῶσαι [11] περὶ τὴν αὐτὴν
c ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν, οὐδὲ σεμνοὺς λόγους
ἔχουσαν, [12] ἐξ ὧν ἔδει καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν
ποιήσασθαι.

[1] χάριν ἂν εἰδείη σοι, ὁ δ' A. C. L. [2] ἂν om. A. C. L. [3] ὑπ' αὐτοῦ A. C. L.
[4] ἔφης A. C. L. [5] αὐτὸν οὐδὲν A. C. L. [6] πότερον A. C. L.
[7] παραβάλλωμεν A. C. L. [8] τοὺς ξένους θύσας A. C. L. [9] ἀλλὰ C. ἀλλὰ καὶ A. L.
[10] ὅ τι A. C. L. [11] τὰ περὶ A. C. L. [12] ὡς δεῖ A. C. L.

cit et Plato tum alibi passim, tum duobus Dialogis ejus nomine inscriptis. Wolf.
Ἠμέλησας — ἐρεῖς] Καινὴ σύνταξις, ἀντὶ τοῦ, ἠμέλησας τοῦ ὁμολογούμενόν τι ἐρεῖν. Cor.
Ἐκπίπτοντας] delapsos, ejectos. Lang.
Περὶ τὰς γενεαλ. ἐσπουδακὼς] in genealogiarum studio versatus. Idem.

έ. Περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς οὐκ ἂν δυ-
νηθείη ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν Ποσειδῶνος, μητρὸς
δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διός; ἥν φασι πρώτην γυναῖκα
βασιλεύσασαν ὁμώνυμον αὐτῇ τὴν χώραν καταστῆσαι.
τυχὼν δὲ τοιούτων προγόνων οὐκ ἐπὶ τούτοις [1]μόνοις μέγ'
ἐφρόνησεν, ἀλλ' ᾠήθη δεῖν καὶ τῆς ἀρετῆς τῆς αὑτοῦ μνη- d
μεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν.

ϛ'. Τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν, ἐλάττω νο-
μίσας ἢ κατὰ τὴν αὑτοῦ φύσιν εἶναι· πλείστους δὲ κατα-
στρεψάμενος καὶ μεγίστην δύναμιν κτησάμενος ἐν Αἰγύπτῳ
κατεστήσατο τὴν βασιλείαν, οὐκ ἐκ τῶν [2]παρουσῶν μόνον,
ἀλλ' ἐξ [3]ἁπασῶν προκρίνας τὴν [4]ἐκεῖ πολὺ διαφέρειν
οἴκησιν. ἑώρα γὰρ τοὺς μὲν ἄλλους τόπους οὐκ εὐκαίρως
οὐδ' εὐαρμόστως πρὸς τὴν τοῦ σύμπαντος [5]φύσιν ἔχοντας, e
224 ἀλλὰ τοὺς μὲν ὑπ' ὄμβρων κατακλυζομένους, τοὺς δ' ὑπὸ
καυμάτων διαφθειρομένους, ταύτην δὲ τὴν χώραν ἐν καλ-
λίστῳ μὲν τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ παντο-
δαπὰ τἀγαθὰ φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει τῷ
Νείλῳ τετειχισμένην, ὃς οὐ μόνον φυλακὴν ἀλλὰ καὶ τρο- 224
φὴν ἱκανὴν αὐτῇ παρέχειν πέφυκεν, ἀνάλωτος μὲν ὢν καὶ
[6]δύσμαχος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς
πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσι. πρὸς γὰρ
τοῖς [7]προειρημένοις καὶ τὴν δύναμιν αὐτῶν πρὸς τὴν τῆς
γῆς ἐργασίαν ἰσόθεον πεποίηκε· τῶν γὰρ ὄμβρων καὶ
τῶν αὐχμῶν [8]τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας ἐστὶν, ἐκείνων
δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς αὑτῷ κύριος καθέ- b
στηκεν. εἰς τοσαύτην δ' ὑπερβολὴν εὐδαιμονίας ἥκουσιν,
ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει τῆς χώρας καὶ τῷ πλήθει
τῶν πεδίων ἤπειρον καρποῦνται, τῇ δὲ τῶν [9]περιόντων δια-

[1] μόνοις om. A. C. L. [2] παρόντων A. C. L. [3] ἁπάντων A. C. L.
[4] ἐκεῖσε A. L. [5] κόσμου φύσιν A. C. L. [6] δυσμάχητος A. C. L.
[7] εἰρημένοις A. C. L. [8] [ὧν] τοῖς L. [9] ὄντων C. L.

Προκρίνας] Aut pro simplici κρίνας positum est, ut Wolf. explicuit, aut πολὺ διαφέρειν supervacaneum est. Idem.

Ἐν καλλίστῳ] Scil. μέρει. Wolf. Ἢ τόπῳ. Cor.

Κόσμου] Ἀντὶ τοῦ, οὐρανοῦ. Idem.

Τῷ Νείλῳ τετειχισμένην] Τὸ Δέλτα καλούμενον τῆς Αἰγύπτου λέγει, τὴν καὶ ἰδιαιτέρως Αἴγυπτον τοῖς πολλοῖς ὠνομασμένην. Idem.

Εὐαγωγὸς] Intelligendæ sunt derivationes Nili et fossæ, tum ad irrigandos agros tum ad commoditatem navigationis et delectationem factæ. Wolf.

Δύναμιν αὐτῶν] Γράφε· αὐτοῦ, τοῦ Νείλου δηλονότι. Cor.

Ἐκείνων] *Ægyptiorum*. Lang.

Αὐτὸς αὑτῷ] *per se*. Idem.

Διαθέσει] Harpocr. διάθεσις ἀντὶ τοῦ

θέσει καὶ τῇ τῶν ἐλλειπόντων κομιδῇ διὰ τὴν τοῦ ποταμοῦ δύναμιν νῆσον οἰκοῦσι· κύκλῳ γὰρ αὐτὴν περιέχων καὶ πᾶσαν διαῤῥέων πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων τούτων πεποίηκεν. ἤρξατο μὲν οὖν ἐντεῦθεν ὅθενπερ χρὴ τοὺς εὖ
c φρονοῦντας, ἅμα [1] τόν τε τόπον ὡς κάλλιστον [2] καταλαβεῖν καὶ [3] τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν [4] ἐξευρεῖν.

ζ'. Μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους, τοὺς μὲν ἐπὶ [5] τὰς ἱερωσύνας κατέστησε, τοὺς δ' ἐπὶ τὰς τέχνας ἔτρεψε, τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾷν ἠνάγκασεν, ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας ἔκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων δ' εἶναι φυλακὴν ἀσφαλεστάτην τήν τε περὶ τὸν πόλεμον ἐπιμέλειαν,
d καὶ τὴν [6] πρὸς τοὺς θεοὺς εὐσέβειαν.

η'. Ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβὼν ἐξ ὧν ἄριστ' ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν, εἰδὼς τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας [7] οὐδὲ πρὸς ἓν τῶν ἔργων ἀκριβῶς ἔχοντας, τοὺς δ' ἐπὶ ταῖς αὐταῖς πράξεσι συνεχῶς [8] διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον ἀποτελοῦντας. τοιγαροῦν
e καὶ πρὸς τὰς τέχνας εὑρήσομεν αὐτοὺς [9] πλεῖον διαφέροντας 225
τῶν περὶ τὰς αὐτὰς ἐπιστήμας ἢ τοὺς ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν· καὶ [10] πρὸς τὴν σύνταξιν, δι' ἧς τήν τε βασιλείαν καὶ τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς ἔχοντας, ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοιούτων λέγειν
225 ἐπιχειροῦντας καὶ μάλιστ' εὐδοκιμοῦντας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν [11] ἐπαινεῖν, καὶ Λακεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους ἄριστα διοικεῖν τὴν αὐτῶν πόλιν. καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων

[1] τόν τε om. A. C. L. [2] καταλαβὼν A. [3] τὴν τροφὴν A. C. L. [4] ἐξευρὼν A. [5] ταῖς ἱερωσύναις A. C. L. [6] περὶ A. C. L. [7] πρὸς οὐδὲν τῶν A. C. L. [8] ἐπιμένοντας A. C. L. [9] πλεῖστον A. [10] περὶ A. C. L. [11] ἐπαινεῖν om. A. C. L.

πρᾶσις. Cf. Paneg. §. ια'. et Dorvill. ad Charit. ed. Lips. p. 362. IDEM. Interpretatus sum *exportationem*, quia bona regionis superflua exportantur ut vendantur. AUGER.

Ἔκ τε τῆς χώρας] Ἐκ τῆς γεωργίας, ἀντιδιεσταλμένως πρὸς τὰς τέχνας. COR.

Ἅπαντας δὲ τοὺς ἀριθμοὺς] *omnes numeros*, i. e. omnia. LANG.

Τοῖς αὐτοῖς τὰς αὐτὰς πρ.] Παῖς γὰρ πατρὸς ἐξεδέχετο τὸ ἐπιτήδευμα ἕκαστος. COR.

Πρὸς τὰς τέχνας κ. τ. λ.] Sententia: Ægyptiorum artifices alios longius superant, quam artifices in universum præstant illis qui artis ignari sunt. LANG.

Ἔχοντας] Regitur ab εὑρήσομεν, *se habentes*, sc. Ægyptios. AUGER.

Καὶ γὰρ τὸ κ. τ. λ.] Cf. Harpocrat. sub voc. κάθετος.

γνώμης ἀποδημεῖν καὶ τὰ συσσίτια καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ τὸ [1] μηδένα τῶν ἀναγκαίων [2] ἀποροῦντα τῶν κοινῶν προσταγμάτων [3] ἀμελεῖν, μηδ᾽ ἐπὶ ταῖς ἄλλαις τέχναις διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις προσέχειν τὸν νοῦν, ἐκεῖθεν ἅπαντα ταῦτ᾽ εἰλήφασι. [4] τοσού- b
τῳ δὲ χεῖρον κέχρηνται [5] τούτοις τοῖς ἐπιτηδεύμασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάντες βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν, ἐκεῖνοι δ᾽ οὕτως οἰκοῦσιν ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμελοῦντας μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. γνοίη δ᾽ ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας· εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν ἀπολοίμεθα c
καὶ διὰ τὴν ἔνδειαν τῶν καθ᾽ ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς Αἰγυπτίων νόμοις [6] χρῆσθαι [7] βουληθεῖμεν, καὶ τοῖς μὲν ἐργάζεσθαι τοῖς δὲ τὰ τούτων σώζειν δόξειεν, ἕκαστοι τὴν αὑτῶν ἔχοντες εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν.

θ΄. Καὶ μὲν δὴ καὶ τῆς περὶ τὴν φρόνησιν ἐπιμελείας εἰκότως ἄν τις ἐκεῖνον αἴτιον [8] νομίσειεν. τοῖς γὰρ ἱερεῦσι παρεσκεύασεν εὐπορίαν μὲν ταῖς ἐκ τῶν ἱερῶν προσόδοις, d
σωφροσύνην δὲ ταῖς ἁγνείαις ταῖς ὑπὸ τῶν νόμων προστεταγμέναις, σχολὴν δὲ ταῖς τῶν κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις· μεθ᾽ ὧν ἐκεῖνοι βιοτεύοντες τοῖς μὲν σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην, ἀλλὰ τοιούτοις ἃ τὴν μὲν ἀσφάλειαν
226 ἔχει ὁμοίαν τῇ τροφῇ τῇ καθ᾽ ἡμέραν, τὰς δ᾽ ὠφελείας e
τηλικαύτας ὥστ᾽ ἐκείνους ὁμολογουμένως ὑγιεινοτάτους καὶ μακροβιωτάτους εἶναι, ταῖς δὲ ψυχαῖς φιλοσοφίας ἄσκησιν [9] κατέδειξαν, ἣ καὶ νομοθετῆσαι καὶ τὴν φύσιν τῶν ὄντων

[1] μηδενὸς A. L. [2] ἀποροῦντας A. L. [3] οὐκ ἀμελεῖν A. L.
[4] τοσοῦτον A. C. L. [5] τούτοις κέχρηνται A. C. L. [6] χρῆσθαι νομίμοις A. C. L.
[7] βουληθείημεν A. C. L. [8] εἶναι νομίσειεν A. C. L. [9] κατέδειξεν L.

Μηδενὸς τῶν ἀναγκ. ἀπορροῦντας] Leg. μηδένα τῶν ἀναγκ. ἀποροῦντα. CLAVER.

Ἅπαντες στρατιῶται καταστ.] Sensus: Ægyptii quidem uni quoque rei operam dant, sed non omnino omnes eidem; Lacedæmonii contra omnes eidem student, ita ut militiæ dediti victu quotidiano careant. LANG.

Τὴν αὑτῶν] Scil. μερίδα. IDEM.

Τῶν κινδύνων] Τῶν πολέμων. COR.

Οὐ διακεκινδυνευμένοις] Diod. Sic. l. i. p. 52. Αἰγύπτιοι θεραπεύουσι τὰ σώματα κλυσμοῖς καὶ ποτίμοις τισὶ καθαρτηρίοις καὶ νηστείαις καὶ ἐμέτοις. WOLF. Cf. Aristot. Polit. iii. 11.

Κατέδειξαν] Scil. οἱ ἱερεῖς. WOLF.

ζητῆσαι [1]δύναται. καὶ τοὺς μὲν πρεσβυτέρους ἐπὶ τὰ [2]μέγιστα [3]τῶν πραγμάτων [4]ἔταξαν, τοὺς δὲ νεωτέρους ἀμε-
226 λήσαντας τῶν ἡδονῶν ἐν [5]ἀστρολογίᾳ καὶ λογισμοῖς καὶ γεωμετρίᾳ διατρίβειν [6]ἔπεισαν, ὧν τὰς δυνάμεις οἱ μὲν ὡς πρὸς ἕτερα χρησίμους ἐπαινοῦσιν, οἱ δ' ὡς [7]πλεῖστα πρὸς ἀρετὴν [8]συμβαλλομένας ἀποφαίνειν ἐπιχειροῦσι.

ι'. Μάλιστα δ' [9]ἄξιον ἐπαινεῖν καὶ θαυμάζειν τὴν εὐσέβειαν αὐτῶν [10]καὶ τὴν περὶ τοὺς θεοὺς θεραπείαν. ὅσοι μὲν γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχημάτισαν, ὥστ' ἢ κατὰ
b [11]σοφίαν ἢ κατ' ἄλλην τιν' ἀρετὴν ὑπολαμβάνεσθαι μειζόνως ἢ κατὰ τὴν ἀξίαν, οὗτοι [12]μὲν βλάπτουσι τοὺς ἐξαπατηθέντας. ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω προέστησαν, ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς τιμωρίας δοκεῖν [13]εἶναι ἀκριβεστέρας τῶν συμβαινόντων, οἱ δὲ τοιοῦτοι πλεῖστα [14]τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελοῦσι. καὶ γὰρ τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν [15]ἐνεργασάμενοι τούτων αἴτιοι
c γεγόνασι τοῦ μὴ παντάπασι θηριωδῶς διακεῖσθαι πρὸς ἀλλήλους. ἐκεῖνοι τοίνυν οὕτως ἁγίως καὶ σεμνῶς περὶ ταῦτα ἔχουσιν, ὥστε καὶ τοὺς ὅρκους πιστοτέρους εἶναι τοὺς ἐν τοῖς ἐκείνων ἱεροῖς ἢ τοὺς παρὰ [16]τοῖς ἄλλοις [17]καθεστῶτας, καὶ τῶν ἁμαρτημάτων ἕκαστον οἴεσθαι παραχρῆμα δώσειν δίκην, ἀλλ' οὐ διαλήσειν τὸν παρόντα χρόνον, οὐδ' εἰς τοὺς παῖδας ἀναβληθήσεσθαι τὰς τιμωρίας. καὶ ταῦτ' εἰκότως δοξάζουσι· πολλὰς γὰρ αὐτοῖς καὶ παντο-
d δαπὰς ἀσκήσεις τῆς [18]ὁσιότητος ἐκεῖνος κατέστησεν, ὅστις καὶ τῶν ζώων τῶν παρ' ἡμῖν καταφρονουμένων ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν, οὐκ ἀγνοῶν τὴν δύναμιν αὐτῶν, ἀλλ' ἅμα μὲν ἐθίζειν οἰόμενος δεῖν τὸν ὄχλον ἐμ-

[1] δύναται ζητῆσαι A. C. L. [2] βέλτιστα A. C. L. [3] τῶν πραγμάτων om. A. C. L. [4] ἔταξε A. C. L. [5] ἀστρονομίᾳ A. C. L. [6] ἔπεισεν A. C. I. [7] πλεῖστον A. C. L. [8] συλλαμβανομένας A. L. [9] ἄξιον om. A. C. L. [10] ἄξιον καὶ A. C. L. [11] φιλοσοφίαν A. C. L. [12] μὲν om. A. C. L. [13] εἶναι δοκεῖν A. C. L. [14] τὸν τῶν ἀνθρώπων βίον A. C. L. [15] ἐργασάμενοι A. C. L. [16] τοῖς om. A. C. L. [17] καθεστηκότας A. C. L. [18] θειότητος A. C. L.

Λογισμοῖς] I. e. τῇ ἀριθμητικῇ. Idem.

Κατεσχημάτισαν] conformarunt, i. e. qui severitate vultus, promissa barba, vestitu singulari, magnificientia verborum, se plus scire et posse quam alios profiteantur. Idem.

Ὑπολαμβάνεσθαι μειζόνως] ut pluris aestimentur, nisi μειζόνως cuipiam suspectum videatur. Lang. Ἴσως· μείζονας ἢ μείζους. Cor.

Τὰς ἐπιμελείας] Scil. τὰς τῶν θεῶν περὶ τοὺς ἀνθρώπους. Wolf.

Τούτων] Scil. θείων πραγμάτων. Lang. Cor.

μένειν [1] ἅπασι τοῖς ὑπὸ τῶν ἀρχόντων παραγγελλομένοις,
ἅμα δὲ βουλόμενος πεῖραν λαμβάνειν [2] ἐν τοῖς φανεροῖς, ἥν
τινα περὶ τῶν ἀφανῶν διάνοιαν [3] ἔχουσιν. ἐνόμιζε γὰρ τοὺς
227 μὲν τούτων ὀλιγωροῦντας τυχὸν [4] καὶ τῶν μειζόνων κατα-
φρονήσειν, τοὺς δ' ἐπὶ πάντων ὁμοίως ἐμμένοντας τῇ τάξει e
βεβαίως ἔσεσθαι τὴν αὑτῶν εὐσέβειαν ἐπιδεδειγμένους.

ιαʹ. Ἔχοι δ' ἄν τις μὴ σπεύδειν ὡρμημένος πολλὰ καὶ
[5] θαυμαστὰ περὶ τῆς ὁσιότητος αὐτῶν διελθεῖν, ἣν οὔτε
μόνος οὔτε πρῶτος ἐγὼ τυγχάνω καθεωρακὼς, ἀλλὰ πολ-
λοὶ καὶ τῶν ὄντων καὶ τῶν προγεγενημένων, ὧν καὶ Πυθα- 227
γόρας ὁ Σάμιός [6] ἐστιν· ὃς ἀφικόμενος εἰς Αἴγυπτον καὶ μα-
θητὴς ἐκείνων γενόμενος τήν τε ἄλλην φιλοσοφίαν πρῶτος
εἰς τοὺς Ἕλληνας ἐκόμισε, καὶ [7] τὰ περὶ τὰς θυσίας [8] καὶ
τὰς ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς ἐπιφανέστερον τῶν ἄλλων
ἐσπούδασεν, ἡγούμενος, εἰ καὶ μηδὲν αὐτῷ διὰ ταῦτα πλεῖον
γίγνοιτο παρὰ τῶν θεῶν, ἀλλ' [9] οὖν παρά γε τοῖς ἀνθρώποις b
ἐκ τούτων μάλιστ' [10] εὐδοκιμήσειν. ὅπερ αὐτῷ καὶ συνέβη·
τοσοῦτον γὰρ εὐδοξίᾳ τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε καὶ
τοὺς νεωτέρους ἅπαντας ἐπιθυμεῖν αὐτοῦ μαθητὰς εἶναι,
καὶ τοὺς πρεσβυτέρους ἥδιον ὁρᾶν τοὺς παῖδας τοὺς αὑτῶν
ἐκείνῳ συγγιγνομένους ἢ τῶν οἰκείων ἐπιμελουμένους. καὶ
τούτοις οὐχ οἷόν τ' ἀπιστεῖν· ἔτι γὰρ καὶ νῦν τοὺς προσποιου-
μένους ἐκείνου μαθητὰς εἶναι μᾶλλον σιγῶντας [11] θαυμά-
ζουσι ἢ τοὺς ἐπὶ τῷ λέγειν μεγίστην δόξαν ἔχοντας. c

ιβʹ. Ἴσως ἂν οὖν τοῖς εἰρημένοις ἀπαντήσειας, ὅτι τὴν μὲν χώραν καὶ τοὺς νόμους καὶ τὴν εὐσέβειαν, ἔτι δὲ [12] τὴν φιλοσοφίαν ἐπαινῶ [13] τὴν Αἰγυπτίων, ὡς δὲ τούτων αἴτιος ἦν ὃν ὑπεθέμην, οὐδεμίαν ἔχω λέγειν ἀπόδειξιν.

ιγʹ. Ἐγὼ δ', εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτιμᾶν· σοὶ δ' οὐ προσήκει ταύτην ποιεῖσθαι τὴν ὑπόληψιν. βου-

[1] ἅπασιν ἐμμένειν A. C. L. [2] ἐν om. A. [3] ἔχωσιν A. C. L. [4] ἂν καὶ A. C. L. [5] μεγάλα A. C. L. [6] εἷς ἐστιν A. C. L. [7] τὰ om. A. L. [8] τε καὶ A. C. L. [9] οὖν om. A. C. L. [10] ἂν εὐδοκ. A. C. L. [11] θαυμάζομεν A. C. L. [12] καὶ τὴν A. C. L. [13] τῶν A. C. L.

Τυχὸν] Sub., inquit Coraes, κατὰ ἢ παρὰ ἢ μετά· ἔστι δὲ ἀναλύειν εἰς τὸ ὅταν τύχῃ καὶ εἰς τὸ ἐὰν τύχῃ ἀδιαφόρως.

Τῶν οἰκείων] *rei familiaris*. LANG.

Τὸν τρόπον τοῦτον] *hoc modo*. IDEM.

Τὴν ὑπόληψιν] Τὴν ἀντίρρησιν, τὴν αἰτιαλογίαν. Ἴσως δὲ ἐγέγραπτο ἐπίληψιν, διὰ τὰ προηγησάμενα ἐπέπληττεν καὶ ἐπιτιμᾶν, ὧν συνώνυμόν ἐστι τὸ ἐπιλαμβάνεσθαι, παρ' ὃ ἡ ἐπίληψις. COR.

d ληθεὶς γὰρ Βούσιριν εὐλογεῖν προείλου λέγειν ὡς τόν τε Νεῖλον περὶ τὴν χώραν περιέῤῥηξε καὶ τῶν ξένων τοὺς [1]ἀφικουμένους [2]θύων κατήσθιεν· ὡς δὲ ταῦτ' ἐποίησεν, οὐδεμίαν πίστιν εἴρηκας. καίτοι πῶς οὐ καταγέλαστόν ἐστι ταῦτα παρὰ τῶν ἄλλων ἀπαιτεῖν, οἷς αὐτὸς μηδὲ κατὰ μικρὸν κεχρημένος τυγχάνεις; ἀλλὰ τοσούτῳ πλέον ἡμῶν ἀπέχεις τοῦ πιστὰ λέγειν, ὅσον ἐγὼ μὲν οὐδενὸς αὐτὸν 228
αἰτιῶμαι τῶν ἀδυνάτων, ἀλλὰ νόμων καὶ πολιτείας, αἵπερ
e εἰσὶ πράξεις τῶν ἀνδρῶν τῶν καλῶν [3]κἀγαθῶν· σὺ δὲ τοιούτων δημιουργὸν ἀποφαίνεις, ὧν οὐδέτερον οὐδεὶς ἂν ἀνθρώπων ποιήσειεν, ἀλλὰ τὸ μὲν τῆς τῶν θηρίων ὠμότητος, τὸ δὲ τῆς τῶν θεῶν δυνάμεως ἔργον ἐστίν. ἔπειτ' εἰ καὶ τυγ-
228 χάνομεν ἀμφότεροι [4]ψευδῆ λέγοντες, ἀλλ' οὖν ἐγὼ μὲν τούτοις κέχρημαι τοῖς λόγοις οἷς περ χρὴ τοὺς ἐπαινοῦντας, σὺ δ' οἷς προσήκει τοὺς λοιδοροῦντας· ὥστ' οὐ μόνον τῆς ἀληθείας αὐτῶν ἀλλὰ καὶ τῆς ἰδέας ὅλης, δι' ἧς εὐλογεῖν δεῖ, φαίνῃ διημαρτηκώς.

ιδ'. Χωρὶς δὲ τούτων, εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα τὸν ἐμὸν λόγον ἐξετάζειν, οὐδεὶς ἂν αὐτῷ δικαίως [5]ἐπιπλήξειεν. εἰ μὲν γὰρ ἄλλος τις ἦν φανερὸς ὁ ταῦτα πράξας [6]ἁγὼ
b φημὶ γεγενῆσθαι δι' ἐκεῖνον, ὁμολογῶ λίαν εἶναι τολμηρὸς, εἰ περὶ ὧν ἅπαντες ἐπίστανται, περὶ τούτων μεταπείθειν ἐπιχειρῶ. νῦν δ' ἐν κοινῷ τῶν πραγμάτων ὄντων, καὶ δοξάσαι δέον περὶ αὐτῶν, τίν' ἂν τις τῶν ἐκεῖ καθεστώτων ἐκ τῶν εἰκότων σκοπούμενος αἰτιώτερον εἶναι νομίσειεν ἢ τὸν ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ Διὸς ὄντα, μεγίστην δὲ δύναμιν τῶν [7]καθ' αὑτὸν κτησάμενον, καὶ παρὰ τοῖς [8]Ἕλλησιν ὀνομαστότατον γεγενημένον; οὐ
c γὰρ δή που τοὺς [9]ἁπάντων τούτων ἀπολελειμμένους προσ-

[1] εἰσαφικνουμένους A. C. L. [2] θύων om. A. C. L. [3] καὶ ἀγαθῶν A. L.
[4] τὰ ψευδῆ A. C. L. [5] ἀπιστήσειεν A. C. L. [6] ἃ ἐγὼ A. C. L.
[7] κατ' αὐτὸν A. L. [8] ἄλλοις A. C. L. [9] ἅπασι τούτοις A. C. L.

Περιέῤῥηξε] *rupit circa regionem*, i. e. vi a suo cursu aversum coegerit Ægyptum circumfluere. WOLF.

Αἰτιῶμαι] I. e. αἴτιον εἶναι λέγω. IDEM.

Τὸ μὲν] Scil. τὸ κατεσθίειν τοὺς ξένους. IDEM.

Τὸ δὲ] Scil. τὸ περιῤῥῆξαι τῇ χώρᾳ τὸν Νεῖλον. IDEM.

Ἐν κοινῷ τῶν πρ. ὄντων] Aristoteles Polit. vii. c. 10. Sesostrin Ægyptiorum legislatorem facit. IDEM. *quum res in communi sint*, i. e. quum nihil certi hisce de rebus constet, quum alius alia de iis suspicari licet. LANG.

Δέον] Ἀντὶ τοῦ, δέοντος. WOLF.

ἥκει μᾶλλον ἢ [1]᾽κεῖνον τηλικούτων ἀγαθῶν [2]εὑρετὰς γενέσθαι.

ιέ. Καὶ μὲν δὴ καὶ τοῖς χρόνοις ῥᾳδίως ἄν τις τοὺς λόγους τοὺς τῶν λοιδορούντων ἐκεῖνον ψευδεῖς ὄντας ἐπιδείξειεν· οἱ γὰρ αὐτοὶ τῆς [3]τε Βουσίριδος [4]ξενοφονίας κατηγοροῦσι καὶ φασὶν αὐτὸν ὑφ᾽ Ἡρακλέους ἀποθανεῖν· ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν Περσέως τοῦ Διὸς καὶ Δανάης Ἡρακλέα μὲν εἶναι [5]τέτταρσι γενεαῖς νεώτερον,
Βούσιριν δὲ πλέον ἢ διακοσίοις ἔτεσι πρεσβύτερον. καίτοι d
τὸν βουλόμενον [6]ἀπολύσασθαι τὴν ὑπὲρ ἐκείνου [7]διαβολὴν πῶς οὐκ ἄτοπόν ἐστι ταύτην τὴν πίστιν παραλιπεῖν, τὴν οὕτως ἐναργῆ καὶ τηλικαύτην δύναμιν ἔχουσαν;

ις΄. Ἀλλὰ γὰρ οὐδέν σοι τῆς ἀληθείας ἐμέλησεν, ἀλλὰ
229 ταῖς τῶν ποιητῶν βλασφημίαις ἐπηκολούθησας, οἳ δεινότερα μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς ἐκ τῶν ἀθανάτων γεγονότας ἢ τοὺς ἐκ τῶν ἀνθρώπων τῶν
ἀνοσιωτάτων, τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν θεῶν e
εἰρήκασιν, [8]οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν τολμήσειεν εἰπεῖν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρ᾽ ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν, ἀλλὰ καὶ παίδων
βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων [9]δεσμοὺς καὶ 229
πολλὰς ἄλλας ἀνομίας [10]κατ᾽ αὐτῶν ἐλογοποίησαν. ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν ἀτιμώρητοί γε διέφυγον, ἀλλ᾽ οἱ μὲν αὐτῶν [11]ἀλῆται καὶ τῶν καθ᾽ ἡμέραν ἐνδεεῖς κατέστησαν, οἱ δ᾽ ἐτυφλώθησαν, [12]ἄλλος δὲ φεύγων τὴν πατρίδα καὶ τοῖς [13]οἰκειοτάτοις πολεμῶν ἅπαντα τὸν χρόνον [14]διετέλεσεν, Ὀρφεὺς δὲ, ὁ μάλιστα [15]τούτων τῶν

[1] ἐκεῖνον A. C. L. [2] εὐεργέτην γεγενῆσθαι A. C. L. [3] τε om. A. C. L. [4] ξενοκτονίας A. C. L. [5] τέτρασι A. L. [6] διαλύσασθαι τὰς A. C. L. [7] διαβολὰς A. C. L. [8] οὓς A. C. L. [9] συνουσίας A. C. L. [10] ἐλογοποίησαν κατὰ τούτων A. C. L. [11] πλανῆται A. C. L. [12] ἄλλοι δὲ φεύγοντες A. C. L. [13] οἰκείοις πολεμοῦντες A. C. L. [14] διετέλεσαν A. C. L. [15] τῶν τοιούτων A. C. L.

Ὑφ᾽ Ἡρ. ἀποθανεῖν] Vid. Schol. Apollon. Arg. iv. 1396.

Λογοποιῶν] Ἱστορίας συγγραφέων. Cor.

Τὴν πίστιν] *argumentum.* Lang.

Κλοπὰς — μοιχείας — θητείας] Mercurius, Mars, Apollo, intelligatur.

Βρώσεις — ἐκτομὰς] Ad Saturnium referatur.

Δεσμοὺς] Ad Vulcanum pertinet, qui Junoni vincula imposuit. Cf. Plat. Respub. ii. §. 17.

Ἀλῆται] Ut Homerus, Hesiodus. Wolf.

Ἐτυφλώθησαν] Ut Stesichorus itemque Homerus. Idem.

Ἄλλος δὲ φεύγων] Archilochus. Idem.

b λόγων ἁψάμενος, διασπασθεὶς τὸν βίον ἐτελεύτησεν· ὥστ' [1]ἢν σωφρονῶμεν, οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων, οὐδὲ περὶ μὲν τῆς [2]πρὸς ἀλλήλους [3]κακηγορίας νομοθετήσομεν, τῆς δ' εἰς τοὺς θεοὺς παῤῥησίας ὀλιγωρήσομεν, ἀλλὰ φυλαξόμεθα καὶ νομιοῦμεν ὁμοίως [4]ἀσεβεῖν τούς τε λέγοντας τὰ τοιαῦτα [5]καὶ τοὺς πιστεύοντας αὐτοῖς.

ιζ'. Ἐγὼ μὲν οὖν, οὐχ ὅπως τοὺς θεοὺς ἀλλ' οὐδὲ τοὺς ἐξ ἐκείνων γεγονότας οὐδεμιᾶς ἡγοῦμαι κακίας μετασχεῖν,
c ἀλλ' αὐτούς τε [6]πάσας ἔχοντας [7]τὰς ἀρετὰς φῦναι, καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνας καὶ διδασκάλους [8]γεγενῆσθαι. καὶ γὰρ ἄλογον, εἰ τῆς μὲν ἡμετέρας εὐπαιδίας εἰς τοὺς θεοὺς τὴν αἰτίαν ἀναφέρομεν, τῆς δὲ σφετέρας αὐτῶν μηδὲν αὐτοὺς φροντίζειν νομίζομεν. ἀλλ' εἰ μὲν ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως [9]κατασταίη κύριος, οὐδ' ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι πονηρούς·
d ἐκείνων δὲ [10]καταγιγνώσκομεν ὡς καὶ τοὺς ἐξ αὐτῶν γεγονότας [11]περιεῖδον οὕτως ἀσεβεῖς καὶ παρανόμους ὄντας. καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας, [12]ἤν σοι πλησιάσωσι, [13]βελτίους ποιήσειν, τοὺς δὲ θεοὺς οὐδεμίαν ἡγῇ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέλειαν. καίτοι κατὰ τὸν 230
σὸν λόγον δυοῖν τοῖν αἰσχίστοιν οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ [14]μηδὲν δέονται χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ
e τῶν ἀνθρώπων τὴν διάνοιαν, εἰ δὲ βούλονται μέν, ἀποροῦσι δ' ὅπως ποιήσωσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσιν.

ιη'. Πολλῶν δ' ἐνόντων εἰπεῖν ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν, οὐχ ἡγοῦμαι δεῖν μακρο-
230 λογεῖν· οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιούμενος, ἀλλ' ὑποδεῖξαι σοὶ βουλόμενος ὡς χρὴ τούτων ἑκάτερον ποιεῖν, διείλεγμαι περὶ αὐτῶν, ἐπεὶ τόν [15]γε λόγον ὃν συνέγραψας οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος ἀλλ' ὁμολογίαν τῶν [16]ἐπικα-

[1] ἂν A. C. L. [2] ἀλλήλων A. C. L. [3] κατηγορίας C. L.
[4] ἀσεβεῖν om. A. C. L. [5] πλημμελεῖν καὶ A. C. L. [6] τὰς πάσας A. C. L.
[7] τὰς om. A. C. L. [8] γενέσθαι A. C. L. [9] καταστῇ A. L.
[10] οὐ καταγιγνώσκοιμεν, εἰ τοὺς A. C. L. [11] περιίδοιεν A. C. L. [12] ἂν A. C. L.
[13] βελτίστους A. C. L. [14] μηδὲ βούλονται A. C. L. [15] τε A. L.
[16] ἐγκαλουμένων A. C. L.

Διασπασθεὶς] A Thraciis mulieribus. νεντας. Cor. Idem. Οὐ διαμαρτάνουσιν] I. e. ἔνοχοί εἰσι. Ἤν σοι πλησιάσωσι] Ἢν σου μαθηταὶ γί- Wolf. non absunt. Lang.

λουμένων δικαίως ἂν τις εἶναι νομίσειεν. οὐ γὰρ ἀπολύεις
αὐτὸν τῶν [1]αἰτιῶν, ἀλλὰ ἀποφαίνεις ὡς καὶ τῶν ἄλλων
τινὲς [2]ταὐτὰ πεποιήκασι, ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν
εὑρίσκων καταφυγήν. εἰ γὰρ τῶν μὲν ἀδικημάτων [3]μὴ ῥᾴδιον
εὑρεῖν ὃ μήπω τυγχάνει γεγενημένον, τοὺς δ' ἐφ' ἑκάστοις b
αὐτῶν ἁλισκομένους μηδὲν ἡγοίμεθα δεινὸν ποιεῖν, ὅταν
ἕτεροι ταὐτὰ φαίνωνται διαπεπραγμένοι, πῶς οὐκ ἂν καὶ
τὰς ἀπολογίας ἅπασι ῥᾳδίας ποιήσαιμεν, καὶ τοῖς βουλο-
μένοις εἶναι πονηροῖς πολλὴν ἐξουσίαν [4]παρασκευάσαιμεν;

ιθ'. Μάλιστα δ' ἂν κατίδοις τὴν εὐήθειαν τῶν εἰρημένων,
ἐπὶ σαυτοῦ θεωρήσας. ἐνθυμήθητι γάρ· εἰ μεγάλων καὶ
δεινῶν αἰτιῶν περὶ σὲ [5]γενομένων τοῦτόν τις τὸν τρόπον c
[6]σοι συνείποι, πῶς ἂν διατεθείης· ἐγὼ μὲν [7]γὰρ οἶδ' ὅτι
[8]μᾶλλον ἂν αὐτὸν μισήσειας ἢ τοὺς κατηγοροῦντας. καί-
τοι πῶς οὐκ αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι
τὰς ἀπολογίας, ἐφ' αἷς ὑπὲρ σαυτοῦ λεγομέναις μάλιστ'
ἂν ὀργισθείης;

κ'. Σκέψαι δὲ κἀκεῖνο, καὶ δίελθε πρὸς αὑτόν· εἴ τις
τῶν [9]νῦν σοὶ συνόντων [10]ἐπαρθείη ποιεῖν ἃ σὺ τυγχάνεις εὐ-
λογῶν, πῶς οὐκ ἂν ἀθλιώτατος εἴη καὶ τῶν ὄντων καὶ τῶν d
πώποτε γεγενημένων; ἆρ' οὖν χρὴ τοιούτους λόγους [11]γρά-
φειν, οἷς τοῦτο προσέσται μέγιστον ἀγαθὸν, ἢν μηδένα πεῖ-
σαι τῶν ἀκουσάντων δυνηθῶσιν;

231 κα'. Ἀλλὰ γὰρ ἴσως ἂν εἴποις ὡς οὐδὲ σὲ τοῦτο παρ-
έλαθεν, ἀλλ' [12]ἐβουλήθης τοῖς φιλοσόφοις παράδειγμα κατα-
λιπεῖν ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν πρα-
γμάτων ποιεῖσθαι τὰς ἀπολογίας. ἀλλ' εἰ καὶ πρότερον e
ἠγνόεις, οἶμαί σοι νῦν γεγενῆσθαι φανερὸν, ὅτι πολὺ θᾶττον
ἂν τις σωθείη μηδὲν φθεγξάμενος ἢ τοῦτον τὸν τρόπον ἀπο-
λογησάμενος. καὶ μὲν δὴ καὶ τοῦτο δῆλον, ὅτι τῆς φιλοσο-

[1] ἁμαρτιῶν A. C. L. [2] ταῦτα L. [3] οὐ A. C. L. [4] κατασκευάσαιμεν A. C. L. [5] γεγονυιῶν A. C. L. [6] σοι τὸν τρόπον A. C. L. [7] γὰρ om. A. C. L. [8] πολὺ μᾶλλον αὐτὸν A. C. L. [9] νῦν om. A. C. L. [10] ἐπαρθεὶς A. [11] συγγράφειν A. C. L. [12] ἠβουλήθης C.

Ἁλισκομένους] *convictos, condemnatos.* Idem.

Μηδὲν — δεινὸν ποιεῖν] I. e. μηδὲν ἀδικεῖν καὶ παρανομεῖν. Wolf.

Ἐξουσίαν] Τοῦ εἶναι δηλαδὴ πονηροῖς, ἀπὸ κοινοῦ τοῦ προηγησαμένου. Cor.

Ἀθλιώτατος] Ἀνοητότατος. Idem.

Σωθείη] *faceret, ut absolveretur.* Lang.

Τῆς φιλοσοφίας ἐπικήρως διακειμ.] Nam post Anaxagoram in carcerem conjectum et Socratem interfectum populus Atheniensis omnes philosophos impietatis suspectos habebat. Wolf. Ἐπικινδύνως καὶ σφαλερῶς ἐχούσης. Cor.

φίας ἐπικήρως διακειμένης καὶ φθονουμένης διὰ τοὺς τοιούτους τῶν λόγων ἔτι μᾶλλον αὐτὴν μισήσουσιν.

231 κβ΄. Ἢν οὖν [1] ἐμοὶ πείθῃ, μάλιστα μὲν οὐ ποιήσεις τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις, εἰ δὲ μή, τοιαῦτα ζητήσεις λέγειν, ἐξ ὧν μήτ' αὐτὸς χείρων εἶναι δόξεις μήτε τοὺς μιμουμένους λυμανῇ μήτε τὴν περὶ τοὺς λόγους παίδευσιν διαβαλεῖς.

κγ΄. Καὶ μὴ [2] θαυμάσῃς, εἰ νεώτερος ὢν καὶ μηδέν σοι προσήκων οὕτω προχείρως ἐπιχειρῶ σε νουθετεῖν· ἡγοῦμαι γὰρ οὐ τῶν πρεσβυτάτων οὐδὲ τῶν οἰκειοτάτων, ἀλλὰ τῶν πλεῖστα εἰδότων καὶ βουλομένων ὠφελεῖν, ἔργον εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν.

[1] μοι A. C. L.

[2] θαύμαζε A. C. L.

IB.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

Pag. ed. Cor. Pag. ed. H. Steph.

232 α΄. ΝΕΩΤΕΡΟΣ μὲν ὢν προῃρούμην γράφειν τῶν λόγων 232
οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας

σθην δι᾽ αὐτούς. ἀπαντήσαντες γάρ μοί τινες τῶν ἐπιτηδείων ἔλεγον ὡς ἐν τῷ Λυκείῳ *συγκαθεζόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων σοφιστῶν καὶ πάντα φασκόντων εἰδέναι καὶ ταχέως πανταχοῦ γιγνομένων διαλέγοιντο περί τε τῶν ἄλλων ποιητῶν καὶ* [8] *τῆς* Ἡσιόδου *καὶ* [9] *τῆς* Ὁμήρου [10] *ποιή-*

[1] αὐτῶν A. L. αὐτῆς C. [2] πρὸς ἁπ. τ. ὑπεροχὰς post πεφυκότων ponunt A. C. [3] μοι om. A. C. L. [4] τι A. L. [5] ἄνευ τῶν A. [6] τούτων om. A. C. L. [7] ἡμῶν A. C. L. [8] τῶν A. C. L. [9] τῆς om. A. C. L. [10] ποιήσεων A. C. L.

Διὰ τούτους] Repete λόγους. Idem.

Τὰς ὑπεροχὰς] *exsuperantiam.* Idem.

Νεώτερα] *quæ juvenili magis ætati conveniant, efferventiora.* Idem.

Τῶν εἰρημένων] F. ἄνευ τῶν εἰρ. *qui quum nullam artis rhetoricæ partem sine his, quæ a me dicta sunt, suis discipulis explicare queant.* Wolf.

Ἀμελεῖν ἡμῶν] Ἐὰν ἡμᾶς ἡσυχίαν ἔχειν καὶ μὴ ἐνοχλεῖν. Cor.

Παραγινώσκοντες] Τὸ ἐν μέρει τούς θ᾽ ἑαυτῶν καὶ τοὺς ἐμοῦ ἀναγινώσκοντες. Wolf. Ita ut τοῖς αὑτῶν non ad discipulos, sed ad orationes spectet, quod mihi valde contortum videtur. Verte: *perperam prælegentes et recitantes.* Lang. Κακῶς ἀναγινώσκοντες. Cor.

Διαιροῦντες] *distinguentes,* in recitatione. Lang. Κακῶς στίζοντες καὶ διατέμνοντες τά τε κῶλα καὶ περιόδους αὐτῶν, ἵνα καταδεέστεροι τῆς ἐμῆς δόξης φαίνοιντο. Cor.

Κατακνίζοντες] *vellicantes.* Lang. Κατακόπτοντες καὶ οἱονεὶ κατακερματίζοντες. Cor.

Τῶν ἀγελαίων] Τῶν εὐτελῶν, τῶν φαύλων, τῶν χυδαίων. Idem.

Ταχέως πανταχοῦ γιγνομένων] Wolf. vertit: *et celeriter in quovis loco sunt.* Auger: *et ad quasvis literarum partes celeriter transvolant.* Utra sit vera interpreta-

e σεως, οὐδὲν μὲν παρ᾽ αὑτῶν λέγοντες, τὰ δ᾽ ἐκείνων ῥαψῳδοῦντες καὶ τῶν πρότερον ἄλλοις τισὶν εἰρημένων τὰ χαριέστατα μνημονεύοντες· ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν ἕνα τὸν τολμηρότατον [1] ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ᾽ ὡς ἐγὼ πάντων καταφρονῶ τῶν τοιού-
237 των, καὶ τάς τε φιλοσοφίας τὰς τῶν ἄλλων καὶ τὰς παιδείας ἁπάσας ἀναιρῶ, καὶ φημὶ πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς· τούτων δὲ ῥηθέντων ἀηδῶς τινὰς τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς. ὡς μὲν οὖν ἐλυπήθην καὶ συνεταράχθην ἀκούσας ἀποδέξασθαί τινας τοὺς λόγους τούτους, [2] οὐκ ἂν δυναίμην εἰπεῖν· ᾤμην γὰρ οὕτως ἐπιφανὴς εἶναι τοῖς ἀλαζονευομένοις πολεμῶν καὶ
b περὶ ἐμαυτοῦ μετρίως διειλεγμένος, μᾶλλον δὲ ταπεινῶς, ὥστε μηδέν᾽ [3] ἄν ποτε γενέσθαι πιστὸν τῶν λεγόντων ὡς ἐγὼ τοιαύταις ἀλαζονείαις ἐχρησάμην. ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν τὴν [4] παρακολουθοῦσάν μοι πάντα τὸν χρόνον [5] ἐν [6] τοῖς τοιούτοις· αὕτη γάρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας τῆς περὶ ἐμὲ γιγνομένης καὶ τῶν διαβολῶν καὶ τοῦ φθόνου καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν
c τῆς δόξης ἧς ἄξιός εἰμι, μηδὲ τῆς ὁμολογουμένης, μηδ᾽ ἣν ἔχουσί τινες τῶν πεπλησιακότων [7] μοι καὶ πανταχῇ τεθεωρηκότων ἡμᾶς. ταῦτα μὲν οὖν οὐχ οἷόν τ᾽ ἄλλως ἔχειν, ἀλλ᾽ ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσι.

θ΄. Πολλῶν δέ μοι λόγων ἐφεστώτων, ἀπορῶ πότερον 237
[8] ἀντικατηγορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περὶ ἐμοῦ [9] καὶ λέγειν [10] ἀνεπιτήδειον τολμώντων. ἀλλ᾽ εἰ φανείην
d σπουδάζων, καὶ πολλοὺς λόγους ποιούμενος περὶ ἀνθρώπων οὓς οὐδεὶς ὑπείληφεν ἀξίους εἶναι λόγου, δικαίως ἂν μωρὸς

[1] ἐκείνων ἐπιχειρῆσαί A. C. L. [2] εἶναι ἐμοὺς, οὐκ A. C. L. [3] ἂν om. A. C. L. [4] παρακολουθήσασάν A. C. L. [5] διὰ A. om. L. [6] τοὺς τοιούτους A. [7] ἐμοὶ A. C. L. [8] ἀντικατηγορῶν A. L. [9] γενήσομαι καὶ A. L. [10] ἀνεπιτήδειόν τι A. C. L.

tio, vix definiri potest. LANG. Ἀντὶ τοῦ, παραγιγνομένων καὶ πανταχοῦ εὑρισκομένων. COR.

Καὶ τῶν προτέρον κ. τ. λ.] *et elegantissima quæque, quæ ab aliis ante nostra tempora dicta sunt, referentes.* LANG.

Ἀποδεξαμένων δὲ κ. τ. λ.] *quum disputationem seu recitationem suavissimorum e veteribus poetis locorum approbassent.* IDEM.

Φιλοσοφίας] *orationes, seu artis rhetoricæ cognitionem.* IDEM.

Διατεθῆναι] E superioribus repete: ἔλεγόν τινες τῶν ἐπιτηδείων. IDEM.

Ἀποδέξασθαί τινας] Πιστεῦσαί τινας. COR.

Καὶ περὶ ἐμαυτοῦ — ταπεινῶς] *et de me ipso modice vel potius submisse loqui.* LANG.

Ἐν τοῖς τοιούτοις] Πράγμασι δηλαδή. COR.

Τῆς δόξης] Per δόξαν non εὔκλειαν, sed τὴν ὑπόληψιν intelligo. WOLF. Recte *opinionem de me.* LANG.

εἶναι δοκοίην. ἀλλὰ τούτους ὑπεριδὼν [1] ἀπολογῶμαι πρὸς
τοὺς ἀδίκως μοι τῶν ἰδιωτῶν φθονοῦντας, καὶ πειρῶμαι
διδάσκειν [2] αὐτοὺς ὡς οὐ δικαίως οὐδὲ προσηκόντως περὶ ἐμοῦ
ταύτην ἔχουσι τὴν γνώμην; καὶ τίς οὐκ ἂν καταγνοίη μου
πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν δι᾽ ἕτερον δυσκόλως πρός με
διακειμένους ἢ [3] διὰ τὸ δοκεῖν χαριέντως εἰρηκέναι περί
τινων, τούτους οἰηθείην ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον e
παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους, ἀλλ᾽ οὐ μᾶλλον
ἀλγήσειν; ἄλλως τε [4] κἂν φανῶ μηδὲ νῦν πω τηλικοῦτος
ὢν [5] πεπαυμένος παραληρῶν. ἀλλὰ μὴν οὐδ᾽ ἐκεῖνο ποιεῖν
οὐδεὶς ἄν μοι συμβουλεύσειεν, ἀμελήσαντι τούτων καὶ [6] με- 238
ταξὺ [7] καταβαλόντι περαίνειν τὸν λόγον, ὃν προήρημαι
βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειόνων ἀγαθῶν
αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν ἢ τὴν Λακεδαιμονίων· εἰ
γὰρ τοῦτο ἤδη [8] ποιοίην μήτε τέλος ἐπιθεὶς τοῖς γεγραμμέ-
νοις μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων
τῇ τελευτῇ τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι
τοῖς εἰκῇ καὶ φορτικῶς καὶ χύδην ὅ τι ἂν ἐπέλθῃ λέγουσιν·
ἃ φυλακτέον ἡμῖν ἐστί. κράτιστον οὖν ἐξ ἁπάντων τούτων, b
[9] περὶ ὧν τὸ τελευταῖόν με διέβαλλον ἀποφηνάμενον ἃ δοκεῖ
μοι, τότ᾽ ἤδη λέγειν περὶ ὧν ἐξ ἀρχῆς [10] διενοήθην· οἶμαι γάρ,
ἢν ἐξενέγκω γράψας καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην περί
τε τῆς παιδείας καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς
πλάττοντας αἰτίας καὶ λέγοντας ὅ τι ἂν τύχωσιν.

ι΄. [11] Τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων κατα-
λειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ τὴν ἐφ᾽ ἡμῶν
κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε γεωμετρίαν καὶ
τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλου-
μένους, οἷς οἱ μὲν νεώτεροι μᾶλλον χαίρουσι τοῦ δέοντος, τῶν
δὲ πρεσβυτέρων οὐδεὶς ἔστιν ὅστις ἀνεκτοὺς αὐτοὺς εἶναι φή-
σειεν. ἀλλ᾽ ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα [12] παρακε-
λεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι τούτοις, λέγων, c

[1] ὡς φθονοῦντας, πειρῶμαι A. C. L. [2] τοὺς ἄλλους A. C. L. [3] διὰ om. A. C. L. [4] ἂν καὶ A. C. L. [5] μὴ A. C. L. [6] μεταξὺ om. A. C. L. [7] καταβάλλοντι A. L. [8] ποιοίμην A. L. [9] περὶ - - - λέγειν om. A. C. L. [10] διενοήθην εἰπεῖν· A. C. L. [11] τῆς μὲν - - - φήσειεν om. A. C. L. [12] παρακελεύω μὴ πονεῖν καὶ μὴ προσέχειν A. L.

Πειρῶμαι] Malim πειρήσομαι. Auger. Καταβαλόντι] Καταφρονήσαντι. Cor.

ὡς εἰ καὶ μηδὲν ἄλλο [1] δύναται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθὸν, ἀλλ᾿ οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. τοῖς μὲν οὖν τηλικούτοις οὐδέποτ᾿ ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων οὐδὲ 238
μᾶλλον πρεπούσας· τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως
d ἀπηκριβωμένων ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὔτ᾿ εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν. τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων, ὅλως δὲ [2] περὶ ἁπάντων τῶν [3] περὶ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς
e δυνάμεις διαφερόντων. οἶδα γὰρ καὶ τούτων τοὺς πολλοὺς οὔτε τὰ περὶ σφᾶς αὐτοὺς καλῶς [4] διῳκηκότας οὔτ᾿ ἐν ταῖς ἰδίαις συνουσίαις ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντας, ἄλλων τε πολλῶν καὶ
239 μεγάλων ἁμαρτημάτων γέμοντας· ὥστ᾿ οὐδὲ τούτους ἡγοῦμαι [5] μετέχειν τῆς ἕξεως περὶ ἧς ἐγὼ τυγχάνω διαλεγόμενος.

ιά. Τίνας οὖν [6] καλῶ πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δι-
b καίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν

[1] δυνήσεται A. C. L.
[2] καὶ περὶ A. C. L.
[3] περὶ τὰς τέχνας καὶ om. C. L. κατὰ A.
[4] διοικήσαντας A. C. L.
[5] μετασχεῖν A. C. L.
[6] ἴχω A. C. L.

Τοῖς μὲν οὖν τηλικούτοις] Τοῖς ταύτην ἔχουσι τὴν ἡλικίαν. Idem.

Τας μελέτας] Τῆς ἐριστικῆς nempe et ποιητικῆς, ut Wolf. explicat. Lang.

Ἐπὶ τοῖς μαθήμασι] istas disciplinas (de rebus futilibus disputandi et poemata aliorum recitandi) ita cognitas habentium. Idem.

Οὔτ᾿ εὐκαίρως] quavis occasione etsi maxime inopportuna. Idem.

Τῶν οἰκετῶν] Τῶν δούλων, οἵτινες οὐ μετεῖχον ὅλως παιδείας. Cor.

Τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις] disciplinas et artes. Lang.

Τῆς τε δόξης] existimationis. Idem.

Τῆς ἕξεως] Τῆς ἐπιστήμης, τῆς μαθήσεως. Cor.

Τὴν δόξαν] Τὴν περὶ τῶν πραγμάτων κρίσιν. Idem.

ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας,
σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους
τοῖς συνοῦσι παρέχοντας· ἔτι [1] τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρα-
τοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀν-
δρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως ἧς
μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, τοὺς μὴ
διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ' [2] ἐξισταμένους αὐ- c
τῶν μηδ' ὑπερηφάνους γιγνομένους, ἀλλ' ἐμμένοντας τῇ τάξει
[3] τῇ τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ
239 τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὐτῶν φύσιν καὶ
φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. τοὺς δὲ μὴ μόνον πρὸς ἓν
τούτων ἀλλὰ [4] καὶ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς
εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους εἶναι καὶ
[5] τελέους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς. περὶ μὲν οὖν
τῶν πεπαιδευμένων τυγχάνω [6] ταῦτα γιγνώσκων. d

ιβ'. Περὶ δὲ τῆς Ὁμήρου καὶ [7] τῆς Ἡσιόδου καὶ τῆς τῶν
ἄλλων ποιήσεως ἐπιθυμῶ μὲν εἰπεῖν — οἶμαι γὰρ ἂν
παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας [8] τἀκείνων καὶ
ληροῦντας [9] περὶ αὐτῶν —, αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω
φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς προοι-
μίοις. ἔστι δ' ἀνδρὸς νοῦν ἔχοντος μὴ τὴν εὐπορίαν ἀγαπᾶν,
[10] ἣν ἔχῃ τις περὶ τῶν αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν,
ἀλλὰ τὴν εὐκαιρίαν διαφυλάττειν [11] ὑπὲρ ὧν ἂν ἀεὶ τυγ- e
χάνῃ διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστί. περὶ μὲν
οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἢν μή με προανέλῃ τὸ
γῆρας, [12] ἢ περὶ σπουδαιοτέρων πραγμάτων [13] ἔχω τι λέγειν
ἢ τούτων. 240

ιγ'. Περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν τῶν εἰς τοὺς
Ἕλληνας ἤδη ποιήσομαι τοὺς λόγους, οὐχ ὡς οὐ πλείους
ἐπαίνους πεποιημένος περὶ αὐτῆς ἢ σύμπαντες οἱ περὶ τὴν

[1] δὲ τοὺς A. C. L. [2] ἐξανισταμένους A. L. [3] τῇ om. A. C. L.
[4] καὶ om. A. C. L. [5] τέλείους A. C. L. [6] ταῦτα γιγνώσκων τυγχάνω A. C. L.
[7] τῆς Ἡσιόδου καὶ τῆς om. A. C. L. [8] τὰ ἐκείνων A. C. L.
[9] τὰ περὶ A. L. inclusit τὰ C. [10] ἣν ἔχει A. L. [11] περὶ A. C. L.
[12] περὶ γὰρ A. C. L. [13] ἔχομεν λέγειν A. C. L.

Ἐλαφροτάτους] Πρᾳοτάτους. Harpocrat.
Ἐξισταμένους αὐτῶν] *delirantes.*
Γιγνομένοις] Ἄμεινον γράφειν, γενομένοις. Cor.
Τὴν εὐκαιρίαν διαφυλάττειν] *modum servare.* Lang.
Ἢ σύμπαντες] Cf. Paneg. §. α'.

ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως καὶ νῦν. τότε
μὲν γὰρ ἐν [1] λόγοις [2] [τοῖς] περὶ ἑτέρων πραγμάτων ἐμε-
μνήμην αὐτῆς, νῦν δὲ περὶ ταύτης τὴν ὑπόθεσιν ποιησάμενος.
οὐκ ἀγνοῶ δ' ἡλίκος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος,
b ἀλλ' ἀκριβῶς εἰδὼς καὶ πολλάκις εἰρηκὼς ὅτι τὰ μὲν μικρὰ
τῶν πραγμάτων ῥάδιον τοῖς λόγοις αὐξῆσαι, τοῖς δ' ὑπερ-
βάλλουσι τῶν ἔργων καὶ τῷ μεγέθει καὶ τῷ κάλλει χα-
λεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους. ἀλλ' [3] ὅμως οὐδὲν μᾶλλον
ἀποστατέον αὐτῶν [4] ἐστὶν, ἀλλ' ἐπιτελεστέον, ἤν περ ἔτι
ζῆν δυνηθῶμεν, ἄλλως τε καὶ πολλῶν [5] με παροξυνόντων
γράφειν αὐτὸν, πρῶτον μὲν τῶν εἰθισμένων ἀσελγῶς κατη-
γορεῖν τῆς πόλεως ἡμῶν, ἔπειτα τῶν χαριέντως μὲν [6] ἀπει-
c ροτέρως δὲ καὶ καταδεεστέρως ἐπαινούντων αὐτὴν, ἔτι δὲ τῶν
ἑτέρων μᾶλλον [7] εὐλογεῖν τολμώντων οὐκ ἀνθρωπίνως ἀλλ'
οὕτως ὥςτε πολλοὺς ἀντιτάττεσθαι πρὸς αὐτοὺς, πάντων 240
δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης, ἣ τοὺς ἄλλους
πέφυκεν ἀποτρέπειν· ἐλπίζω γὰρ, ἢν μὲν κατορθώσω, μείζω
λήψεσθαι δόξαν τῆς ὑπαρχούσης, ἢν δὲ ἐνδεέστερον τύχω
διαλεχθεὶς, πολλῆς συγγνώμης τεύξεσθαι παρὰ τῶν ἀκου-
όντων.

d ιδ'. Ἃ μὲν οὖν ἠβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ περὶ
τῶν ἄλλων ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος προαναβαλέσθαι,
ταῦτά ἐστιν. ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομένους ἐγκω-
μιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίως μὴ μόνον
περὶ αὐτῆς [8] ποιεῖσθαι τοὺς λόγους [9] ἧς προῃρημένοι τυγ-

[1] τοῖς λόγοις A. C. L. [2] [τοῖς] om. A. L. [3] ὅμως om. A. C. L.
[4] ἐστὶν αὐτῶν A. C. L. [5] με om. A. C. L. [6] ἀπείρως A. C. L.
[7] εὖ λέγειν A. C. L. [8] ποιεῖσθαι περὶ αὐτῆς A. C. L. [9] περὶ ἧς A.

Ὁμοίως καὶ νῦν] Ὡσαύτως ὥσπερ νῦν. Cor.

Τότε] In Panegyr. nempe. Lang.

Ποιησάμενος] Hic velim legi et distingui: ποιησάμενος· οὐκ ἀγνοῶν δὴ ἡλίκ. Auger.

Ἐνίσταμαι] Ἀναδέχομαι, ἐπιχειρῶ. Cor.

Χαριέντως] Wolf. recte explicat: εὐνοϊκῶς μᾶλλον ἢ πρεπόντως. Lang.

Ἔτι δὲ τῶν ἑτέρων μᾶλλον] *præterea propter eos qui nostram civitatem plus aliis* (i. e. *plus quam alii*, vel *plus quam alios*) *prædicare audent, idque faciunt non humaniter* (i. e. vel divinis laudibus eam celebrant, vel cum depressione et insectatione aliorum), *sed sic ut multi se eis opponant*, i. e. Athenienses insectentur et se ac suos tueantur. Wolf. Ἑτέρων regitur a μᾶλλον. *præterea eorum qui audent laudare* (civitatem Atheniensem) *magis quam alias civitates*. Auger. Lang. Ὁ νοῦς· Παροξυνόντων με πρῶτον μὲν τῶν κατηγορούντων, ἔπειτα τῶν ἐπαινούντων, ἀπείρως δὲ καὶ καταδεεστέρως ἐπαινούντων, ἔτι δὲ μᾶλλον τῶν ἑτέρων ἐπαινετῶν, τουτέστι τῶν οὐκ ἀνθρωπίνως ἐπαινούντων, πάντων δὲ μάλιστα κ. τ. λ. Cor. Qui tamen pro ἑτέρων mavult νεωτέρων.

Ὥσπερ χόρος π. τ. ἀγ. προαναβαλέσθαι] *tanquam cœtus musicorum, antequam in certaminibus seu ludis canere incipiant. præludere.* Wolf.

χάνουσιν, ἀλλ᾽ ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεω-
ροῦμεν καὶ δοκιμάζομεν ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν e
ὄψιν ὁμοίαν ἐχόντων καὶ τῆς τιμῆς τῆς αὐτῆς ἀξιουμένων,
οὕτω καὶ ταῖς πόλεσι παριστάναι, μὴ τὰς μικρὰς ταῖς
μεγάλαις, μηδὲ [1] τὰς πάντα τὸν χρόνον ὑφ᾽ ἑτέραις [2] οὔσας
ταῖς [3] [πάντα τὸν χρόνον] ἄρχειν [4] εἰθισμέναις, μηδὲ τὰς 241
σώζεσθαι δεομένας πρὸς τὰς σώζειν δυναμένας, ἀλλὰ τὰς
παραπλησίαν καὶ τὴν δύναμιν ἐχούσας καὶ περὶ τὰς αὐτὰς
πράξεις γεγενημένας καὶ ταῖς ἐξουσίαις ὁμοίαις κεχρη-
μένας· οὕτω γὰρ ἂν μάλιστα τῆς ἀληθείας τύχοιεν. ἣν δή
τις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται καὶ [5] παραβάλλῃ μὴ
πρὸς τὴν τυχοῦσαν πόλιν ἀλλὰ πρὸς τὴν Σπαρτιατῶν, ἣν
οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δέ τινες ὥσπερ τῶν b
ἡμιθέων ἐκεῖ πεπολιτευμένων μέμνηνται περὶ αὐτῶν, φανη-
σόμεθα καὶ τῇ δυνάμει καὶ ταῖς πράξεσι καὶ ταῖς [6] εὐεργε-
σίαις ταῖς περὶ τοὺς Ἕλληνας πλέον ἀπολελοιπότες αὐτοὺς
ἢ [7] ᾽κεῖνοι τοὺς ἄλλους.

ιέ. Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν Ἑλ-
λήνων [8] γεγενημένους ὕστερον ἐροῦμεν, νῦν δὲ ποιήσομαι περὶ
ἐκείνων τοὺς λόγους ἀρξάμενος, ἐπειδὴ [9] κατέσχον τὰς
πόλεις τὰς [10] Ἀχαιΐδας [11] καὶ πρὸς Ἀργείους καὶ [12] Μεσση- c
νίους διείλοντο τὴν χώραν· ἐντεῦθεν γὰρ προσήκει δια-
λέγεσθαι περὶ αὐτῶν. οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανή-
σονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν καὶ τὴν πρὸς
241 τοὺς βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωϊκῶν,
διαφυλάττοντες καὶ μένοντες ἐν τοῖς αὐτοῖς.

ις΄. Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγέ-
νοντο πολλαὶ πραγματεῖαι κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυ-
ναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας,
ἐκβαλόντες ἐκείνους οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμη- d

[1] ταῖς A. L. [2] οὔσαις τὰς A. L. [3] uncos om. A. C. L.
[4] εἰθισμένας A. L. [5] παραβάλῃ A. C. L. [6] εὐπραγίαις A. C. L.
[7] ἐκεῖνοι A. C. L. [8] γενομένους A. C. L. [9] κατασχόντες C.
[10] Ἀχαΐδας A. C. L. [11] καὶ om. C. [12] Μεσηνίους A. L.

Σκοπῆται] Ἴσως· σκοπῇ τε. Cor.

Περὶ αὐτῶν] Sc. τῶν Σπαρτιατῶν. Sed, quia præcedit ἐκεῖ, i. e. ἐν τῇ Σπάρτῃ πεπολιτευμένων, malim περὶ αὐτῆς. Wolf.

Ἀπολελοιπότες] Νενικηκότες. Harpocrat.

᾽Κεῖνοι] I. e. Lacedæmonii. Lang.

Παλαιοὺς ἀγῶνας] Scil. ἡμῶν, Atheniensium. Idem.

Περὶ ἐκείνων] *de Lacedæmoniis*, nisi ad ἀγῶνας referas. Ad κατέσχον intelligendum est Λακεδαιμόνιοι. Idem.

Ἐξιδιώσασθαι τὰς χώρας] *proprias sibi facere terras.* Idem.

σαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κα-
τῴκισαν εἰς αὐτάς· καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ'
[1]ἑκατέρας τῶν ἠπείρων καὶ μεγάλας ἔκτισαν, καὶ τοὺς μὲν
βαρβάρους [2]ἀνέστειλαν ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλλη-
νας ἐδίδαξαν ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας καὶ
πρὸς οὓς πολεμοῦντες μεγάλην [3]ἂν τὴν Ἑλλάδα ποιήσειαν.
e Λακεδαιμόνιοι δὲ περὶ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπέσχον
τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις καὶ τοῦ τοῖς
μὲν βαρβάροις πολεμεῖν τοὺς δ' Ἕλληνας εὐεργετεῖν, ὥστ'
οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν, ἀλλ' ἔχοντες πόλιν ἀλλο-
242 τρίαν καὶ χώραν οὐ μόνον ἱκανὴν, ἀλλ' ὅσην οὐδεμία πόλις
τῶν Ἑλληνίδων, οὐκ ἔστερξαν ἐπὶ τούτοις, ἀλλὰ μαθόντες
ἐξ αὐτῶν τῶν συμβεβηκότων κατὰ μὲν τοὺς νόμους τάς τε
πόλεις καὶ τὰς χώρας τούτων εἶναι δοκούσας τῶν ὀρθῶς καὶ
νομίμως κτησαμένων, κατὰ δὲ τὴν ἀλήθειαν τούτων γιγνο-
μένας τῶν τὰ περὶ τὸν πόλεμον [4]μάλιστ' ἀσκούντων καὶ
νικᾷν ἐν ταῖς μάχαις [5]τοὺς πολεμίους δυναμένων, ταῦτα
b διανοηθέντες, ἀμελήσαντες γεωργιῶν καὶ τεχνῶν καὶ τῶν
ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν
πόλεων τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες καὶ κακῶς ποι-
οῦντες [6]ἕως ἁπάσας κατεστρέψαντο πλὴν τῆς Ἀργείων.
συνέβαινεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαί
[7]τε τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς
Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦν-
τας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ βαρβάρων τοὺς
c εἰθισμένους ὑβρίζειν ἐκπίπτειν [8]ἐκ τῆς αὑτῶν καὶ φρονεῖν
ἔλαττον ἢ πρότερον· ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκείνων
μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν ἐν Πελο-
ποννήσῳ πόλεων ἄρχειν, ταῖς [9]δ' ἄλλαις φοβερὰν εἶναι καὶ 242

[1] ἑκάτερα τῆς ἠπείρου A. C. L. [2] ἀνέστησαν A. C. L. [3] ἂν om. A. C. L.
[4] κάλλιστα A. C. L. [5] τοὺς πολεμίους ἐν ταῖς μάχαις A. C. L.
[6] καὶ καταστρέψαντες A. L. καὶ καταστρέφοντες C. [7] τε om. A. C. L.
[8] ἐκ om. A. C. L. [9] ἄλλαις φανερὰν A. L.

Πόλιν ἀλλοτρίαν] Erant enim primitus Dores, quorum quidem duces Heraclidæ Lacedæmonem, Messenen et Argon jure possidebant; horum vero socii et subjecti, tanquam Dores, non item. Vid. Archid. §. ϛ'. Idem.

Ἐξ αὐτῶν τῶν συμβεβ.] *ex ipso eventu*, i. e. propria experientia edocti, siquidem ipsi armorum vi sua aliis eripuerant. Idem.

Πλὴν τῆς Ἀργείων] Messene enim a Lacedæmoniis quoque capta est. Vid. Archid. §. ζ'. Idem.

Ἐξ ὧν δὲ Σπαρτιᾶται] Subaudi ἔπραττον. Auger.

πολλῆς θεραπείας τυγχάνειν παρ᾽ αὐτῶν. ἐπαινεῖν μὲν
οὖν δίκαιόν ἐστι τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν
[1]γεγενημένην, δεινὴν δὲ νομίζειν τὴν αὐτῇ τὰ συμφέροντα
διαπραττομένην, καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως
αὑτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους, φοβεῖσθαι δὲ καὶ d
δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα
διακειμένους, πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμι-
κῶς τὴν αὑτῶν διοικοῦντας. τὴν μὲν οὖν ἀρχὴν ἑκατέρα
[2]τοῖν πολέοιν τοιαύτην ἐποιήσατο.

ιζ΄. Χρόνῳ δ᾽ ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου,
καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος τριήρεις μὲν συναγαγόν-
τος [3]τριακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς πεν-
τακοσίας [4]μὲν μυριάδας τῶν [5]ἁπάντων, ἑβδομήκοντα δὲ e
τῶν μαχίμων, τηλικαύτῃ [6]δὲ δυνάμει στρατεύσαντος ἐπὶ
τοὺς Ἕλληνας, Σπαρτιᾶται μὲν ἄρχοντες Πελοποννησίων
εἰς τὴν ναυμαχίαν τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ
πολέμου δέκα μόνον συνεβάλοντο τριήρεις, οἱ δὲ πατέρες 243
ἡμῶν ἀνάστατοι γενόμενοι καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ
τὸ μὴ τετειχίσθαι κατ᾽ ἐκεῖνον τὸν χρόνον [7]πλείους ναῦς
[8]παρέσχοντο καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ
[9]συγκινδυνεύσαντες· καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς
εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν οὐδὲν ἂν [10]ἐκώλυεν
ἀπολωλέναι τοὺς Ἕλληνας, οἱ δ᾽ ἡμέτεροι Θεμιστοκλέα
τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα καὶ τοῦ
τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον καὶ τῶν ἄλλων b
ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων. τεκμή-
ριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγε-
μονίαν οἱ συγκινδυνεύσαντες τοῖς ἡμετέροις παρέδοσαν.
καίτοι τίνας ἂν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο καὶ πι-
στοτέρους τῶν τότε πραχθέντων, ἢ τοὺς ἐν αὐτοῖς τοῖς
[11]ἀγῶσι παραγενομένους; τίνα δ᾽ ἂν τις εὐεργεσίαν εἰπεῖν

[1] γενομένην A. C. L. [2] ταῖν πολέοιν ἑκατέρα A. C. L. [3] διακοσίας A. C. L. [4] μὲν om. A. C. L. [5] πάντων A. C. L. [6] δὲ inclusit C. [7] κρείττους A. [8] παρέσχον A. C. L. [9] κινδυνεύσαντες A. L. [10] ἐκώλυσεν A. C. L. [11] κινδύνοις A. C. L.

Ποιεῖσθαι] Repete δίκαιόν ἐστι, aut subaudi δεῖ. Lang.

Χρόνῳ δ᾽ ὕστερον κ. τ. λ.] Cf. Paneg. §. κϛ΄. sq.

Ἀνάστατοι γενόμενοι] *extorres facti.* Lang.

Ἀφελόμενοι γὰρ Λακεδ.] Διὰ τὴν Παυσανίου ὕβριν καὶ προδοσίαν. Wolf.

c ἔχοι ταύτης μείζω τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης;

ιή. Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. ὅλως 243
μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐτῶν διηνέγκαμεν ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ
d πρότερον εἰρημένας. οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους ποιεῖσθαι πολιτείαν [1] ταύτην, ἥνπερ αὐτοὶ διετέλουν ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν τινὲς παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις, ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν· Λακεδαιμόνιοι δὲ κατέστησαν οὔθ' ὁμοίαν τῇ παρ' αὐτοῖς οὔτε ταῖς ἄλλοθί που [2] γεγενημέναις, ἀλλὰ δέκα μόνους ἄνδρας [3] κυρίους ἑκάστης
e [4] τῆς πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν
244 ἐστιν· ὀλίγα δὲ [5] καθ' ἁπάντων εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν [6] ἐμποιήσειεν ἂν τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως [7] ἂν ἐξεῦρον, νῦν δ' οὐδὲν [8] ἐπέρχεταί μοι τοιοῦτον, ἀλλ' [9] ἅπερ ἅπασιν, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὑτοὺς ἀπώλεσαν καὶ τοὺς φίλους καὶ τὰς πατρίδας τὰς αὑτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους πρὸς τοὺς συμμάχους
b [10] διαβαλόντες εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς [11] εἰσέβαλον, ὅσας οὐδεὶς πώποτε αὐτοῖς γενήσεσθαι προσεδόκησε.

ιθ'. Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπε-

[1] τοιαύτην A. C. L. [2] γενομέναις A. C. L. [3] κυρίους om. A. [4] τῆς om. A. C. L. [5] κατὰ πάντων A. C. L. [6] ἐμποιήσουσι τῶν A. C. L. [7] ἂν om. A. L. [8] ὑπέρχεται A. L. [9] παρὰ πᾶσιν ὁμολογεῖται A. L. ἅπαντες ἴσασιν C. [10] διαβάλλοντες A. C. L. [11] ἐνέβαλον A. C. L.

Ἑκατέραν] *utramque*, i. e. et Lacedæmoniorum civitatem, non uno, sed diverso tempore. Lang.

Ἐκεῖνοι] I. e. οἱ δέκα ἄνδρες. Idem.

Τῶν προγεγενημένων] I. e. triginta tyrannorum, qui decemviros. tempore anteiverunt. Vid. Harpocrat. in voc. δέκα. Idem.

μελήθημεν, δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος· Σπαρ-
τιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς
δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν ἀρχήν. καί-
τοι πάντες ἴσασι τὰς πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, c
ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσιν ὑφ' ὧν ἂν ἐλά-
χιστα κακὰ πάσχουσαι τυγχάνωσιν. ἐκ τούτων τοίνυν
ἀμφότεραι μισηθεῖσαι κατέστησαν εἰς πόλεμον καὶ ταρα-
244 χήν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἄν, ἁπάντων αὐτῇ
καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐπιθεμένων, ἔτη δέκα
τούτοις ἀντισχεῖν δυνηθεῖσαν, Λακεδαιμονίους δὲ κρατοῦν-
τας [1]ἔτι κατὰ γῆν, πρὸς Θηβαίους μόνους πολεμήσαντας d
καὶ μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν
εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους καὶ συμ-
φοραῖς αἷσπερ ἡμεῖς, καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν
[2][ἐν] ἐλάττοσιν ἔτεσιν ἀναλαβοῦσαν αὑτὴν ἢ κατεπολε-
μήθη, Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλα-
πλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς
τὴν [3]αὐτὴν ἕξιν ἐξ ἧσπερ ἐξέπεσον, ἀλλ' ὁμοίως ἔτι καὶ νῦν e
ἔχοντας.

κ'. Τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι προσηνέ-
χθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. ἐπὶ μὲν γὰρ
τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς οὔτ' ἐντὸς Ἅλυος
[4]πεζῷ στρατοπέδῳ καταβαίνειν οὔτε μακροῖς πλοίοις ἐπὶ
[5]τάδε πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς Λακεδαιμονίων οὐ μόνον 245
τοῦ πορεύεσθαι καὶ πλεῖν [6]ὅποι βουληθεῖεν ἐξουσίαν ἔλα-
βον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέ-
στησαν.

κα'. Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γεν-
ναιοτέρας καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν
πλείστων καὶ μεγίστων τοῖς μὲν βαρβάροις κακῶν τοῖς δ'

[1] ἔτι, κατὰ γῆν A. C. L. [2] [ἐν] om. A. L. [3] αὐτῶν A. C. L.
[4] ποταμοῦ πεζῷ καταβαίνειν A. C. L. [5] τἄνδον A. C. L. [6] ὅπου A. L. ὅπη C.

Ἔτη δέκα μόλις] Scil. a clade in Hellesponto ad victoriam apud Cnidum. Cf. Paneg. §. λγ'.

Αὐτῶν] Np. πραγμάτων. Auger.

Κατέσχομεν] Malim κατείχομεν. Wolf.

Ἐκ τούτων] Scil. κακῶν. Auger. *his rebus*, i. e. imperii administratione. Lang.

Μίαν μάχην] Vid. or. ad Philip. §. ιθ'. Idem.

Ἕξιν ἐξ ἧσπερ] Perizon. ad Ælian. V. H. v. 9. *se restituere in fortunam qua ceciderunt.* Idem.

Κατέστησαν] Conf. Paneg. §. λδ'. Lang.

Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς [1] Ἀσίας
b τὴν παραλίαν καὶ πολλὴν ἄλλην χώραν [2] τοὺς μὲν πολε-
μίους ἀφελομένην τοῖς δὲ συμμάχοις κτησαμένην, καὶ τοὺς
μὲν ὑβρίζοντας τοὺς δ' ἀποροῦντας παύσασαν, πρὸς δὲ
τούτοις ὑπὲρ αὐτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκι-
μούσης περὶ τὰ τοιαῦτα καὶ τὰς συμφορὰς θᾶττον διαλυ-
σαμένην τῶν αὐτῶν τούτων, πῶς οὐ δίκαιόν ἐστιν ἐπαινεῖν
καὶ τιμᾶν μᾶλλον ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην;
c περὶ μὲν οὖν τῶν πραχθέντων παρ' ἄλληλα καὶ τῶν κινδύ-
νων [3] τῶν ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων ἐν τῷ παρ-
όντι ταῦτ' [4] εἶχον εἰπεῖν.

κϐ΄. Οἶμαι δὲ τοὺς ἀηδῶς ἀκούοντας τῶν λόγων τούτων
τοῖς μὲν εἰρημένοις οὐδὲν [5] ἀντερεῖν ὡς οὐκ ἀληθέσιν οὖσιν, 245
οὐδ' αὖ πράξεις ἑτέρας ἕξειν εἰπεῖν περὶ ἃς Λακεδαιμόνιοι
[6] γενόμενοι πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστη-
σαν, κατηγορεῖν δὲ τῆς πόλεως ἡμῶν [7] ἐπιχειρήσειν, ὅπερ
d ἀεὶ ποιεῖν εἰώθασι, καὶ διεξιέναι τὰς δυσχερεστάτας τῶν
πράξεων τῶν ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν γεγενη-
μένων, καὶ τάς τε δίκας καὶ τὰς κρίσεις τὰς ἐνθάδε γιγνο-
μένας τοῖς συμμάχοις καὶ τὴν τῶν φόρων εἴσπραξιν [8] δια-
βαλεῖν, καὶ μάλιστα [9] διατρίψειν περὶ τὰ Μηλίων πάθη
καὶ Σκιωναίων [10] καὶ Τορωναίων, [11] οἰομένους ταῖς κατηγο-
ρίαις ταύταις [12] καταρυπανεῖν τὰς τῆς πόλεως εὐεργεσίας
τὰς ὀλίγῳ πρότερον εἰρημένας.

κγ΄. Ἐγὼ δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα
e κατὰ τῆς πόλεως οὔτ' ἂν δυναίμην ἀντειπεῖν οὔτ' ἂν ἐπιχει-
ρήσαιμι τοῦτο ποιεῖν· καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον
ἤδη καὶ πρότερον, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρ-

[1] μὲν Ἀσιάς A. L. [2] τοῖς μὲν πολεμίοις A. L. [3] τῶν om. A. C. L. [4] εἴχομεν A. C. L. [5] ἂν ἀντερεῖν A. L. [6] γιγνόμενοι A. L. [7] ἐπιχειροῦσιν A. L. ἐπιχειρήσουσιν C. [8] διαβαλοῦσι A. C. L. [9] διατρίψουσι A. C. L. [10] καὶ Τορωναίων om. A. C. L. [11] οἰόμενοι A. C. L. [12] καταρυπαίνειν A. C. L.

Περὶ τὰ τοιαῦτα] *quæ ad rem militarem pertinent.* Idem.

Τῶν αὐτῶν τούτων] *quam Lacedæmonios.* Idem.

Περὶ μὲν οὖν τῶν πραχθ. παρ' ἄλληλα] Τὸ ἑξῆς· ταῦτα ἐν τῷ παρόντι ἔχομεν εἰπεῖν περὶ τῶν πραχθέντων ἑκατέροις (τουτέστιν, ἡμῖν τε καὶ Λακεδαιμονίοις τιθέντες καὶ ἐξετάζοντες αὐτὰ) παρ' ἄλληλα κ. τ. λ. Cor.

Ἐνθάδε γιγνομένας] F. ἐνθάδε γενομένας. Wolf.

Σκιωναίων] Cf. Thucyd. v. 3. et 32. et Paneg. §. κθ΄.

Καταρυπαίνειν] Καταμολύνειν καὶ καθυβρίζειν. Cor.

Ὅπερ εἶπον ἤδη καὶ πρότ.] Np. in Epistola ad Philipp. secunda. Lang.

τήτους εἶναι νομιζόντων ἐγὼ γλιχοίμην καὶ πειρῴμην πεί-
θειν ὡς περὶ οὐδὲν πώποτε τὸ κοινὸν ἡμῶν πεπλημμέληκεν·
οὐ μὴν ἀλλ᾽ ἐκεῖνό γ᾽ οἴομαι ποιήσειν, τήν τε πόλιν τὴν 246
Σπαρτιατῶν ἐπιδείξειν περὶ τὰς πράξεις τὰς προειρημένας
πολὺ πικροτέραν καὶ χαλεπωτέραν τῆς ἡμετέρας γεγενημέ-
νην, τούς θ᾽ ὑπὲρ ἐκείνων βλασφημοῦντας καθ᾽ ἡμῶν ὡς δυνα-
τὸν ἀφρονέστατα διακειμένους καὶ τοῦ κακῶς ἀκούειν ὑφ᾽
ἡμῶν τοὺς φίλους αὐτῶν αἰτίους ὄντας· ἐπειδὰν γὰρ [1] τὰ
τοιαῦτα κατηγορῶσιν, οἷς ἔνοχοι Λακεδαιμόνιοι μᾶλλον τυγ-
χάνουσιν ὄντες, οὐκ ἀποροῦμεν [2] τοῦ περὶ ἡμῶν ῥηθέντος b
μεῖζον ἁμάρτημα κατ᾽ ἐκείνων εἰπεῖν.

κδ΄. Οἷον καὶ νῦν, ἢν μνησθῶσι τῶν ἀγώνων τῶν [3] τοῖς
συμμάχοις ἐνθάδε [4] γιγνομένων, τίς ἐστιν οὕτως ἀφυὴς,
ὅστις οὐχ εὑρήσει πρὸς τοῦτ᾽ ἀντειπεῖν ὅτι πλείους Λακε-
δαιμόνιοι τῶν Ἑλλήνων ἀκρίτους ἀπεκτόνασι τῶν παρ᾽
ἡμῖν, ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν κατα-
στάντων;

κέ. Τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν φόρων ἤν
τι λέγωσιν, ἕξομεν εἰπεῖν· πολὺ γὰρ ἐπιδείξομεν συμφορώ- c
246 τερα πράξαντας τοὺς ἡμετέρους ἢ Λακεδαιμονίους ταῖς πό-
λεσι ταῖς τὸν φόρον ἐνεγκούσαις. πρῶτον μὲν γὰρ οὐ προσ-
ταχθὲν ὑφ᾽ ἡμῶν τοῦτ᾽ ἐποίουν, [5] ἀλλ᾽ αὐτοὶ γνόντες, ὅτε
[6] περ τὴν ἡγεμονίαν ἡμῖν τὴν κατὰ θάλατταν ἔδοσαν·
ἔπειτ᾽ οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον, ἀλλ᾽
ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας τῆς αὑτῶν καὶ τοῦ
μὴ περιπεσεῖν ὀλιγαρχίας γενομένης τηλικούτοις κακοῖς τὸ d
μέγεθος, ἡλίκοις ἐπὶ τῶν [7] δεκαρχιῶν καὶ τῆς δυναστείας
τῆς Λακεδαιμονίων. ἔτι δ᾽ οὐκ ἐκ τούτων ἔφερον ἐξ ὧν αὐτοὶ
διέσωσαν, ἀλλ᾽ ἀφ᾽ ὧν δι᾽ ἡμᾶς εἶχον· ὑπὲρ ὧν, εἰ καὶ μικρὸς
λογισμὸς ἐνῆν αὐτοῖς, δικαίως ἂν χάριν εἶχον ἡμῖν. παρα-
λαβόντες γὰρ τὰς πόλεις αὐτῶν τὰς μὲν παντάπασιν ἀνα-
στάτους γεγενημένας ὑπὸ τῶν βαρβάρων, τὰς δὲ πεπορθη-

[1] τὰ om. A. C. L. [2] τῶν π. ἡ. ῥηθέντων A. C. L. [3] ἐν τοῖς A.
[4] γενομένων L. [5] ἀλλὰ καὶ αὐτοὶ A. C. L. [6] περ om. A. C. L.
[7] δεκαδαρχιῶν C. L.

Τὸ κοινὸν ἡμῶν] *commune nostrum*, i. e. nostra respublica. Auger. Ἡ ἡμετέρα πόλις, ὁ δῆμος. Cor.

Ἀκρίτους ἀπεκτόνασι] Cf. Panegyr. §. λβ'.

e μένας, εἰς τοῦτο προηγάγομεν ὥστε μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντας μηδὲν [1]ἐλάττους ἔχειν αὐτοὺς [2]οἴκους Πελοποννησίων τῶν οὐδένα φόρον ὑποτελούντων.

κς'. Περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων ὑφ' ἑκατέ-
247 ρας τῶν πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνειδίζουσιν, ἐπιδείξομεν πολὺ δεινότερα πεποιηκότας οὓς ἐπαινοῦντες διατελοῦσιν. ἡμῖν μὲν γὰρ συνέπεσε περὶ νησύδρια τοιαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος [3]ἐξαμαρτεῖν, ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ' ἴσασιν, ἐκεῖνοι δὲ τὰς μεγίστας πόλεις [4]τῶν ἐν Πελοποννήσῳ καὶ τὰς πανταχῇ προεχούσας τῶν [5]ἄλλων ἀναστάτους ποιήσαντες αὐτοὶ τἀκείνων ἔχουσιν, ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν αὐταῖς [6]πρότερον ὑπῆρχεν ἀγαθὸν, τῆς μεγίστης
b δωρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν διὰ τὴν στρατείαν τὴν ἐπὶ Τροίαν, ἐν ᾗ σφᾶς [7]τε αὐτὰς [8]παρέσχον πρωτευούσας [9]καὶ τοὺς ἡγεμόνας ἀρετὰς ἔχοντας οὐ μόνον τὰς τοιαύτας ὧν πολλοὶ καὶ [10]τῶν φαύλων κοινωνοῦσιν, ἀλλὰ κἀκείνας ὧν οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη μετασχεῖν. Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε τὸν φρονιμώτατον ἁπάντων τῶν κατ' ἐκεῖνον τὸν χρόνον [11]γενόμενον, Λακεδαίμων δὲ Μενέλαον τὸν διὰ σωφροσύνην [12]καὶ δικαιοσύνην μόνον ἀξιωθέντα Διὸς
c γενέσθαι [13][καὶ κληθῆναι] κηδεστὴν, ἡ δ' Ἀργείων πόλις
Ἀγαμέμνονα τὸν οὐ μίαν οὐδὲ δύο σχόντα [14]μόνον ἀρετὰς, 247
ἀλλὰ πάσας ὅσας ἂν [15]ἔχοι τις εἰπεῖν, καὶ ταύτας οὐ μετρίως ἀλλ' ὑπερβαλλόντως· οὐδένα γὰρ εὑρήσομεν τῶν ἁπάντων οὔτ' ἰδιωτέρας πράξεις μεταχειρισάμενον οὔτε καλλίους οὔτε μείζους οὔτε τοῖς Ἕλλησιν ὠφελιμωτέρας οὔτε πλειόνων ἐπαίνων ἀξίας. καὶ τούτοις οὕτω μὲν ἀπη-
d ριθμημένοις εἰκότως [16]ἄν τινες ἀπιστήσειαν, μικρῶν δὲ περὶ

[1] ἐλάττονας A. ἔλαττον L. [2] οἰκείους L. [3] ἐξαμαρτάνειν A. C. L.
[4] τὰς A. C. L. [5] Ἑλλήνων A. C. L. [6] πρότερον αὐταῖς ὑπῆρξεν A. C. L.
[7] τε om. A. C. L. [8] παρεῖχον A. L. [9] τούς θ' A. C. L.
[10] φαῦλοι A. C. L. [11] γενομένων A. C. L. [12] καὶ δικαιοσύνην om. A. C. L.
[13] uncos om. A. C. L. [14] μόνον ἔχοντα A. C. L. [15] ἔχοι τις ἂν A. C. L.
[16] ἂν ἀπιστήσειαν πολλοὶ A. C. L.

Οἴκους] Ἀντὶ τοῦ, οἰκίας, ἀπὸ μέρους τὸ ὅλον. Cor.

Περὶ νησύδρια] Scione nempe et Melus, quarum vero primam urbem Macedoniae esse scribunt. Wolf.

Τηλικαῦτα] In sensu diminutivo accipe, tantilla: nisi forte accipiendum sit sensu ironico, tanta et tam magna. Auger.

Προεχούσας] Cf. or. ad Phil. §. ια'. Lang.

Μενέλαον] Γράφε Ἀττικῶς, Μενέλεων. Cor.

Ἰδιωτέρας] Οἰκειοτέρας. τοῦτο δὲ ἐπὶ τοῦ μᾶλλον προσηκούσας, πρεπωδεστέρας. Idem.

Ἀπηριθμημένοις] Ἄνευ ἐλέγχων καὶ μὴ μετ' ἀποδείξεως εἰρημένοις. Wolf.

ἑκάστου ῥηθέντων ἅπαντες ἂν ἀληθῆ με λέγειν ὁμολο-
γήσειαν.

κζ΄. Οὐ δύναμαι δὲ κατιδεῖν, ἀλλ᾽ ἀπορῶ ποίοις [1] ἂν
λόγοις μετὰ ταῦτα χρησάμενος ὀρθῶς [2] εἴην βεβουλευμένος.
αἰσχύνομαι [3] μὲν γὰρ, εἰ, τοσαῦτα περὶ τῆς Ἀγαμέμνονος
ἀρετῆς προειρηκὼς μηδενὸς μνησθήσομαι τῶν ὑπ᾽ ἐκείνου
πεπραγμένων, ἀλλὰ δόξω τοῖς ἀκούουσιν ὅμοιος εἶναι τοῖς
ἀλαζονευομένοις καὶ λέγουσιν ὅ τι ἂν τύχωσιν· ὁρῶ δὲ τὰς
πράξεις τὰς ἔξω λεγομένας τῶν ὑποθέσεων οὐκ ἐπαινου- e
μένας ἀλλὰ ταραχώδεις εἶναι δοκούσας, καὶ πολλοὺς μὲν
ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς, πολὺ δὲ πλείους τοὺς
ἐπιτιμῶντας. διὸ δέδοικα μὴ καὶ περὶ ἐμὲ συμβῇ τι τοι- 248
οῦτον. οὐ μὴν ἀλλ᾽ αἱροῦμαι βοηθῆσαι τῷ ταὐτὸν ἐμοί τε
καὶ πολλοῖς ἄλλοις πεπονθότι, καὶ διημαρτηκότι τῆς δόξης
ἧς προσῆκε τυχεῖν αὐτὸν, καὶ μεγίστων [4] μὲν ἀγαθῶν
αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δ᾽ ἐπαι-
νουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.

κη΄. Τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὃς τηλικαύτην μὲν ἔσχε
τιμὴν, ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν, οὐδέποτ᾽
ἂν εὑρεῖν δυνηθεῖεν; μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος ἠξιώθη b
γενέσθαι στρατηγός. ὁπότερον δὲ, εἴθ᾽ ὑπὸ πάντων αἱρεθεὶς
εἴτ᾽ αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν. ὁποτέρως δ᾽ [5] οὖν
συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε τῆς περὶ αὐτὸν
δόξης τοῖς ἄλλως πως τιμηθεῖσι. ταύτην δὲ λαβὼν τὴν δύ-
ναμιν οὐκ ἔστιν ἥντινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν·
ἀλλ᾽ οὕτως ἦν πόῤῥω [6] τοῦ περί τινας ἐξαμαρτεῖν, ὥστε
παραλαβὼν τοὺς Ἕλληνας ἐν πολέμῳ καὶ ταραχαῖς καὶ
248 πολλοῖς [7] κακοῖς ὄντας, τούτων μὲν αὐτοὺς ἀπήλλαξεν, εἰς c
ὁμόνοιαν δὲ καταστήσας τὰ μὲν περιττὰ τῶν ἔργων καὶ
τερατώδη καὶ μηδὲν ὠφελοῦντα τοὺς ἄλλους ὑπερεῖδε,
στρατόπεδον δὲ συστήσας ἐπὶ τοὺς βαρβάρους ἤγαγε. τού-
του δὲ κάλλιον στρατήγημα καὶ τοῖς Ἕλλησιν ὠφελιμώ-
τερον οὐδεὶς φανήσεται πράξας οὔτε τῶν κατ᾽ ἐκεῖνον τὸν

[1] ἂν om. A. C. L. [2] ἂν εἴην A. C. L. [3] μὲν om. A. L. [4] μὲν om. A. C. L.
[5] οὖν om. A. [6] τούτου, ὡς καί τινας ἐν πολ. A. C. L. [7] ἄλλοις κακοῖς A. C. L.

Ἔξω — τῶν ὑποθέσεων] I. e. per digressionem. Lang.

Ταραχώδεις εἶναι] I. e. lectorem a via seducere et confusum reddere. Idem.

Ταύτην δὲ] Ἴσως· ταύτην γάρ. Cor.

Τὰ μὲν περιττὰ τῶν ἔργων] Οἷα τὰ πολλὰ τῶν Ἡρακλέους καὶ τὰ Ξέρξου καὶ τὰ τῶν Πυραμίδων. Wolf.

χρόνον εὐδοκιμησάντων [1] οὔτε τῶν ὕστερον ἐπιγενομένων. ἃ [2] 'κεῖνος πράξας καὶ τοῖς ἄλλοις ὑποδείξας οὐχ οὕτως
d εὐδοκίμησεν, ὡς προσῆκεν αὐτόν, διὰ τοὺς μᾶλλον ἀγαπῶντας τὰς θαυματοποιΐας τῶν εὐεργεσιῶν καὶ τὰς ψευδολογίας τῆς ἀληθείας, ἀλλὰ τοιοῦτος γενόμενος ἐλάττω δόξαν ἔχει τῶν οὐδὲ μιμήσασθαι τολμησάντων αὐτόν.

κθ'. Οὐ μόνον δ' ἐπὶ τούτοις ἂν τις αὐτὸν ἐπαινέσειεν, ἀλλὰ καὶ ἐφ' οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπραξεν. εἰς τοῦτο γὰρ μεγαλοφροσύνης ἦλθεν, ὥστ' οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν ὁπόσους ἐξ ἑκάστης ἠβουλήθη
e [3] τῆς πόλεως ἀλλὰ τοὺς βασιλέας τοὺς ποιοῦντας ἐν ταῖς αὑτῶν [4] ὅ τι βουληθεῖεν καὶ τοῖς ἄλλοις προστάττοντας, τούτους ἔπεισεν ὑφ' αὑτῷ γενέσθαι, καὶ συνακολουθεῖν ἐφ' οὓς ἂν [5] ἡγῆται, καὶ ποιεῖν τὸ προσταττόμενον, καὶ βασιλικὸν βίον [6] ἀφέντας στρατιωτικῶς ζῆν, ἔτι δὲ κιν-
249 δυνεύειν καὶ πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Μενέλεω γυναικός, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων μήτε τοιαῦτα, μήθ' οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπάσης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ τῆς πόλεως τῆς Ἀργείων, Κάδμου δὲ
b Θηβῶν. ὧν τίς ἄλλος φανήσεται προνοηθείς, ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν ἔτι γενέσθαι τοιοῦτον, πλὴν τῆς ἐκείνου φύσεως καὶ δυνάμεως;

λ'. Τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προειρημένων ἔλαττόν ἐστι, τῶν δὲ πολλάκις ἐγκεκωμιασμένων μεῖζον καὶ λόγου μᾶλλον ἄξιον· στρατόπεδον γαρ συνεληλυθὸς ἐξ ἁπασῶν τῶν πόλεων, τοσοῦτον [7] τ' πλῆθος ὅσον εἰκός, [8] ὃ πολλοὺς εἶχεν αὐτῷ τοὺς μὲν ἀπὸ θεῶν τοὺς δ' ἐξ αὐτῶν τῶν θεῶν
c γεγονότας, οὐχ ὁμοίως διακειμένους τοῖς πολλοῖς οὐδ' ἴσον 249
φρονοῦντας τοῖς ἄλλοις, ἀλλ' ὀργῆς καὶ θυμοῦ καὶ φθόνου καὶ φιλοτιμίας μεστούς, ἀλλ' ὅμως [9] τὸ τοιοῦτον ἔτη δέκα

[1] οὐδὲ A. L. [2] ἐκεῖνος A. C. L. [3] τῶν πόλεων A. C. L.
[4] ἃ βούλονται A. C. L. [5] ἡγήσηται A. C. L. [6] ἀφέντας om. A. C. L.
[7] τὸ om. A. L. [8] πολλοὺς ἔχειν τοὺς A. C. L. [9] τοὺς τοιούτους A. C. L.

Θηβῶν] Cf. Helen. Encom. §. λ'. Lang.
Τοὺς μὲν ἀπὸ θεῶν] I. e. viribus divinis praediti. Idem. Τοὺς μὲν εἰς θεοὺς ἀναφέροντας τὴν τοῦ γένους καταβολήν, οἷος ἦν Αἴας υἱωνὸς Αἰακοῦ τοῦ Διός. Cor.
Τοὺς ἐξ αὐτῶν τῶν θεῶν] Τοὺς δὲ καὶ ἀμέσως ἐκ θεῶν γεννηθέντας, οἷος ἦν Ἀχιλλεὺς ὁ ἐκ Θέτιδος μιᾶς τῶν Νηρηίδων. Cor.

κατέσχεν οὐ μισθοφοραῖς μεγάλαις οὐδὲ χρημάτων δαπά-
ναις, αἷς νῦν [1]ἅπαντες δυναστεύουσιν, ἀλλὰ τῷ [2]καὶ τῇ
φρονήσει διαφέρειν καὶ δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων
τοῖς στρατιώταις πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον
ἄμεινον ὑπὲρ τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας ἢ τοὺς
ἄλλους περὶ σφῶν αὐτῶν. τὸ τοίνυν τέλος, ὃ πᾶσι τούτοις d
[3]ἐπέθηκεν, οὐδενὸς ἧττον προσήκει θαυμάζειν· οὐ γὰρ
ἀπρεπὲς οὐδ' ἀνάξιον τῶν προειρημένων φανήσεται ποιησά-
μενος, ἀλλὰ λόγῳ μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ
δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας
ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ τῶν βαρβάρων κινδυ-
νεύων, οὐκ ἀπεῖπεν [4]οὐδ' ἀπῆλθε, πρὶν τήν τε πόλιν τοῦ
τολμήσαντος ἐξαμαρτεῖν ἐξηνδραποδίσατο καὶ τοὺς βαρβά-
ρους ἔπαυσεν ὑβρίζοντας. e

λα'. Οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων περὶ τῆς
Ἀγαμέμνονος ἀρετῆς, οὐδ' ὅτι τούτων [5]καθ' ἓν μὲν ἕκα-
στον, εἴ τινες σκοποῖντο τί ἂν ἀποδοκιμάσειαν, οὐδεὶς ἂν
οὐδὲν αὐτῶν [6]ἀφελεῖν τολμήσειεν, ἐφεξῆς δὲ ἀναγιγνωσκο- 250
μένων ἅπαντες ἂν ἐπιτιμήσειαν ὡς πολὺ πλείοσιν εἰρημέ-
νοις τοῦ δέοντος.

λβ'. Ἐγὼ δ', εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων, ᾐσχυ-
νόμην ἄν, εἰ γράφειν ἐπιχειρῶν περὶ ὧν μηδεὶς ἂν ἄλλος
ἐτόλμησεν, οὕτως ἀναισθήτως διεκείμην· νῦν δ' ἀκριβέστερον
ᾔδειν τῶν ἐπιπλήττειν μοι [7]τολμησόντων, ὅτι πολλοὶ τού-
τοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην οὐχ οὕτως ἔσεσθαι
δεινόν, ἢν ἐπὶ τοῦ μέρους τούτου δόξω τισὶ τῶν καιρῶν b
ἀμελεῖν, ὡς [8]ἢν περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος [9]παρα-
λίπω τι τῶν ἐκείνῳ τε προσόντων ἀγαθῶν κἀμοὶ προση-
κόντων εἰπεῖν. [10]ᾤμην δὲ καὶ παρὰ τοῖς χαριεστάτοις τῶν
ἀκροατῶν εὐδοκιμήσειν, [8]ἢν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς
λόγους ποιούμενος, ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον

[1] πάντες A. C. L [2] πολλῷ καὶ A. C. L. [3] προσέθηκεν A. C. L.
[4] οὐκ A. L. [5] τοσούτων ὄντων καθ' A. C. L. [6] ἀφελεῖν αὐτῶν A. C. L.
[7] τολμησάντων A. C. L. [8] ἐὰν A. C. L. [9] παραλείπω A. C. L.
[10] ᾠόμην A. C. L.

Πλεονάζων] Πλείονας τοῦ δέοντος τοὺς λόγους ποιούμενος, μακρολογῶν. Idem.

Οὕτως ἀναισθήτως διεκείμην] *usque adeo stupidus essem*, i. e. non sentirem me modum excedere. Lang.

Τῶν καιρῶν] Τοῦ μέτρου. Cor.

Τοῖς χαριεστάτοις] Τοῖς μάλιστα πεπαιδευμένοις. Idem.

σπουδάζων ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν· καὶ ταῦτα 250
c σαφῶς εἰδὼς τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν· ἀλλ᾽ ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας τὸ δίκαιον [1] εἱλόμην. οὐ μόνον δ᾽ ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην ἔχων τὴν διάνοιαν, ἀλλ᾽ [2] ὁμοίως ἐπὶ πάντων, ἐπεὶ καὶ τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν
d εὐδοκιμοῦσιν ἢ τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσι. καίτοι τῶν μὲν [3] εὖ ῥηθέντων, εἰ καὶ μηδὲν [4] συμβαλοίμην, ἅπαντες ἂν ἐμοὶ τὴν αἰτίαν [5] ἀναθεῖεν, τῶν δ᾽ ὀρθῶς πραττομένων εἰ καὶ πάντες [6] εἰδεῖέν με [7] σύμβουλον γεγενημένον, οὐδεὶς ὅστις οὐκ ἂν αὐτὸν τὸν μεταχειριζόμενον, τὰς πράξεις ἐπαινέσειεν.

λγ΄. Ἀλλὰ γὰρ οὐκ οἶδ᾽ [8] ὅποι τυγχάνω φερόμενος· [9] ἀεὶ γὰρ οἰόμενος [10] δεῖν προστιθέναι τὸ τῶν προειρημένων ἐχόμε-
e νον, παντάπασι πόῤῥω [11] γέγονα τῆς ὑποθέσεως. λοιπὸν οὖν ἐστὶν οὐδὲν ἄλλο, πλὴν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας, τῶν εἰθισμένων παραγίγνεσθαι τοῖς τηλικούτοις, ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον ἐξ οὗπερ [12] εἰσέπεσον εἰς τὴν περιττολογίαν ταύτην.
251 οἶμαι [13] δ᾽ ἤδη καθορᾶν ὅθεν ἐπλανήθην.

λδ΄. Τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς ἀντέλεγον, οὐχ ὡς οὐχ ἡμαρτημένων τούτων, ἀλλ᾽ ἐπιδεικνύων τοὺς ἀγαπωμένους ὑπ᾽ αὐτῶν, πολὺ πλείους πόλεις καὶ [14] μείζους ἡμῶν ἀναστάτους πεποιηκότας, ἐν οἷς καὶ περὶ τῆς [15] ἀρε-

[1] προειλόμην A. C. L. [2] ὅλως A. C. L. [3] εὖ om. A. L. [4] ἕτερον συμβ. A. L. μέρος συμβ. C. [5] ἐπιθεῖεν A. C. L. [6] εἰδεῖεν ἐμὲ A. C. L. [7] αἴτιον σύμβουλόν τε A. [8] ὅπως A. ὅπη C. L. [9] ἀεὶ γὰρ οἰόμενος om. A. C. L. [10] δέον A. C. [11] γεγονότα A. L. γεγονὼς C. [12] ἐξέπεσον A. C. L. [13] δὲ δεῖν καθορᾶν A. C. L. [14] μείζους καὶ πλείους πόλεις A. C. L. [15] ἀρχῆς A. C. L.

Ἀκαιρίαν] Ἀμετρίαν. Idem.

Τὴν δὲ περὶ τὰς πράξεις εὐβουλίαν] I. e. *illis, quos celebro, prudentia in rebus gerendis laudem parit, mihi prolixitas orationis ignominiam.* Videtur enim ἡ Ἀγαμέμνονος εὐβουλία potius quam Isocratis intelligenda. Wolf. Ἴσως ἀντὶ τοῦ εὐβουλίαν ἐγέγραπτο εὐπορίαν, ἵν᾽ ᾖ ὁ νοῦς· Τὸ δὲ πολλὰς πράξεις τῶν ἐπαινουμένων ἔχειν ἐγκωμιάσαι, αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελῆσαι. Ἐπιθ. ιβ΄. Cor.

Τοῖς τηλικούτοις] Τοῖς, οἷος ἐγὼ, πρεσβυτέροις. Idem.

Οὐχ ὡς οὐχ ἡμαρτ. τούτων] *non quod in illis eversionibus Atheniensium nullum peccatum inesset.* Lang.

Τοὺς ἀγαπωμένους ὑπ᾽ αὐτῶν] I. e. Lacedæmonios a quibusdam defensos. Idem.

Ἐν οἷς] Mihi videtur sumendum adverbialiter, et respondere huic quod dicimus Gallice, *à ce sujet.* Auger. *in quo loco, ubi.* Vid. §. κη΄. Lang.

τῆς τῆς Ἀγαμέμνονος καὶ Μενελάου καὶ Νέστορος διελέ-
χθην, ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως τῶν μετρίων. b
τοῦτο δ' ἐποίουν ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα
τοῦτο [1]δόξειν εἶναι τῶν τολμησάντων ἀναστάτους ποιῆσαι
τὰς πόλεις τὰς γεννησάσας καὶ θρεψάσας τοιούτους ἄνδρας,
περὶ ὧν καὶ νῦν ἔχοι τις ἂν πολλοῖς καὶ καλοῖς χρήσασθαι
λόγοις. ἀλλὰ γὰρ ἴσως ἀνόητόν ἐστι περὶ μίαν πρᾶξιν
251 διατρίβειν, ὥσπερ ἀπορίας οὔσης τί ἂν ἔχοι τις εἰπεῖν περὶ
τῆς ὠμότητος καὶ χαλεπότητος τῆς Λακεδαιμονίων, ἀλλ' c
οὐ πολλῆς ἀφθονίας ὑπαρχούσης.

λε'. Οἷς οὐκ ἐξήρκεσε περὶ τὰς πόλεις ταύτας καὶ τοὺς
ἄνδρας [2]τοὺς τοιούτους ἐξαμαρτεῖν, ἀλλὰ καὶ περὶ τοὺς ἐκ
τῶν αὐτῶν ὁρμηθέντας καὶ [3]κοινὴν τὴν στρατείαν ποιησα-
μένους καὶ τῶν αὐτῶν κινδύνων μετασχόντας· λέγω δὲ περὶ
Ἀργείων καὶ Μεσσηνίων. καὶ γὰρ τούτους ἐπεθύμησαν ταῖς
αὐταῖς συμφοραῖς περιβαλεῖν αἷσπερ ἐκείνους· καὶ Μεσση-
νίους μὲν [4]πολιορκοῦντες οὐ πρότερον ἐπαύσαντο πρὶν ἐξέ- d
βαλον ἐκ τῆς χώρας, [5]Ἀργείοις δ' ὑπὲρ τῶν αὐτῶν τούτων
ἔτι καὶ νῦν πολεμοῦσιν. ἃ τοίνυν περὶ [6]Πλαταιᾶς ἔπραξαν,
ἄτοπος ἂν εἴην, εἰ ταῦτ' εἰρηκὼς ἐκείνων μὴ μνησθείην· ὧν
ἐν τῇ χώρᾳ στρατοπεδευσάμενοι [7]μεθ' ἡμῶν καὶ τῶν ἄλλων
συμμάχων, καὶ παραταξάμενοι τοῖς πολεμίοις, καὶ θυσά-
μενοι τοῖς θεοῖς ὑπ' ἐκείνων ἱδρυμένοις, οὐ μόνον ἠλευθερώ-
σαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν ὄντας ἀλλὰ καὶ τοὺς e
ἀναγκασθέντας γενέσθαι μετ' ἐκείνων, καὶ ταῦτ' ἐπράξα-

[1] δείξειν A. C. L. [2] τούτους ἐξαμαρτάνειν A. C. L. [3] κοινῶς A. C. L. [4] πολιορκοῦντες om. A. C. L. [5] Ἀργεῖοι A. L. [6] Πλαταιέας A. C. L. [7] μετ' αὐτῶν C.

Μενελάου] Γράφε, Μενέλεω. Cor.

Οὐδενὸς ἔλαττον] *nihilo levius*, scil. aliis peccatis. Auger.

Περὶ τὰς πόλεις ταύτας] I. e. in Lacedæmonem, Messenem et Argon tempore occupationis Peloponnesi, ducibus Heraclidis. Vid. §. κς'. Lang.

Τοὺς τοιούτους] Λέγει Ἀγαγέμνονα, Μενέλαον, Νέστορα· περὶ τούτους γὰρ ἐξημάρτανον οἱ τὰς ἐνεγκαμένας αὐτοὺς πόλεις καὶ τοὺς ἀπογόνους αὐτῶν ἀναστάτους ποιοῦντες. Cor.

Ἐκ τῶν αὐτῶν] Supple τόπων, np. ex Doride. Lang.

Τούτους] Ad Messenios tempore belli Messenici. Idem.

Ἐκείνους] Ad primos Messenæ incolas tempore occupationis per Dores spectat. Idem.

Ἃ τοίνυν κ. τ. λ.] Construe: ταῦτ' εἰρηκὼς (hæc de Messenæ eversione) τοίνυν ἄτοπος ἂν εἴην, εἰ ἐκείνων μὴ μνησθείην, ἃ περὶ Πλαταιᾶς ἔπραξαν (οἱ Λακεδαιμόνιοι). Idem.

Μεθ' ἡμῶν] Γράφε, μετ' αὐτῶν, τουτέστιν μετὰ τῶν Λακεδαιμονίων. Cor.

Τοῖς πολεμίοις] I. e. Persis. Lang.

Ὑπ' ἐκείνων] I. e. a Platæensibus. Idem.

Ἠλευθερώσαμεν] Pro ἠλευθέρωσαν μεθ' ἡμῶν. Idem.

Μεθ' ἡμῶν] I. e. eum Græcis nobis, libertatis Græcorum defensoribus. Idem.

Μετ' ἐκείνων] I. e. cum Persis. Idem.

μεν Πλαταιέας μόνους λαβόντες Βοιωτῶν συναγωνιστάς· οὓς οὐ πολὺν χρόνον διαλιπόντες Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαντες ἅπαντας ἀπέκτειναν πλὴν τῶν
252 ἀποδρᾶναι δυνηθέντων. περὶ οὓς ἡ πόλις ἡμῶν οὐδὲν ὁμοία γέγονεν ἐκείνοις· οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλλάδος καὶ τοὺς συγγενεῖς τοὺς αὑτῶν τὰ τοιαῦτα ἐξαμαρτάνειν ἐτόλμησαν, οἱ δ' ἡμέτεροι Μεσσηνίων μὲν τοὺς διασωθέντας εἰς Ναύπακτον κατῴκισαν, Πλαταιέων δὲ τοὺς [1] περιγενομένους πολίτας ἐποιήσαντο καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων μετέδοσαν. ὥστ' εἰ μηδὲν [2] εἴχομεν ἄλλο
b περὶ [3] τοῖν πολέοιν εἰπεῖν, ἐκ τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν τρόπον ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους ἀναστάτους πεποίηκεν.

λς'. Αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν [4] καὶ πλάνον καὶ λήθην ἐνέπεσον, νῦν δ' οἶδα σαφῶς ἐμαυτὸν οὐκ ἐμμένοντα τῇ πρᾳότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον ὅτ' ἠρχόμην γράφειν αὐτὸν, ἀλλὰ λέγειν [5] τ' ἐπιχειροῦντα 252
c [6] περὶ ὧν οὐκ [7] ᾤμην ἐρεῖν, θρασύτερόν τε διακείμενον ἢ κατ' ἐμαυτὸν, ἀκρατῆ τε γιγνόμενον ἐνίων [8] ὧν λέγω διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιρρεόντων. ἐπειδήπερ οὖν ἐπελήλυθέ μοι τὸ [9] παρρησιάζεσθαι, καὶ λέλυκα τὸ στόμα, καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην ὥστε μήτε καλὸν εἶναί [10] μοι μήτε δυνατὸν παραλιπεῖν τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστὶν ἐπιδεικνύναι [11] πλείονος ἀξίαν τὴν πόλιν ἡμῶν [12] γεγε-
d νημένην περὶ τοὺς Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν τῶν οὕτω μὲν εἰρημένων ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων, ἀλλ' ἐπιδεικτέον τοὺς μὲν ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δὲ τὰ μὲν πρώτους τὰ δὲ μόνους [13] ἐξαμαρτόντας.

λζ'. Πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν [14] τοῖν πο-

[1] παραγενομένους A. [2] ἔχοιμεν A. C. L. [3] ταῖν A. C. L. [4] καὶ πλάνον om. A. C. L. [5] τ' om. A. C. L. [6] ταῦτα περὶ A. C. L. [7] ᾠόμην A. C. L. [8] λέγω δὲ διὰ A. C. L. [9] παρρησιάσασθαι A. C. L. [10] μοι om. A. C. L. [11] [12] γεγενημένην ἡμῶν A. C. L. [13] ἐξημαρτηκότας A. C. L. [14] ταῖν A. C. L.

Τοὺς εὐεργέτας] Ad Platæenses, τοὺς συγγενεῖς ad Messenios, spectat. Idem.

[illegible]] Nimiam nempe peccatorum Lacedæmoniorum recordationem.

Εἰπεῖν] Ὀβελιστέον ἔμοιγε δοκεῖ. ἢ γραπτέον, τῶν εἰπεῖν ἔτι γ' ἐνόντων, ἢ τῶν εἰπεῖν ἐπειγόντων. Cor.

λέοιν, ὅτι [1] προσποιούμεναι κινδυνεῦσαι πρὸς τοὺς βαρβά-
ρους ὑπὲρ τῶν Ἑλλήνων οὐκ εἴασαν τὰς πόλεις αὐτονόμους
εἶναι καὶ διοικῆσαι τὰ σφέτερ᾽ αὐτῶν ὅπως ἑκάστῃ συνέ- e
φερεν, ἀλλ᾽ ὥσπερ αἰχμαλώτους εἰληφυῖαι διελόμεναι κατε-
δουλώσαντο πάσας αὐτὰς, καὶ παραπλήσιον ἐποίησαν τοῖς
παρὰ μὲν τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρου-
μένους, σφίσι δ᾽ αὐτοῖς δουλεύειν ἀναγκάζουσι.

λη΄. Τοῦ δὲ λέγεσθαι ταῦτα καὶ πολὺ πλείω καὶ πι- 253
κρότερα τούτων οὐχ ἡμεῖς αἴτιοι γεγόναμεν, ἀλλ᾽ οἱ νῦν
μὲν ἐν τοῖς λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δ᾽ ἄλλον
χρόνον ἐν τοῖς πραττομένοις ἅπασι. τοὺς μὲν γὰρ ἡμετέρους
προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν ἐν τοῖς ἐπέκεινα χρόνοις τοῖς
ἀναριθμήτοις οὐδεμιᾶς πόλεως οὔτε μείζονος οὔτ᾽ ἐλάτ-
τονος ἄρχειν ἐπιχειρήσαντας· Λακεδαιμονίους δὲ πάντες
ἴσασιν, ἀφ᾽ οὗπερ εἰς Πελοπόννησον εἰσῆλθον, οὐδὲν ἄλλο b
πράττοντας οὐδὲ βουλευομένους πλὴν ὅπως μάλιστα μὲν
ἁπάντων ἄρξουσιν, εἰ δὲ μὴ, Πελοποννησίων. ἀλλὰ μὴν καὶ
τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολιτειῶν με-
ταβολὰς, [2] ἃς ἀμφοτέροις τινὲς ἡμῖν ἐπιφέρουσιν, ἐκεῖνοι
253 μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις πλὴν ὀλίγων μεστὰς
πεποιηκότες τῶν τοιούτων συμφορῶν καὶ νοσημάτων, τὴν δ᾽
ἡμετέραν πόλιν οὐδεὶς ἂν [3] οὐδ᾽ εἰπεῖν τολμήσειε πρὸ τῆς
ἀτυχίας τῆς ἐν Ἑλλησπόντῳ γενομένης, ὡς τοιοῦτον ἐν τοῖς c
συμμάχοις τι [4] διαπραξαμένη ἦν. ἀλλ᾽, ἐπειδὴ Λακεδαι-
μόνιοι κύριοι καταστάντες τῶν Ἑλλήνων πάλιν ἐξέπιπτον
ἐκ τῶν πραγμάτων, ἐν τούτοις τοῖς καιροῖς στασιαζουσῶν
τῶν ἄλλων πόλεων, δύ᾽ ἢ τρεῖς τῶν στρατηγῶν τῶν ἡμε-
τέρων — οὐ γὰρ [5] ἀποκρύψομαι τἀληθὲς — ἐξήμαρτον περί
τινας αὐτῶν ἐλπίζοντες, ἢν μιμήσωνται τὰς Σπαρτιατῶν
πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν. ὥστε d

[1] προσποιούμενοι A. [2] ἃς - - - ἐπιφέρουσιν om. A. C. L.
[3] οὐδ᾽ om. A. C. L. [4] διαπεπραγμένη [ἦν] C. διαπεπραγμένην A. L.
[5] ἀποκρύψαιμι A. L. [ἂν] ἀποκρύψαιμι C.

Διελόμεναι] Cf. Paneg. §. β΄.

Οἱ νῦν μὲν — ἡμῖν ἀντιτετ.] *nobis hac in accusatione contradicentes*, sc. Lacedæmonii. LANG.

Ἀναριθμήτοις] Per totum imperii tempus a Salaminia victoria usque ad cladem in Hellesponto. cf. §. ιθ΄. IDEM.

Ἁπάντων ἄρξουσιν] Cf. §. ιϛ΄. IDEM.

Τὰς στάσεις] Sub. κατά. AUGER.

Πρὸ τῆς ἀτυχίας] I. e. per totum imperii Atheniensium primi tempus usque ad cladem ad Ægospotamon. LANG.

δικαίως [1]ἂν ἐκείνοις μὲν ἅπαντες [2]ἐγκαλέσειαν ὡς ἀρχη-
γοῖς γεγενημένοις καὶ διδασκάλοις τῶν τοιούτων ἔργων, τοῖς
[3]δ' ἡμετέροις, ὥσπερ τῶν μαθητῶν τοῖς ὑπὸ τῶν ὑπι-
σχνουμένων ἐξηπατημένοις καὶ διημαρτηκόσι τῶν ἐλπίδων,
εἰκότως ἂν συγγνώμην [4]ἔχοιεν.

λθ'. Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι [5]καὶ καθ' αὑτοὺς
e ἔπραξαν, τίς οὐκ οἶδεν ὅτι, κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρ-
χούσης τῆς πρὸς τοὺς βαρβάρους καὶ τοὺς βασιλέας αὐ-
τῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι καὶ μεγά-
λαις συμφοραῖς ἐνίοτε περιπίπτοντες καὶ τῆς χώρας [6]ἡμῶν
θαμὰ πορθουμένης [7]καὶ τεμνομένης οὐδεπώποτ' ἀπεβλέ-
ψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν, ἀλλ' ὑπὲρ
ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν μισοῦντες αὐτοὺς διετελέ-
σαμεν μᾶλλον ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας·
254 Λακεδαιμόνιοι δ' οὔτε πάσχοντες κακὸν οὐδὲν οὔτε μέλ-
λοντες οὔτε δεδιότες εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστ' οὐκ
ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχὴν, ἀλλὰ καὶ τὴν
κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥστε
κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς ἡμετέ-
ρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι, καὶ
βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας, παραδώσειν
b αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς Ἀσίας [8]κατοικοῦντας·
πίστεις δὲ δόντες [9]τούτοις [10]ἀμφοτέροις καὶ καταπολεμή-
σαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν [11]ὤμοσαν, κατεδουλώ-
σαντο μᾶλλον ἢ τοὺς Εἵλωτας, βασιλεῖ δὲ τοιαύτην χάριν 254
ἀπέδοσαν ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον ὄντα νεώ-
τερον ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ
συναγαγόντες καὶ Κλέαρχον στρατηγὸν ἐπιστήσαντες ἀνέ-
c πεμψαν ἐπ' ἐκεῖνον· ἀτυχήσαντες δ' ἐν τούτοις καὶ γνω-

[1] ἂν om. A. C. L. [2] ἐγκαλέσαιμεν A. C. L. [3] μέντοι A. L.
[4] ἔχοιμεν A. C. L. [5] καὶ om. A. C. L. [6] ἡμῖν θαμινὰ A. C. L.
[7] καὶ τεμνομένης om. A. C. L. [8] οἰκοῦντας A. C. L. [9] τούτων A. C. L.
[10] ἀμφοτέρους A. L. [11] ὡμολόγησαν A. C. L.

Πίστεις δὲ δόντες κ. τ. λ.] Ὁ νοῦς· Πίστεις δόντες ἀμφοτέροις, ἤγουν τοῖς θ' ἡμετέροις συμμάχοις τοῦ ἐλευθερώσειν αὐτοὺς καὶ τῷ Περσῶν βασιλεῖ τοῦ παραδώσειν αὐτῷ τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας, ἀμφοτέρους ἐξηπάτησαν, τοὺς μὲν συμμάχους ἡμῶν ἀντὶ τοῦ ἐλευθερῶσαι καταδουλωσάμενοι, τὸν δὲ βασιλέα, ἀντὶ τοῦ παραδοῦναι τοὺς ἐπὶ τῆς Ἀσίας οἰκοῦντας αὐτῷ, τὴν βασιλείαν αὐτοῦ ἐπιχειρήσαντες ἀφελέσθαι. Cor.

Κλέαρχον] Hæc dicuntur accusatorie contra historiam. Nam Clearchus a Lacedæmoniis exsilio fuerat mulctatus: non igitur Lacedæmonis auctoritate et nomine Cyro militabat. Auger.

σθέντες ὧν ἐπεθύμουν, καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πό-
λεμον καὶ ταραχὰς τοσαύτας κατέστησαν, [1]ὅσας εἰκὸς τοὺς
[2]καὶ περὶ τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους ἐξημαρτηκότας.
περὶ ὧν οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν
ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως καὶ
τῆς Κόνωνος στρατηγίας τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην,
ἧς οὐδεὶς ἂν ἐπιδείξειεν οὔτ᾽ αἰσχίω [3]πώποτε γενομένην
οὔτ᾽ ἐπονειδιστοτέραν οὔτ᾽ ὀλιγωροτέραν τῶν Ἑλλήνων οὔτ᾽ d
ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς
Λακεδαιμονίων· οἵτινες, ὅτε μὲν [4]αὐτοὺς ὁ βασιλεὺς δε-
σπότας τῶν Ἑλλήνων κατέστησεν, ἀφελέσθαι τὴν βασι-
λείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν,
ἐπειδὴ δὲ καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν
μέρος αὐτῷ [5]τῶν Ἑλλήνων παρέδωκαν ἀλλὰ πάντας τοὺς
τὴν Ἀσίαν οἰκοῦντας, διαῤῥήδην γράψαντες χρῆσθαι τοῦθ᾽ e
ὅ τι ἂν αὐτὸς βούληται, καὶ οὐκ ᾐσχύνθησαν τοιαύτας
ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν, οἷς χρώμενοι συμ-
μάχοις ἡμῶν τε περιεγένοντο καὶ τῶν Ἑλλήνων κύριοι κα-
τέστησαν καὶ τὴν Ἀσίαν ἅπασαν ἤλπισαν [6]κατασχήσειν,
ἀλλὰ τὰς τοιαύτας συνθήκας αὐτοί τ᾽ ἐν τοῖς ἱεροῖς τοῖς 255
σφετέροις αὐτῶν ἀνέγραψαν καὶ τοὺς συμμάχους ἠνά-
γκασαν.

μ΄. Τοὺς μὲν οὖν ἄλλους οὐκ [7]οἴομαι πράξεων ἑτέρων
ἐπιθυμήσειν ἀκούειν, ἀλλ᾽ ἐκ τῶν [8]εἰρημένων ἱκανῶς μεμα-
θηκέναι [9]νομιεῖν ὁποία τις [10]τοῖν πολέοιν ἑκατέρα περὶ τοὺς
Ἕλληνας γέγονεν· ἐγὼ δὲ οὐχ οὕτω τυγχάνω διακείμενος,
ἀλλ᾽ ἡγοῦμαι τὴν ὑπόθεσιν ἣν ἐποιησάμην ἄλλων τε πολλῶν b
προσδεῖσθαι λόγων, καὶ μάλιστα τῶν ἐπιδειξόντων τὴν

[1] ὅσον A. C. L. [2] καὶ om. A. C. L. [3] ποτὲ A. C. L. [4] αὐτοὺς om. A. L. [5] τῶν Ἑλλήνων om. A. C. L. [6] κατασχεῖν A. C. L. [7] οἶμαι A. C. L. [8] προειρημένων A. C. L. [9] νομίζειν A. L. νομίζω C. [10] ταῖν A. C. L.

Ὧν ἐπεθύμουν] *quarum rerum cupidi essent.* Vid. Evag. §. κα΄. Lang. Μήποτε δὲ ἐγέγραπτο· γνωσθέντες ἐξ ὧν ἐπεθύμουν, τουτέστι, κατάδηλοι γεγονότες οἷοι ἦσαν ἐξ ἐκείνων ὧν ἐπεθύμουν. Cor.

Εἰς πόλεμον — κατέστησαν] Vid. or. ad Philip. §. λζ΄. Lang.

Καὶ τῆς Κόνωνος στρατ.] Vid. Evag. §. κα΄. fin. Idem.

Πάντας τοὺς τὴν Ἀσίαν οἰκ.] Xenoph. Hell. V. 1. 25. Ἀρταξέρξης νομίζει δίκαιον τὰς ἐν τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι. Cf. Paneg. §. λδ΄. Idem.

Τοῦθ᾽ ὅτι] Pro οὕτως ὥσπερ. χρῆσθαι scilicet τοῖς τὴν Ἀσίαν κατοικοῦσιν. Wolf.

Ἠνάγκασαν] Ἀναγράψαι δηλονότι ἑκάστους ἐν τοῖς παρ᾽ αὐτοῖς ἱεροῖς, ὥσπερ οἱ Λακεδαιμόνιοι ἀνέγραψαν ἐν τοῖς αὐτῶν. Cor.

ἄνοιαν τῶν ἀντιλέγειν τοῖς εἰρημένοις [1]ἐπιχειρησόντων· οὓς οἴομαι ῥᾳδίως εὑρήσειν.

μα΄. Τῶν γὰρ ἀποδεχομένων ἁπάσας τὰς Λακεδαι- 255
μονίων πράξεις, τοὺς μὲν βελτίστους αὐτῶν ἡγοῦμαι καὶ πλεῖστον νοῦν ἔχοντας τὴν μὲν Σπαρτιατῶν πολιτείαν ἐπαινέσεσθαι, καὶ τὴν αὐτὴν γνώμην ἕξειν περὶ αὐτῆς ἥνπερ πρότερον, περὶ δὲ τῶν εἰς τοὺς Ἕλληνας πεπραγμένων
c [2]ὁμονοήσειν τοῖς ὑπ' ἐμοῦ λεγομένοις, τοὺς δὲ φαυλοτέρους οὐ μόνον τούτων ὄντας ἀλλὰ καὶ τῶν πολλῶν, καὶ περὶ μὲν ἄλλου πράγματος οὐδενὸς ἂν οἵους τε γενομένους ἀνεκτῶς εἰπεῖν, περὶ δὲ Λακεδαιμονίων οὐ δυναμένους σιωπᾶν, ἀλλὰ προσδοκῶντας, ἢν ὑπερβάλλοντας τοὺς ἐπαίνους περὶ ἐκείνων ποιῶνται, τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς ἁδροτέροις αὐτῶν καὶ πολὺ βελτίοσιν εἶναι δοκοῦσι· τοὺς [3]δὴ τοιούτους,
d ἐπειδὰν αἴσθωνται τοὺς τόπους ἅπαντας προκατειλημμένους καὶ μηδὲ πρὸς ἓν ἀντειπεῖν ἔχωσι τῶν εἰρημένων, ἐπὶ τὸν λόγον οἶμαι τρέψεσθαι τὸν περὶ τῶν πολιτειῶν, καὶ [4]παραβάλλοντας τἀκεῖ καθεστῶτα τοῖς ἐνθάδε, καὶ μάλιστα τὴν σωφροσύνην καὶ τὴν πειθαρχίαν πρὸς τὰς παρ' ἡμῖν ὀλιγωρίας, ἐκ τούτων ἐγκωμιάσειν τὴν Σπάρτην.

e μβ΄. Ἢν δὴ [5]τοιοῦτον ἐπιχειρῶσί [6]τι ποιεῖν, προσήκει τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτούς. ἐγὼ γὰρ ὑπεθέμην οὐχ ὡς περὶ τῶν πολιτειῶν διαλεξόμενος, ἀλλ' ὡς ἐπιδείξων τὴν πόλιν ἡμῶν πολὺ πλείονος ἀξίαν [7]Λακεδαιμονίων περὶ τοὺς Ἕλληνας γεγενημένην. ἢν μὲν οὖν ἀναιρῶσί τι τούτων, ἢ πράξεις ἑτέρας κοινὰς λέγωσι περὶ ἃς ἐκεῖνοι βελτίους ἡμῶν γεγόνασιν, εἰκότως ἂν ἐπαίνου τυγχάνοιεν·
256 ἢν δὲ λέγειν ἐπιχειρῶσι περὶ ὧν ἐγὼ μηδεμίαν μνείαν [8]ποιησαίμην, δικαίως ἂν ἅπασιν ἀναισθήτως ἔχειν δοκοῖεν.

μγ΄. Οὐ μὴν ἀλλ' ἐπειδήπερ αὐτοὺς οἴομαι τὸν λόγον τὸν περὶ τῶν πολιτειῶν εἰς τὸ μέσον ἐμβαλεῖν, οὐκ ὀκνήσω διαλεχθῆναι περὶ αὐτῶν· οἶμαι γὰρ ἐν αὐτοῖς τούτοις τὴν

[1] ἐπιχειρησάντων A. C. L. [2] ὁμολογήσειν A. C. L. [3] δὲ C.
[4] παραθέντας A. C. L. [5] τοιοῦτο A. C. L. [6] τι om. A. C. L.
[7] ἢ τὴν Λακεδαιμονίων A. C. L. [8] ἐποιησάμην A. C. L.

Ἥνπερ πρότερον] I. e. cui (opinioni) antea semper adhæserunt. Lang.
Τῶν πολλῶν] plebe. Idem.
Τοῖς ἁδροτέροις] iis qui longe ipsis copiosiores sunt. Idem. Τοῖς ἐπιστημοτέροις τῶν ἐπαινούντων Λακεδαιμονίους. Cor.
Τἀκεῖ] I. e. apud Lacedæmonios. Lang.

πόλιν ἡμῶν ἐπιδείξειν πλέον διενεγκοῦσαν ἢ τοῖς ἤδη προειρη-
μένοις.

μδ′. Καὶ μηδεὶς ὑπολάβῃ με ταῦτ᾽ εἰρηκέναι περὶ ταύ-
256 της, ἣν ἀναγκασθέντες μετελάβομεν, ἀλλὰ περὶ τῆς τῶν b
προγόνων, ἧς οὐ καταφρονήσαντες οἱ πατέρες ἡμῶν ἐπὶ τὴν
νῦν καθεστῶσαν ὥρμησαν, ἀλλὰ περὶ μὲν τὰς ἄλλας πρά-
ξεις πολὺ σπουδαιοτέραν [1] ἐκείνην προκρίναντες, περὶ δὲ τὴν
δύναμιν τὴν κατὰ θάλατταν, ταύτην χρησιμωτέραν εἶναι
νομίζοντες· ἣν λαβόντες καὶ [2] καλῶς ἐπιμεληθέντες οἷοί τ᾽
ἐγένοντο καὶ τὰς ἐπιβουλὰς τὰς Σπαρτιατῶν ἀμύνασθαι
καὶ [3] τὴν Πελοποννησίων ἁπάντων [4] ῥώμην, [5] ὧν κατήπειγε
τὴν πόλιν περὶ ἐκεῖνον τὸν χρόνον μάλιστα περιγενέσθαι c
πολεμοῦσαν. ὥστ᾽ οὐδεὶς ἂν δικαίως ἐπιτιμήσειε τοῖς ἑλο-
μένοις αὐτήν· οὐ γὰρ διήμαρτον τῶν ἐλπίδων, οὐδ᾽ ἠγνόησαν
[6] οὐδὲν οὔτε τῶν ἀγαθῶν οὔτε τῶν [7] κακῶν τῶν προσόντων
ἑκατέρᾳ τῶν δυνάμεων, ἀλλ᾽ ἀκριβῶς ᾔδεσαν τὴν μὲν κατὰ
γῆν ἡγεμονίαν [8] ὑπ᾽ εὐταξίας καὶ σωφροσύνης καὶ πειθαρ-
χίας καὶ τῶν ἄλλων τῶν τοιούτων μελετωμένην, τὴν δὲ
κατὰ θάλατταν δύναμιν οὐκ ἐκ τούτων αὐξανομένην, ἀλλ᾽ d
ἔκ [9] τε τῶν τεχνῶν τῶν περὶ τὰς ναῦς καὶ τῶν ἐλαύνειν
αὐτὰς δυναμένων καὶ τῶν τὰ σφέτερα μὲν αὐτῶν ἀπολωλε-
κότων, ἐκ δὲ τῶν ἀλλοτρίων πορίζεσθαι τὸν βίον εἰθισμέ-
νων· ὧν εἰσπεσόντων εἰς τὴν πόλιν οὐκ ἄδηλος ἦν ὅ τε
κόσμος ὁ [10] τῆς πολιτείας τῆς πρότερον ὑπαρχούσης λυθη-
σόμενος, ἥ τε τῶν συμμάχων εὔνοια ταχέως ληψομένη με-
ταβολήν, ὅταν οἷς πρότερον χώρας ἐδίδοσαν καὶ πόλεις, τού-
τους ἀναγκάζωσι συντάξεις καὶ φόρους ὑποτελεῖν, ἵν᾽ ἔχωσι e
μισθὸν διδόναι τοῖς τοιούτοις οἵους ὀλίγῳ πρότερον εἶπον.

[1] ἐκείνην om. L. [2] καλῶς om. A. C. L. [3] τῆς A. [4] ῥώμης A. [5] ἣ A. L. [6] οὐδὲν om. L. [7] κακῶν οὔτε τῶν ἀγαθῶν A. C. L. [8] ἐπ᾽ A. C. L. [9] τε om. A. C. L. [10] τῆς πρότερον ὑπαρχούσης πολιτείας A. C. L.

Ἧς οὐ καταφρον. — ὥρμησαν] *quum* (majorem reipublicæ formam) *non propter contemptum in hanc præsentem mutarunt.* Idem.

Νομίζοντες] Ἴσως· νομίσαντες. Cor.

Οἷοί τ᾽ ἐγένοντο κ. τ. λ.] Ὁ νοῦς· Ἠδυνήθησαν οἱ πατέρες ἡμῶν ἀμύνασθαι καὶ τὰς ἐπιβουλὰς (insidias) τῶν Σπαρτιατῶν καὶ τὴν ῥώμην τῶν Πελοποννησίων ἁπάντων, ὧν κατέπειγε, τουτέστι, ὧν ἀναγκαῖον ἦν μάλιστα, κατ᾽ ἐκεῖνον τὸν χρόνον τὴν πόλιν ἡμῶν περιγενέσθαι πολεμοῦσαν. Ἐχρήσατο δὲ καὶ ἀλλαχοῦ (πρὸς Φίλ. λθ′.) τῷ κατεπείγω ὁ ῥήτωρ ἀπροσώπως, ἢ μᾶλλον εἰπεῖν ἐλλειπτικῶς. Idem.

Πειθαρχίας] Γαλλιστὶ *discipline.* Idem.

Εἰσπεσόντων] (quod genus hominum) *quum in urbem confluxisset.* Lang.

Τούτους] Τοὺς συμμάχους. Cor. Sed alia vide §. κε′.

Τοῖς τοιούτοις] I. e. τοῖς ἐλαύνειν τὰς ναῦς δυναμένοις, quorum paulo ante mentionem fecit. Lang.

ἀλλ᾽ ὅμως οὐδὲν ἀγνοοῦντες τῶν προειρημένων ἐνόμιζον τῇ
πόλει [1] [τῇ] τηλικαύτῃ μὲν τὸ μέγεθος, τοιαύτην δ᾽ ἐχούσῃ
δόξαν, λυσιτελεῖν καὶ πρέπειν ἁπάσας ὑπομεῖναι τὰς
257 δυσχερείας μᾶλλον ἢ τὴν Λακεδαιμονίων ἀρχήν· [2] δυοῖν γὰρ
πραγμάτοιν προτεινομένοιν μὴ σπουδαίοιν, κρείττω τὴν
αἵρεσιν εἶναι τοῦ δεινὰ ποιεῖν ἑτέρους ἢ πάσχειν αὐτοὺς
[3] καὶ τοῦ μὴ δικαίως τῶν ἄλλων ἄρχειν μᾶλλον ἢ φεύγοντας
τὴν αἰτίαν ταύτην ἀδίκως Λακεδαιμονίοις δουλεύειν. ἅπερ
ἅπαντες μὲν ἂν οἱ νοῦν ἔχοντες ἕλοιντο καὶ βουληθεῖεν,
ὀλίγοι [4] δ᾽ ἄν τινες τῶν προσποιουμένων εἶναι σοφῶν ἐρωτη- 257
b θέντες οὐκ ἂν φήσαιεν. αἱ μὲν οὖν αἰτίαι, δι᾽ ἃς μετέλαβον
τὴν πολιτείαν τὴν ὑπό τινων ψεγομένην ἀντὶ τῆς ὑπὸ πάν-
των ἐπαινουμένης, διὰ μακροτέρων μὲν αὐτὰς διῆλθον, αὗται
δ᾽ οὖν ἦσαν.

μέ. Ἤδη [5] δὲ περὶ ἧς τε ὑπεθέμην καὶ τῶν προγόνων
ποιήσομαι τοὺς λόγους, ἐκείνων τῶν χρόνων ἐπιλαβόμενος,
ὅτ᾽ οὐκ ἦν οὔτε δημοκρατίας οὔτ᾽ ὀλιγαρχίας ὄνομά πω
c λεγόμενον, ἀλλὰ μοναρχίαι καὶ τὰ γένη [6] τὰ τῶν βαρβάρων
καὶ τὰς πόλεις τὰς Ἑλληνίδας ἁπάσας διῴκουν. διὰ τοῦτο
δὲ προειλόμην πορρωτέρωθεν [7] ποιήσασθαι τὴν ἀρχὴν, πρῶ-
τον μὲν ἡγούμενος προσήκειν τοῖς ἀμφισβητοῦσιν ἀρετῆς
εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων, ἔπειτ᾽
αἰσχυνόμενος εἰ περὶ ἀνδρῶν ἀγαθῶν μὲν οὐδὲν δέ μοι προση-
κόντων πλείω διαλεχθεὶς τῶν μετρίων περὶ τῶν προγόνων
d τῶν τὴν πόλιν κάλλιστα διοικησάντων μηδὲ μικρὰν ποιή-
σομαι μνείαν, οἳ τοσοῦτον βελτίους ἐγένοντο τῶν [8] τοιαύτας
δυναστείας ἐχόντων, ὅσονπερ ἄνδρες οἱ πρᾳότατοι καὶ
φρονιμώτατοι [9] διενέγκοιεν ἂν θηρίων τῶν ἀγριωτάτων καὶ
πλείστης ὠμότητος μεστῶν.

μϛ΄. Τί γὰρ οὐκ [10] ἂν εὕροιμεν τῶν ὑπερβαλλόντων ἀνο-
σιότητι καὶ δεινότητι [11] πεπραγμένον ἐν [12] ταῖς ἄλλαις πό-

[1] [τῇ] om. A. C. L.
[2] καὶ δυοῖν πραγμάτων προτεινομένων καὶ (καὶ om. C.) μὴ σπουδαίων A. C. L.
[3] ἐνόμισαν, καὶ A. C. L. [4] δέ τινες A. C. L. [5] δ᾽ ὑπὲρ ὧν A. C. L.
[6] τὰ om. A. C. L. [7] ποιήσασθαι πόρρωθεν A. C. L. [8] τὰς A. C. L.
[9] διενέγκαιεν A. C. L. [10] [ἂν] οὐχ C. ἂν om. A. L. [11] τῶν πεπραγμένων A. L.
[12] τε ταῖς A. C. L.

Τὸ μέγεθος] Ἴσως· τὸ μέγεθος οὔσῃ. Cor.
Ἤδη δὲ περὶ ἧς κ. τ. λ.] Cf. §. β΄.
Διὰ τοῦτο] ob causas sequentes. Lang.
Δυναστείας] Μοναρχίας. Cor.

λεσι, [1] καὶ μάλιστα ἐν ταῖς μεγίσταις καὶ τότε νομιζομέναις e
καὶ νῦν εἶναι δοκούσαις; οὐ φόνους ἀδελφῶν καὶ πατέρων
καὶ ξένων παμπληθεῖς γεγενημένους; οὐ σφαγὰς μητέρων
καὶ μίξεις καὶ παιδοποιΐας ἐξ ὧν ἐτύγχανον αὐτοὶ πεφυκό-
τες; οὐ παίδων βρῶσιν ὑπὸ τῶν οἰκειοτάτων [2] ἐπιβεβου-
λευμένην; οὐκ ἐκβολὰς ὧν ἐγέννησαν, καὶ καταποντισμοὺς
καὶ τυφλώσεις καὶ τοσαύτας τὸ πλῆθος κακοποιΐας, ὥςτε 258
μηδένα πώποτε ἀπορῆσαι τῶν εἰθισμένων καθ' ἕκαστον [3] τὸν
ἐνιαυτὸν εἰσφέρειν εἰς τὸ θέατρον τὰς τότε [4] γεγενημένας
συμφοράς;

μζ'. Ταῦτα δὲ διῆλθον οὐκ ἐκείνους λοιδορῆσαι βουλό-
μενος, ἀλλ' ἐπιδεῖξαι παρὰ τοῖς ἡμετέροις οὐ μόνον οὐδὲν
258 [5] τοιοῦτον γεγενημένον· τοῦτο μὲν γὰρ ἂν σημεῖον ἦν οὐκ
ἀρετῆς, ἀλλ' ὡς οὐχ ὅμοιοι τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτά-
τοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν b
τινας ἐπαινεῖν μὴ τοῦτο μόνον ἐπιδεικνύναι, μὴ πονηροὺς
ὄντας αὐτοὺς, ἀλλ' ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε
καὶ τῶν νῦν διήνεγκαν. ἅπερ ἔχοι τις ἂν καὶ περὶ τῶν προ-
γόνων τῶν ἡμετέρων εἰπεῖν.

μη'. Οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν
καὶ τὰ περὶ σφᾶς αὐτοὺς διῴκησαν, ὥσπερ προσῆκον ἦν
τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, [6] πρώτους δὲ καὶ πόλιν οἰκή-
σαντας καὶ νόμοις χρησαμένους, [7] ἅπαντα δὲ τὸν χρόνον
ἠσκηκότας εὐσέβειαν μὲν περὶ τοὺς θεοὺς δικαιοσύνην δὲ c
περὶ τοὺς ἀνθρώπους, ὄντας δὲ μήτε μιγάδας μήτ' ἐπήλυ-
δας, ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην
ἔχοντας τὴν χώραν τροφὸν ἐξ ἧσπερ ἔφυσαν, καὶ στέργον-

[1] μάλιστα δ' ἐν A. C. L. [2] ἐπιβουλευομένην A. C. L. [3] τὸν om. A. C. L. [4] γενομένας A. C. L. [5] τοιοῦτο A. C. L. [6] πρώτως A. L. [7] πάντα A. C. L.

Φόνους ἀδελφῶν καὶ πατέρων] Eteoclem et Polynicem Œdipi filios et ejusdem patrem Laium intelligit Wolfius.

Ξένων] Lycaonem Wolfius, Iphitum intelligit Coraes.

Σφαγὰς μητέρων] Clytæmnestram ab Oreste occisam innuit.

Μίξεις καὶ παιδοποιΐας] Œdipum et Jocastam intellige.

Παίδων βρῶσιν] Thyestem dicit.

Ἐκβολὰς] Œdipum et Laium forsan iterum innuit.

Καταποντισμοὺς] Ad Danaen forsan alludit.

Τυφλώσεις] Phineam intellige.

Οὐ μόνον —] Pendent hæc verba, et nihil est in sequentibus ad quod referantur. Hoc quidem peccat contra grammaticæ regulas, sed apud oratores non est inusitatum. Auger.

Δεῖ δὲ etc.] Anacoluthon est, nisi verba a τοῦτο μὲν ad πονηροὺς ὄντας αὐτοὺς parenthesi includere malis. Lang.

Οἰκήσαντες] Ἴσως· οἰκίσαντες. Cor. Cf. Paneg. §. δ'. ιϛ'.

τας αὐτὴν ὁμοίως ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ
τὰς μητέρας τὰς αὑτῶν, πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς
ὄντας ὥσθ', ὃ δοκεῖ χαλεπώτατον εἶναι καὶ σπανιώτατον,
d εὑρεῖν τινὰς τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν ἐπὶ
τέτταρας ἢ πέντε γενεὰς διαμείναντας, καὶ τοῦτο [1]συμ-
βῆναι μόνοις ἐκείνοις. Ἐριχθόνιος μὲν γὰρ ὁ φὺς ἐξ Ἡφαί-
στου καὶ γῆς παρὰ Κέκροπος ἄπαιδος ὄντος ἀῤῥένων παί-
δων τὸν οἶκον καὶ τὴν βασιλείαν παρέλαβεν· ἐντεῦθεν [2]δ'
ἀρξάμενοι πάντες οἱ γενόμενοι μετ' ἐκεῖνον, ὄντες οὐκ ὀλίγοι,
τὰς κτήσεις τὰς αὑτῶν καὶ τὰς δυναστείας τοῖς αὑτῶν
παισὶ παρέδοσαν μέχρι Θησέως.

e μθ'. Περὶ οὗ πρὸ πολλοῦ ἂν ἐποιησάμην μὴ διειλέχθαι
πρότερον [3]περὶ τῆς ἀρετῆς καὶ τῶν πεπραγμένων αὐτῷ·
πολὺ γὰρ ἂν μᾶλλον ἥρμοσεν ἐν τῷ λόγῳ τῷ περὶ τῆς
πόλεως διελθεῖν περὶ αὐτῶν. ἀλλὰ γὰρ χαλεπὸν ἦν, μᾶλ-
λον δ' ἀδύνατον, τὰ κατ' ἐκεῖνον ἐπελθόντα τὸν χρόνον εἰς
259 τοῦτον ἀποθέσθαι τὸν καιρόν, [4]ὃν οὐ προῄδειν ἐσόμενον.
ἐκεῖνα μὲν οὖν ἐάσομεν, ἐπειδὴ πρὸς τὸ παρὸν αὐτοῖς κατε-
χρησάμην, μιᾶς δὲ μόνον μνησθήσομαι πράξεως, ᾗ συμ-
βέβηκε μήτ' εἰρῆσθαι πρότερον μήτε πεπρᾶχθαι μηδ' ὑφ' 259
ἑνὸς ἄλλου πλὴν ὑπὸ Θησέως, σημεῖόν [5]δ' εἶναι μέγιστον
τῆς ἀρετῆς τῆς ἐκείνου καὶ φρονήσεως.

ν'. Ἔχων γὰρ [6]βασιλείαν ἀσφαλεστάτην καὶ μεγίστην,
b ἐν ᾗ πολλὰ καὶ καλὰ διαπεπραγμένος ἦν καὶ κατὰ πόλε-
μον καὶ [7]περὶ διοίκησιν τῆς πόλεως, ἅπαντα ταῦθ' ὑπερ-
εῖδε, καὶ μᾶλλον εἵλετο τὴν δόξαν τὴν ἀπὸ τῶν πόνων
καὶ τῶν ἀγώνων εἰς ἅπαντα τὸν χρόνον μνημονευθησομένην
ἢ τὴν ῥᾳθυμίαν καὶ τὴν εὐδαιμονίαν τὴν διὰ τὴν βασιλείαν
ἐν τῷ παρόντι γιγνομένην. καὶ ταῦτ' ἔπραξεν οὐκ ἐπειδὴ
πρεσβύτερος γενόμενος ἀπολελαυκὼς ἦν [8]τῶν ἀγαθῶν τῶν
c παρόντων, ἀλλ' ἀκμάζων, ὡς λέγεται, τὴν μὲν πόλιν διοι-

[1] συμβαίνει A. συμβαίνειν C. L. [2] δραξάμενοι A. L. [3] καὶ A. C. L.
[4] ἣ τόνδε προϊδεῖν A. [ὃν] οὐδὲ προϊδεῖν [ἦν] C. οὐδὲ προϊδεῖν L. [5] τ' A. C. L.
[6] τὴν βασιλ. A. C. L. [7] κατὰ A. C. L. [8] τῶν παρόντων ἀγαθῶν A. C. L.

Τυραννικῶν καὶ βασιλικῶν] Idem significare videntur: nisi Cecropem, tanquam advenam, τύραννον, successores autem illius βασιλεῖς vocare velis. Lang.

Ἐπὶ τέτταρας ἢ πέντε] Si Cecropem recipis, πέντε, si numero excludis, τέτταρες sunt a primo ad Theseum reges. Vid. Perizon. ad Ælian. V. H. v. 13. Idem.

Περὶ διοίκησιν] Cf. Helen. Enc. §. ιγ'. Idem.

κεῖν τῷ πλήθει παρέδωκεν, αὐτὸς δ' ὑπὲρ ταύτης τε καὶ
τῶν ἄλλων Ἑλλήνων διετέλει κινδυνεύων.

να'. Περὶ μὲν οὖν τῆς Θησέως ἀρετῆς νῦν μὲν ὡς οἷόν τ'
ἦν ἀνεμνήσαμεν, πρότερον δ' ἁπάσας αὐτοῦ τὰς πράξεις
οὐκ ἀμελῶς διήλθομεν· περὶ δὲ τῶν παραλαβόντων τὴν τῆς
πόλεως διοίκησιν, ἣν ἐκεῖνος παρέδωκεν, οὐκ ἔχω τίνας ἐπαί-
νους εἰπὼν [1]ἀξίως ἂν εἴην εἰρηκὼς τῆς ἐκείνων διανοίας.
οἵτινες, ἄπειροι πολιτειῶν ὄντες, οὐ διήμαρτον αἱρούμενοι d
τῆς ὑπὸ πάντων [2]ἂν ὁμολογηθείσης οὐ μόνον εἶναι κοινοτά-
της καὶ δικαιοτάτης, ἀλλὰ καὶ συμφορωτάτης ἅπασι τοῖς
χρωμένοις καὶ ἡδίστης. κατεστήσαντο γὰρ δημοκρατίαν οὐ
τὴν εἰκῇ πολιτευομένην, καὶ νομίζουσαν τὴν μὲν ἀκολασίαν
ἐλευθερίαν [3]εἶναι, τὴν δ' ἐξουσίαν [4]τοῦ ὅ τι βούλεταί τις
ποιεῖν εὐδαιμονίαν, ἀλλὰ τὴν τοῖς τοιούτοις μὲν ἐπιτιμῶ-
σαν, ἀριστοκρατίᾳ δὲ χρωμένην· ἣν οἱ μὲν πολλοὶ [5]χρησι- e
μωτάτην οὖσαν ὥσπερ τὴν ἀπὸ [6]τῶν τιμημάτων ἐν ταῖς
πολιτείαις ἀριθμοῦσιν, οὐ δι' ἀμαθίαν ἀγνοοῦντες, ἀλλὰ
διὰ τὸ μηδὲν πώποτ' αὐτοῖς μελῆσαι τῶν τοιούτων.

νβ'. Ἐγὼ δὲ φημὶ τὰς μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς
260 εἶναι μόνας, ὀλιγαρχίαν, δημοκρατίαν, μοναρχίαν, τῶν δ' 260
ἐν ταύταις οἰκούντων ὅσοι μὲν εἰώθασιν ἐπὶ τὰς ἀρχὰς κα-
θιστάναι καὶ τὰς ἄλλας πράξεις τοὺς ἱκανωτάτους τῶν
πολιτῶν καὶ τοὺς μέλλοντας ἄριστα καὶ δικαιότατα τῶν
πραγμάτων ἐπιστατήσειν, τούτους μὲν ἐν ἁπάσαις ταῖς
πολιτείαις καλῶς οἰκήσειν καὶ πρὸς σφᾶς αὐτοὺς καὶ πρὸς
τοὺς ἄλλους· τοὺς δὲ τοῖς θρασυτάτοις καὶ [7]πονηροτάτοις b
ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν τῇ πόλει συμφερόντων
μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὐτῶν πλεονεξίας ἑτοίμοις
οὖσιν ὁτιοῦν πάσχειν, τὰς δὲ [8]τούτων πόλεις ὁμοίως [9]οἰκήσε-
σθαι ταῖς τῶν προεστώτων πονηρίαις [10][[11]θέλοντας, τούτους
αὖ τοὐναντίον κακίστους ἑαυτοῖς τε καὶ τοῖς πολίταις εἶναι

[1] ἀξίους A. L. [2] ἀνομολογηθείσης A. L. [3] εἶναι om. A. C. L. [4] τοῦ om. A. L.
[5] χρησίμην A. C. L. [6] τῶν om. A. C. L. [7] πονηροτάτοις καὶ θρασυτάτοις A. C. L.
[8] ἑαυτῶν A. [9] οἰκεῖσθαι A. [10] uncos om. A. L. [11] θέλουσι A.

Διήλθομεν] In Helen. Enc. l. l.

Τὴν ἀπὸ τῶν τιμημάτων] Scil. πολιτείαν. quæ Τιμοκρατία uno vocabulo dicitur, ubi census et opum ratio habetur, non admodum ab Oligarchia abhorrens. Wolf. Cf. Aristot. Polit. iii. 5. et Diog. Laert. in Vit. Plat.

Τούτους μὲν] Sub. φημί. Auger.

Ἐπὶ ταῦτα] Np. ἐπὶ τὰς ἀρχὰς καὶ τὰς ἄλλας πράξεις. Idem.

Οἰκήσεσθαι] Scribo οἰκεῖσθαι. H. Stephan.

νομίζω]· τοὺς δὲ μήθ᾽ οὕτως μήθ᾽ ὡς πρότερον εἶπον, ἀλλ᾽ ὅταν μὲν θαῤῥῶσι, τούτους μάλιστα τιμῶντας τοὺς πρὸς
c χάριν λέγοντας, ὅταν δὲ δείσωσιν, ἐπὶ τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντας, τοὺς [1] δὲ τοιούτους ἐναλλὰξ τοτὲ μὲν χεῖρον τοτὲ δὲ βέλτιον πράξειν.

νγ΄. Αἱ μὲν οὖν φύσεις καὶ δυνάμεις τῶν πολιτειῶν οὕτως ἔχουσιν, ἡγοῦμαι δὲ ταῦτα ἑτέροις [2] μὲν πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ᾽ οὐκ ἔτι περὶ [3] ἁπασῶν αὐτῶν εἶναι διαλεκτέον, ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων· ταύτην γὰρ ὑπεσχόμην ἐπιδείξειν σπουδαιοτέραν καὶ πλειόνων ἀγαθῶν αἰτίαν οὖσαν [4] τῆς ἐν τῇ Σπάρτῃ
d [5] καθεστηκυίας.

νδ΄. Ἔσται δ᾽ ὁ λόγος τοῖς μὲν ἡδέως ἂν ἀκούσασι πολιτείαν χρηστὴν ἐμοῦ διεξιόντος οὔτ᾽ ὀχληρὸς οὔτ᾽ ἄκαιρος, ἀλλὰ σύμμετρος καὶ προσήκων τοῖς [6] πρότερον εἰρημένοις, τοῖς δὲ μὴ χαίρουσι τοῖς μετὰ πολλῆς σπουδῆς εἰρημένοις, ἀλλὰ τοῖς ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορουμένοις, ἢν δ᾽ ἀπόσχωνται τῆς μανίας ταύτης, ἐγκωμιάζουσιν [7] ἢ τὰ φαυλότατα τῶν ὄντων ἢ τοὺς παρανομωτάτους τῶν γεγενη-
e μένων, τούτοις δ᾽ αὐτὸν οἶμαι δόξειν πολὺ μακρότερον εἶναι τοῦ δέοντος. ἐμοὶ δὲ τῶν μὲν τοιούτων ἀκροατῶν οὐδὲν πώποτ᾽ ἐμέλησεν, οὐδὲ [8] τοῖς ἄλλοις τοῖς εὖ φρονοῦσιν, ἐκείνων δὲ τῶν ἅ τε προεῖπον πρὸ [9] ἅπαντος τοῦ λόγου μνημονευσόντων, 261
261 τῷ τε πλήθει τῶν λεγομένων οὐκ ἐπιτιμησόντων, οὐδ᾽ [10] ἢν μυρίων ἐπῶν ᾖ τὸ μῆκος, ἀλλ᾽ ἐφ᾽ αὑτοῖς εἶναι νομιούντων τοσοῦτον ἀναγνῶναι μέρος καὶ διελθεῖν ὁπόσον ἂν αὐτοὶ [11] βουληθῶσιν, πάντων δὲ μάλιστα τῶν οὐδενὸς ἂν ἥδιον ἀκουόντων ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετὰς καὶ πόλεως τρόπον καλῶς οἰκουμένης· ἅπερ εἰ μιμήσασθαί τινες βουληθεῖεν καὶ δυνηθεῖεν, αὐτοί τ᾽ ἂν ἐν μεγάλῃ δόξῃ τὸν βίον διαγάγοιεν καὶ τὰς πόλεις τὰς αὑτῶν εὐδαίμονας [12] ποιή-

[1] δὴ A. L. [2] μὲν ἑτέροις A. C. L. [3] πασῶν A. C. L. [4] ἢ τὴν A. C. L.
[5] καθεστηκυῖαν A. C. L. [6] ἔμπροσθεν A. C. L. [7] ἢ om. A. C. L.
[8] τῶν ἄλλων A. C. L. [9] παντὸς λόγου A. C. L. [10] ἂν A. C. L.
[11] βούλωνται A. C. L. [12] ποιήσαιεν A. C. L.

Φύσεις καὶ δυνάμεις] naturam et indolem. Lang.

Ἐγκωμιάζουσιν] Οἷον τοὺς Βομβυλιοὺς καὶ τοὺς ἅλας ἐν Ἑλένης ἐγκωμ. ϛ΄. Cor.

Παρανομωτάτους] Lacedæmonios respicit. Cf. §. μϛ΄. Lang.

Ἅτε προεῖπον] Conf. §. μζ΄. seqq. Idem.

σειαν. οἵους μὲν οὖν εὐξαίμην ἂν εἶναι τοὺς ἀκουσομένους τῶν b
ἐμῶν, εἴρηκα, δέδοικα δὲ μὴ τοιούτων γενομένων πολὺ κατεδεέστερον εἴπω τῶν πραγμάτων περὶ ὧν μέλλω ποιεῖσθαι τοὺς λόγους. ὅμως δ᾽ οὕτως [1] ὅπως ἂν οἷός τ᾽ ὦ πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

νε΄. Τοῦ μὲν οὖν διαφερόντως τῶν ἄλλων οἰκεῖσθαι τὴν πόλιν ἡμῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον δικαίως ἂν [2] ἐπενέγκοιμεν τὴν αἰτίαν τοῖς βασιλεύσασιν αὐτῆς, περὶ ὧν ὀλίγῳ
πρότερον [3] διελέχθην. ἐκεῖνοι γὰρ ἦσαν οἱ παιδεύσαντες τὸ c
πλῆθος ἐν ἀρετῇ καὶ δικαιοσύνῃ καὶ πολλῇ σωφροσύνῃ, καὶ διδάξαντες ἐξ ὧν διῴκουν, ἅπερ ἐγὼ φανείην [4] ἂν ὕστερον εἰρηκὼς ἢ 'κεῖνοι πράξαντες, ὅτι πᾶσα πολιτεία ψυχὴ πόλεώς ἐστι, τοσαύτην ἔχουσα δύναμιν ὅσην περ ἐν σώματι φρόνησις· αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύ-
γουσα, καὶ πάντων αἰτία τῶν ταῖς πόλεσι [5] συμβαινόντων. d

νς΄. [6] Ἃ μαθὼν ὁ δῆμος οὐκ ἐπελάθετο διὰ τὴν μεταβολήν, ἀλλὰ μᾶλλον τούτῳ προσεῖχεν ἢ τοῖς ἄλλοις, ὅπως λήψεται τοὺς ἡγεμόνας, δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ᾽ ἦθος τοιοῦτον ἔχοντας οἷόν περ οἱ πρότερον ἐπιστατοῦντες αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάντων τῶν κοινῶν καταστήσαντες οἷς οὐδεὶς [7] ἂν οὐδὲν τῶν ἰδίων ἐπι-
τρέψειε, μηδὲ περιόψονται πρὸς τὰ τῆς πόλεως προσιόντας e
τοὺς [8] ὁμολογουμένως ὄντας πονηρούς, μηδ᾽ ἀνέξονται [9] τὴν
262 φωνὴν τῶν τὰ μὲν σώματα τὰ σφέτερ᾽ αὐτῶν ἐπονειδίστως διατιθεμένων συμβουλεύειν δὲ τοῖς ἄλλοις ἀξιούντων ὃν
τρόπον τὴν πόλιν [10] διοικοῦντες σωφρονοῖεν ἂν καὶ βέλτιον 262
πράττοιεν, μηδὲ τῶν ἃ μὲν παρὰ τῶν πατέρων παρέλαβον εἰς αἰσχρὰς ἡδονὰς [11] ἀνηλωκότων, ἐκ δὲ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητούντων, μηδὲ τῶν πρὸς χάριν

[1] ὁποίως A. C. L. [2] ἐπενέγκαιμεν A. C. L. [3] διειλέχθη A. L.
[4] ἂν om. A. L. [5] συμβαινόντων ἀγαθῶν A. C. L. [6] Ἧς ὁ A. C. L.
[7] οὐδὲ τῶν ἰδίων τι A. L. [8] ὁμολογουμένους A. [9] τὴν om. A. C. L.
[10] διοικήσουσι, καὶ ὅπως σωφρονοῖεν A. C. L. [11] ἀναλωκότων C.

Ἐκεῖνοι] Ὅ τε Θησεὺς καὶ οἱ μετ᾽ ἐκεῖνον διοικήσαντες τὴν πόλιν μέχρι τῶν Περσικῶν. Cor.

Ἅπερ ἐγὼ φανείην] Ἴσως· ὅπερ. ὁ δε νοῦς· Διδάξαντες διὰ τῆς αὐτῶν ὀρθῆς διοικήσεως τοῦθ᾽ ὅπερ (ἢ ταῦθ᾽ ἅπερ) ἐγὼ εἴρηκα ὕστερον ἢ ἐκεῖνοι ἔπραξαν. Τί δ᾽ ἔστι τοῦτο; ὅτι πᾶσα πολιτεία κ. τ. λ. Cor. Cf. Areopag. §. ε΄.

Τὰ μὲν σώματα] Τὰ σώματα αὐτῶν h. l. τῷ σώματι πόλεως opponi observes. Lang. Λέγει τοὺς ἑταιροῦντας. Cor. Cf. de Pace §. ιζ΄.

μὲν ἀεὶ λέγειν γλιχομένων, εἰς πολλὰς δ᾽ ἀηδίας καὶ λύπας τοὺς πειθομένους ἐμβαλλόντων, ἀλλὰ τούς [1] τε τοιούτους ἅπαντας ἀπείργειν ἀπὸ τοῦ συμβουλεύειν ἕκαστος οἰήσεται δεῖν, καὶ πρὸς τούτοις ἐκείνους τοὺς τὰ μὲν τῶν ἄλλων
b κτήματα τῆς πόλεως εἶναι φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέπτειν καὶ διαρπάζειν τολμῶντας, καὶ φιλεῖν μὲν τὸν δῆμον προσποιουμένους, ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν μισεῖσθαι ποιοῦντας, καὶ λόγῳ μὲν δεδιότας ὑπὲρ τῶν Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους καὶ συκοφαντοῦντας καὶ διατιθέντας [2] αὐτοὺς οὕτω πρὸς ἡμᾶς, ὥστε τῶν πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας ἥδιον ἂν καὶ θᾶττον ἐνίας
c εἰσδέξασθαι τοὺς πολιορκοῦντας ἢ τὴν παρ᾽ ἡμῶν βοήθειαν. ἀπείποι δ᾽ ἄν τις γράφων, εἰ πάσας τὰς κακοηθείας καὶ πονηρίας ἐξαριθμεῖν ἐπιχειρήσειεν.

νζ΄. Ἃς ἐκεῖνοι μισήσαντες καὶ τοὺς ἔχοντας αὐτὰ ἐποιοῦντο συμβούλους καὶ προστάτας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς βελτίστους καὶ [3] φρονιμωτάτους καὶ κάλλιστα βεβιωκότας, καὶ τοὺς αὐτοὺς τούτους στρατηγοὺς ᾑροῦντο καὶ πρέσβεις — εἴ [4] ποι δεήσειεν — ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πόλεως αὐτοῖς παρεδίδοσαν, νομί-
d ζοντες τοὺς ἐπὶ τοῦ βήματος βουλομένους καὶ δυναμένους τὰ βέλτιστα συμβουλεύειν, τούτους [5] καὶ καθ᾽ αὑτοὺς γενομένους ἐν [6] ἅπασι τοῖς τόποις καὶ περὶ ἁπάσας τὰς πράξεις τὴν αὐτὴν γνώμην ἕξειν· ἅπερ αὐτοῖς καὶ συνέβαινεν.

νη΄. Διὰ γὰρ τὸ ταῦτα γιγνώσκειν ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε νόμους ἀναγεγραμμένους, οὐχ [7] ὁμοίους τοῖς νῦν κειμένοις, οὐδὲ τοσαύτης ταραχῆς καὶ τοσούτων ἐναντιώσεων μεστούς, ὥστε [8] μηδέν᾽ ἂν δυνηθῆναι [9] συνιδεῖν μήτε 263
e τοὺς χρησίμους μήτε τοὺς ἀχρήστους αὐτῶν, ἀλλὰ πρῶτον μὲν ὀλίγους, ἱκανοὺς δὲ τοῖς χρῆσθαι μέλλουσι καὶ [10] ῥαδίους συνιδεῖν, ἔπειτα δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς
263 ὁμολογουμένους, καὶ μᾶλλον ἐσπουδασμένους τοὺς περὶ τῶν

[1] γε A. C. L. [2] αὐτοὺς om. A. C. L. [3] φρονιμωτάτους καὶ βελτίστους A. C. L. [4] ποτε A. C. L. [5] δὲ καὶ A. L. [6] πᾶσι A. C. L. [7] ὁμοίως A. C. L. [8] μηδὲν A. L. [9] συνιδεῖν om. A. L. [10] ῥαδίως L.

Οἰήσεται] Malim ᾤετο vel ᾤηται. AUGER.

Τούς τε νόμους ἀναγεγραμμένους] Cf. Lysias c. Nicomach. §. α΄. et Demosth. adv. Leptin. §. κ΄.

Καὶ μᾶλλον ἐσπουδασμένους —] Ad verbum interpretor: *et majore diligentia elaboratas eas quæ ad mores publicos quam eas*

κοινῶν ἐπιτηδευμάτων ἢ τοὺς περὶ τῶν ἰδίων συμβολαίων,
οἵους περ εἶναι χρὴ παρὰ τοῖς καλῶς πολιτευομένοις. περὶ
δὲ τοὺς αὐτοὺς χρόνους καθίστασαν ἐπὶ τὰς ἀρχὰς τοὺς
προκριθέντας ὑπὸ τῶν [1] φυλετῶν καὶ δημοτῶν, οὐ περιμα-
χήτους αὐτὰς ποιήσαντες οὐδ᾽ ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ
μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν
προσταχθῶσι, τιμὴν δέ τινα [2] περιτιθείσαις αὐτοῖς· ἔδει
γὰρ τοὺς ἄρχειν αἱρεθέντας τῶν τε κτημάτων τῶν ἰδίων
ἀμελεῖν, καὶ τῶν [3] λημμάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς b
ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον ἢ τῶν ἱερῶν — ἃ τίς ἂν ἐν
τοῖς νῦν καθεστῶσιν ὑπομείνειε; —, καὶ τοὺς μὲν ἀκριβεῖς
περὶ [4] ταύτας γιγνομένους μετρίως ἐπαινεθέντας [5] ἐφ᾽ ἑτέραν
ἐπιμέλειαν τάττεσθαι τοιαύτην, τοὺς δὲ καὶ μικρὸν παρα-
βάντας ταῖς ἐσχάταις αἰσχύναις καὶ μεγίσταις ζημίαις
περιπίπτειν· ὥστε μηδένα τῶν πολιτῶν ὥσπερ νῦν διακεῖ-
σθαι πρὸς τὰς ἀρχάς, ἀλλὰ μᾶλλον [6] τότε ταύτας φεύγειν c
[7] ἢ νῦν διώκειν, καὶ πάντας νομίζειν μηδέποτ᾽ ἂν γενέσθαι
δημοκρατίαν ἀληθεστέραν [8] μηδὲ βεβαιοτέραν μηδὲ μᾶλλον
τῷ πλήθει συμφέρουσαν τῆς τῶν μὲν τοιούτων πραγμα-
τειῶν ἀτέλειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς κατα-
στῆσαι καὶ δίκην λαβεῖν παρὰ τῶν [9] ἐξαμαρτόντων κύριον
ποιούσης, ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς εὐδαιμονε-
στάτοις.

νθ΄. Σημεῖον δὲ μέγιστον ὅτι ταῦτ᾽ ἠγάπων μᾶλλον d
[10] ἢ ἐγὼ λέγω· φαίνεται γὰρ ὁ δῆμος, ταῖς μὲν ἄλλαις πολι-
τείαις ταῖς οὐκ ἀρεσκούσαις μαχόμενος καὶ καταλύων καὶ
τοὺς προεστῶτας αὐτῶν ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ
[11] ἐλάττω χιλίων ἐτῶν, ἀλλ᾽ ἐμμείνας ἀφ᾽ οὗ [12] περ ἔλαβε
μέχρι τῆς Σόλωνος μὲν ἡλικίας Πεισιστράτου δὲ δυναστείας,
264 ὅς, δημαγωγὸς γενόμενος καὶ πολλὰ τὴν πόλιν λυμηνά-

[1] συμφυλετῶν καὶ τῶν δημ. A. C. L.
[2] προστιθείσαις A. C. L.
[3] πλεονεκτημάτων A.
[4] ταῦτα C.
[5] ὑφ᾽ A.
[6] τὸ A. C. L.
[7] ἡδὺ ἢ διώκειν A. L. ἡδὺ ἢ διώκειν [εἶναι] C.
[8] μηδὲ βεβαιοτέραν om. A. C. L.
[9] ἐξαμαρτανόντων A. C. L.
[10] ἃ ἐγὼ A. C. L.
[11] ἔλαττον A. C. L.
[12] παρέλαβε A. C. L.

quæ ad privatos contractus pertinebant. AUGER.

Λημμάτων] *muneribus quibus corrumpi solent.* LANG.

Γιγνομένους] Ἴσως. γενομένους. COR.

Χιλίων] F. leg. ἑξακοσίων. *De Fort. Athen.* c. 10. MEURSIUS. Οὐκ ἀπιθάνως· καὶ γὰρ τοσαῦτα μάλιστα ἀριθμοῦνται ἔτη ἀπὸ Θησέως μέχρι Πεισιστράτου. COR.

e μενος καὶ τοὺς βελτίστους τῶν πολιτῶν ὡς ὀλιγαρχικοὺς ὄντας ἐκβαλών, τελευτῶν τόν τε δῆμον κατέλυσε καὶ τύραννον αὑτὸν κατέστησε.

ξ΄. Τάχ᾽ οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν — οὐδὲν γὰρ κωλύει [1] διαλαβεῖν τὸν λόγον —, ὅτι τολμῶ λέγειν ὡς
264 ἀκριβῶς εἰδὼς περὶ πραγμάτων οἷς οὐ παρῆν πραττομένοις. ἐγὼ δὲ οὐδὲν τούτων ἄλογον οἶμαι ποιεῖν. εἰ [2] μὲν γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις περὶ τῶν παλαιῶν καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτιμῴμην· νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταὐτὸν ἐμοὶ φανεῖεν ἂν [3] πεπονθότες. χωρὶς δὲ τούτων, εἰ κατασταίην εἰς ἔλεγχον [4] καὶ λόγον, δυνηθείην ἂν ἐπιδεῖξαι
b πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ τῆς ὄψεως, καὶ μείζους πράξεις καὶ καλλίους εἰδότας ἃς παρ᾽ ἑτέρων ἀκηκόασιν ἢ [5] ᾽κείνας αἷς αὐτοὶ [6] παραγεγενημένοι τυγχάνουσιν. ἀλλὰ γὰρ οὔτ᾽ ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων — τυχὸν γὰρ μηδενὸς ἀντειπόντος λυμήναιντ᾽ ἂν τὴν ἀλήθειαν — οὔτ᾽ αὖ πολὺν χρόνον ἀντιλέγοντας διατρίβειν ἐν αὐταῖς, ἀλλ᾽ ὅσον ὑποδείξαντας μόνον τοῖς ἄλλοις ἐξ ὧν ληροῦντας ἂν [7] αὐτοὺς ἐπι-
c δείξαιεν, πάλιν ἐπανελθόντας περαίνειν καὶ [8] λέγειν ὅθεν ἀπέλιπον· ὅπερ ἐγὼ ποιήσω.

ξα΄. Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας, καὶ τὸν χρόνον ὅσον αὐτῇ χρώμενοι [9] διετέλεσαν, ἐξαρκούντως [10] δεδηλώκαμεν· λοιπὸν δ᾽ ἡμῖν τὰς πράξεις τὰς ἐκ τοῦ καλῶς [11] πολιτεύεσθαι γεγενημένας διελθεῖν. ἐκ τούτων γὰρ [12] ἔτι μᾶλλον ἔσται καταμαθεῖν ὅτι καὶ τὴν πολιτείαν εἶχον ἡμῶν οἱ πρόγονοι βελτίω τῶν ἄλλων καὶ σωφρονεστέραν,
d καὶ προστάταις καὶ συμβούλοις ἐχρῶντο τοιούτοις [13] οἵοις χρὴ τοὺς εὖ φρονοῦντας.

ξβ΄. Οὐ μὴν οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστὶ, πρὶν

[1] διαβαλεῖν A. C. L. [2] μὲν om. A. C. L. [3] πάσχοντες A. C. L.
[4] καὶ λόγον om. A. C. L. [5] κείναις A. [6] παραγιγνόμενοι A. C. L.
[7] αὑτοὺς ἂν A. C. L. [8] λέγειν καὶ περαίνειν A. C. L. [9] διετελέσαμεν A. C. L.
[10] δεδήλωται A. C. L. [11] πολιτεύεσθαι καλῶς A. C. L. [12] ἔτι om. A. C. L.
[13] οἵους A. L.

Ἄλογον] F. ἀλόγως. Wolf.
Ὑπολήψεων] opiniones, seu, ut Wolf. mavult, objectiones. Lang. Ἀντιλογιῶν, ἀντιῤῥήσεων. Cor.
Ὅσον] Wolf. explicat per ὀλίγον. malim veluti. Lang.
Ἐξ ὧν — ἐπιδείξαιεν] e quo adversario nugari ostendere queant. Idem.

ἂν μικρὰ προείπω περὶ αὐτῶν. ἢν γὰρ ὑπεριδὼν τὰς ἐπιτι-
μήσεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο δυναμένων ἐφεξῆς
διηγῶμαι περί τε τῶν ἄλλων τῶν πεπραγμένων καὶ τῶν
265 ἐπιτηδευμάτων τῶν περὶ τὸν πόλεμον, οἷς οἱ πρόγονοι χρώ-
μενοι τῶν τε βαρβάρων περιεγένοντο καὶ παρὰ τοῖς Ἕλλη-
σιν εὐδοκίμησαν, οὐκ ἔστιν ὅπως οὐ φήσουσί τινές με διεξ- e
ιέναι τοὺς νόμους οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται
δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν.

ξγ΄. Ἐγὼ δ' ὁμολογῶ μὲν ἐρεῖν πολλὰ τῶν ἐκεῖ [1] καθε-
στώτων, οὐχ ὡς Λυκούργου τι τούτων εὑρόντος ἢ διανοηθέν-
τος, ἀλλ' ὡς μιμησαμένου τὴν διοίκησιν ὡς δυνατὸν ἄριστα 265
τὴν τῶν προγόνων τῶν ἡμετέρων, καὶ τήν τε δημοκρατίαν
καταστήσαντος παρ' αὐτοῖς τὴν ἀριστοκρατίᾳ μεμιγμένην,
ἥπερ ἦν παρ' ἡμῖν, καὶ τὰς ἀρχὰς οὐ κληρωτὰς ἀλλ' αἱρετὰς
ποιήσαντος, καὶ τὴν τῶν γερόντων αἵρεσιν τῶν ἐπιστατούντων
ἅπασι τοῖς πράγμασι μετὰ τοσαύτης σπουδῆς ποιεῖσθαι
νομοθετήσαντος, μεθ' ὅσης περ φασὶ καὶ τοὺς ἡμετέρους περὶ b
τῶν εἰς Ἄρειον πάγον ἀναβήσεσθαι μελλόντων, ἔτι δὲ καὶ
τὴν δύναμιν αὐτοῖς περιθέντος τὴν αὐτὴν, ἥνπερ ᾔδει καὶ τὴν
βουλὴν ἔχουσαν τὴν παρ' ἡμῖν.

ξδ΄. Ὅτι μὲν οὖν τὸν αὐτὸν τρόπον τἀκεῖ καθέστηκεν
ὥσπερ εἶχε τὸ παλαιὸν καὶ τὰ παρ' ἡμῖν, παρὰ πολλῶν
[2] ἔσται πυθέσθαι τοῖς εἰδέναι βουλομένοις· ὡς δὲ καὶ τὴν ἐμ-
πειρίαν τὴν περὶ τὸν πόλεμον οὐ πρότερον ἤσκησαν οὐδ'
ἄμεινον ἐχρήσαντο Σπαρτιᾶται τῶν ἡμετέρων, ἐκ τῶν c
ἀγώνων καὶ τῶν πολέμων [3] τῶν ὁμολογουμένων γενέσθαι
κατ' ἐκεῖνον τὸν χρόνον οὕτως οἶμαι σαφῶς ἐπιδείξειν, ὥστε
[4] μήτε τοὺς ἀνοήτως λακωνίζοντας ἀντειπεῖν δυνήσεσθαι τοῖς
ῥηθεῖσι, μήτε τοὺς [5] τὰ ἡμέτερα ἅμα τε θαυμάζοντας καὶ
βασκαίνοντας καὶ μιμεῖσθαι γλιχομένους.

ξε΄. Ποιήσομαι δὲ τὴν ἀρχὴν τῶν λεχθησομένων ἀκοῦσαι
μὲν ἴσως τισὶν ἀηδῆ, ῥηθῆναι δ' οὐκ ἀσύμφορον. εἰ γάρ τις
φαίη [6] τὼ πόλεε τούτω πλείστων ἀγαθῶν αἰτίας γεγενη- d

[1] καθεστώτων ἐκεῖ A. C. L. [2] ἐστι A. C. L. [3] καὶ τῶν ὡμολογημένων A. C. L.
[4] μηδὲ A. C. L. [5] τὰ ἡμέτερα om. A. C. L. [6] τὰ πόλεε ταύτα A. C. L.

Τὴν τῶν γερόντων αἵρεσιν] Demosth. adv. Lept. p. 489. ed. R. laudat Coraes.

Αἰτίας] F. in dual. αἰτία. Wolf.

Ἀναβήσεσθαι] Conf. Areopag. §. ιε΄. Auger.

σθαι τοῖς Ἕλλησι καὶ μεγίστων κακῶν μετὰ τὴν Ξέρξου
στρατείαν, οὐκ ἔστιν ὅπως οὐκ ἀληθῆ δόξειεν ἂν λέγειν τοῖς
εἰδόσι τι περὶ τῶν τότε γεγενημένων. ἠγωνίσαντό τε γὰρ ὡς
δυνατὸν ἄριστα πρὸς τὴν ἐκείνου δύναμιν, ταῦτά τε πρά- 266
ξασαι, προσῆκον αὐταῖς [1] καὶ περὶ τῶν ἐχομένων βουλεύ-
e σασθαι καλῶς, εἰς τοῦτ᾽ ἦλθον οὐκ ἀνοίας ἀλλὰ μανίας,
ὥστε πρὸς μὲν τὸν ἐπιστρατεύσαντα καὶ βουληθέντα [2] τὼ
μὲν πόλεε [3] τούτω παντάπασιν ἀνελεῖν, τοὺς δὲ ἄλλους Ἕλ-
ληνας καταδουλώσασθαι, πρὸς μὲν τὸν τοιοῦτον, κρατή-
σασαι ῥᾳδίως ἂν αὐτοῦ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν,
εἰρήνην εἰς ἅπαντα συνεγράψαντο [4] τὸν χρόνον ὥσπερ πρὸς
266 εὐεργέτην γεγενημένον, φθονήσασαι δὲ ταῖς ἀρεταῖς ταῖς
αὐτῶν, εἰς πόλεμον καταστᾶσαι πρὸς ἀλλήλας καὶ φιλο-
νεικίαν, οὐ πρότερον ἐπαύσαντο σφᾶς [5] τε [6] αὐτὰς ἀπολλύου-
σαι καὶ τοὺς ἄλλους Ἕλληνας, πρὶν κύριον ἐποιήσαντο τὸν
κοινὸν ἐχθρὸν [7] [τοῦ] τήν τε πόλιν τὴν ἡμετέραν εἰς τοὺς ἐσχά-
τους καταστῆσαι κινδύνους διὰ τῆς δυνάμεως τῆς Λακεδαι-
μονίων, καὶ πάλιν τὴν ἐκείνων διὰ τῆς πόλεως τῆς ἡμετέ-
b ρας. καὶ τοσοῦτον ἀπολειφθέντες τῆς τοῦ βαρβάρου φρονή-
σεως, οὔτ᾽ ἐν ἐκείνοις τοῖς χρόνοις ἤλγησαν ἀξίως ὧν ἔπαθον
οὐδ᾽ ὡς προσῆκεν αὐτοὺς, οὔτε νῦν αἱ μέγισται τῶν Ἑλλη-
νίδων πόλεων αἰσχύνονται διακολακευόμεναι πρὸς τὸν ἐκείνου
πλοῦτον, ἀλλ᾽ ἡ μὲν Ἀργείων καὶ Θηβαίων Αἴγυπτον αὐτῷ
συγκατεπολέμησεν, ἵν᾽ ὡς μεγίστην ἔχων δύναμιν [8] ἐπι-
βουλεύῃ τοῖς Ἕλλησιν, ἡμεῖς δὲ καὶ Σπαρτιᾶται, συμμα-
c χίας ἡμῖν ὑπαρχούσης, ἀλλοτριώτερον ἔχομεν πρὸς ἡμᾶς
αὐτοὺς ἢ πρὸς οὓς ἑκάτεροι πολεμοῦντες τυγχάνομεν.
σημεῖον δὲ οὐ μικρόν· κοινῇ [9] μὲν γὰρ οὐδὲ περὶ ἑνὸς πράγματος
βουλευόμεθα, χωρὶς δ᾽ ἑκάτεροι πρέσβεις πέμπομεν ὡς
ἐκεῖνον, ἐλπίζοντες, ὁποτέροις ἂν οἰκειότερον [10] διατεθῇ, κυ-

[1] καὶ om. L. [2] τὰ A. [3] ταύτα A. [4] τὸν χρόνον συνεγράψαντο A. C. L.
[5] τε om. A. C. L. [6] αὐτοὺς L. [7] uncos om. A. C. L. [8] ἐπιβουλεύοι A. C. L.
[9] μὲν om. A. C. L. [10] διατεθείη A. C. L.

Ταῖς αὐτῶν] Ταῖς ἀλλήλων. Cor.

Ἐποιήσαντο] Ἴσως· ἐποίησαν. Ἐρεῖ δὲ καὶ μετ᾽ ὀλίγα (ϛθ΄.) κυρίους ποιησάσης. Idem.

Διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον] Ἁμιλλώμεναι πρὸς ἀλλήλας, ἥτις πλέον κολακεύσει τὸν τοῦ βαρβάρου πλοῦτον. Wolf.

Ἔχει δ᾽ ἄν τις καὶ οὕτω πως ἑρμηνεῦσαι τὸ χωρίον ἁπλούστερον· Ἁμιλλώμεναι τῇ κολακείᾳ πρὸς τὸν ἐκείνου πλοῦτον, τουτέστι, τοσούτῳ πλέον κολακεύοντες τὸν βάρβαρον ἐπαίνοις τε καὶ τῇ ἄλλῃ θεραπείᾳ, ὅσον ἐκεῖνος ἐκολάκευεν ἐκείνας τῷ πλούτῳ, ἤγουν τῷ πλουτίζειν. Cor.

ρίους τούτους γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας,
κακῶς εἰδότες ὡς τοὺς μὲν θεραπεύοντας αὐτὸν ὑβρίζειν
εἴθισται, πρὸς δὲ τοὺς [1] ἀντιταττομένους καὶ καταφρονοῦν-
τας τῆς ἐκείνου δυνάμεως, ἐκ παντὸς τρόπου διαλύεσθαι
πειρᾶται τὰς διαφοράς. d

ξϛʹ. Ταῦτα δὲ διῆλθον οὐκ ἀγνοῶν ὅτι λέγειν τινὲς τολ-
μήσουσιν ὡς ἔξω τῆς ὑποθέσεως τοῖς λόγοις τούτοις ἐχρησά-
267 μην. ἐγὼ δ' οὐδέποτ' ἂν οἶμαι τοῖς προειρημένοις οἰκειοτέρους
[2] λόγους ῥηθῆναι τούτων, οὐδ' ἐξ ὧν ἄν τις σαφέστερον ἐπι-
δείξειε τοὺς προγόνους ἡμῶν φρονιμωτέρους ὄντας περὶ τὰ
μέγιστα τῶν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Σπαρτια- e
τῶν μετὰ τὸν πόλεμον τὸν πρὸς Ξέρξην διοικησάντων. αὗται
μὲν γὰρ ἂν φανεῖεν, ἐν ἐκείνοις τε τοῖς χρόνοις πρὸς μὲν τοὺς
βαρβάρους εἰρήνην ποιησάμεναι, σφᾶς δ' αὐτὰς καὶ τὰς
ἄλλας πόλεις ἀπολλύουσαι, νῦν τε τῶν [3] μὲν Ἑλλήνων ἄρ- 267
χειν ἀξιοῦσαι, πρὸς δὲ τὸν βασιλέα πρέσβεις πέμπουσαι
περὶ φιλίας καὶ συμμαχίας· οἱ δὲ τότε τὴν πόλιν οἰκοῦντες
οὐδὲν τούτων ἔπραττον, ἀλλὰ [4] πᾶν τοὐναντίον· τῶν μὲν
γὰρ Ἑλληνίδων πόλεων οὕτως αὐτοῖς ἀπέχεσθαι σφόδρα
δεδογμένον ἦν ὥσπερ τοῖς εὐσεβέσι τῶν ἐν τοῖς ἱεροῖς ἀνακει-
μένων, [5] τῶν δὲ πολέμων ὑπελάμβανον ἀναγκαιότατον μὲν
[6] εἶναι καὶ δικαιότατον τὸν μετὰ πάντων ἀνθρώπων πρὸς
τὴν ἀγριότητα τὴν τῶν θηρίων [7] γιγνόμενον, δεύτερον δὲ τὸν b
μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους τοὺς καὶ φύσει
πολεμίους ὄντας καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας
ἡμῖν. τοῦτον δ' εἴρηκα τὸν λόγον οὐκ αὐτὸς εὑρὼν, ἀλλ' ἐκ
τῶν ἐκείνοις πεπραγμένων συλλογισάμενος.

ξζʹ. Ὁρῶντες γὰρ τὰς μὲν ἄλλας πόλεις ἐν πολλοῖς
κακοῖς καὶ πολέμοις καὶ ταραχαῖς οὔσας, τὴν δ' αὑτῶν
μόνην καλῶς [8] διοικουμένην, οὐχ ἡγήσαντο δεῖν τοὺς ἄμεινον c
τῶν ἄλλων φρονοῦντας καὶ πράττοντας ἀμελεῖν οὐδὲ περι-
ορᾶν τὰς τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολλυμένας,

[1] ἀντιπραττομένοις A. L. [2] ἂν λόγους A. C. L. [3] μὲν om. A. C. L.
[4] πᾶν om. A. C. L. [5] τὸν δὲ πόλεμον A. [6] εἶναι om. A. C. L.
[7] γενόμενον A. L. [8] οἰκουμένην A. C. L.

Κακῶς εἰδότες ὡς] Ἀγνοοῦντες ὅτι. Idem.

Ἀντιταττομένους] Ἀντιπολεμοῦντας, ἐναντιουμένους αὐτῷ. Idem.

Τῶν — διοικησάντων] Pendet a φρονιμωτέρους. *quam qui etc.* Lang.

Θηρίων γενόμενον] Scribo γενησόμενον. H. Stephan. F. leg. γενησόμενον, vel γιγνόμενον. Auger. Quorum neutrum opus est. Lang.

ἀλλὰ σκεπτέον εἶναι καὶ πρακτέον ὅπως ἁπάσας ἀπαλλάξουσι τῶν κακῶν τῶν παρόντων. ταῦτα δὲ διανοηθέντες τῶν μὲν ἧττον νοσουσῶν πρεσβείαις καὶ λόγοις ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς, εἰς δὲ τὰς μᾶλλον στασιαζούσας ἐξέπεμπον
d τῶν πολιτῶν τοὺς μεγίστην παρ᾽ αὐτοῖς δόξαν ἔχοντας, οἳ περί τε τῶν παρόντων [1] πραγμάτων αὐταῖς συνεβούλευον, καὶ [2] συγγιγνόμενοι τοῖς τε [3] μὴ δυναμένοις ἐν ταῖς αὑτῶν ζῆν [4] καὶ τοῖς χεῖρον γεγονόσιν ὧν οἱ νόμοι προστάττουσιν, οἵπερ ὡς ἐπὶ τὸ πολὺ λυμαίνονται τὰς πόλεις, ἔπειθον μεθ᾽ αὑτῶν στρατεύεσθαι καὶ βίον ζητεῖν βελτίω τοῦ [5] παρόν- 268
e τος. πολλῶν δὲ γιγνομένων τῶν ταῦτα βουλομένων καὶ πειθομένων, στρατόπεδα συνιστάντες ἐξ αὐτῶν, τούς τε τὰς νήσους κατέχοντας τῶν βαρβάρων καὶ τοὺς ἐφ᾽ ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοικοῦντας καταστρεφόμενοι, καὶ πάντας [6] ἐκβαλόντες, τοὺς μάλιστα βίου δεομένους τῶν
268 Ἑλλήνων κατῴκιζον. καὶ ταῦτα πράττοντες καὶ τοῖς ἄλλοις ὑποδεικνύοντες διετέλουν, ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ [7] κατοικούσας, ὥσπερ εἶπον, ὑφ᾽ [8] αὑτοῖς πεποιημένους· μετὰ δὲ ταῦτα τοῖς ἰδίοις ἠναγκάζοντο προσέχειν τὸν νοῦν.

ξη΄. Τί οὖν ἐστὶ τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας; τοῦτο γὰρ οἶμαι μάλιστα ποθεῖν ἀκοῦσαι τοὺς πολλούς. τοῖς μὲν Ἕλλησιν
b [9] εὐπορωτέροις γενέσθαι τὰ περὶ τὸν βίον καὶ μᾶλλον ὁμονοεῖν τοσούτων τὸ πλῆθος καὶ τοιούτων ἀνθρώπων ἀπαλλαγεῖσι, τοῖς δὲ βαρβάροις ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ φρονεῖν ἔλαττον ἢ πρότερον, τοῖς δὲ αἰτίοις τούτων γεγενημένοις εὐδοκιμεῖν καὶ [10] δοκεῖν διπλασίαν πεποιηκέναι τὴν Ἑλλάδα τῆς ἐξ ἀρχῆς συστάσης.

ξθ΄. Μεῖζον μὲν οὖν εὐεργέτημα [11] τούτου καὶ κοινότερον τοῖς Ἕλλησι γεγενημένον παρὰ τῶν προγόνων τῶν ἡμετέρων
c οὐκ ἂν δυναίμην ἐξευρεῖν· οἰκειότερον δὲ τῇ περὶ τὸν πόλεμον

[1] παρ᾽ αὐταῖς πραγμάτων A. C. L. [2] συγγινόμενοι A. L. [3] δι᾽ ἀπορίαν μὴ A. [4] πατρίσι, καὶ A. C. L. [5] νῦν παρόντος A. C. L. [6] ἐκβάλλοντες A. C. L. [7] κατῳκισμένας A. C. L. [8] αὐτοὺς A. C. L. [9] εὐπορωτέρους A. L. [10] δοκεῖν om. A. C. L. [11] τούτου om. A. C. L.

Ἐξέπεμπον] Cf. Paneg. §. θ΄. Idem.

Καὶ πραγματείας;] Malim abesse has duas voces quæ mihi videntur sensum interturbare. Auger. In quo errat. Lang.

ἐπιμελείᾳ καὶ δόξης οὐκ ἐλάττονος ἄξιον καὶ πᾶσι [1] φανερώτερον ἴσως ἕξομεν εἰπεῖν.

ό. Τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ ἀκήκοε τῶν τραγῳδιδασκάλων [2] Διονυσίοις, τὰς Ἀδράστῳ γενομένας ἐν [3] Θήβαις συμφορὰς, ὅτι κατάγειν βουληθεὶς τὸν Οἰδίπου μὲν υἱὸν, αὑτοῦ δὲ κηδεστὴν, παμπληθεῖς μὲν Ἀργείων ἀπώλεσεν, ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας, αὐτὸς δ' ἐπονειδίστως σωθεὶς, ἐπειδὴ σπονδῶν οὐχ οἷός τ' ἦν τυχεῖν d
οὐδ' ἀνελέσθαι τοὺς τετελευτηκότας, ἱκέτης γενόμενος τῆς πόλεως, ἔτι Θησέως αὐτὴν διοικοῦντος, ἐδεῖτο μὴ [4] περιϊδεῖν τοιούτους ἄνδρας ἀτάφους γενομένους μηδὲ παλαιὸν ἔθος
269 καὶ πάτριον νόμον καταλυόμενον, ᾧ πάντες ἄνθρωποι χρώμενοι διατελοῦσιν οὐχ ὡς ὑπ' ἀνθρωπίνης κειμένῳ φύσεως, ἀλλ' ὡς ὑπὸ δαιμονίας προστεταγμένῳ δυνάμεως. ὧν ἀκούσας, οὐδένα χρόνον ἐπισχὼν [5] ὁ δῆμος ἔπεμψε πρεσβείαν εἰς Θήβας, περί τε τῆς ἀναιρέσεως [6] συμβουλεύσοντας αὐτοῖς ὁσιώτερον βουλεύσασθαι καὶ τὴν ἀπόκρισιν νομιμωτέραν ποιήσασθαι τῆς πρότερον [7] γενομένης, κἀκεῖνο ὑποδείξοντας, ὡς ἡ πόλις αὐτοῖς οὐκ ἐπιτρέψει παραβαίνουσι τὸν νόμον τὸν κοινὸν ἁπάντων [8] τῶν Ἑλλήνων. [9] ὧν ἀκούσαντες οἱ κύριοι 269
τότε ὄντες Θηβῶν οὐχ ὁμοίως ἔγνωσαν οὔτε ταῖς δόξαις αἷς ἔχουσί τινες περὶ αὐτῶν, οὔθ' οἷς ἐβουλεύσαντο πρότερον, ἀλλὰ μετρίως περὶ αὑτῶν τε διαλεχθέντες καὶ τῶν ἐπιστρατευσάντων κατηγορήσαντες ἔδοσαν τῇ πόλει τὴν ἀναίρεσιν.

οα΄. Καὶ μηδεὶς οἰέσθω με ἀγνοεῖν ὅτι τἀναντία τυγχάνω [10] λέγων οἷς ἐν τῷ Πανηγυρικῷ λόγῳ φανείην ἂν περὶ τῶν αὐτῶν τούτων γεγραφώς· ἀλλὰ γὰρ οὐδένα νομίζω τῶν b
ταῦτα συνιδεῖν ἂν δυνηθέντων τοσαύτης ἀμαθίας εἶναι καὶ φθόνου μεστὸν, ὅστις οὐκ ἂν ἐπαινέσειέ [11] με καὶ σωφρονεῖν

[1] φανερὸν A. C. L. [2] ἐν Διονυσίοις A. C. L. [3] Θηβαίοις A. C. L.
[4] παριδεῖν A. C. L. [5] ὁ δῆμος om. A. C. L. [6] συμβουλεύοντας L.
[7] γεγενημένης A. C. L. [8] τῶν om. A. C. L.
[9] ἀκούσαντες δ' οἱ τότε κύριοι Θηβαίων ὄντες A. C. L. [10] λέγων τυγχάνω A. C. L.
[11] ἐμὲ A. C. L.

Ὑποδείξοντας] Ἴσως· ἐπιδείξοντας, τουτέστι, καὶ πρὸς τούτοις δείξοντας. Cor.

Τἀναντία λέγων] Diversitas in eo est, quod in Panegyrico §. ιε΄. Athenienses bello oppugnasse Thebas narrantur; in hoc loco missa legatione Thebanos permovisse, ut occisorum corpora humanda redderent. Lang.

Σωφρονεῖν ἡγήσαιτο] In causa fuisse (Wolf. ait) opinor societatem cum Thebanis vel initam vel ineundam sub Chæronense bellum. Idem.

ἡγήσαιτο τότε μὲν ἐκείνως νῦν δ᾽ οὕτως διαλεχθέντα περὶ
αὐτῶν. περὶ μὲν οὖν τούτων οἶδ᾽ ὅτι καλῶς γέγραφα καὶ
συμφερόντως· ὅσον δ᾽ ἡ πόλις [1]ἡμῶν διέφερε τὰ περὶ τὸν
πόλεμον κατ᾽ ἐκεῖνον τὸν χρόνον — τοῦτο γὰρ ἀποδεῖξαι
βουλόμενος διῆλθον τὰ γενόμενα Θήβησιν —, ἡγοῦμαι
c τὴν πρᾶξιν ἐκείνην ἅπασι σαφῶς δηλοῦν τὴν τὸν μὲν βα-
σιλέα τῶν Ἀργείων ἀναγκάσασαν ἱκέτην γενέσθαι τῆς
πόλεως τῆς ἡμετέρας, τοὺς δὲ κυρίους ὄντας Θηβῶν οὕτω
διαθεῖσαν, ὥστε ἑλέσθαι μᾶλλον αὐτοὺς ἐμμεῖναι τοῖς λό-
γοις τοῖς ὑπὸ τῆς πόλεως [2]πεμφθεῖσιν ἢ τοῖς νόμοις τοῖς
ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν· ὧν οὐδὲν ἂν οἷά τε ἐγένετο
διοικῆσαι κατὰ τρόπον ἡ πόλις ἡμῶν, εἰ μὴ καὶ τῇ δόξῃ
d καὶ τῇ δυνάμει πολὺ διήνεγκε τῶν ἄλλων.

οβ΄. Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις [3]περὶ τῶν
προγόνων εἰπεῖν, σκοποῦμαι, τίνα τρόπον διαλεχθῶ περὶ
αὐτῶν. μέλει γάρ μοι τούτων μᾶλλον ἢ τῶν ἄλλων· 270
τυγχάνω γὰρ ὢν περὶ τὴν ὑπόθεσιν ἣν ἐποιησάμην [4]τελευ-
ταίαν, ἐν ᾗ προεῖπον ὡς ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν
τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρ-
e τιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν. ἔσται δ᾽ ὁ λόγος παράδοξος
μὲν τοῖς πολλοῖς, [5]ὁμοίως δ᾽ ἀληθὴς τοῖς ἄλλοις. ἄρτι μὲν
οὖν ἠπόρουν [6]ποτέρων διεξίω πρότερον τοὺς κινδύνους καὶ
τὰς μάχας, τὰς [7]Σπαρτιατῶν ἢ τὰς τῶν ἡμετέρων· νῦν
δὲ προαιροῦμαι λέγειν τὰς ἐκείνων, ἵν᾽ ἐν ταῖς καλλίοσι
καὶ δικαιοτέραις καταλύω τὸν λόγον τὸν περὶ τούτων.

270 ογ΄. Ἐπειδὴ γὰρ Δωριέων οἱ στρατεύσαντες εἰς Πελοπόν-
νησον τριχῇ διείλοντο τὰς πόλεις καὶ τὰς χώρας ἀφεί-
λοντο τοὺς δικαίως κεκτημένους, οἱ μὲν Ἄργος λαχόντες καὶ
[8]Μεσσήνην παραπλησίως διῴκουν τὰ σφέτερ᾽ αὐτῶν τοῖς
ἄλλοις Ἕλλησι, τὸ δὲ τρίτον μέρος αὐτῶν, οὓς καλοῦμεν
νῦν Λακεδαιμονίους, στασιάσαι μέν φασιν αὐτοὺς οἱ [9]τἀκεί-

[1] ἡμῶν ἡ πόλις A. C. L. [2] ἐκπεμφθεῖσιν A. C. L. [3] καὶ περὶ A. C. L.
[4] τὸ τελευταῖον A. C. L. [5] ὅμως A. [6] πότερον A. C. L. [7] τῶν Σπαρτ. A. C. L.
[8] Μεσήνην A. L. [9] τὰ ἐκείνων A. C. L.

Ἄρτι] *primum*, non in ipsa oratione, sed in mente oratoris. AUGER.

Καταλύω] Ἴσως· καταλύσω. COR.

Τριχῇ διείλοντο] Scil. Temenus (ut ait Coraes) Argos obtinebat, Messenem Cresphontes, et Patrocles atque Eurysthenes Lacedæmonem. cf. Plat. Leg. lib. iii. §. 5.

Τὰς χώρας ἀφείλοντο] Cf. Archid. §. ε΄. ς΄. LANG.

Οἱ τἀκείνων ἀκριβοῦντες] *rerum Laconicarum studiosi*. IDEM.

νων ἀκριβοῦντες ὡς οὐδένας ἄλλους τῶν Ἑλλήνων, περιγε-
νομένους δὲ τοὺς μεῖζον τοῦ πλήθους φρονοῦντας οὐδὲν τῶν
αὐτῶν βουλεύσασθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα
διαπεπραγμένοις· τοὺς μὲν γὰρ ἄλλους [1] συνοίκους ἔχειν [2] ἐν
τῇ πόλει τοὺς στασιάσαντας καὶ κοινωνοὺς [3] ἁπάντων πλὴν
τῶν ἀρχῶν [4] καὶ τῶν [5] τιμῶν· οὓς οὐκ εὖ φρονεῖν ἡγεῖσθαι
Σπαρτιατῶν τοὺς νοῦν ἔχοντας, εἰ νομίζουσιν ἀσφαλῶς
[6] πολιτεύεσθαι μετὰ τούτων οἰκοῦντες, περὶ οὓς τὰ μέγιστα
τυγχάνουσιν ἐξημαρτηκότες· αὐτοὺς δ' οὐδὲν τούτων ποιεῖν, c
ἀλλὰ παρὰ σφίσι μὲν αὐτοῖς ἰσονομίαν καταστῆσαι καὶ
δημοκρατίαν τοιαύτην, οἵαν περ χρὴ τοὺς μέλλοντας ἅπαντα
τὸν χρόνον ὁμονοήσειν, τὸν δὲ δῆμον περιοίκους ποιήσασθαι,
καταδουλωσαμένους αὐτῶν τὰς ψυχὰς οὐδὲν ἧττον ἢ τὰς
τῶν οἰκετῶν· ταῦτα δὲ πράξαντας τῆς χώρας, ἧς προσῆκεν
ἴσον ἔχειν ἕκαστον, αὐτοὺς μὲν λαβεῖν ὀλίγους ὄντας οὐ
μόνον τὴν ἀρίστην, ἀλλὰ καὶ τοσαύτην ὅσην οὐδένες τῶν
271 Ἑλλήνων ἔχουσι, τῷ δὲ πλήθει τηλικοῦτον ἀπονεῖμαι μέρος d
τῆς χειρίστης ὥστ' ἐπιπόνως ἐργαζομένους μόλις ἔχειν τὸ
καθ' ἡμέραν· μετὰ δὲ ταῦτα διελόντας τὸ πλῆθος αὐτῶν
ὡς οἷόν τ' ἦν εἰς [7] ἐλαχίστους εἰς τόπους κατοικίσαι μικροὺς
καὶ πολλούς, ὀνόμασι μὲν προσαγορευομένους ὡς πόλεις
οἰκοῦντας, τὴν δὲ δύναμιν ἔχοντας ἐλάττω τῶν δήμων τῶν
παρ' ἡμῖν· ἁπάντων δ' ἀποστερήσαντας αὐτοὺς ὧν [8] προσ-
ήκει μετέχειν τοὺς ἐλευθέρους, τοὺς πλείστους ἐπιθεῖναι τῶν e
κινδύνων αὐτοῖς· ἔν [9] τε γὰρ ταῖς στρατείαις, αἷς [10] ἡγεῖται
βασιλεύς, κατ' ἄνδρα [11] συμπαρατάττεσθαι σφίσιν αὐτοῖς,
ἐνίους δὲ καὶ τῆς πρώτης [12] τάττειν, ἐάν τέ [13] ποι [14] δεῆσαν

[1] ὁμολογοῦντας συνοίκους A. [2] ἐν om. A. C. L. [3] ὥσθ' ἁπάντων C. L. [4] τε καὶ A. [5] τιμῶν, οὐκ ἔχειν νοῦν οὐδ' εὖ A. τιμῶν, μετέχειν αὐτούς· οὓς οὐκ ἂν C. L. [6] πολιτεύσεσθαι A. [7] ἐλάχιστον τόπον A. C. L. [8] προσῆκε A. C. L. [9] τε om. A. C. L. [10] ἡγεῖτο A. C. L. [11] ἠνάγκαζον συμπαρατάττεσθαι A. C. L. [12] φάλαγγος ἡγοῦντο προτάττειν A. C. L. [13] που A. L. [14] ἐδέησεν A.

Τοὺς μεῖζον τ. π. φρονοῦντας] *multitudinem præ se contemnentes,* vel *majore quam plebs animo.* Idem.

Τοὺς μὲν γὰρ ἄλλους] Τοὺς τοιαῦτα διαπεπραγμένους. Cor.

Πολιτεύεσθαι] Ἄμεινον πολιτεύσεσθαι. Idem.

Ποιεῖν] Hunc etiam infinitivum et sequentes refer ad φασὶν p. 547. ult. Auger.

Συμπαρατάττεσθαι σφίσιν αὐτοῖς] *velut armigeri* aut *satellites esse.* Lang. Καθ' ἕκαστον Λακεδαιμόνιον στρατιώτην συμπαρατάττεσθαι ἕνα τῶν περιοίκων ἐν ὑπηρέτου μέρει. Cor.

Ἐάν τέ ποι δεῆσαν κ. τ. λ.] Ὁ νοῦς· Ἐάν τε, ὁπόταν ποι δέῃσῃ βοήθειαν ἐκπέμψαι, φοβηθῶσιν αὐτοὶ ἰέναι διὰ τοὺς πόνους ἢ διὰ τοὺς κινδύνους ἢ διὰ τὸ πλῆθος τοῦ χρόνου, ἀπέστελλον τοὺς περιοίκους. Τούτων δὲ τῶν περιοίκων ἐξαίρετοι ἦσαν οἱ καλούμενοι Σκιρῖται

αὐτοὺς ἐκπέμψαι βοήθειαν [1] φοβηθῶσιν ἢ τοὺς πόνους ἢ τοὺς κινδύνους ἢ τὸ πλῆθος τοῦ χρόνου, τούτους ἀποστέλλειν [2] προκινδυνεύσοντας τῶν ἄλλων. καὶ τί δεῖ μακρολογεῖν [3] ἁπάσας διεξιόντα τὰς ὕβρεις τὰς περὶ τὸ πλῆθος γιγνο-
b μένας, ἀλλὰ μὴ τὸ μέγιστον εἰπόντα τῶν κακῶν ἀπαλλαγῆναι τῶν ἄλλων; τῶν γὰρ οὕτω μὲν ἐξ ἀρχῆς δεινὰ πεπονθότων, ἐν δὲ τοῖς παροῦσι καιροῖς χρησίμων ὄντων, ἔξεστι τοῖς Ἐφόροις [4] ἀκρίτους ἀποκτεῖναι τοσούτους, [5] ὁπόσους ἂν βουληθῶσιν· ἃ [6] τοῖς ἄλλοις Ἕλλησι οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν ὅσιόν ἐστι μιαιφονεῖν.

οδʹ. Τούτου δ᾽ ἕνεκα περὶ τῆς οἰκειότητος καὶ τῶν ἡμαρτημένων εἰς αὐτοὺς διὰ πλειόνων διῆλθον, ἵν᾽ ἔρωμαι τοὺς
c ἀποδεχομένους ἁπάσας τὰς Σπαρτιατῶν πράξεις, εἰ καὶ ταύτας ἀποδέχονται, καὶ τὰς μάχας [7] εὐσεβεῖς εἶναι νομίζουσι [8] καὶ καλὰς τὰς πρὸς τούτους γεγενημένας. ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλας μὲν αὐτὰς γεγενῆσθαι καὶ δεινὰς καὶ πολλῶν αἰτίας τοῖς μὲν ἡττηθεῖσι κακῶν τοῖς δὲ κατορθώσασι λημμάτων, ὧνπερ ἕνεκα πολεμοῦντες ἅπαντα τὸν χρόνον διατελοῦσιν, οὐ μὴν ὁσίας οὐδὲ καλὰς οὐδὲ πρεπούσας τοῖς ἀρετῆς ἀντιποιουμένοις, μὴ τῆς ἐπὶ τῶν τεχνῶν
d ὀνομαζομένης καὶ πολλῶν ἄλλων, ἀλλὰ τῆς τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν ἐν ταῖς ψυχαῖς μετ᾽ εὐσεβείας καὶ
δικαιοσύνης [9] ἐγγιγνομένης, περὶ ἧς ἅπας ὁ λόγος ἐστίν. ἧς 272
ὀλιγωροῦντές τινες ἐγκωμιάζουσι τοὺς πλείω τῶν ἄλλων ἡμαρτηκότας, καὶ οὐκ αἰσθάνονται τὰς διανοίας ἐπιδεικνύντες τὰς σφετέρας αὐτῶν, ὅτι κἀκείνους ἂν ἐπαινέσειαν

[1] ἵνα βοηθῶσιν A. L. [2] ἤθελον προκινδ. A. C. L. [3] πάσας A. C. L. [4] ἀκρίτως A. C. L. [5] ὅσους A. C. L. [6] τοῖς Ἕλλησι τοῖς ἄλλοις A. C. L. [7] εὐσεβεῖς om. A. C. L. [8] καὶ om. A. C. L. [9] γιγνομένης A. C. L.

ἢ Σκειρῖται ἢ Σκιρίτης λόχος ἀπὸ Σκίρου πόλεως Ἀρκαδικῆς, οἷς ἐχρῶντο Λακεδαιμόνιοι, οὐδὲν (ὥς φησιν ὁ Ξενοφῶν Κυρ. παιδ. Δ. βʹ. 1.) φειδόμενοι αὐτῶν οὔτ᾽ ἐν πόνοις οὔτ᾽ ἐν κινδύνοις. Idem.

Παροῦσι καιροῖς] *opportuno tempore.* Lang.

Ἃ τοῖς ἄλλοις Ἑλλ.] ἃ Wolf. explicat καθ᾽ ὅν τινα τρόπον. Idem. Totum hunc locum explica: ἃ ποιῆσαι οὐκ ἔστιν ὅσιον τοῖς ἄλλοις Ἕλλησι, οὐχ ὅσιόν ἐστι οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν μιαιφονεῖν. Auger.

Μιαιφονεῖν] *trucidare.* Post μιαιφονεῖν Auger. plura de bellis Lacedæmoniorum cum Messeniis et Argivis deesse putat justis de causis, quas ille in disputatione brevi, secundo volumini adjectæ fusius exposuit. Lang.

Οἰκειότητος] Pro οἰκειότητος, scil. τῶν Σπαρτιατῶν πρὸς τοὺς περιοίκους αὐτῶν, Wolf. mavult ὠμότητος, quod Auger. ideo non recepit, quod οἰκειότητος optime videtur jungi posse cum iis quod desint. Idem.

Ἐπὶ τῶν τεχνῶν] *ex artibus,* i. e. ut Wolf. explicat, ex fortitudine, dexteritate in certaminibus, etc. Idem.

τοὺς πλείω μὲν κεκτημένους τῶν ἱκανῶν, ἀποκτεῖναι δ' ἂν
τολμήσαντας τοὺς ἀδελφοὺς τοὺς αὑτῶν καὶ τοὺς ἑταίρους
καὶ τοὺς κοινωνοὺς ὥστε καὶ τἀκείνων λαβεῖν· ὅμοια γὰρ e
τὰ τοιαῦτα τῶν ἔργων ἐστὶ τοῖς ὑπὸ Σπαρτιατῶν πεπρα-
γμένοις, ἃ τοὺς ἀποδεχομένους ἀναγκαῖόν ἐστι [1] καὶ περὶ
τῶν εἰρημένων ἄρτι τὴν αὐτὴν γνώμην ἔχειν.

οε'. Θαυμάζω δ' εἴ τινες τὰς μάχας καὶ τὰς νίκας τὰς 272
παρὰ τὸ δίκαιον [2] γιγνομένας μὴ νομίζουσιν αἰσχίους εἶναι
καὶ πλειόνων ὀνειδῶν μεστὰς ἢ τὰς ἥττας τὰς ἄνευ κακίας
συμβαινούσας, καὶ ταῦτ' εἰδότες, ὅτι μεγάλαι δυνάμεις
πονηραὶ δὲ πολλάκις γίγνονται κρείττους ἀνδρῶν σπουδαίων
καὶ κινδυνεύειν ὑπὲρ τῆς πατρίδος προαιρουμένων. οὓς πολὺ
ἂν [3] δικαιότερον ἐπαινοῖμεν ἢ τοὺς περὶ τῶν ἀλλοτρίων ἑτοί-
μως [4] ἀποθνήσκειν ἐθέλοντας καὶ τοῖς ξενικοῖς στρατεύμα- b
σιν ὁμοίους ὄντας· ταῦτα μὲν γάρ ἐστιν ἔργα πονηρῶν ἀν-
θρώπων, τὸ δὲ τοὺς χρηστοὺς ἐνίοτε χεῖρον ἀγωνίζεσθαι
τῶν ἀδικεῖν βουλομένων θεῶν ἄν τις ἀμέλειαν εἶναι [5] φήσειεν.
ἔχοιμι δ' ἂν τῷ λόγῳ τούτῳ [6] χρήσασθαι καὶ περὶ τῆς συμ-
φορᾶς τῆς Σπαρτιάταις ἐν Θερμοπύλαις [7] γενομένης, ἣν
ἅπαντες ὅσοιπερ ἀκηκόασιν ἐπαινοῦσι καὶ θαυμάζουσι
μᾶλλον ἢ τὰς μάχας καὶ τὰς νίκας τὰς κρατησάσας μὲν
τῶν ἐναντίων, πρὸς οὓς δ' οὐκ ἐχρῆν γεγενημένας· ἃς εὐλο- c
γεῖν τινὲς τολμῶσι, κακῶς εἰδότες ὡς οὐδὲν οὔθ' ὅσιον οὔτε
καλόν ἐστι [8] τῶν μὴ μετὰ δικαιοσύνης καὶ [9] λεγομένων καὶ
πραττομένων. ὧν Σπαρτιάταις μὲν οὐδὲν πώποτ' ἐμέλησε·
βλέπουσι γὰρ εἰς οὐδὲν ἄλλο πλὴν ὅπως [10] ὡς πλεῖστα τῶν
ἀλλοτρίων κατασχήσουσιν.

ος'. Οἱ δ' ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδα-
ζον, ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· ἡγοῦντο γὰρ οὐ- d
δεμίαν ἂν γενέσθαι κρίσιν [11] οὔτ' ἀληθεστέραν [12] οὔτε δι-
273 καιοτέραν τῆς ὑπὸ παντὸς τοῦ γένους γνωσθείσης. δῆλοι δ'
ἦσαν οὕτως ἔχοντες ἔν τε τοῖς ἄλλοις οἷς διῴκουν τὴν πόλιν

[1] καὶ om. A. L. [2] γενομένας A. C. L. [3] δικαιότερον ἂν ἐπαινοίημεν A. C. L.
[4] ἀποθνήσκειν ἑτοίμως A. C. L. [5] φήσαιεν A. L. [6] χρῆσθαι A. C. L.
[7] γεγενημένης A. C. L. [8] τὸ A. C. L. [9] λεγόμενον καὶ πραττόμενον A. C. L.
[10] ὡς om. A. C. L. [11] οὔτ' om. A. C. L. [12] οὐδὲ A. C. L.

Ὑπὸ παντὸς τοῦ γένους] *a toto genere*, i.e. ὑπὸ πάντων τῶν ὁμοφύλων, *ab omnibus*

καὶ τοῖς [1] μεγίστοις τῶν πραγμάτων. τριῶν γὰρ πολέμων γενομένων ἄνευ τοῦ Τρωϊκοῦ τοῖς Ἕλλησι πρὸς τοὺς βαρβάρους, ἐν ἅπασι τούτοις πρωτεύουσαν αὐτὴν παρέσχον. ὧν εἷς μὲν ἦν ὁ πρὸς Ξέρξην, ἐν ᾧ πλέον διήνεγκαν Λακεδαιμο-
e νίων ἐν ἅπασι τοῖς κινδύνοις ἢ 'κεῖνοι τῶν ἄλλων· δεύτερος δὲ ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν, εἰς ὃν Δωριέων μὲν οὐδεὶς ἦλθε συμπολεμήσων, ἡ δὲ πόλις ἡμῶν ἡγεμὼν κατα-
273 στᾶσα τῶν οὐκ εὐπορούντων καὶ τῶν ἄλλων [2] τῶν βουλομένων τοσοῦτον τὰ πράγματα μετέστησεν, ὥστ' εἰθισμένων τῶν βαρβάρων [3] τὸν ἄλλον χρόνον τὰς μεγίστας πόλεις τῶν Ἑλληνίδων καταλαμβάνειν ἐποίησε τοὺς Ἕλληνας, ἃ πρότερον ἔπασχον, ταῦτα δύνασθαι ποιεῖν.

οζ'. Περὶ μὲν οὖν τοῖν δυοῖν πολέμοιν ἐν τοῖς ἔμπροσθεν ἱκανῶς [4] εἰρήκαμεν, περὶ δὲ τοῦ τρίτου ποιήσομαι τοὺς λόγους, ὃς ἐγένετο τῶν μὲν Ἑλληνίδων πόλεων ἄρτι κατῳ-
b κισμένων, τῆς δὲ ἡμετέρας ἔτι βασιλευομένης. ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι καὶ κίνδυνοι μέγιστοι [5] συνέπεσον, οὓς ἅπαντας μὲν οὔθ' [6] εὑρεῖν οὔτ' εἰπεῖν ἂν δυνηθείην, παραλιπὼν δὲ τὸν πλεῖστον ὄχλον τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων ῥηθῆναι δὲ νῦν οὐ κατεπειγόντων, ὡς ἂν δύνωμαι συντομώτατα πειράσομαι δηλῶσαι τούς τ' ἐπιστρατεύσαντας τῇ πόλει καὶ τὰς μάχας τὰς ἀξίας μνημονευθῆναι [7] [καὶ ῥηθῆναι] καὶ τοὺς ἡγεμόνας αὐτῶν, ἔτι δὲ τὰς
c προφάσεις ἃς ἔλεγον καὶ τὴν δύναμιν τῶν γενῶν τῶν συνακολουθησάντων αὐτοῖς· ἱκανὰ γὰρ ἔσται ταῦτ' εἰπεῖν πρὸς [8] οἷς περὶ τῶν ἐναντίων εἰρήκαμεν.

οη'. Θρᾷκες μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος [9] εἰσέβαλον εἰς τὴν χώραν ἡμῶν, ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως, φάσκων [10] Ποσειδῶ πρότερον Ἀθηνᾶς καταλα-

[1] περὶ τῶν κοινῶν πραγμ. A. C. L. [2] τῶν om. A. L. [3] τὸν ἄλλον χρόνον om. A. C. L.
[4] ἡμῖν εἴρηται A. C. L. [5] συνέβησαν A. C. L.
[6] ἂν εὑρεῖν οὔτ' ἂν εἰπεῖν δυν. A. C. L.
[7] καὶ τοὺς ἡγεμόνας αὐτῶν τοὺς ῥηθῆναι ἀξίους A. L. καὶ [ῥηθῆναι] τοὺς ἡγεμόνας ἡμῶν C.
[8] ἃ A. C. L. [9] ἐνέβαλον A. C. L. [10] Ποσειδῶνα A. L.

Græcis. Wolf.

Ἢ 'κεῖνοι τῶν ἄλλων] *quanto Lacedæmonii aliis præstiterunt.* Lang.

Τοῖν δυοῖν πολεμοῖν] Nimirum de illis contra Xerxem et barbaricas gentes Græciam antea incolentes gestis. Vid. §. ιϛ'. ιζ. Idem.

Ἐφ' ὧν] Sub. χρόνων. Auger. Ἄμεινον προσυπακούειν τὸ βασιλέων, περιεχόμενον δυνάμει ἐν τῷ προηγησαμένῳ βασιλευομένης, ὅπερ ἀναλύεται εἰς τὸ ὑπὸ βασιλέων διοικουμένης. Cor.

Περὶ τῶν ἐναντίων] *de Lacedæmoniis, Atheniensium æmulis.* Lang.

Θρᾷκες μὲν γὰρ etc.] Cf. Paneg. §. ιθ'. Idem.

βεῖν αὐτήν. Σκύθαι δὲ μετ' Ἀμαζόνων, τῶν ἐξ Ἄρεως
274 [1] γενομένων, αἳ τὴν στρατείαν [2] ἐφ' Ἱππολύτην [3] ἐποιήσαντο d
τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κειμένους,
ἐρασθεῖσάν τε Θησέως καὶ συνακολουθήσασαν ἐκεῖθεν καὶ
συνοικήσασαν αὐτῷ· Πελοποννήσιοι δὲ μετ' Εὐρυσθέως, ὃς
Ἡρακλεῖ μὲν οὐκ ἔδωκε δίκην ὧν [4] ἡμάρτανεν εἰς αὐτὸν,
στρατεύσας δ' ἐπὶ τοὺς ἡμετέρους προγόνους ὡς ἐκληψόμε-
νος [5] βίᾳ τοὺς ἐκείνου παῖδας — παρ' ἡμῖν γὰρ ἦσαν κα-
ταπεφευγότες — ἔπαθεν ἃ προσῆκεν αὐτόν· τοσούτου γὰρ e
ἐδέησε [6] κύριος γενέσθαι τῶν ἱκετῶν, ὥστε ἡττηθεὶς μάχῃ
καὶ ζωγρηθεὶς ὑπὸ τῶν ἡμετέρων, αὐτὸς ἱκέτης γενόμενος
τούτων οὓς [7] ἐξαιτῶν ἦλθε τὸν βίον ἐτελεύτησε. μετὰ δὲ
[8] τοῦτον οἱ πεμφθέντες ὑπὸ Δαρείου τὴν Ἑλλάδα πορθή-
σοντες, ἀποβάντες [9] εἰς Μαραθῶνα, πλείοσι κακοῖς καὶ 274
μείζοσι συμφοραῖς περιπεσόντες ὧν ἤλπισαν τὴν πόλιν
ἡμῶν ποιήσειν, ᾤχοντο φεύγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος.

οθ'. Τούτους δ' ἅπαντας οὓς διῆλθον, οὐ μετ' ἀλλήλων
εἰσβαλόντας οὐδὲ κατὰ τοὺς αὐτοὺς χρόνους, ἀλλ' ὡς οἵ τε
καιροὶ καὶ τὸ συμφέρον ἑκάστοις καὶ τὸ [10] βούλεσθαι συνέ-
πιπτε, μάχῃ νικήσαντες καὶ τῆς ὕβρεως παύσαντες, οὐκ b
ἐξέστησαν αὐτῶν τηλικαῦτα διαπραξάμενοι τὸ μέγεθος,
οὐδ' ἔπαθον ταὐτὸν τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως
βουλεύσασθαι καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς
κτησαμένοις, διὰ δὲ τὰς ὑπερβολὰς τὰς τούτων ὑπερηφά-
νοις γενομένοις καὶ τὴν φρόνησιν διαφθαρεῖσι καὶ κατενε-
χθεῖσιν εἰς χείρω πράγματα καὶ ταπεινότερα τῶν πρότε-
ρον αὐτοῖς ὑπαρχόντων, ἀλλὰ [11] πάντα τὰ τοιαῦτα διαφυ-
γόντες ἐνέμειναν τοῖς ἤθεσιν οἷς εἶχον διὰ τὸ πολιτεύεσθαι c
καλῶς, [12] μεῖζον φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς ἕξει καὶ ταῖς
διανοίαις ταῖς αὐτῶν ἢ ταῖς μάχαις ταῖς γεγενημέναις, καὶ
[13] μᾶλλον ὑπὸ τῶν ἄλλων [14] θαυμαζόμενοι διὰ τὴν καρτερίαν
ταύτην καὶ σωφροσύνην ἢ διὰ τὴν ἀνδρίαν τὴν ἐν τοῖς κινδύ-

[1] γενέσθαι λεγομένων A. C. L. [2] ἐπ' Ἀντιώπην τὴν Ἱππολύτης A. C. L. [3] ἐποίησαν A. C. L. [4] ἥμαρτεν A. C. L. [5] βίᾳ om. A. C. L. [6] γράψας κύριος A. L. πράξας κύριος C. [7] ἐξαιτήσων A. C. L. [8] τούτων L. [9] ἐπὶ Μαραθῶνι A. C. L. [10] συμβουλεύσασθαι A. C. L. [11] ταῦτα πάντα διαφ A.C. L. [12] μείζω A. C. L. [13] [τῷ] μᾶλλον C. [14] θαυμάζεσθαι C. L.

Πελοποννήσιοι δὲ] Cf. Paneg. §. ιε'. Idem. Cor.
Μετὰ δὲ τοῦτον] Μετὰ τὸν Εὐρυσθέα. Ὑπὸ Δαρείου] Cf. Paneg. §. κ'. Lang.

νοις αὐτοῖς παραγενομένην· ἑώρων γὰρ [1]πάντες τὴν μὲν
εὐψυχίαν τὴν πολεμικὴν πολλοὺς ἔχοντας καὶ τῶν ταῖς
d [2]κακουργίαις ὑπερβαλλόντων, τῆς δὲ χρησίμης ἐπὶ πᾶσι
καὶ πάντας δυναμένης ὠφελεῖν οὐ κοινωνοῦντας τοὺς πονη- 275
ροὺς, ἀλλὰ μόνοις ἐγγιγνομένην τοῖς καλῶς γεγονόσι καὶ
τεθραμμένοις καὶ πεπαιδευμένοις, ἅπερ προσῆν τοῖς τότε
τὴν πόλιν διοικοῦσι καὶ τῶν [3]εἰρημένων ἀγαθῶν ἁπάντων
αἰτίοις καταστᾶσι.

π΄. Τοὺς μὲν οὖν ἄλλους ὁρῶ περὶ τὰ μέγιστα τῶν ἔργων
καὶ μάλιστα μνημονευθησόμενα τοὺς λόγους καταλύοντας,
e ἐγὼ δὲ σωφρονεῖν μὲν νομίζω τοὺς ταῦτα γιγνώσκοντας καὶ
πράττοντας, οὐ μὴν συμβαίνει μοι ταὐτὸ ποιεῖν ἐκείνοις,
ἀλλ᾽ ἔτι λέγειν ἀναγκάζομαι. τὴν δ᾽ αἰτίαν, δι᾽ [4]ἣν,
[5]ὀλίγον ὕστερον ἐρῶ, μικρὰ πάνυ [6]προδιαλεχθείς.

πα΄. Ἐπηνώρθουν μὲν γὰρ τὸν λόγον τὸν μέχρι τῶν
ἀναγνωσθέντων γεγραμμένον μετὰ μειρακίων τριῶν ἢ τετ-
275 τάρων τῶν εἰθισμένων μοι συνδιατρίβειν· ἐπειδὴ δὲ διεξιοῦ-
σιν ἡμῖν ἐδόκει καλῶς ἔχειν καὶ προσδεῖσθαι τελευτῆς
μόνον, ἔδοξέ μοι μεταπέμψασθαί τινα τῶν ἐμοὶ μὲν πεπλη-
σιακότων, ἐν ὀλιγαρχίᾳ δὲ πεπολιτευμένων, προῃρημένων δὲ
Λακεδαιμονίους ἐπαινεῖν, ἵν᾽, εἴ τι παρέλαθεν ἡμᾶς [7]ψεῦ-
δος εἰρημένον, ἐκεῖνος κατιδὼν δηλώσειεν ἡμῖν. ἐλθὼν δὲ ὁ
κληθεὶς καὶ διαναγνοὺς τὸν λόγον — τὰ γὰρ μεταξὺ τί
δεῖ λέγοντα διατρίβειν; — ἐδυσχέρανε μὲν [8]ἐπ᾽ οὐδενὶ τῶν
b γεγραμμένων, ἐπῄνεσε δ᾽ ὡς δυνατὸν μάλιστα, καὶ διελέχθη
περὶ ἑκάστου τῶν μερῶν παραπλησίως οἷς ἡμεῖς ἐγιγνώ-
σκομεν· οὐ μὴν ἀλλὰ φανερὸς ἦν οὐχ ἡδέως ἔχων ἐπὶ τοῖς
περὶ Λακεδαιμονίων εἰρημένοις. ἐδήλωσε δὲ διὰ ταχέων·
ἐτόλμησε γὰρ εἰπεῖν, ὡς εἰ καὶ μηδὲν ἄλλο πεποιήκασι
τοὺς Ἕλληνας ἀγαθὸν, ἀλλ᾽ οὖν [9]ἐκείνου γε δικαίως ἂν

[1] ἅπαντες A. C. L. [2] κακίαις A. C. L. [3] προειρημένων A. C. L.
[4] ἣν ποιῶ A. L. [5] ὀλίγον om. A. C. L. [6] περὶ αὐτῶν διαλεχθεὶς A. C. L.
[7] ψευδῶς A. C. L. [8] ἐπ᾽ om. A. C. L. [9] ἐκεῖνό γε οὗ A. ἐκεῖνό γε L.

Παραγενομένην] Ἴσως· παραγιγνομένην. Cor.

Τῆς δὲ χρησίμης] Aut deest σωφροσύνης aut subintelligendum. Wolf. Auger. Scil. εὐψυχίας, i. e. prudentiæ. Lang. Cum Langio facit Coraes.

Ἀλλὰ μόνοις] Post ἀλλὰ subaudi ταύτην. Auger.

Μνημονευθησόμενα] Ἄξια τοῦ μνημονευθῆναι, ὧν χρὴ ἢ προσήκει μνείαν ποιεῖσθαι. Cor.

Δι᾽ ἣν] Scil. ἀναγκάζομαι.

Ἐκεῖνό γε] Scribendum puto ἐκεῖνό γε οὗ. H. Stephan. F. δι᾽ ἐκεῖνό γε, ut §. πε΄. legitur. Retberg. F. ἐκείνου γε. Lang. Scil. ἕνεκα.

αὐτοῖς ἅπαντες χάριν ἔχοιεν, ὅτι τὰ κάλλιστα τῶν ἐπιτη-
δευμάτων εὑρόντες αὐτοί [1] τε χρῶνται καὶ τοῖς ἄλλοις c
κατέδειξαν.

πβʹ. Τοῦτο δὲ ῥηθὲν οὕτω βραχὺ καὶ μικρὸν αἴτιον ἐγέ-
νετο τοῦ μήτε καταλῦσαί με τὸν λόγον ἐφ' [2] ὧν ἐβουλήθην,
ὑπολαβεῖν θ' ὡς αἰσχρὸν ποιήσω καὶ δεινὸν, εἰ παρὼν περιό-
ψομαί τινα τῶν ἐμοὶ πεπλησιακότων πονηροῖς λόγοις χρώ-
μενον. ταῦτα δὲ διανοηθεὶς ἠρόμην αὐτὸν εἰ μηδὲν φροντίζει
276 τῶν παρόντων, μηδ' αἰσχύνεται λόγον εἰρηκὼς ἀσεβῆ καὶ
ψευδῆ καὶ πολλῶν ἐναντιώσεων μεστόν; Γνώσῃ δ' ὡς d
ἔστι τοιοῦτος, ἢν ἐρωτήσῃς τινὰς τῶν εὖ φρο-
νούντων [3] ποῖα τῶν ἐπιτηδευμάτων [4] κάλλιστα
νομίζουσιν εἶναι; καὶ μετὰ ταῦτα πόσος χρό-
νος ἐστὶν ἐξ οὗ Σπαρτιᾶται τυγχάνουσιν ἐν
Πελοποννήσῳ κατοικοῦντες; οὐδεὶς γὰρ ὅστις
[5] οὐ τῶν μὲν ἐπιτηδευμάτων προκρινεῖ τὴν εὐσέ-
βειαν τὴν περὶ τοὺς θεοὺς καὶ τὴν δικαιοσύνην
τὴν περὶ τοὺς ἀνθρώπους καὶ τὴν φρόνησιν τὴν
περὶ τὰς ἄλλας πράξεις, Σπαρτιάτας δὲ ἐν-
ταῦθα κατοικεῖν οὐ πλείω φήσουσιν ἐτῶν ἑπτα- e
κοσίων. τούτων δὲ οὕτως ἐχόντων, εἰ μὲν σὺ
τυγχάνεις ἀληθῆ λέγων τούτους φάσκων εὑρε-
τὰς γεγενῆσθαι τῶν καλλίστων ἐπιτηδευμά-
των, ἀναγκαῖόν ἐστι τοὺς πολλαῖς γενεαῖς
πρότερον γεγονότας, πρὶν Σπαρτιάτας ἐνταῦθα
κατοικῆσαι, μὴ μετέχειν αὐτῶν μήτε τοὺς ἐπὶ 276
Τροίαν στρατευσαμένους μήτε τοὺς περὶ Ἡρα-
κλέα καὶ Θησέα γεγονότας μήτε Μίνω τὸν Διὸς
μήτε Ῥαδάμανθυν μήτ' Αἰακὸν μήτε τῶν ἄλ-
λων μηδένα τῶν [6] ὑμνουμένων ἐπὶ ταῖς ἀρεταῖς
ταύταις, ἀλλὰ ψευδῆ τὴν δόξαν ταύτην ἅπαν-
τας ἔχειν· εἰ δὲ σὺ μὲν φλυαρῶν τυγχάνεις,

[1] τ' ἐχρῶντο A. C. L. [2] οἷς A. [3] ὁποῖα A. C. L.
[4] κάλλιστ' ἂν νομίζωσιν A. L. [5] οὐχὶ τῶν ἐπιτ. A. C. L. [6] νῦν ὑμνουμένων A. C. L.

Ἐτῶν ἑπτακοσίων] Numerus rotundus pro definito 764. incipiens a reditu Heraclidarum ad annum 339. ante Chr., quo tempore hæc oratio scripta est, quum Isocrates, 436. ante Chr. natus, nonaginta et septem annos habebat. Vid. §. αʹ. collat. cum §. ρδʹ. Lang. Ὀκτακοσίων conjicit Coraes.

προσήκει δὲ [1]τοὺς ἀπὸ θεῶν γεγονότας καὶ
b [2]χρῆσθαι ταύταις μᾶλλον τῶν ἄλλων καὶ καταδεῖξαι τοῖς [3]ἐπιγιγνομένοις, οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς [4]ἀκούσασιν, οὕτως εἰκῇ καὶ παρανόμως οὓς ἂν τύχῃς ἐπαινῶν. [5]ἔπειτ' εἰ μὲν εὐλόγεις αὐτοὺς οὐδὲν ἀκηκοὼς τῶν ἐμῶν, ἐλήρεις [6]μὲν ἄν, οὐ μὴν ἐναντία γε λέγων ἐφαίνου σαυτῷ· νῦν δ' [7]ἐπῃνεκότι [8]σοι τὸν ἐμὸν λόγον, τὸν ἐπιδεικνύντα πολλὰ καὶ δεινὰ Λακεδαιμονίους περί τε τοὺς συγγενεῖς τοὺς αὑτῶν καὶ περὶ τοὺς ἄλλους Ἕλληνας
c διαπεπραγμένους, πῶς οἷόν τ' ἦν ἔτι σοι λέγειν τοὺς ἐνόχους ὄντας τούτοις, ὡς τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνες γεγόνασι;

πγ'. Πρὸς δὲ τούτοις κἀκεῖνό [9]σε λέληθεν ὅτι τὰ παραλελειμμένα τῶν ἐπιτηδευμάτων καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐχ οἱ τυχόντες εὑρίσκουσιν, ἀλλ' οἱ τάς τε φύσεις 277
διαφέροντες καὶ μαθεῖν πλεῖστα τῶν πρότε-
d ρον εὑρημένων δυνηθέντες καὶ προσέχειν τὸν νοῦν τῷ ζητεῖν μᾶλλον τῶν ἄλλων ἐθελήσαντες. ὧν Λακεδαιμόνιοι [10]πλέον ἀπέχουσι τῶν βαρβάρων· οἱ μὲν γὰρ ἂν φανεῖεν πολλῶν εὑρημάτων καὶ μαθηταὶ καὶ διδάσκαλοι γεγονότες, οὗτοι δὲ τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσὶν ὥστ' οὐδὲ γράμματα μανθάνουσιν, ἃ τηλικαύτην ἔχει δύναμιν ὥστε τοὺς ἐπισταμένους [11]καὶ χρωμένους αὐτοῖς μὴ μόνον ἐμπείρους γίγνεσθαι τῶν ἐπὶ
e τῆς ἡλικίας τῆς αὑτῶν πραχθέντων ἀλλὰ καὶ τῶν πώποτε γενομένων. ἀλλ' ὅμως σὺ καὶ τοὺς τῶν τοιούτων ἀμαθεῖς ὄντας ἐτόλμησας εἰπεῖν ὡς εὑρεταὶ τῶν καλλίστων [12]ἐπιτηδευμάτων γεγόνασι, καὶ ταῦτ' εἰδὼς ὅτι τοὺς παῖδας

[1] καὶ τοὺς A. L. [2] κεχρῆσθαι A. C. L. [3] ἐπιγενομένοις C.
[4] ἀκούουσιν A. C. L. [5] οὓς δὲ ἐπιτιμᾶν δέον, εὐλογῶν αὐτοὺς ὡς μηδὲν ἀκηκοὼς A. C. L.
[6] μὲν γὰρ καὶ πρὶν ἂν A. C. L. [7] ἐπῃνηκότι A. C. L. [8] μοι L. om. A. C.
[9] ἐθαύμαζον, εἰ λέληθεν αὐτὸν, ὅτι A. C. L. [10] πλεῖστον A. C. L.
[11] αὐτὰ καὶ χρωμένους ὀρθῶς αὐτοῖς A. C. L. [12] παιδευμάτων A. C. L.

τοὺς αὑτῶν ἐθίζουσι περὶ τοιαύτας πραγματείας διατρίβειν, ἐξ ὧν ἐλπίζουσιν αὐτοὺς οὐκ 277
εὐεργέτας [1] γενήσεσθαι τῶν ἄλλων, ἀλλὰ κακῶς ποιεῖν μάλιστα δυνήσεσθαι τοὺς Ἕλληνας.

πδ΄. [2] Ἃς [3] πάσας μὲν διεξιὼν πολὺν ὄχλον ἐμαυτῷ τ᾽ ἂν παράσχοιμι καὶ τοῖς ἀκούουσι, μίαν δὲ μόνον εἰπών, ἣν ἀγαπῶσι καὶ περὶ ἣν μάλιστα σπουδάζουσιν, οἶμαι δηλώσειν ἅπαντα τὸν τρόπον αὐτῶν. ἐκεῖνοι γὰρ καθ᾽ ἑκάστην [4] τὴν ἡμέραν εὐθὺς ἐξ εὐνῆς [5] ἐκπέμπουσι τοὺς παῖδας, μεθ᾽ ὧν ἂν ἕκαστοι βουληθῶσι, λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ᾽ ἐπὶ [6] κλοπείαν τῶν ἐν τοῖς ἀγροῖς b
κατοικούντων· ἐν ᾗ συμβαίνει τοὺς μὲν ληφθέντας ἀργύριον ἀποτίνειν καὶ πληγὰς λαμβάνειν, τοὺς δὲ πλεῖστα κακουργήσαντας καὶ [7] λαθεῖν δυνηθέντας ἔν τε τοῖς παισὶν εὐδοκιμεῖν μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ᾽ εἰς ἄνδρας συντελῶσιν, ἢν ἐμμείνωσι τοῖς ἤθεσιν οἷς παῖδες ὄντες ἐμελέτησαν, ἐγγὺς εἶναι [8] τῶν μεγίστων ἀρχῶν. καὶ ταύτης ἤν τις ἐπιδείξῃ παιδείαν μᾶλλον ἀγαπωμένην ἢ σπουδαιοτέραν παρ᾽ αὐτοῖς εἶναι c
νομιζομένην, ὁμολογῶ μηδὲν [9] ἀληθὲς εἰρηκέναι μηδὲ περὶ ἑνὸς πώποτε πράγματος. καίτοι τί τῶν τοιούτων ἔργων καλόν ἐστιν ἢ σεμνόν, ἀλλ᾽ οὐκ αἰσχύνης ἄξιον; πῶς δ᾽ οὐκ ἀνοήτους χρὴ νομίζειν τοὺς ἐπαινοῦντας τοὺς τοσοῦτον τῶν
278 νόμων τῶν κοινῶν ἐξεστηκότας καὶ μηδὲν τῶν αὐτῶν μήτε τοῖς Ἕλλησι μήτε τοῖς βαρβάροις γιγνώσκοντας; οἱ μὲν γὰρ [10] ἄλλοι τοὺς κακουργοῦντας καὶ κλέπτοντας [11] πονηροτάτους τῶν οἰκετῶν νομίζουσιν, ἐκεῖνοι δὲ [12] τοὺς ἐν τοῖς τοιού- d
τοις τῶν ἔργων πρωτεύοντας βελτίστους εἶναι τῶν παίδων ὑπολαμβάνουσι καὶ μάλιστα τι-

[1] γενῆσθαι L. [2] Καὶ A. L. [3] ἁπάσας A. C. L. [4] τὴν om. A. C. L. [5] προπέμπουσι A. C. L. [6] κλοπίαν A. C. L. [7] λαβεῖν A. L. [8] τῶν ἀρχῶν τῶν μεγίστων A. C. L. [9] ἀληθὲς om. A. C. L. [10] ἄλλοι om. A. C. L. [11] πονηροτέρους A. C. L. [12] τοὺς τοιούτων A. L.

Ἃς πάσας] Scil. πραγματείας. Lang.

μῶσι. καίτοι τίς ἂν τῶν εὖ φρονούντων οὐκ ἂν
[1]τρὶς ἀποθανεῖν ἕλοιτο μᾶλλον ἢ διὰ τοιούτων
ἐπιτηδευμάτων γνωσθῆναι τὴν ἄσκησιν τῆς
ἀρετῆς ποιούμενος;

πέ. Ταῦτ᾽ ἀκούσας θρασέως μὲν οὐδὲ πρὸς ἓν ἀντεῖπε
τῶν εἰρημένων, οὐδ᾽ αὖ παντάπασιν ἀπεσιώπησεν, ἀλλ᾽
ἔλεγεν ὅτι Σὺ μὲν πεποίησαι τοὺς λόγους (ἐμὲ
e λέγων) ὡς [2]ἅπαντ᾽ ἀποδεχομένου μου [3]τἀκεῖ
καὶ καλῶς ἔχειν νομίζοντος· ἐμοὶ δὲ δοκεῖς
[4]περὶ μὲν τῆς τῶν παίδων αὐτονομίας καὶ περὶ
ἄλλων πολλῶν εἰκότως ἐπιτιμᾶν ἐκείνοις, ἐμοῦ
δ᾽ οὐ δικαίως κατηγορεῖν. ἐγὼ γὰρ ἐλυπήθην
278 μὲν τὸν λόγον ἀναγιγνώσκων ἐπὶ τοῖς περὶ
Λακεδαιμονίων εἰρημένοις, οὐ μὴν οὕτως ὡς
ἐπὶ τῷ μηδὲν ἀντειπεῖν ὑπὲρ αὐτῶν δύνασθαι
τοῖς γεγραμμένοις, εἰθισμένος τὸν ἄλλον χρό-
νον αὐτοὺς ἐπαινεῖν. εἰς τοιαύτην δ᾽ ἀπορίαν
καταστὰς εἶπον ὅπερ ἦν λοιπὸν, ὡς, εἰ καὶ
μηδὲν δι᾽ ἄλλο, διά γ᾽ ἐκεῖνο δικαίως ἂν αὐτοῖς
ἅπαντες χάριν ἔχοιμεν, ὅτι τοῖς καλλίστοις
τῶν ἐπιτηδευμάτων χρώμενοι [5]τυγχάνουσιν.
b ταῦτα δ᾽ εἶπον οὐ πρὸς τὴν εὐσέβειαν οὐδὲ πρὸς
τὴν φρόνησιν ἀποβλέψας, ἃ σὺ διῆλθες, ἀλλὰ
πρὸς τὰ γυμνάσια τἀκεῖ καθεστῶτα καὶ πρὸς
τὴν ἄσκησιν τῆς ἀνδρίας καὶ [6]τὴν ὁμόνοιαν καὶ
[7]συνόλως [8]τὴν περὶ τὸν πόλεμον [9]ἐπιμέλειαν,
ἅπερ ἅπαντες [10]ἂν εἴποιεν, καὶ μάλιστα ἂν
αὐτοῖς ἐκείνους χρῆσθαι [11]φήσειαν.

πς΄. Ταῦτα δ᾽ αὐτοῦ [12]διαλεχθέντος ἀπεδεξάμην μὲν,
οὐχ ὡς [13]διαλυόμενόν τι τῶν κατηγορημένων, ἀλλ᾽ ὡς ἀπο-

[1] τρὶς om. A. C. L. [2] ἂν ἅπαντ᾽ A. C. L. [3] τἀκείνων A. C. L.
[4] ὑπὲρ τῆς τῶν παίδων μὲν A. C. L. [5] τυγχάνοιεν A. C. L. [6] πρὸς τὴν A. C. L.
[7] τὸ σύνολον A. C. L. [8] τῆς C. [9] ἐπιμελείας C.
[10] εἶναι μέγιστα ἂν εἴποιεν A. ἂν ἐπαινοῖεν C. [11] φήσαιεν A. C. L.
[12] μοι διαλεχθέντος A. C. L. [13] ἀπολυόμενον A. C. L.

Οὐδὲ πρὸς ἓν] Ἀντὶ τοῦ κοινοτέρου πρὸς οὐδέν. Cor.

Ἐμὲ λέγων] Quia σὺ in oratione μιμητικῇ ambiguum est ad quem referatur, ideo addidit ἐμὲ λέγων, *me alloquens, me Isocratem compellans.* Wolf.

Ἂν εἴποιεν] Wolf. aut supplendum esse ait κάλλιστα εἶναι, aut, quod ego probo, legendum ἐπαινοῖεν. Lang.

κρυπτόμενον τὸ πικρότατον τῶν τότε ῥηθέντων οὐκ ἀπαι- c
δεύτως ἀλλὰ νουνεχόντως, καὶ περὶ τῶν ἄλλων ἀπολελογη-
μένον σωφρονέστερον ἢ τότε παῤῥησιασάμενον.

279 πζʹ. Οὐ μὴν ἀλλ' ἐκεῖν' ἐάσας περὶ αὐτῶν τούτων ἔφα-
σκον κατηγορίαν ἔχειν πολὺ δεινοτέραν ἢ περὶ τῆς τῶν
παίδων [1] κλοπείας. Ἐκείνοις μὲν γὰρ τοῖς ἐπιτη-
δεύμασιν ἐλυμαίνοντο τοὺς αὑτῶν παῖδας, οἷς
δ' ὀλίγῳ πρότερον σὺ διῆλθες, τοὺς Ἕλληνας
[2] ἀπώλλυσαν. ῥᾴδιον δ', ὡς οὕτως εἶχε ταῦτα, d
συνιδεῖν. οἶμαι γὰρ ἅπαντας [3] ἂν ὁμολογῆσαι
κακίστους ἄνδρας εἶναι καὶ μεγίστης ζημίας
ἀξίους, ὅσοι τοῖς πράγμασι τοῖς εὑρημένοις ἐπ'
[4] ὠφελίᾳ, τούτοις ἐπὶ βλάβῃ χρώμενοι τυγχά-
νουσι, [5] μὴ πρὸς τοὺς βαρβάρους μηδὲ πρὸς τοὺς
ἁμαρτάνοντας μηδὲ πρὸς τοὺς εἰς τὴν αὐτῶν
χώραν εἰσβάλλοντας, ἀλλὰ πρὸς τοὺς οἰκειο-
τάτους καὶ τῆς αὐτῆς συγγενείας μετέχον-
τας· ἅπερ ἐποίουν Σπαρτιᾶται. καίτοι πῶς
ὅσιόν ἐστι τούτους φάσκειν καλῶς χρῆσθαι e
τοῖς περὶ τὸν πόλεμον ἐπιτηδεύμασιν, οἵτινες,
οὓς προσῆκε σώζειν, τούτους ἀπολλύντες ἅπαν-
τα τὸν χρόνον διετέλεσαν;

πηʹ. Ἀλλὰ γὰρ οὐ σὺ μόνος ἀγνοεῖς τοὺς κα-
λῶς χρωμένους τοῖς πράγμασιν, ἀλλὰ σχεδὸν
οἱ πλεῖστοι τῶν Ἑλλήνων. ἐπειδὰν γάρ τινας
ἴδωσιν ἢ πύθωνται παρά τινων ἐπιμελῶς διατρί- 279
βοντας [6] περὶ τὰ δοκοῦντ' εἶναι καλὰ τῶν ἐπι-
τηδευμάτων, ἐπαινοῦσι καὶ πολλοὺς λόγους
ποιοῦνται περὶ αὐτῶν, οὐκ εἰδότες τὸ συμβη-
σόμενον. χρὴ δὲ τοὺς ὀρθῶς δοκιμάζειν [7] βου-
λομένους [8] περὶ τῶν τοιούτων ἐν ἀρχῇ μὲν
ἡσυχίαν ἄγειν καὶ μηδεμίαν δόξαν ἔχειν περὶ
αὐτῶν, ἐπειδὰν δ' εἰς τὸν χρόνον ἐκεῖνον ἔλθωσιν,
ἐν ᾧ καὶ λέγοντας καὶ πράττοντας αὐτοὺς
ὄψονται καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοι-

[1] κλοπίας A. C. L. [2] ἀπώλεσαν A. C. L. [3] ἂν om. A. L. [4] ὠφελείᾳ A. C. L. [5] μηδὲ A. C. L. [6] περί τι τῶν δοκούντων εἶναι καλῶν ἐπιτ. A. C. L. [7] προαιρουμένους A. C. L. [8] [καὶ] περὶ C. καὶ περὶ L.

b νῶν, τότε θεωρεῖν ἀκριβῶς ἕκαστον αὐτῶν, καὶ
τοὺς μὲν νομίμως καὶ καλῶς χρωμένους οἷς [1]ἐμε-
λέτησαν ἐπαινεῖν καὶ τιμᾷν, τοὺς δὲ πλημμε-
λοῦντας καὶ κακουργοῦντας ψέγειν καὶ μισεῖν
καὶ φυλάττεσθαι τὸν τρόπον αὐτῶν, ἐνθυμου-
μένους ὡς οὐχ αἱ φύσεις [2]αἱ τῶν πραγμάτων
οὔτ' ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς, ἀλλ' αἱ
τῶν ἀνθρώπων χρήσεις καὶ πράξεις ἁπάντων
ἡμῖν αἴτιαι τῶν συμβαινόντων εἰσίν· γνοίη δ' 280
c ἄν τις ἐκεῖθεν. τὰ γὰρ αὐτὰ πανταχῇ καὶ μη-
δαμῇ διαφέροντα τοῖς μὲν ὠφέλιμα τοῖς δὲ βλα-
βερὰ γίγνεται. καίτοι [3]τὴν μὲν φύσιν ἔχειν
ἕκαστον τῶν ὄντων [4]τὴν ἐναντίαν [5]αὑτὴν αὑτῇ
καὶ μὴ τὴν αὐτὴν οὐκ [6]εὔκολόν ἐστι· τὸ δὲ μηδὲν
τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς καὶ δικαίως
πράττουσιν καὶ τοῖς ἀσελγῶς [7]τε καὶ κακῶς,
[8]τίνι τῶν ὀρθῶς λογιζομένων [9]οὐκ ἂν εἰκότως
τοῦτο γίγνεσθαι δόξειεν;

πθ'. Ὁ δ' αὐτὸς οὗτος λόγος καὶ περὶ τὰς
d ὁμονοίας ἂν ἁρμόσειε· καὶ γὰρ ἐκεῖναι τὴν φύ-
σιν [10]εἰσὶν οὐκ ἀνόμοιαι τοῖς εἰρημένοις, ἀλλὰ
τὰς μὲν αὐτῶν εὕροιμεν ἂν πλείστων ἀγαθῶν
αἰτίας γιγνομένας, τὰς δὲ τῶν μεγίστων κα-
κῶν καὶ συμφορῶν. ὧν μίαν εἶναί φημι καὶ τὴν
Σπαρτιατῶν· εἰρήσεται γὰρ τἀληθές, εἰ καί
τισι δόξω λίαν παράδοξα λέγειν. οὗτοι γὰρ
[11]τῷ ταὐτὰ γιγνώσκειν περὶ τῶν ἔξω πραγμά-
των ἀλλήλοις στασιάζειν τοὺς Ἕλληνας, ὥς-
e περ τέχνην [12]ἔχοντες, ἐποίουν, καὶ τὸ χαλε-
πώτατον ταῖς ἄλλαις πόλεσι τῶν κακῶν γι-

[1] ἂν ἐμελέτησαν A. L. [ἂν] ἐμελέτησαν C. [2] αἱ om. A.
[3] οὐ τὸ φύσιν A. [οὐ] τὸ φύσιν C. L. [4] τὴν om. A. C. L. [5] αὐτὴν om. A. C. L.
[6] εὔλογον A. C. L. [7] τε om. A. C. L. [8] τισὶ A. τίσι C. L.
[9] οὐκ ἀπεικότως A. [οὐκ] ἀπεικότως L. [10] εἰσὶν om. A. C. L.
[11] ἀφορμῇ τοῦ ταὐτὰ γιγνώσκειν, εἰδότες παρὰ τῶν ἔξω παραγενομένων ἀλλ. A. C. L.
[12] ἔχοντες τὸ ἁρπάζειν οὕτως ἐποίουν A. C. L.

Οὗτοι γὰρ — ἐποίουν] Ὁ νοῦς· Οὗτοι γὰρ Λακεδαιμόνιοι διὰ τὸ ταὐτὰ γιγνώσκειν, ἤγουν διὰ τὸ ὁμονοεῖν ἔνδον καὶ παρ' ἑαυτοῖς, ἐποίουν στασιάζειν ἀλλήλοις τοὺς Ἕλληνας περὶ τῶν ἔξω πραγμάτων, ὥσπερ τέχνην ἔχοντες τοῦτο, τουτέστι τὸ ποιεῖν στασιάζειν τοὺς ἄλλους. Cor.

γνόμενον, [1]τοῦθ᾽ αὐτοῖς ἁπάντων [2]συμφορώ-
τατον ἐνόμιζον εἶναι. τὰς οὖν οὕτω διακειμέ-
νας ἐξῆν αὐτοῖς, ὅπως [3]ἠβούλοντο, διοικεῖν.
ὥςτ᾽ οὐδεὶς ἂν αὐτοὺς διά γε τὴν ὁμόνοιαν δι-
καίως [4]ἐπαινέσειεν, οὐδὲν μᾶλλον ἢ τοὺς κα- 280
ταποντιστὰς [5]καὶ λῃστὰς καὶ τοὺς περὶ τὰς
ἄλλας ἀδικίας ὄντας· καὶ γὰρ ἐκεῖνοι σφίσιν
αὐτοῖς ὁμονοοῦντες τοὺς ἄλλους ἀπολλύουσιν. εἰ
δέ τισι δοκῶ τὴν παραβολὴν ἀπρεπῆ πεποιῆ-
σθαι πρὸς τὴν ἐκείνων δόξαν, ταύτην μὲν ἐῶ,
λέγω δὲ Τριβαλλοὺς, οὓς [6]ἅπαντές φασιν ὁμο-
νοεῖν μὲν ὡς οὐδένας ἄλλους ἀνθρώπους, ἀπολ-
λύναι δ᾽ οὐ μόνον τοὺς ὁμόρους καὶ τοὺς πλη-
σίον οἰκοῦντας, ἀλλὰ καὶ τοὺς ἄλλους ὅσων
ἂν ἐφικέσθαι δυνηθῶσιν· οὓς οὐ χρὴ μιμεῖσθαι b
τοὺς ἀρετῆς ἀντιποιουμένους, ἀλλὰ πολὺ μᾶλ-
λον [7]τὴν τῆς σοφίας καὶ τῆς δικαιοσύνης καὶ
τῶν ἄλλων ἀρετῶν [8]δύναμιν. αὗται μὲν γὰρ οὐ
τὰς σφετέρας αὐτῶν φύσεις εὐεργετοῦσιν, ἀλλ᾽
οἷς ἂν παραγενόμεναι παραμείνωσιν, εὐδαίμο-
νας καὶ μακαρίους ποιοῦσι· Λακεδαιμόνιοι δὲ
281 τοὐναντίον, οἷς μὲν ἂν πλησιάσωσιν, ἀπολλύ-
ουσι, τὰ δὲ τῶν ἄλλων ἀγαθὰ πάντα περὶ σφᾶς
αὐτοὺς ποιοῦνται.

ϛ. Ταῦτ᾽ εἰπὼν, κατέσχον πρὸς ὃν τοὺς λόγους ἐποιού- c
μην, ἄνδρα δεινὸν καὶ πολλῶν ἔμπειρον καὶ περὶ τὸ λέγειν
γεγυμνασμένον οὐδενὸς ἧττον τῶν ἐμοὶ πεπλησιακότων. οὐ
μὴν τὰ μειράκια τὰ πᾶσι τούτοις παραγεγενημένα τὴν
αὐτὴν ἐμοὶ γνώμην ἔσχον, ἀλλ᾽ ἐμὲ μὲν ἐπῄνεσαν ὡς διει-
λεγμένον τε [9]νεαρωτέρως ἢ προσεδόκησαν ἠγωνισμένον τε

[1] τοῦτ᾽ αὐτοῖς A. L. [2] συμφορώτατον ἁπάντων A. C. L. [3] βούλοιντο A. C. L.
[4] ἂν ἐπαινέσειεν A. C. L. [5] καὶ λῃστὰς om. A. C. L. [6] πάντες A. C. L.
[7] τὴν om. A. C. L. [8] τὴν δύναμιν A. C. L. [9] νεαρώτερον A. C. L.

Τὰς οὖν οὕτω διακειμένας] Τὰς στασιαζούσας πόλεις. Idem.

Πρὸς τὴν ἐκείνων δόξαν] *ratione seu respectu illorum famæ.* Lang.

Δύναμιν] *vim insitam.* Wolf.

Περὶ σφᾶς αὐτοὺς ποιοῦνται] *sibimet ipsis vindicant,* Lang.

Κατέσχον] I. e. ἔπαυσα τοῦ ἀντιλέγειν ἐμοὶ καὶ τοῦ ἀπολογεῖσθαι ὑπὲρ τῶν Σπαρτιατῶν. Wolf.

Ἄνδρα δεινὸν] Ἴσως τὸν Θεόπομπον τὸν Χῖον λέγει, συγγραφέα τῶν εὐδοκιμησάντων. Idem.

καλῶς, ἐκείνου δὲ κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες,
d ἀλλὰ διημαρτηκότες ἀμφοτέρων ἡμῶν. ὁ μὲν γὰρ ἀπῄει φρονιμώτερος γεγενημένος καὶ συνεσταλμένην ἔχων τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πεπονθὼς τὸ γεγραμμένον ἐν Δελφοῖς, αὑτόν τ' ἐγνωκὼς καὶ τὴν [1] Λακεδαιμονίων φύσιν μᾶλλον ἢ πρότερον· ἐγὼ δ' ὑπελειπόμην ἐπιτυχῶς μὲν ἴσως διειλεγμένος, ἀνοητότερος δὲ δι' αὐτὸ τοῦτο γεγενημένος, καὶ φρονῶν μεῖζον ἢ προσήκει τοὺς τηλικούτους, καὶ ταραχῆς μειρακιώδους μεστὸς ὤν.

e ϛα΄. Δῆλος δ' ἦν οὕτω διακείμενος· ἐπειδὴ γὰρ ἡσυχίας ἐπελαβόμην, οὐ πρότερον ἐπαυσάμην πρὶν ὑπέβαλον τῷ παιδὶ τὸν λόγον, ὃν ὀλίγῳ μὲν πρότερον μεθ' ἡδονῆς διῆλθον,
281 μικρῷ δ' ὕστερον [2] ἤμελλέ με λυπήσειν. τριῶν γὰρ ἢ τεττάρων ἡμερῶν [3] διαλειφθεισῶν ἀναγιγνώσκων αὐτὰ καὶ διεξιὼν, ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως ἦν εἰρηκὼς, οὐκ ἠχθόμην — καλῶς γὰρ καὶ δικαίως ἦν ἅπαντα περὶ [4] αὐτῆς γεγραφὼς —, ἐπὶ δὲ τοῖς περὶ Λακεδαιμονίων ἐλυπήθην καὶ βαρέως ἔφερον· οὐ γὰρ μετρίως ἐδόκουν μοι διειλέχθαι περὶ αὐτῶν οὐδ' ὁμοίως τοῖς ἄλλοις, ἀλλ' ὀλιγώρως καὶ λίαν
b πικρῶς καὶ παντάπασιν ἀνοήτως· ὥστε πολλάκις [5] ὁρμήσας ἐξαλείφειν αὐτὸν ἢ [6] κατακάειν μετεγίγνωσκον, ἐλεῶν τὸ γῆρας [7] τοὐμαυτοῦ καὶ τὸν πόνον τὸν περὶ τὸν λόγον γεγενημένον.

ϛβ΄. Ἐν τοιαύτῃ δέ μοι ταραχῇ καθεστῶτι καὶ [8] μεταβολὰς ποιουμένῳ πολλὰς ἔδοξε κράτιστον εἶναι παρακαλέσαντι τῶν πεπλησιακότων τοὺς ἐπιδημοῦντας βουλεύσασθαι μετ' αὐτῶν, πότερον ἀφανιστέος παντάπασίν [9] ἐστιν ἢ διαδοτέος τοῖς βουλομένοις [10] λαμβάνειν, ὁπότερα δ' ἂν ἐκείνοις 282
c δόξῃ, ταῦτα ποιεῖν. τούτων [11] γνωσθέντων οὐδεμίαν διατριβὴν ἐποιησάμην, ἀλλ' εὐθὺς [12] παρεκέκλητο μὲν [13] οὓς εἶπον,

[1] τῶν Λακεδ. A. C. L. [2] ἔμελλέ A. C. L. [3] διαλειπουσῶν A. C. L. [4] ταύτης A. C. L. [5] ἐξορμήσας A. C. L. [6] κατακαίειν A. C. L. [7] τὸ ἐμαυτοῦ A. C. L. [8] μεταμελείας ποιουμ. π. ἔδοξέ μοι A. C. L. [9] ἔσται A. C. L. [10] μεταλαμβάνειν ὁποτέρως A. C. L. [11] δὲ γνωσθέντων A. C. L. [12] παρακέκλητο L. [13] ὡς A.

Συνεσταλμένην] contractam, i. e. modestam nec se efferentem. Idem.

Ὑπελειπόμην] Ἴσως ἀπελειπόμην. Cor.

Τοὺς τηλικούτους] Scil. nonagenarios. Lang.

Ὑπέβαλον] subjeci, i. e. dictavi. Wolf.

Ἀναγιγνώσκων αὐτὰ] Ἄμεινον γράφειν, ἀναγιγνώσκων αὐτὸν, τὸν λόγον δηλονότι. Cor.

προειρηκὼς δ᾽ ἦν αὐτοῖς ἐφ᾽ ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο
δ᾽ ὁ λόγος, ἐπῃνημένος δ᾽ ἦν καὶ τεθορυβημένος καὶ τετυ-
χηκὼς [1] ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν.

ϛγ'. Ἁπάντων δὲ τούτων ἐπιτετελεσμένων οἱ μὲν ἄλ-
λοι διελέγοντο πρὸς σφᾶς αὐτοὺς, δῆλον ὅτι περὶ τῶν ἀνα-
γνωσθέντων· ὃν δ᾽ ἐξ ἀρχῆς μετεπεμψάμεθα σύμβου-
λον, τὸν τῶν Λακεδαιμονίων ἐπαινέτην, πρὸς ὃν πλείω d
[2] διελέχθην τοῦ δέοντος, σιωπὴν ποιησάμενος καὶ [3] πρὸς
ἐμὲ βλέψας ἀπορεῖν ἔφασκεν ὅ τι χρήσηται τοῖς παροῦ-
σιν· οὔτε γὰρ ἀπιστεῖν βούλεσθαι τοῖς ὑπ᾽ ἐμοῦ λεγομέ-
νοις, οὔτε πιστεύειν δύνασθαι παντάπασιν αὐτοῖς. Θαυ-
μάζω γὰρ [4] εἴθ᾽ οὕτως ἐλυπήθης καὶ βα-
ρέως ἔσχες, ὥςπερ φῂς, ἐπὶ τοῖς περὶ Λακε-
δαιμονίων εἰρημένοις — οὐδὲν γὰρ ἐν αὐτοῖς
ὁρῶ τοιοῦτο γεγραμμένον —, εἴτε συμβούλοις
περὶ τοῦ λόγου χρήσασθαι βουλόμενος ἡμᾶς e
συνήγαγες, οὓς οἶσθα ἀκριβῶς ἅπαν ὅ τι ἂν
σὺ λέγῃς ἢ πράττῃς ἐπαινοῦντας. εἰθισμένοι
δ᾽ εἰσὶν οἱ νοῦν ἔχοντες ἀνακοινοῦσθαι, περὶ
ὧν ἂν [5] σπουδάζωσι, μάλιστα μὲν τοῖς ἄμει-
νον αὐτῶν φρονοῦσιν, εἰ δὲ μὴ, τοῖς μέλλουσιν 282
ἀποφαίνεσθαι τὴν αὑτῶν γνώμην· ὧν τἀναν-
τία σὺ πεποίηκας. τούτων μὲν οὖν οὐδέτερον
ἀποδέχομαι τῶν λόγων· δοκεῖς δέ μοι ποιή-
σασθαι τήν τε παράκλησιν τὴν ἡμετέραν καὶ
τὸν ἔπαινον τὸν τῆς πόλεως οὐχ ἁπλῶς, οὐδ᾽
ὡς διείλεξαι πρὸς ἡμᾶς, ἀλλ᾽ ἡμῶν μὲν πεῖ-
ραν λαβεῖν βουλόμενος, εἰ φιλοσοφοῦμεν καὶ
μεμνήμεθα τῶν ἐν ταῖς διατριβαῖς λεγομέ-
νων καὶ συνιδεῖν [6] δυνηθεῖμεν ἂν ὃν τρόπον ὁ b
λόγος τυγχάνει γεγραμμένος, τὴν δὲ πόλιν
ἐπαινεῖν προελέσθαι τὴν σαυτοῦ, σωφρονῶν,

[1] ἦν, ὧνπερ A. L. [ἦν], ὥςπερ C. [2] διειλέχθη A. L. [3] προσεμβλέψας A. C. L.
[4] εἰ A. C. L. [5] σπουδάσωσι A. C. L. [6] δυνηθείημεν A. C. L.

Τεθορυβημένος] *plausu excepta.* Cf. §. α'. Lang.

Μετεπεμψάμεθα] Vid. §. πα'. Idem.

Σιωπὴν ποιησάμενος] Vel *quum ipse aliquamdiu siluisset*, vel *quum reliquos tacere jussisset.* Wolf. *quum sibimet ipsi fecisset silentium.* Auger.

Προελέσθαι] Refer ad δοκεῖς. Idem.

ἵνα τῷ τε πλήθει [1]τῷ τῶν πολιτῶν χαρίσῃ
καὶ παρὰ τοῖς εὐνοϊκῶς πρὸς [2]ὑμᾶς διακει-
μένοις εὐδοκιμήσῃς.

ϞΔʹ. Ταῦτα [3]δὲ γνοὺς ὑπέλαβες ὡς, εἰ μὲν
περὶ μόνης αὐτῆς ποιήσῃ τοὺς λόγους καὶ τὰ 283
μυθώδη περὶ αὐτῆς ἐρεῖς ἃ πάντες [4]θρυλοῦ-
σιν, ὅμοια φανεῖται τὰ λεγόμενα τοῖς ὑπὸ
τῶν ἄλλων γεγραμμένοις, ἐφ᾽ ᾧ σὺ μάλιστ᾽
c ἂν αἰσχυνθείης καὶ λυπηθείης· ἐὰν δ᾽ ἐάσας
ἐκεῖνα λέγῃς τὰς πράξεις τὰς ὁμολογουμένας
καὶ πολλῶν ἀγαθῶν αἰτίας τοῖς Ἕλλησι γε-
γενημένας, καὶ [5]παραβάλλῃς αὐτὰς πρὸς τὰς
Λακεδαιμονίων, καὶ τὰς μὲν τῶν προγόνων
ἐπαινῇς, τῶν δ᾽ ἐκείνοις πεπραγμένων κατη-
γορῇς, ὅ τε λόγος [6]ἐναργέστερος εἶναι δόξει
τοῖς ἀκούουσι καὶ σὺ μενεῖς ἐν τοῖς αὐτοῖς,
ὃ μᾶλλον ἄν τινες θαυμάσειαν τῶν [7]τοῖς ἄλ-
d λοις γεγραμμένων. ἐν ἀρχῇ μὲν οὖν οὕτω [8]μοι
φαίνῃ τάξαι καὶ βουλεύσασθαι περὶ αὐτῶν.

ϞΕʹ. Εἰδὼς δὲ σαυτὸν ἐπῃνεκότα τὴν Σπαρτια-
τῶν [9]διοίκησιν ὡς οὐδεὶς ἄλλος, φοβεῖσθαι τοὺς
ἀκηκοότας, μὴ δόξῃς ὅμοιος εἶναι τοῖς λέγουσιν
ὅ τι ἂν τύχωσι καὶ τούτους νῦν ψέγειν οὓς πρό-
τερον ἐπῄνεις μᾶλλον τῶν ἄλλων· ταῦτ᾽ ἐνθυ-
μηθεὶς σκοπεῖσθαι ποίους τινὰς ἂν ἑκατέρους
[10]εἶναι φήσας ἀληθῆ τε λέγειν δόξειας [11]περὶ
ἀμφοτέρων, ἔχοις τ᾽ ἂν τοὺς μὲν [12]προγόνους
e ἐπαινεῖν, οὕσπερ βούλει, Σπαρτιατῶν δὲ δοκεῖν
μὲν κατηγορεῖν τοῖς ἀηδῶς πρὸς αὐτοὺς διακει-
μένοις, μηδὲν δὲ ποιεῖν τοιοῦτον ἀλλὰ λανθάνειν
ἐπαινῶν αὐτούς· ζητῶν δὲ τὰ τοιαῦτα ῥᾳδίως

[1] τῷ om. A. C. L. [2] ἡμᾶς C. L. [3] δὴ A. C. L. [4] θρυλλοῦσιν A. C. L.
[5] παραβάλλῃς πρὸς A. C. L. [6] ἐνεργέστερος A. C. L. [7] ἐν τοῖς A. C. L.
[8] μοι δοκεῖς οὕτω τάξαι A. C. L. [9] πόλιν A. C. L. [10] εἶναι om. A. C. L.
[11] ἂν περὶ A. C. L. [12] τοὺς προγόνους A. C. L.

Ὁμολογουμένας καὶ πολλῶν] Γράφε, ὁμολογουμένως πολλῶν. Ἐπιθ. ιζʹ. Cor.

Ἐναργέστερος] Μᾶλλον ὑπ᾽ ὄψιν ἄγων τὰ λεγόμενα. Ἐπιθ. π. Εἰρήν. κεʹ. Idem.

Δόξει] Subaudi ὑπέλαβες ὡς, quod præcessit. Auger.

Φοβεῖσθαι] Refer ad δοκεῖς, ut et paulo inferius σκοπεῖσθαι et εὑρεῖν. Idem.

εὑρεῖν λόγους ἀμφιβόλους καὶ μηδὲν μᾶλλον
μετὰ τῶν ἐπαινούντων ἢ [1]τῶν ψεγόντων ὄντας,
ἀλλ' ἐπαμφοτερίζειν δυναμένους καὶ πολλὰς 283
ἀμφισβητήσεις ἔχοντας, οἷς χρῆσθαι περὶ μὲν
συμβολαίων καὶ πλεονεξίας ἀγωνιζόμενον αἰ-
σχρὸν καὶ πονηρίας οὐ μικρὸν σημεῖον, περὶ δὲ
φύσεως ἀνθρώπων διαλεγόμενον καὶ [2]πραγμά-
των [3]καλὸν καὶ φιλόσοφον. οἷός περ ὁ λόγος ὁ
διαναγνωσθείς ἐστιν· ἐν ᾧ [4]πεποίηκας τοὺς μὲν
σοὺς προγόνους εἰρηνικοὺς καὶ φιλέλληνας καὶ
τῆς ἰσότητος τῆς ἐν ταῖς πολιτείαις ἡγεμόνας,
Σπαρτιάτας δ' ὑπεροπτικοὺς καὶ πολεμικοὺς b
καὶ [5]πλεονέκτας, οἵους περ αὐτοὺς εἶναι [6]πάν-
τες ὑπειλήφασιν.

284 ϛϛ'. Τοιαύτην δ' ἐχόντων ἑκατέρων τὴν φύσιν,
τοὺς μὲν ὑπὸ πάντων ἐπαινεῖσθαι καὶ δοκεῖν
εὔνους εἶναι τῷ πλήθει, τοῖς δὲ τοὺς μὲν πολ-
λοὺς φθονεῖν καὶ δυσμενῶς ἔχειν, ἔστι δ' οὓς καὶ
ἐπαινεῖν αὐτοὺς καὶ θαυμάζειν, καὶ τολμᾷν
λέγειν ὡς ἀγαθὰ μείζω τυγχάνουσιν ἔχοντες
τῶν τοῖς προγόνοις τοῖς σοῖς προσόντων· τήν τε c
γὰρ ὑπεροψίαν σεμνότητος μετέχειν, εὐδοκίμου
πράγματος, καὶ δοκεῖν ἅπασι [7]μεγαλοφρονε-
στέρους εἶναι τοὺς τοιούτους ἢ τοὺς τῆς ἰσότητος
προεστῶτας, τούς τε πολεμικοὺς πολὺ διαφέ-
ρειν τῶν εἰρηνικῶν· τοὺς μὲν γὰρ οὔτε κτητικοὺς
εἶναι τῶν οὐκ ὄντων οὔτε φύλακας δεινοὺς τῶν
ὑπαρχόντων, τοὺς δ' ἀμφότερα δύνασθαι, καὶ
λαμβάνειν ὧν ἂν ἐπιθυμῶσι, καὶ σώζειν ἅπερ
ἂν ἅπαξ κατάσχωσιν· ἃ ποιοῦσιν οἱ τέλειοι δο- d
κοῦντες εἶναι τῶν ἀνδρῶν. ἀλλὰ μὴν [8]καὶ περὶ

[1] τῶν om. A. C. L. [2] πρᾶγμα τῶν L. [3] καλῶν καὶ φιλοσόφων A. L. [4] σὺ πεποίηκας A. C. L. [5] πλεονεκτικοὺς A. C. L. [6] πάντες ὑπειλήφασιν εἶναι A. C. L. [7] μεγαλοπρεπεστέρους A. C. L. [8] καὶ om. A. L.

Αἰσχρὸν καὶ] F. αἰσχρόν τε καὶ —. Wolf.

Περὶ δὲ φύσεως κ. τ. λ.] Ὁ νοῦς· Περὶ δὲ φύσεως καὶ πραγμάτων ἀνθρώπων διαλεγόμενον, καλὸν καὶ φιλόσοφόν ἐστι χρῆσθαι τοῖς προειρημένοις λόγοις. Cor.

Τοὺς μὲν] Adde vel subaudi πεποίηκας. Auger.

Ἐστὶ δ' οὓς] I. e. nonnullos. repete iterum πεποίηκας vel εἶπας, vid. §. κβ'. Auger. pro ἔστι οἳ ἐπαινοῦσι duriuscule dictum putat. Lang.

τῆς πλεονεξίας καλλίους ἔχειν οἴονται λόγους
τῶν εἰρημένων· τοὺς μὲν γὰρ [1]ἀποστέροντας τὰ
συμβόλαια καὶ [2]τοὺς παρακρουομένους καὶ πα-
ραλογιζομένους οὐχ ἡγοῦνται [3]δικαίως καλεῖ-
σθαι πλεονεκτικοὺς — διὰ γὰρ τὸ πονηρὰν ἔχειν
τὴν δόξαν ἐν ἅπασιν αὐτοὺς ἐλαττοῦσθαι τοῖς
πράγμασι —, τὰς δὲ Σπαρτιατῶν πλεονεξίας
e καὶ τὰς τῶν βασιλέων καὶ τὰς τῶν τυράννων
εὐκτὰς μὲν εἶναι καὶ [4]ἅπαντας αὐτῶν ἐπιθυ-
μεῖν, οὐ μὴν [5]ἀλλὰ λοιδορεῖσθαι καὶ καταρᾶ-
σθαι τοῖς τὰς τηλικαύτας ἔχουσι δυναστείας·
οὐδένα δὲ [6]τοιοῦτον εἶναι τὴν φύσιν ὅστις οὐκ ἂν
284 εὔξαιτο τοῖς θεοῖς μάλιστα μὲν αὐτὸς [7]τυχεῖν
τῆς ἐξουσίας ταύτης, εἰ δὲ μή, τοὺς οἰκειοτά-
τους· [8]ᾧ καὶ φανερόν ἐστιν ὅτι μέγιστον τῶν
ἀγαθῶν ἅπαντες εἶναι νομίζομεν [9]τὸ πλέον
ἔχειν τῶν ἄλλων. τὴν μὲν οὖν περιβολὴν τοῦ
λόγου δοκεῖς μοι ποιήσασθαι μετὰ τοιαύτης
διανοίας.

ϛζ′. Εἰ μὲν οὖν ἡγούμην ἀφέξεσθαί σε τῶν
εἰρημένων καὶ παραλείψειν ἀνεπιτίμητον τὸν
λόγον τοῦτον, οὐδ᾽ ἂν αὐτὸς ἔτι λέγειν ἐπε-
b χείρουν· νῦν δ᾽ ὅτι μὲν οὐκ ἀπεφηνάμην περὶ
ὧν παρεκλήθην σύμβουλος, οὐδέν οἶμαί σοι
[10]μελήσειν — οὐδὲ γάρ, ὅτε [11]συνῆγες ἡμᾶς, ἐδό-
κεις μοι σπουδάζειν περὶ αὐτῶν —, ὅτι δὲ 285

[1] ἀποστεροῦντας A. C. L. [2] τοὺς om. A. C. L.
[3] δικαίους, ἀλλὰ πλεονεκτικοὺς A. C. L. [4] πάντας A. C. L. [5] ἀλλὰ om. A. L.
[6] τοιοῦτον τὴν φύσιν εἶναι A. τὴν φύσιν εἶναι [τοιοῦτον] C. τὴν φύσιν εἶναι L.
[7] τυγχάνειν A. C. L. [8] ὃ C. L. [9] τὸ om. A. C. L. [10] μελήσει A. C. L.
[11] συνήγαγες A. C. L.

Ἐλαττοῦσθαι] *minoris fieri, contemptos et abjectos esse.* IDEM.

Οὐ μὴν ἀλλὰ λοιδορ.] Ὁ νοῦς· Πάντας μὲν ἐπιθυμεῖν τῶν τοιούτων πλεονεξιῶν, οἷαί εἰσιν αἱ τῶν Σπαρτιατῶν καὶ ἁπλῶς τῶν ἐν δυναστείαις ὄντων, λοιδορεῖσθαι δ᾽ ὅμως καὶ καταρᾶσθαι τοῖς ἔχουσι ταύτας. COR.

Περιβολὴν] *primas lineas.* LANG.

Τῶν εἰρημένων] I. e. a me hactenus dictorum: quod neque de Isocratis, neque de habenda (?) mox Philolaconis oratione, uti Wolf. opinatur, accipi potest. IDEM.

Ὅτι δὲ προελόμενος etc.] Hic, si non addendum, at saltem mente supplendum quod deest: δοκεῖς δέ μοι ὅτι προελόμενος τυγχάνεις συνθεῖναι etc. AUGER. ὅτι δὲ προελόμενος usque ad οὐκ αἰσθάνεσθαι p. 566. 16. anacoluthia est pro: τοῦτο δέ σοι μελήσει, ὅτι προελομένου σοῦ etc. τὴν δύναμιν τῶν λεγομένων ἐδίδαξα καὶ τὴν σὴν διάνοιαν ἐξηγησάμην, φήσεις αἰσθάνεσθαι etc. LANG. Ἐντεῦθεν μέχρι τέλους τοῦ κεφαλαίου ἀσυνάρτητος ὁ λόγος. ἐμοὶ δ᾽ ἐπέχειν τέως ἐφεῖσθω, ἕως ἂν τι πιθανώτερον περὶ τούτου κατανοῆσαι δυνηθῶ. COR.

προελόμενος συνθεῖναι λόγον μηδὲν ὅμοιον τοῖς
ἄλλοις, ἀλλὰ τοῖς μὲν ῥαθύμως ἀναγιγνώσκου-
σιν ἁπλοῦν εἶναι [1]δόξοντα καὶ ῥάδιον καταμα-
θεῖν, τοῖς δ' ἀκριβῶς διεξιοῦσιν αὐτὸν καὶ πει-
ρωμένοις κατιδεῖν ὃ τοὺς ἄλλους λέληθε χα-
λεπὸν [2]φανούμενον καὶ δυσκαταμάθητον, καὶ
πολλῆς μὲν ἱστορίας γέμοντα καὶ φιλοσοφίας, c
παντοδαπῆς δὲ μεστὸν ποικιλίας καὶ ψευδολο-
γίας, οὐ τῆς εἰθισμένης μετὰ κακίας βλά-
πτειν τοὺς συμπολιτευομένους, ἀλλὰ τῆς δυνα-
μένης μετὰ [3]παιδιᾶς ὠφελεῖν ἢ τέρπειν τοὺς
ἀκούοντας· ὧν οὐδὲν [4]ἐάσαντά με φήσεις τὸν
τρόπον [5]τοῦτον ἔχειν ὡς ἐβουλεύσω σὺ περὶ
αὐτῶν, ἀλλὰ τήν τε δύναμιν τῶν λεγομένων δι-
δάσκοντα καὶ τὴν σὴν διάνοιαν ἐξηγούμενον
οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν λόγον [6]ἀδοξό- d
τερον δι' ἐμὲ [7]γιγνόμενον, ὅσῳ περ αὐτὸν φα-
νερώτερον ἐποίουν καὶ [8]γνωριμώτερον τοῖς
ἀναγιγνώσκουσιν· ἐπιστήμην γὰρ τοῖς οὐκ εἰδό-
σιν [9]ἐνεργαζόμενον ἔρημον τὸν λόγον [10]με ποιεῖν
[11]καὶ τῆς τιμῆς ἀποστερεῖν τῆς γιγνομένης [12]ἂν
αὐτῷ διὰ τοὺς πονοῦντας καὶ πράγματα σφίσιν
αὐτοῖς παρέχοντας.

ϛη'. Ἐγὼ δ' ὁμολογῶ μὲν ἀπολελεῖφθαι τὴν
ἐμὴν φρόνησιν τῆς σῆς ὡς δυνατὸν πλεῖστον, οὐ e
μὴν ἀλλ' ὥσπερ τοῦτ' οἶδα, κἀκεῖνο τυγχάνω
γιγνώσκων, ὅτι τῆς πόλεως τῆς ἡμετέρας βου-
λευομένης περὶ τῶν μεγίστων οἱ μὲν ἄριστα
[13]φρονεῖν δοκοῦντες ἐνίοτε διαμαρτάνουσι τοῦ
συμφέροντος, τῶν δὲ φαύλων νομιζομένων εἶναι
καὶ καταφρονουμένων ἔστιν ὅτε κατώρθωσεν ὁ 285

[1] δόξαντα A. L. [2] φαινόμενον A. L. [3] παιδείας A.
[4] ἐξετάσαντα A. C. L. [5] τοῦτον τὸν τρόπον A. C. L. [6] ἐνδοξότερον A. C. L.
[7] γενόμενον A. C. L. [8] γνωριμώτατον A. C. L.
[9] ἐργαζόμενον, ἔρημον μὲν τὸν A. [10] ἐμὲ μὴ ποιεῖν A. C. L. [11] τῆς τιμῆς δὲ A.
[12] αὐτῶν τοὺς A. C. L. [13] φρονοῦντες, ἐνίοτε A. C. L.

Ἢ τέρπειν] Ἴσως· καὶ τέρπειν. IDEM.

Οὐκ αἰσθάνεσθαι] Scil. σὲ φήσεις. *te non intelligere dices.* Reliqui perperam: *me non animadvertere dices.* ita ut supplerent ἐμέ. LANG.

Κατώρθωσεν ὁ τυχὼν] Postremam vocem referas ad τῶν δὲ φαύλων, et vertas: *primus optimus rem tetigit.* IDEM.

τυχὼν καὶ βέλτιστα λέγειν ἔδοξεν· ὥστ᾽ οὐδὲν θαυμαστὸν, εἰ καὶ περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτόν τι συμβέβηκεν, ὅπου σὺ μὲν οἴει [1]μάλιστ᾽ εὐδοκιμήσειν, ἢν ὡς πλεῖστον χρόνον [2]διαλάθῃς ἣν ἔχων γνώμην τὰ περὶ τὸν λόγον ἐπραγματεύθης, ἐγὼ δ᾽ ἡγοῦμαι βέλτιστά σε πράξειν, ἢν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος
b [3]αὐτὸν συνέθηκας, ὡς [4]τάχιστα φανερὰν ποιῆσαι τοῖς [5]τ᾽ ἄλλοις ἅπασι καὶ Λακεδαιμονίοις, περὶ ὧν πεποίησαι πολλοὺς λόγους, τοὺς μὲν δικαίους καὶ σεμνοὺς, τοὺς δ᾽ ἀσελγεῖς καὶ λίαν φιλαπε-
χθήμονας· οὓς εἴ τις [6]ἐπέδειξεν αὐτοῖς πρὶν ἐμὲ 286
διαλεχθῆναι περὶ αὐτῶν, οὐκ ἔστιν ὅπως οὐκ ἂν ἐμίσησαν καὶ δυσκόλως πρὸς σὲ διετέθησαν ὡς κατηγορίαν γεγραφότα [7]καθ᾽ αὐτῶν. νῦν δ᾽ [8]οἴομαι τοὺς μὲν πλείστους Σπαρτιατῶν [9]ἐμμενεῖν
c τοῖς ἤθεσιν οἷσπερ καὶ τὸν ἄλλον χρόνον, τοῖς δὲ λόγοις τοῖς ἐνθάδε [10]γραφομένοις οὐδὲν μᾶλλον προσέξειν τὸν νοῦν ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις, τοὺς δὲ φρονιμωτάτους αὐτῶν καὶ τῶν λόγων τινὰς ἔχοντας τῶν σῶν [11]καὶ [12]θαυμάζοντας, τούτους, ἢν λάβωσι τὸν [13]ἀναγνωσόμενον καὶ χρόνον ὥστε συνδιατρίψαι σφίσιν αὐτοῖς, οὐδὲν ἀγνοήσειν τῶν λεγομένων, ἀλλὰ καὶ τῶν ἐπαίνων αἰσθήσεσθαι τῶν μετ᾽ ἀποδείξεως εἰρημένων περὶ τῆς πόλεως [14]τῆς αὐτῶν, καὶ

[1] μάλιστα μὲν A. C. L. [2] διαλεχθῶσι A. [3] αὐτὸς A.
[4] τάχιστ᾽ ἂν A. C. L. [5] τ᾽ om. A. C. L. [6] ἐπιδείξειεν A. C. L.
[7] περὶ αὐτῶν A. C. L. [8] οἶμαι A. C. L. [9] ἐμμένειν A. L.
[10] γεγραμμένοις A. C. L. [11] καὶ om. A. L. [12] θαυμάσοντας L.
[13] ἀνεγνωσμένον A. [14] αὐτῶν A. C. L.

Περὶ τοῦ νῦν ἐνεστῶτος] *de causa quæ nunc dijudicatur.* an melius sit orationis hujus veram mentem explicare seu lectoribus investigandam relinquere. Idem.

Διαλάθῃς ἣν etc.] *si lateas qualem in componenda oratione mentem habueris.* Idem.

Καὶ Λακεδαιμονίοις] *et præsertim Lacedæmoniis.* utpote qui in explicando parum sunt exercitati, quosque maxime læsisti. Idem.

Πρὶν ἐμὲ διαλεχθῆναι περὶ αὐτῶν] I. e. priusquam adjecta fuerit mea explicatio. Idem.

Οἴομαι τοὺς μὲν κ. τ. λ.] Ὁ νοῦς· Οἶμαι τοὺς φρονιμωτάτους τῶν Λακεδαιμονίων, καὶ τοὺς ἔχοντας ἤδη τινὰς τῶν ἄλλων σου λόγων, καὶ θαυμάζειν αὐτοὺς εἰθισμένους, οὐδὲν ἀγνοήσειν καὶ τῶν λεγομένων ἐν τούτῳ τῷ λόγῳ, ἢν λάβωσιν ἀναγνώστην καὶ χρόνον ἱκανὸν ὥστε συνδιατρίψαι, ἤγουν διαλεχθῆναι, ἀλλήλοις. Cor.

Μετ᾽ ἀποδείξεως] *cum demonstratione.* Lang.

τῶν λοιδοριῶν καταφρονήσειν τῶν εἰκῇ μὲν τοῖς
πράγμασι λεγομένων πικρῶς δὲ τοῖς ὀνόμασι κε- d
χρημένων, καὶ νομιεῖν τὰς μὲν βλασφημίας τὰς
ἐνούσας ἐν [1]τῷ βιβλίῳ τὸν φθόνον [2]ὑποβαλεῖν,
τὰς δὲ πράξεις καὶ τὰς μάχας, ἐφ᾽ αἷς αὐτοί τε
μέγα φρονοῦσι καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦσι,
σὲ γεγραφέναι καὶ μνημονεύεσθαι πεποιηκέναι,
συναγαγόντα [3]πάσας αὐτὰς [4]καὶ θέντα παρ᾽
ἀλλήλας, αἴτιον δ᾽ εἶναι καὶ τοῦ [5]πολλοὺς ποθεῖν
ἀναγνῶναι καὶ [6]διελθεῖν αὐτάς, οὐ τὰς ἐκείνων e
ἐπιθυμοῦντας ἀκοῦσαι πράξεις, [7]ἀλλὰ πῶς σὺ
διείλεξαι περὶ αὐτῶν μαθεῖν βουλομένους.

ϟθʹ. Ταῦτ᾽ ἐνθυμουμένους καὶ διεξιόντας οὐδὲ
τῶν παλαιῶν ἔργων ἀμνημονήσειν, δι᾽ ὧν ἐγκε-
κωμίακας τοὺς προγόνους αὐτῶν, ἀλλὰ καὶ 286
πολλάκις διαλέξεσθαι πρὸς σφᾶς αὐτούς, πρῶ-
τον μὲν ὅτι Δωριεῖς ὄντες, ἐπειδὴ κατεῖδον τὰς
πόλεις τὰς αὑτῶν ἀδόξους καὶ μικρὰς καὶ πολ-
λῶν ἐνδεεῖς οὔσας, ὑπεριδόντες ταύτας [8]ἐστρά-
τευσαν ἐπὶ τὰς ἐν Πελοποννήσῳ πρωτευούσας,
ἐπ᾽ Ἄργος καὶ Λακεδαίμονα καὶ [9]Μεσσήνην,
μάχῃ δὲ νικήσαντες τοὺς μὲν ἡττηθέντας ἔκ τε
τῶν πόλεων καὶ τῆς χώρας ἐξέβαλον, αὐτοὶ b
[10]δὲ τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων [11]τότε
κατασχόντες ἔτι καὶ νῦν ἔχουσιν, οὗ μεῖζον
ἔργον καὶ θαυμαστότερον οὐδεὶς ἐπιδείξει κατ᾽
287 ἐκεῖνον τὸν χρόνον γενόμενον, οὐδὲ πρᾶξιν εὐτυ-
χεστέραν καὶ θεοφιλεστέραν τῆς τοὺς χρησαμέ-

1 τῇ βίβλῳ A. C. L. 2 ὑποβάλλειν A. L. 3 ἁπάσας A. C. L. 4 καθ᾽ αὑτὰς καὶ A. C. L. 5 τοὺς πολλοὺς A. C. L. 6 διεξελθεῖν A. C. L. 7 ἀλλ᾽ ὅπως A. C. L. 8 ἐστράτευον A. C. L. 9 Μεσήνην A. L. 10 τε A. L. 11 τότε om. A. C. L.

Τῶν εἰκῇ μὲν — κεχρημένων] *quæ, quod ad res, temere, quod ad verba, acerbe dicta sunt.* Idem.

Αἴτιον δ᾽ εἶναι] Pro εἶναι malim ἔσεσθαι subaudiendo σε. *te vero putabunt in causa fore cur* etc. Auger. Quod neque necessarium neque rectius est. Cæterum hic et reliqui infinitivi ab οἶμαι pendent, quod præcessit. Lang. Ὁ νοῦς· Οἶμαι τοὺς Λακεδαιμονίους νομιεῖν σὲ τὸν Ἰσοκράτην αἴτιον εἶναι τοῦ τοὺς πολλοὺς ποθεῖν ἀναγνῶναι κ. τ. λ. Cor.

Ἀμνημονήσειν] Subaudi ἡγοῦμαι. Auger.

Τοὺς χρησαμένους] *oraculum consulentes.* Vid. Archid. §. ϛʹ. Hinc πρᾶξις hæc vocatur θεοφιλής. Auger. cum reliquis vertens, *quam id* (gestum) *per quod et suæ inopiæ consuluerunt et alienam felicitatem obtinuerunt*, locum non intellexisse videtur. Verte: *quam id, quod eos oraculo consulto*

νους τῆς μὲν οἰκείας ἀπορίας ἀπαλλαξάσης, τῆς δ' ἀλλοτρίας εὐδαιμονίας κυρίους ποιησάσης. καὶ ταῦτα μὲν μετὰ πάντων [1]συστρατευσαμένων ἔπραξαν.

ρ΄. [2]Ἐπειδὴ δὲ πρὸς Ἀργείους καὶ [3]Μεσση-
c νίους τὴν χώραν διείλοντο καὶ καθ' αὑτοὺς ἐν Σπάρτῃ κατῴκησαν, ἐν τούτοις τοῖς καιροῖς τοσοῦτον φρονῆσαι φὴς αὐτοὺς, ὥστε ὄντας οὐ πλείους τότε δισχιλίων οὐχ ἡγήσασθαι σφᾶς αὐτοὺς ἀξίους εἶναι ζῆν, εἰ μὴ δεσπόται πασῶν τῶν ἐν Πελοποννήσῳ πόλεων γενέσθαι δυνηθεῖεν, ταῦτα δὲ [4]διανοηθέντας καὶ πολεμεῖν [5]ἐπιχειρήσαντας οὐκ ἀπειπεῖν, ἐν πολλοῖς κακοῖς καὶ κινδύνοις [6]γιγνομένους, πρὶν ἁπάσας ταύτας ὑφ'
d αὑτοῖς ἐποιήσαντο πλὴν τῆς Ἀργείων πόλεως, ἔχοντας δ' ἤδη καὶ χώραν πλείστην καὶ δύναμιν μεγίστην καὶ δόξαν τοσαύτην ὅσην προσήκει τοὺς τηλικαῦτα διαπεπραγμένους οὐχ ἧττον διακεῖσθαι φιλοτίμως, ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς μόνοις τῶν Ἑλλήνων· ἐξεῖναι γὰρ εἰπεῖν αὐτοῖς ὅτι σφεῖς μὲν ὄντες οὕτως ὀλίγοι τὸν ἀριθμὸν οὐδεμιᾷ πώποτε τῶν
e μυριάνδρων πόλεων ἠκολούθησαν οὐδ' ἐποίησαν τὸ προσταττόμενον, ἀλλ' αὐτόνομοι διετέλεσαν ὄντες, αὐτοὶ δ' ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους [7]πάντων τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, καὶ τῆς τιμῆς ταύτης ἔτυχον οὐκ ἀλόγως ἀλλὰ διὰ τὸ μάχας ποιησάμενοι πλείστας [8]ἀνθρώπων κατ' ἐκεῖνον τὸν χρόνον μηδεμίαν ἡττηθῆναι τούτων ἡγουμένου βασιλέως, ἀλλὰ
287 νενικηκέναι πάσας, οὗ τεκμήριον οὐδεὶς ἂν δύ-

[1] τῶν συστρατ. A. C. L. [2] Ἐπεὶ A. C. L. [3] Μεσηνίους A. L. [4] διανοηθέντες A. C. L. [5] ἐπιχειρήσαντες οὐκ ἀπεῖπον A. C. L. [6] γενόμενοι A. C. L. [7] ἁπάντων A. C. L. [8] τῶν ἀνθρώπων A. L.

et inopia propria liberaret et alienæ felicitatis dominos redderet. Lang. Προσυπακουστέον τῇ πράξει. Ἴσως μέντοι ἄμεινον γράφειν, τοὺς κτησαμένους, διὰ τὸ πρὸ τούτου ῥηθέν· Αὐτοὶ δὲ τὰς κτήσεις ἁπάσας τὰς ἐκείνων κατασχόντες ἔτι καὶ νῦν ἔχουσιν. Cor.

Τῆς Ἀργείων πόλεως] Vid. §. λε΄. Lang.

Πλείστας ἀνθρώπων] Τοσαύτας ὅσας οὐδεὶς ἀνθρώπων. Cor.

ναιτο μεῖζον εἰπεῖν ἀνδρίας καὶ καρτερίας καὶ
τῆς πρὸς ἀλλήλους ὁμονοίας, πλὴν ἢ τὸ ῥηθή-
σεσθαι μέλλον· τοσούτων γὰρ τὸ πλῆθος [1] τῶν
πόλεων τῶν Ἑλληνίδων οὐσῶν, τῶν μὲν ἄλλων
οὐδεμίαν [2] [ἐστὶν] εἰπεῖν οὐδ' [3] εὑρεῖν, ἥτις οὐ
[4] περιπέπτωκε ταῖς συμφοραῖς ταῖς εἰθισμέ-
ναις γίγνεσθαι ταῖς πόλεσιν, ἐν δὲ τῇ Σπαρτια-
τῶν οὐδεὶς ἂν ἐπιδείξειεν [5] οὔτε στάσιν οὔτε
σφαγὰς οὔτε φυγὰς ἀνόμους γεγενημένας, οὐδ'
288 ἁρπαγὰς χρημάτων οὐδ' αἰσχύνας γυναικῶν b
καὶ παίδων, ἀλλ' οὐδὲ πολιτείας μεταβολὴν
οὐδὲ χρεῶν ἀποκοπὰς οὐδὲ γῆς ἀναδασμὸν οὐδ'
ἄλλο οὐδὲν τῶν ἀνηκέστων κακῶν. περὶ ὧν διεξ-
ιόντας οὐκ ἔστιν ὅπως οὐ καὶ σοῦ, [6] τοῦ τ'
ἀθροίσαντος καὶ διαλεχθέντος οὕτω καλῶς περὶ
αὐτῶν, μεμνήσεσθαι καὶ πολλὴν χάριν ἕξειν.

ρα'. Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔχω περὶ σοῦ νῦν
[7] καὶ πρότερον· ἐν μὲν γὰρ τοῖς παρελθοῦσι χρό-
νοις ἐθαύμαζόν σου τήν τε φύσιν καὶ τὴν τοῦ c
βίου τάξιν καὶ τὴν φιλοπονίαν καὶ μάλιστα τὴν
ἀλήθειαν τῆς φιλοσοφίας, νῦν δὲ ζηλῶ [8] σε καὶ
μακαρίζω [9] τῆς εὐδαιμονίας· δοκεῖς γάρ μοι ζῶν
μὲν λήψεσθαι δόξαν οὐ μείζω [10] μὲν ἧς ἄξιος εἶ
— χαλεπὸν γὰρ —, [11] παρὰ πλείοσι δὲ καὶ μᾶλ-
λον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης, [12] τελευ-
τήσας δὲ τὸν βίον μεθέξειν ἀθανασίας, οὐ τῆς
τοῖς θεοῖς παρούσης, ἀλλὰ τῆς [13] τοῖς ἐπιγιγνομέ-
νοις περὶ τῶν διενεγκόντων ἐπί τινι τῶν καλῶν d
ἔργων μνήμην ἐμποιούσης. καὶ δικαίως τεύξῃ
τούτων· [14] ἐπήνεκας γὰρ [15] τὰς πόλεις ἀμφοτέρας
καλῶς καὶ προσηκόντως, τὴν μὲν κατὰ [16] τὴν δό-
ξαν [17] τὴν τῶν πολλῶν, ἧς ουδεὶς τῶν ὀνομαστῶν

[1] τῶν om. A. C. L. [2] uncos om. A. L. [3] εὑρεῖν ἔστιν C.
[4] περιέπεσε A. C. L. [5] οὔτε στάσιν om. A. C. L. [6] ταῦτ' A. τοῦτ' L.
[7] τε καὶ A. C. L. [8] σου A. C. L. [9] τὴν εὐδαιμονίαν A. C. L.
[10] δὲ C. L. [11] παραπλησίαν A. παραπλήσιον C. L. [12] τελευτήσαντα C. L.
[13] παρὰ τοῖς A. L. [14] ἐπήνεσας A. C. L. [15] τὰς πόλεις om. A. L.
[16] τὴν om. L. [17] τὴν om. A. C. L.

Τὴν μὲν] Scil. Atheniensium civitatem. LANG.

ἀνδρῶν καταπεφρόνηκεν, ἀλλ' ἐπιθυμοῦντες τυ-
χεῖν αὐτῆς οὐκ ἔστιν ὅντινα κίνδυνον οὐχ ὑπομέ-
νουσι, τὴν δὲ κατὰ τὸν λογισμὸν τῶν πειρωμέ-
νων στοχάζεσθαι τῆς ἀληθείας, παρ' οἷς εὐδοκι-
μεῖν ἄν τινες ἕλοιντο μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις
e διπλασίοις γενομένοις ἢ νῦν εἰσίν.

ρβ'. Ἀπλήστως δὲ διακείμενος ἐν τῷ [1] παρόντι
πρὸς τὸ λέγειν, καὶ πολλ' ἂν εἰπεῖν ἔχων [2] ἔτι καὶ
περὶ σοῦ καὶ περὶ [3] τοῖν πόλεοιν καὶ περὶ τοῦ λό-
γου, ταῦτα μὲν ἐάσω, περὶ ὧν δὲ παρακληθῆναί
288 με σὺ φῄς, περὶ τούτων ἀποφανοῦμαι. [4] συμβου-
λεύω γάρ σοι μήτε [5] κατακάειν τὸν λόγον μήτ'
ἀφανίζειν, ἀλλ' εἴ τινος ἐνδεής ἐστι, διορθώσαντα
καὶ προσγράψαντα πάσας τὰς διατριβὰς τὰς
περὶ αὐτὸν [6] γεγενημένας διδόναι τοῖς βουλομέ-
νοις λαμβάνειν, εἴπερ βούλει χαρίσασθαι μὲν
τοῖς ἐπιεικεστάτοις τῶν Ἑλλήνων καὶ τοῖς ἀλη-
b θῶς φιλοσοφοῦσιν ἀλλὰ μὴ προσποιουμένοις, λυ-
πῆσαι δὲ τοὺς θαυμάζοντας [7] μὲν τὰ σὰ μᾶλλον 289
τῶν ἄλλων, λοιδορουμένους δὲ τοῖς λόγοις τοῖς
σοῖς ἐν τοῖς ὄχλοις τοῖς πανηγυρικοῖς, ἐν οἷς
πλείους [8] εἰσὶν οἱ καθεύδοντες τῶν ἀκροωμένων,
καὶ προσδοκῶντας, ἢν παρακρούσωνται τοὺς τοιού-
τους, ἐναμίλλους τοὺς αὑτῶν [9] γενήσεσθαι τοῖς
ὑπὸ σοῦ γεγραμμένοις, κακῶς [10] εἰδότες ὅτι πλέον
ἀπολελειμμένοι τῶν σῶν εἰσὶν ἢ τῆς Ὁμήρου δό-
ξης οἱ περὶ τὴν αὐτὴν ἐκείνῳ ποίησιν γεγονότες.

c ργ'. Ταῦτ' εἰπόντος αὐτοῦ καὶ τοὺς παρόντας ἀξιώ-
σαντος ἀποφήνασθαι περὶ ὧν παρεκλήθησαν, οὐκ ἐθορύ-
βησαν, ὃ ποιεῖν εἰώθασι [11] ἐπὶ τοῖς χαριέντως διειλεγμένοις,
ἀλλ' ἀνεβόησαν ὡς ὑπερβαλλόντως εἰρηκότος, καὶ περι-

[1] καιρῷ τῷδε (τῷ C.) πρὸς τοὺς λόγους A. C. καιρῷ τῷ πρὸς τοὺς ἄλλους L.
[2] ἔτι om. A. C. L. [3] τῶν πόλεων A. C. L. [4] συμβουλεύσω A. C. L.
[5] καίειν A. C. L. [6] γενομένας A. C. L. [7] σε μᾶλλον A. C. L.
[8] εἶναι συμβαίνει τοὺς καθεύδοντας A. C. L. [9] γεγενῆσθαι A. [10] εἰδότας C.
[11] πᾶσι A. C. L.

Τὴν δὲ] Τὴν τῶν Λακεδαιμονίων πόλιν. Cor.

Γεγενημένας] Scil. a nobis, quos in consilium adhibuisti. Lang.

Ὅτι πλέον] F. ὅτι πλεῖστον. H. Stephan.

στάντες αὐτὸν ἐπῄνουν, ἐζήλουν, ἐμακάριζον· καὶ προσθεῖναι
μὲν οὐδὲν εἶχον τοῖς εἰρημένοις οὐδ᾽ ἀφελεῖν, συναπεφαίνοντο
δὲ καὶ συνεβούλευόν [1] μοι ποιεῖν ἅπερ ἐκεῖνος παρῄνεσεν. οὐ
μὴν οὐδ᾽ ἐγὼ παρεστὼς ἐσιώπων, ἀλλ᾽ [2] ἐπῄνεσα τήν τε
φύσιν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν, περὶ δὲ τῶν ἄλλων οὐδὲν d
ἐφθεγξάμην ὧν εἶπεν, οὔθ᾽ ὡς ἔτυχε ταῖς ὑπονοίαις τῆς
ἐμῆς διανοίας οὔθ᾽ ὡς διήμαρτεν, ἀλλ᾽ εἴων αὐτὸν οὕτως
ἔχειν ὥσπερ αὐτὸς αὑτὸν διέθηκε.

ρδ΄. Περὶ μὲν οὖν ὧν ὑπεθέμην ἱκανῶς εἰρῆσθαι νομίζω·
τὸ γὰρ ἀναμιμνήσκειν καθ᾽ ἕκαστον τῶν εἰρημένων οὐ πρέπει
τοῖς λόγοις τοῖς τοιούτοις· βούλομαι δὲ διαλεχθῆναι περὶ e
τῶν ἰδίᾳ μοι περὶ τὸν λόγον συμβεβηκότων. ἐγὼ γὰρ ἐν-
εστησάμην μὲν αὐτὸν ἔτη γεγονὼς [3] ὅσαπερ ἐν ἀρχῇ προ-
εῖπον· ἤδη δὲ τῶν ἡμισέων γεγραμμένων ἐπιγενομένου μοι
νοσήματος ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς, δυναμένου δ᾽ ἀναιρεῖν 289
οὐ μόνον τοὺς πρεσβυτέρους ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις
ἀλλὰ καὶ τῶν ἀκμαζόντων πολλούς, τούτῳ [4] διατελῶ [5] τρί᾽
ἔτη μαχόμενος, οὕτω φιλοπόνως ἑκάστην τὴν ἡμέραν διά-
γων, ὥστε [6] τοὺς εἰδότας καὶ τοὺς παρὰ [7] τούτων πυνθανο-
μένους μᾶλλον [8] με θαυμάζειν διὰ τὴν καρτερίαν ταύτην ἢ
δι᾽ ἃ πρότερον ἐπῃνούμην. ἤδη δ᾽ ἀπειρηκότος καὶ διὰ τὴν b
νόσον καὶ διὰ τὸ γῆρας, τῶν ἐπισκοπούντων τινές με καὶ
πολλάκις ἀνεγνωκότων τὸ μέρος τοῦ λόγου τὸ γεγραμμένον,
290 ἐδέοντό μου καὶ συνεβούλευον μὴ καταλιπεῖν αὐτὸν ἡμιτελῆ
μηδ᾽ ἀδιέργαστον, ἀλλὰ πονῆσαι μικρὸν χρόνον καὶ προσ-
έχειν τοῖς λοιποῖς τὸν νοῦν. οὐχ ὁμοίως δὲ διελέγοντο περὶ
τούτων τοῖς ἀφοσιουμένοις, ἀλλ᾽ ὑπερεπαινοῦντες μὲν τὰ

[1] μοι om. A. C. L.
[2] ἐπῄνουν A. C. L.
[3] ἅπερ A. C. L.
[4] διετέλουν A. C. L.
[5] τριετῆ A. L.
[6] καὶ τοὺς A. C. L.
[7] τῶν εἰδότων A. C. L.
[8] με om. A. C. L.

Τοῖς εἰρημένοις] Scil. a Philolacone. LANG.

Ἅπερ ἐκεῖνος παρῄνεσε] Vid. supra §. ϟη΄. IDEM.

Ταῖς ὑπονοίαις] Ταῖς δοκήσεσι, τοῖς στοχασμοῖς. COR.

Καθ᾽ ἕκαστον] *singulatim*, i. e. ἕκαστα. WOLF.

Ἐνεστησάμην μὲν αὐτὸν] Ἐπεχείρησα αὐτῷ, ἔκρινα συγγράψαι αὐτόν. COR.

Ἔτη] Scil. xciv.

Νοσήματος] Μῶν διάῤῥοιαν λέγει, νόσημα τοῖς πρεσβυτέροις ἐπισφαλέστατον. COR.

Ἀδιέργαστον] *inelaboratam*. LANG.

Προσέχειν] Ἴσως· προσχεῖν. COR.

Τοῖς ἀφοσιουμένοις] Ἀφοσιοῦσθαι Wolf. recte explicat: τῆς ὁσίας ἕνεκά τι ποιεῖν, i. e. aliquid agere non tam ex animo, quam ut ne officium neglexisse videaris. Harpocr. τὸ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ᾽ ὥσπερ ὁσίας

c γεγραμμένα, τοιαῦτα δὲ λέγοντες, ὧν εἴ τινες ἤκουον μήτε συνήθεις ἡμῖν ὄντες μήτ᾽ εὔνοιαν μηδεμίαν ἔχοντες, οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπέλαβον τοὺς μὲν φενακίζειν, ἐμὲ δὲ διεφθάρθαι καὶ παντάπασιν εἶναι μωρὸν, εἰ πείσομαι τοῖς λεγομένοις. οὕτω δ᾽ ἔχων, [1] ἐφ᾽ οἷς εἰπεῖν ἐτόλμησαν, ἐπείσθην — τί γὰρ δεῖ [2] μακρολογεῖν;— γενέσθαι πρὸς τῇ τῶν λοιπῶν πραγματείᾳ, γεγονὼς μὲν ἔτη τρία μόνον ἀπολεί-
d ποντα τῶν ἑκατὸν, οὕτω δὲ διακείμενος ὡς ἕτερος ἔχων οὐχ ὅπως γράφειν ἂν λόγον ἐπεχείρησεν, ἀλλ᾽ οὐδ᾽ ἄλλου δεικνύοντος καὶ πονήσαντος ἠθέλησεν ἀκροατὴς γενέσθαι.

ρέ. Τίνος οὖν ἕνεκα ταῦτα διῆλθον; οὐ συγγνώμης τυχεῖν ἀξιῶν ὑπὲρ τῶν εἰρημένων — οὐ γὰρ οὕτως οἴομαι διειλέχθαι περὶ αὐτῶν —, ἀλλὰ δηλῶσαι βουλόμενος τά τε περὶ ἐμὲ [3] γεγενημένα, καὶ τῶν ἀκροατῶν ἐπαινέσαι μὲν τοὺς τόν τε λόγον ἀποδεχομένους τοῦτον καὶ τῶν ἄλλων σπου-
e δαιοτέρους καὶ φιλοσοφωτέρους εἶναι νομίζοντας [4] τοὺς διδασκαλικοὺς καὶ τεχνικοὺς τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους τῶν τὰς δόξας τῶν ἀκροωμένων παρακρούεσθαι ζητούν-
290 των, καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων, συμβουλεῦσαι δὲ τοῖς τἀναντία τούτων γιγνώσκουσι πρῶτον μὲν μὴ πιστεύειν ταῖς αὑτῶν γνώμαις, μηδὲ νομίζειν ἀληθεῖς εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥᾳθυμούντων γιγνομένας, ἔπειτα μὴ προπετῶς ἀποφαίνεσθαι περὶ ὧν οὐκ ἴσασιν, ἀλλὰ περιμένειν ἕως ἂν ὁμονοῆσαι δυνηθῶσι τοῖς τῶν ἐπι-

[1] ὡς ἴσως ἂν εἰπεῖν τινὲς ἐτόλμ. A. C. L.
[2] μακρὸν λόγον γενέσθαι περὶ τὴν τῶν λοιπῶν πραγματείαν;) A. C. L.
[3] γινόμενα A. L. γενόμενα C.
[4] τούς τε διδ. A. C. L.

ἕνεκεν. Lang.

Διεφθάρθαι] Προσυπακουστέον τὸν νοῦν ἢ τὴν φρόνησιν. Cor.

Οὕτω δὲ διακείμενος] I. e. quod ad valetudinem et animum laborandi. Lang.

Ὑπὲρ τῶν εἰρημένων] I. e. postremæ orationis parti. Reliqui parum accurate: *orationi meæ*. Idem.

Περὶ αὐτῶν] Num εἰρημένων? num πραγμάτων, i. e. de rebus quas in altera orationis parte tractavi? Aut posterius verum, aut περὶ αὐτῶν suspectum est. Idem.

Καὶ τῶν ἀκροατῶν ἐπαινέσαι] Pro καὶ βουλόμενος ἐπαινέσαι τούτους ἀκροατὰς τοὺς μὲν etc. Idem. Τὸ ἑξῆς· Καὶ [ἐκείνους] τῶν ἀκροατῶν ἐπαινέσαι τοὺς ἀποδεχομένους τοῦτόν τε τὸν λόγον, καὶ νομίζοντας τούς τε διδασκαλικοὺς καὶ τεχνικοὺς τῶν ἄλλων λόγων εἶναι σπουδαιοτέρους τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους [εἶναι σπουδαιοτέρους] τῶν τὰς δόξας κ. τ. λ. Cor.

Συμβουλεῦσαι δὲ] Repete βουλόμενος. Respondet τῷ ἐπαινέσαι μὲν in antecedentibus. Lang.

Τῶν ἐπιδεικνυμένων π. ἐμπ. ἔχουσι] iis *qui harum rerum experientiam se habere ostenderunt.* est enim oppositum τῷ τῶν

δεικνυμένων πολλὴν ἐμπειρίαν ἔχουσι· τῶν γὰρ οὕτω [1] διοικούντων τὰς ἑαυτῶν διανοίας οὐκ ἔστιν ὅπως ἄν τις τοὺς τοιούτους ἀνοήτους εἶναι νομίσειεν.

[1] διηκόντων διανοίας A. C. L.

ῥαθυμούντων, quod præcessit. Positum est pro : τοῖς, οἳ ἐπιδεικνύμενοί εἰσιν αὑτοὺς ἔχειν πολλὴν ἐμπειρίαν. Reliqui perperam : *qui de iis, quæ ostenduntur orationibus, peritissime judicant.* Lang. Ἔστι δὲ καὶ ἄλλως ἑρμηνεῦσαι τὸ χωρίον· Ἐκείνοις τῶν ἐπιδεικνυμένων, τουτέστι, τῶν πρὸς τὰς ἐπιδείξεις γραφόντων, οἳ πολλὴν ἔχουσιν ἐμπειρίαν. Ἀλλ᾽ ἴσως ἄμεινον τῇ Οὐολφιανῇ στέργειν ἐκφράσει. Ὁ δὲ Λάγγιος ὀρθῶς μὲν ἴσως κατὰ μέσην ἐκδεξάμενος τὸ ῥῆμα διάθεσιν, οὐκ ὀρθῶς δὲ, δι᾽ ἣν ὑπενόησε τοῦ λόγου συνάρτησιν, εἰ γὰρ τοιοῦτόν τι λέγειν ἠβούλετο ὁ ῥήτωρ, οὐκ ἂν ἔχουσιν, ἀλλ᾽ ἔχειν, ἔγραψε. Cor.

ΙΓ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

Pag. ed. H. Steph. 291 | Pag. ed. Cor. 291

α΄. ΕΙ πάντες ἤθελον οἱ παιδεύειν ἐπιχειροῦντες ἀληθῆ λέγειν, καὶ μὴ μείζους ποιεῖσθαι τὰς ὑποσχέσεις ὧν ἔμελ-

SUMMARIUM. (α΄.) Si omnes literarum magistri non plura pollicerentur, quam quæ præstare possent, et sibi et literis melius consultum esset. (β΄.) Faciant initium Dialectici, qui, dum veritatis indagationem præ se ferunt, in eo statim mentiuntur, quod discipulis suis tradere pollicentur, quid faciendum sit, quanquam cuique notum est, tantum abesse, ut mortales rerum futurarum scientiam habeant, ut Homerus, sapientiæ laude clarissimus, etiam deos interdum introduxerit de rebus futuris deliberantes. (γ΄.) Universam porro virtutem felicitatemque, rem pretiosissimam, quatuor aut quinque minis isti offerunt sapientesque haberi cupiunt. Auro argentoque indigere se negant et parva tamen mercede discipulis tantum non immortalitatem promittunt, iisque, quos justitiam docere perhibent, minus quam ignotis confidunt; quod aliis quidem licet, virtutis ac temperantiæ magistris non licet. (δ΄.) Has aliasque id genus inconstantias si indoctorum nonnulli considerant, quid mirum est, si istos contemnunt, atque ejusmodi disputationes loquacitatem nugasque existimant? (ε΄.) Sequantur civilis eloquentiæ magistri, non minus isti reprehendendi; siquidem adeo stupidi sunt et alios habent, ut, quum deteriores orationes scribant, quam indoctorum nonnulli ex tempore habent, discipulos tamen suos, licet ingenium et usus desint, ad artem oratoriam, tanquam ad elementa literarum cognoscenda, informaturos se polliceantur, non cogitantes, quantum inter utrumque intersit, nec vanis artes pollicitationibus, sed studio augeri. (ϛ΄.) Quæ quum optanda magis quam rata sint, illos tandem conticescere velim, ne universi, huic studiorum generi dediti, inde aliquid labis trahant. (ζ΄.) Mirum autem est, eis discipulos committi, qui artem mechanicam cum ingenii opere comparant: nam literæ, ut ita dicam, immutabiles sunt, oratio non item; artisque dicendi is habetur peritissimus, qui, pro rerum dignitate, prorsus nova invenerit dixeritque, et, quod maximum est discrimen, orationem suam temporibus et decoro accommodare possit. (η΄.) Quæ inde, puto, clariora etiam fiunt, quod multi nullis eloquentiæ præceptis instructi, tam in dicendo quam in republica gerenda solertes exstiterunt. Eloquentiæ cæterarumque facultatum vis sola ab ingenio et usu pendet, quam institutio quodammodo quidem reparare, nunquam tamen effingere potest. (θ΄.) Atque facile quidem adducor, ut credam, regulas eloquentiæ, si quis bono magistro usus fuerit, addisci posse; sed usus earundem ingentem curam, animum generosum atque sagacem requirit. Sit igitur hujus artis magister non tantum ingenio, verum etiam omnibus præceptis instructus, quod non solum præceptorum explicatione, verum etiam exemplo manifestare debet. (ι΄.) Cæterum in hanc classem omnes referendi sunt sophistæ, qui recens suborti sunt. (ια΄.) Restant igitur ii, qui ante hanc nostram ætatem docere professi sunt, quomodo lites agendæ sint, eloquentiæ studium falsissimo et simul odiosissimo nomine insignientes, Dialecticisque eo pejores, quod hi, bonum finem mala via, illi malum finem bona via assequi conati sunt: nam dialecticis istis minutiis, si quis in vita insisteret, improbissimus sane evaderet, quanquam illæ ad virtutem et sapientiam ex præceptorum opinione viam muniunt, rhetorica vero hæc præcepta, etsi nihil nisi πολυπραγμοσύνην et πλεονεξίαν promittunt, ad virtutem tamen, recte adhibita, ducere possent. (ιβ΄.) Ne vero aliorum pollicitationes criminari videar, causas, quare ita judicem, facile me demonstraturum confido. Lang. Ignoratur quo tempore scripta fuerit et prolata oratio contra Sophistas. Auger.

λον ἐπιτελεῖν, οὐκ ἂν κακῶς ἤκουον ὑπὸ τῶν ἰδιωτῶν. νῦν δ᾽ οἱ τολμῶντες λίαν ἀπερισκέπτως ἀλαζονεύεσθαι πεποιήκασιν ὥστε δοκεῖν ἄμεινον βουλεύεσθαι τοὺς ῥᾳθυμεῖν αἱρουμένους τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων.

β΄. Τίς γὰρ οὐκ ἂν μισήσειεν ἅμα καὶ καταφρονήσειε b
πρῶτον μὲν τῶν περὶ τὰς ἔριδας διατριβόντων, οἳ προσποιοῦνται μὲν τὴν ἀλήθειαν ζητεῖν, εὐθὺς δ᾽ ἐν ἀρχῇ τῶν ἐπαγγελμάτων ψευδῆ λέγειν ἐπιχειροῦσιν; οἶμαι γὰρ ἅπασιν εἶναι φανερὸν ὅτι [1] τὸ τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν, ἀλλὰ τοσοῦτον ἀπέχομεν ταύτης τῆς φρονήσεως, ὥσθ᾽ Ὅμηρος ὁ μεγίστην ἐπὶ σοφίᾳ
[2] δόξαν εἰληφὼς καὶ τοὺς θεοὺς πεποίηκεν ἔστιν ὅτε βου- c
λευομένους [3] ὑπὲρ αὐτῶν, οὐ τὴν ἐκείνων γνώμην εἰδὼς, ἀλλ᾽ ἡμῖν ἐνδείξασθαι βουλόμενος ὅτι τοῖς ἀνθρώποις [4] ἓν τοῦτο τῶν ἀδυνάτων ἐστίν.

γ΄. Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἐληλύθασιν, ὥστε πειρῶνται πείθειν τοὺς νεωτέρους ὡς, ἢν αὐτοῖς [5] πλησιάζωσιν, ἅ τε πρακτέον ἐστὶν εἴσονται καὶ διὰ ταύτης τῆς ἐπιστήμης εὐδαίμονες γενήσονται. καὶ τηλικούτων ἀγαθῶν
[6] αὑτοὺς διδασκάλους καὶ κυρίους [7] καταστήσαντες, οὐκ d
292 αἰσχύνονται [8] τρεῖς ἢ τέτταρας μνᾶς ὑπὲρ τούτων αἰτοῦντες.
ἀλλ᾽ εἰ μέν τι τῶν ἄλλων κτημάτων πολλοστοῦ μέρους τῆς ἀξίας ἐπώλουν, οὐκ ἂν [9] ἠμφεσβήτησαν ὡς οὐκ εὖ φρονοῦντες τυγχάνουσι, σύμπασαν δὲ τὴν ἀρετὴν καὶ [10] τὴν εὐδαιμονίαν οὕτως ὀλίγου [11] τιμῶντες, ὡς νοῦν ἔχοντες διδάσκαλοι τῶν ἄλλων ἀξιοῦσι [12] γίγνεσθαι. καὶ λέγουσι μὲν ὡς οὐδὲν δέονται χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν πλοῦτον
ἀποκαλοῦντες, μικροῦ δὲ κέρδους ὀρεγόμενοι μόνον οὐκ ἀθα- e
νάτους ὑπισχνοῦνται τοὺς συνόντας [13] ποιήσειν. ὃ δὲ πάντων

[1] τὸ om. A. L. [2] δόξαν ἐπὶ σοφίᾳ σχὼν καὶ A. C. L. [3] περὶ A. C. L. [4] ἕν τι τοῦτο A. C. L. [5] πλησιάσωσιν A. C. L. [6] αὑτοὺς om. A. C. L. [7] σφᾶς αὐτοὺς καταστήσαντες A. C. L. [8] τέτταρας ἢ πέντε A. C. L. [9] ἠμφισβήτησαν A. C. L. [10] τὴν om. L. [11] πωλοῦντες A. C. L. [12] γενέσθαι A. L. [13] ποιήσειν τοὺς αὐτοῖς συνόντας A. C. L.

Τὴν φιλοσοφίαν] *liberalem cognitionem*, quæ significatio ex tota hac oratione egreditur. LANG.

Πρῶτον μὲν] Huic respondet §. ε΄. οὐ μόνον δὲ. AUGER.

Διατριβόντων] Puto vel ex superiore periodo huc quoque translatum vel a scholiaste adjectum. Legere malim ὄντων, ne idem verbum tam cito recurrat. WOLF. Cui assentitur Augerus.

Περὶ αὐτῶν] Id est, τῶν μελλόντων. LANG.

Πολλοστοῦ — ἐπώλουν] *minutissima parte pretii venderent*. IDEM.

καταγελαστότατον, ὅτι παρὰ [1] μὲν ὧν δεῖ [2] λαβεῖν αὐτοὺς,
292 τούτοις μὲν ἀπιστοῦσιν, οἷς μέλλουσι τὴν δικαιοσύνην πα-
ραδώσειν, ὧν δ᾽ οὐδεπώποτε διδάσκαλοι γεγόνασι, παρὰ
τούτοις τὰ παρὰ τῶν μαθητῶν [3] μεσεγγυοῦνται, πρὸς μὲν
τὴν ἀσφάλειαν εὖ βουλευόμενοι, τῷ δ᾽ ἐπαγγέλματι τἀ-
ναντία πράττοντες. τοὺς μὲν γὰρ ἄλλο τι παιδεύοντας
προσήκει διακριβοῦσθαι περὶ τῶν διαφερόντων — οὐδὲν γὰρ
κωλύει τοὺς περὶ ἕτερα δεινοὺς γενομένους μὴ χρηστοὺς εἶναι
b περὶ τὰ συμβόλαια —· τοὺς δὲ τὴν ἀρετὴν καὶ τὴν σωφρο-
σύνην [4] ἐνεργαζομένους πῶς οὐκ ἄλογός ἐστι μὴ [5] [οὐ] τοῖς
μαθηταῖς [6] μάλιστα πιστεύειν; οὐ γὰρ δήπου περὶ τοὺς
ἄλλους ὄντες καλοὶ κἀγαθοὶ καὶ δίκαιοι περὶ τούτους ἐξα-
μαρτήσονται, δι᾽ οὓς τοιοῦτοι γεγόνασιν.

δ΄. Ἐπειδὰν οὖν τῶν ἰδιωτῶν τινὲς, ἅπαντα ταῦτα συλ-
λογισάμενοι, κατίδωσι τοὺς τὴν σοφίαν διδάσκοντας καὶ τὴν
εὐδαιμονίαν παραδιδόντας αὐτούς τε πολλῶν δεομένους καὶ
c τοὺς μαθητὰς μικρὸν πραττομένους, καὶ τὰς ἐναντιώσεις
ἐπὶ μὲν τῶν [7] λόγων τηροῦντας, ἐπὶ δὲ τῶν ἔργων μὴ καθο-
ρῶντας, ἔτι δὲ περὶ μὲν [8] τῶν μελλόντων εἰδέναι προσποι-
ουμένους, περὶ δὲ τῶν παρόντων μηδὲν τῶν δεόντων μήτ᾽
εἰπεῖν μήτε συμβουλεῦσαι δυναμένους, ἀλλὰ μᾶλλον ὁμονο-
οῦντας καὶ πλείω κατορθοῦντας τοὺς ταῖς δόξαις χρωμένους
ἢ τοὺς τὴν ἐπιστήμην ἔχειν ἐπαγγελλομένους, εἰκότως οἶμαι
d καταφρονοῦσι, καὶ νομίζουσιν ἀδολεσχίαν καὶ μικρολογίαν 293
ἀλλ᾽ οὐ τῆς ψυχῆς ἐπιμέλειαν εἶναι τὰς τοιαύτας [9] δια-
τριβάς.

έ. Οὐ μόνον δὲ τούτοις ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι· καὶ γὰρ ἐκεῖνοι

[1] μὲν om. A. C. L. [2] λαμβάνειν A. C. L. [3] μεσεγγυῶνται A. C. L. [4] ἐργαζομένους A. C. L. [5] uncos om. A. C. L. [6] μᾶλλον A. C. L. [7] λογιδίων A. C. L. [8] τῶν μελλόντων μὲν A. C. L. [9] τὰς διατριβὰς τὰς τοιαύτας A. C. L.

Λαβεῖν] Scil. ἀργύριον. Idem.

Τὰ παρὰ τῶν μαθητῶν] Scil. λαμβάνειν δέοντα, μεσεγγυῶνται, caveri sibi volunt. Idem.

Περὶ τῶν διαφερόντων] de rebus magni momenti, i. e. de mercede. Idem.

Τοὺς δὲ — ἐργαζομένους] Τοὺς ἐκ τοῦ διδάσκειν τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην τὰ πρὸς τὸ ζῆν ποριζομένους. Cor.

Τοὺς μαθητὰς μικρὸν πραττομένους] a discipulis mercedulam exigentes. Wolf. Recte. Lang.

Τὰς ἐναντιώσεις] Τὰς ἀντιφάσεις. Cor.

Ταῖς δόξαις] Ταῖς ὑπολήψεσι, ταῖς ἀλόγοις γνώσεσι, ἀντιδιεσταλμένως πρὸς τὴν ἐπιστήμην, ἥτις ἐστὶ μετὰ λόγου γνῶσις. Idem.

Μικρολογίαν] Περὶ μικρῶν καὶ οὐδενὸς ὡς εἰπεῖν ἀξίων πραγμάτων διατριβὴν, καὶ ὡς ἄν τις φαίη μωρολογίαν. Idem.

τῆς μὲν ἀληθείας οὐδὲν φροντίζουσιν, ἡγοῦνται δὲ τοῦτ᾽
εἶναι τὴν τέχνην, ἣν ὡς πλείστους τῇ [1] μικρότητι τοῦ μισθοῦ
καὶ τῷ μεγέθει τῶν ἐπαγγελμάτων προσαγάγωνται καὶ
λαβεῖν τι παρ᾽ αὐτῶν δυνηθῶσιν· οὕτω δ᾽ ἀναισθήτως
αὐτοί τε διάκεινται καὶ τοὺς ἄλλους ἔχειν ὑπειλήφασιν, e
ὥστε χεῖρον γράφοντες τοὺς λόγους ἢ τῶν ἰδιωτῶν τινὲς αὐ-
τοσχεδιάζουσιν, ὅμως ὑπισχνοῦνται τοιούτους ῥήτορας τοὺς
συνόντας ποιήσειν ὥστε μηδὲν τῶν ἐνόντων ἐν τοῖς πράγμασι
παραλιπεῖν· καὶ ταύτης τῆς δυνάμεως οὐδὲν οὔτε ταῖς 293
ἐμπειρίαις οὔτε τῇ φύσει [2] τῇ τοῦ μαθητοῦ μεταδιδόασιν,
ἀλλά φασὶν ὁμοίως τὴν τῶν λόγων ἐπιστήμην ὥσπερ τὴν
τῶν γραμμάτων παραδώσειν, ὡς μὲν ἔχει τούτων ἑκάτερον
οὐκ ἐξετάσαντες, οἰόμενοι δὲ διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγ-
γελμάτων αὐτοί τε θαυμασθήσεσθαι καὶ τὴν παίδευσιν
τὴν τῶν λόγων πλείονος ἀξίαν δόξειν εἶναι, κακῶς εἰδότες
ὅτι μεγάλας ποιοῦσι τὰς τέχνας οὐχ οἱ τολμῶντες ἀλαζο- b
νεύεσθαι περὶ αὐτῶν, ἀλλ᾽ οἵτινες ἄν, ὅσον ἔνεστιν ἐν ἑκάστῃ,
τοῦτ᾽ ἐξευρεῖν δυνηθῶσιν.

ς΄. Ἐγὼ δὲ πρὸ πολλῶν [3] μὲν ἂν χρημάτων ἐτιμησάμην
τηλικοῦτον δύνασθαι τὴν φιλοσοφίαν, ὅσον οὗτοι λέγου-
σιν — ἴσως γὰρ [4] οὐκ ἂν ἡμεῖς πλεῖστον ἀπελείφθημεν,
οὐδ᾽ ἂν ἐλάχιστον μέρος ἀπελαύσαμεν αὐτῆς —· ἐπειδὴ
δ᾽ οὐχ οὕτως ἔχει, βουλοίμην ἂν παύσασθαι τοὺς φλυα-
ροῦντας· ὁρῶ γὰρ οὐ μόνον περὶ τοὺς ἐξαμαρτάνοντας τὰς
βλασφημίας γιγνομένας, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας c
συνδιαβαλλομένους, τοὺς περὶ τὴν [5] αὐτὴν διατριβὴν ὄντας.

ζ΄. Θαυμάζω δ᾽ ὅταν ἴδω τούτους [6] μαθητῶν ἀξιουμέ-
νους, οἳ ποιητικοῦ πράγματος τεταγμένην τέχνην παρά-

[1] σμικρότητι A. C. L. [2] τῇ om. A. C. L. [3] μὲν om. A. C. L.
[4] οὔτ᾽ A. C. L. [5] ταύτην τὴν A. C. L. [6] τῶν μαθητῶν A. L. [τῶν] μαθητῶν C.

Παραλιπεῖν] Ἄμεινον· παραλείπειν. Idem.

Ταῖς ἐμπειρίαις] *usui*, vel *exercitationi*. Vid. §. η΄. Lang.

Τὴν φιλοσοφίαν] H. l. sensu strictiori *rhetoricam*. Idem.

Πλεῖστον ἀπελείφθημεν] *postremi essemus*, si nempe rhetorica ingenium, i. e. facultatem oratoriam in universum, efficere posset. Deerat Isocrati vox et audacia. Idem.

Ἀπελαύσαμεν αὐτῆς] *neque fructus inde minimos caperemus*. Idem.

Ποιητικοῦ πράγματος] Ποιητικὸν πρᾶγμα est id cujus post actionem opus aliquod remanet quod oculis adspicitur. Talis est scribendi actio; ubi desiit, in conspectu manet id quod scriptum est. Sed dicere est πρακτικόν, np. v. g. ubi peroravit Demosthenes et actio desiit, opus nullum cernitur. Auger. *qui non animadvertunt se comparare artem regulis penitus definitum cum opere ingenii*, quod regulis non

δειγμα φέροντες λελήθασι σφᾶς αὐτούς. τίς γὰρ οὐκ οἶδε
πλὴν τούτων ὅτι τὸ μὲν τῶν γραμμάτων ἀκινήτως ἔχει 294
καὶ μένει κατὰ ταὐτὸν, ὥστε τοῖς αὐτοῖς ἀεὶ περὶ τῶν αὐ-
d τῶν χρώμενοι διατελοῦμεν, τὸ δὲ τῶν λόγων πᾶν τοὐναν-
τίον πέπονθε· τὸ γὰρ ὑφ' ἑτέρου ῥηθὲν τῷ λέγοντι μετ'
ἐκεῖνον οὐχ ὁμοίως χρήσιμόν ἐστιν, ἀλλ' οὗτος εἶναι δοκεῖ
τεχνικώτατος, ὅς [1] τις ἂν ἀξίως μὲν λέγῃ τῶν πραγμάτων,
μηδὲν δὲ τῶν αὐτῶν τοῖς ἄλλοις εὑρίσκειν δύνηται. μέγιστον
δὲ σημεῖον τῆς ἀνομοιότητος αὐτῶν· τοὺς μὲν γὰρ λόγους
οὐχ οἷόν τε καλῶς ἔχειν, ἢν μὴ τῶν καιρῶν καὶ τοῦ [2] πρε-
πόντως καὶ καινῶς ἔχειν μετάσχωσι, τοῖς δὲ γράμμασιν
e οὐδενὸς τούτων προσεδέησεν. ὥσθ' οἱ χρώμενοι τοῖς τοιούτοις
παραδείγμασι πολὺ ἂν δικαιότερον ἀποτίνοιεν ἢ λαμβά-
νοιεν ἀργύριον, ὅτι πολλῆς ἐπιμελείας [3] αὐτοὶ δεόμενοι παι-
δεύειν [4] τοὺς ἄλλους ἐπιχειροῦσιν.

η'. Εἰ δὲ δεῖ μὴ μόνον [5] κατηγορεῖν τῶν ἄλλων ἀλλὰ
294 καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν, ἡγοῦμαι πάντας ἄν μοι
τοὺς εὖ φρονοῦντας συνειπεῖν ὅτι πολλοὶ μὲν τῶν φιλοσο-
φησάντων ἰδιῶται διετέλεσαν ὄντες, ἄλλοι δέ τινες οὐδενὶ
πώποτε συγγενόμενοι τῶν σοφιστῶν καὶ λέγειν καὶ πολι-
τεύεσθαι δεινοὶ γεγόνασιν. αἱ μὲν γὰρ δυνάμεις καὶ τῶν
λόγων καὶ τῶν ἄλλων ἔργων ἁπάντων ἐν τοῖς εὐφυέσιν ἐγ-
γίγνονται καὶ τοῖς περὶ τὰς ἐμπειρίας γεγυμνασμένοις· ἡ
δὲ παίδευσις τοὺς μὲν τοιούτους τεχνικωτέρους καὶ πρὸς τὸ
b [6] ζητεῖν εὐπορωτέρους ἐποίησεν — οἷς γὰρ [7] νῦν ἐντυγχά-
νουσι πλανώμενοι, ταῦτ' ἐξ ἑτοιμοτέρου λαμβάνειν [8] αὐ-

[1] τις om. A. C. L. [2] πρέποντος ἱκανῶς μετάσχωσι A. C. L. [3] οὗτοι C. L.
[4] τοὺς ἄλλους παιδεύειν A. C. L. [5] κατηγορῆσαι A. C. L. [6] ζῆν A. L.
[7] καὶ νῦν A. C. L. [8] αὐτοὺς om. A. C. L.

totum comprehendi potest, sed præterea alia quædam requirit, quæ, quum ignota nobis sint, doceri non possunt, quæque ingenium appellamus. πρᾶγμα ποιητικὸν est opus, quod ποίησιν, i. e. inventio seu ingenium, requirit, quod regulis comprehendi ideoque doceri nequit; τέχνη autem τεταγμένη (h. l. elementorum literarum cognitio), ars penitus definita regulis est, quæ ideo quoque penitus doceri potest. Reliqui interpretes male hunc locum intellexerunt. Cæterum *aliquid in exemplum alterius rei afferre*, seu *aliquid cum alia re comparare*, ut nos vertimus, idem esse, vix est commemorandum. IDEM. Ὁ νοῦς· Οἱ ἀγνοοῦσι φέροντες παράδειγμα τέχνην τεταγμένην, καὶ οὐδὲν ἀδιόριστον ἔχουσαν, τὴν ἐπιστήμην δηλονότι τῶν γραμμάτων, ἥπερ ἐστὶ πρᾶγμα ποιητικὸν, καὶ διὰ τοῦτο οὐδὲν ἔχει κοινὸν πρὸς τὴν τῶν λόγων ἐπιστήμην, πρᾶγμα οὖσαν πρακτικόν. COR.

Μηδὲν δὲ τῶν αὐτῶν τοῖς ἄλλοις] *quod sit ab aliorum inventione diversum.* LANG.

Αὐτῶν] I. e. λόγων καὶ γραμμάτων. IDEM.

Οἷς — ἐντυγχάνουσι πλανώμενοι] *quæ forte fortuna errantes inveniunt.* IDEM.

τοὺς ἐδίδαξε —, τοὺς δὲ καταδεεστέραν τὴν φύσιν ἔχοντας
ἀγωνιστὰς μὲν ἀγαθοὺς ἢ λόγων ποιητὰς οὐκ ἂν ἀποτε-
λέσειεν, αὐτοὺς δ' ἂν αὐτῶν [1] προαγάγοι καὶ πρὸς πολλὰ
[2] φρονιμωτέρως διακεῖσθαι ποιήσειεν.

θ'. Βούλομαι δ', ἐπειδήπερ [3] εἰς τοῦτο προῆλθον, ἔτι
σαφέστερον εἰπεῖν περὶ αὐτῶν. Φημὶ γὰρ ἐγὼ τῶν μὲν ἰδεῶν, c
ἐξ ὧν τοὺς λόγους ἅπαντας καὶ λέγομεν καὶ συντίθεμεν,
λαβεῖν [4] τὴν ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν, ἤν
295 τις αὑτὸν παραδιδῷ μὴ τοῖς ῥᾳδίως ὑπισχνουμένοις ἀλλὰ
τοῖς εἰδόσι [5] τι περὶ αὐτῶν· τὸ δὲ τούτων ἐφ' ἑκάστῳ τῶν
πραγμάτων, ἃς δεῖ [6] προελέσθαι καὶ μίξαι πρὸς ἀλλήλας
καὶ τάξαι κατὰ τρόπον, ἔτι δὲ [7] τῶν καιρῶν μὴ διαμαρ-
τεῖν, ἀλλὰ καὶ τοῖς ἐνθυμήμασι πρεπόντως ὅλον τὸν λόγον d
καταποικῖλαι καὶ τοῖς ὀνόμασιν εὐρύθμως καὶ μουσικῶς
εἰπεῖν, ταῦτα δὲ πολλῆς ἐπιμελείας [8] δεῖσθαι καὶ ψυχῆς
ἀνδρικῆς καὶ δοξαστικῆς ἔργον [9] εἶναι, καὶ δεῖν τὸν μὲν
μαθητὴν πρὸς τῷ τὴν φύσιν ἔχειν οἵαν χρὴ τὰ μὲν εἴδη
[10] τὰ τῶν λόγων μαθεῖν, περὶ δὲ τὰς χρήσεις αὐτῶν γυμνα-
σθῆναι, τὸν δὲ διδάσκαλον τὰ μὲν οὕτως ἀκριβῶς [11] οἷόν τ'
εἶναι διελθεῖν ὥστε μηδὲν τῶν διδακτῶν παραλιπεῖν, περὶ e
δὲ τῶν λοιπῶν τοιοῦτον αὑτὸν παράδειγμα παρασχεῖν ὥστε
τοὺς ἐκτυπωθέντας καὶ [12] μιμήσασθαι δυναμένους εὐθὺς
ἀνθηρότερον καὶ χαριέστερον τῶν ἄλλων φαίνεσθαι λέγον-
τας. καὶ τούτων μὲν [13] ἁπάντων συμπεσόντων [14] τελείως

[1] προαγάγοιτο A. C. L. [2] φρονιμώτερον A. C. L. [3] ἐνταῦθα προῆλθον A. C. L. [4] τὴν om. A. C. L. [5] τι om. A. C. L. [6] προδιελέσθαι καὶ μίξασθαι A. C. L. [7] καὶ τῶν A. C. L. [8] δεῖται A. C. L. [9] ἐστί. καὶ δεῖ A. C. L. [10] τὰ om. A. C. L. [11] ὡς οἷόν A. [12] μιμεῖσθαι δυνηθέντας A. C. L. [13] πάντων A. C. L. [14] τὸ τέλειον A. C. L.

Αὐτῶν προαγάγοι] *effecerit ut semetipsis superiores sint.* Wolf.

Τῶν μὲν ἰδεῶν] Per ἰδεάς opinor, non tantum genera causarum, sed τέχνας, i. e. omnia rhetorum præcepta et circumstantias intelligendas esse. Idem.

Προδιελέσθαι καὶ μίξασθαι] Ἴσως· προελέσθαι καὶ μίξαι. Ὁ νοῦς· Τὸ δὲ τούτων τῶν ἰδεῶν ἃς δεῖ πρὸ τῶν ἄλλων ἐκλέξασθαι καὶ μίξαι πρὸς ἀλλήλας, ὅ ἐστι, συναρμόσαι (ὡς αὐτὸς ἀλλαχοῦ π. Ἀντιδ. §. ε'. εἴρηκε) καὶ τὰς ἐπιφερομένας οἰκειῶσαι ταῖς προειρημέναις καὶ πάσας ποιῆσαι σφίσιν αὐταῖς ὁμολογουμένας. Cor.

Δοξαστικῆς] I. e. acuti, sagacis, qui mox intelligit, quod rebus, personis, locis, temporibus conveniat. Wolf.

Παραλιπεῖν] Ἴσως· παραλείπειν. Cor.

Περὶ τῶν λοιπῶν] *de reliquis,* i. e. de orationis formarum usu. Auger. *in reliquis.* Wolf. exercitationem et imitationem intelligit, quod probo. Lang.

Ἐκτυπωθέντας] Pro ἐκτυπώσαντας. *ut illi qui expresserint, qui effinxerint, propositum exemplum.* Sic enim exponere malo, quam *formatos* aut *expressos,* i. e. edoctos a magistro. Wolf. Ἄμεινον εἰς ἐκτυπώσαντας ἢ γοῦν εἰς ἐκτυπωσαμένους τρέπειν τὴν λέξιν. Cor.

295 ἕξουσιν οἱ φιλοσοφοῦντες· καθ' ὃ δ' ἂν [1] ἐλλείφθῃ τι τῶν
εἰρημένων, ἀνάγκη ταύτῃ [2] χεῖρον διακεῖσθαι τοὺς πλη-
σιάζοντας.

ι'. Οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμενοι καὶ νεω-
στὶ προσπεπτωκότες ταῖς ἀλαζονείαις, εἰ καὶ νῦν πλεονά-
ζουσιν, [3] εὖ οἶδ' ὅτι πάντες ἐπὶ ταύτην κατενεχθήσονται
τὴν ὑπόθεσιν.

ια'. Λοιποὶ δ' ἡμῖν [4] εἰσὶν οἱ πρὸ ἡμῶν γενόμενοι καὶ
τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες, οὓς οὐκ
ἀφετέον ἀνεπιτιμήτους· οἵτινες ὑπέσχοντο δικάζεσθαι διδά-
b ξειν, ἐκλεξάμενοι τὸ δυσχερέστατον τῶν ὀνομάτων, ὃ τῶν
φθονούντων ἔργον ἦν λέγειν, ἀλλ' οὐ τῶν προεστώτων τῆς
τοιαύτης παιδεύσεως, καὶ ταῦτα τοῦ πράγματος, καθ'
ὅσον ἐστὶ διδακτὸν, οὐδὲν μᾶλλον πρὸς τοὺς δικανικοὺς
λόγους ἢ πρὸς τοὺς ἄλλους ἅπαντας ὠφελεῖν δυναμένου.
τοσούτῳ δὲ χείρους ἐγένοντο τῶν περὶ τὰς ἔριδας καλινδου-
c μένων, ὅσον οὗτοι μὲν τοιαῦτα λογίδια διεξιόντες, οἷς εἴ τις
ἐπὶ τῶν πράξεων ἐμμείνειεν εὐθὺς ἂν ἐν πᾶσιν εἴη [5] κακοῖς,
ὅμως ἀρετὴν ἐπηγγείλαντο καὶ σωφροσύνην [6] περὶ αὐτῶν· 296
ἐκεῖνοι δ' ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες,
ἀμελήσαντες τῶν ἄλλων τῶν προσόντων αὐτοῖς ἀγαθῶν,
πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι διδά-
σκαλοι. καίτοι τοὺς βουλομένους πειθαρχεῖν τοῖς ὑπὸ τῆς
φιλοσοφίας ταύτης προσταττομένοις πολὺ ἂν θᾶττον πρὸς

[1] ἐλλείπῃ A. C. L. [2] χείρους εἶναι τοὺς A. C. L. [3] εὖ om. A. C. L.
[4] εἰσὶν ἡμῖν A. C. L. [5] κακὸς A. C. L. [6] ὑπὲρ A. C. L.

Τοὺς πλησιάζοντας] Τοὺς μαθητάς. Idem.

Πλεονάζουσιν] *redundant, vel magnam turbam efficiunt.* Lang. Coraes ταῖς ἀλαζονείαις cum πλεονάζουσι conjungi mavult, καθ' ὑπερβιβασμὸν pro εἰ καὶ νῦν πλεονάζουσι ταῖς ἀλαζονείαις, i. e. πλέον τοῦ δέοντος καὶ πέρα τοῦ μετρίου ἀλαζονεύονται. Cf. Archid. §. ις'. ιθ'.

Ἐπὶ ταύτην κατενεχθήσονται τὴν ὑπόθ.] *hisce criminibus obnoxii erunt, vel huc trahi poterunt.* Ex Wolfii sententia ita quoque explicari potest: *hoc scriptum exagitabunt.* Lang. Ἐφ' ὃ ἐγὼ ἐξ ἀρχῆς ὑπεθέμην καταντήσουσι καὶ ἄκοντες, τὸ ὁμολογῆσαι δηλαδὴ, ὅτι τὸ λόγους γράφειν ῥητορικοὺς πολλῆς ἐπιμελείας καὶ ἐμπειρίας δεῖται, καὶ πρὸς τούτοις εὐφυίας τῆς τοῦ γράφοντος. Cor.

Τέχνας] Intellige τέχνας δικανικὰς, *artes forenses.* Auger. Τὰς ῥητορικὰς τέχνας λέγει. Cor.

Ὑπὲρ αὐτῶν] Scil. τῶν λογιδίων. *præter contentiones dialecticas.* Lang. Ὁ νοῦς· Οἱ διδάσκοντες καὶ διαλεγόμενοι τὰ ἐριστικὰ λογίδια, καίπερ βλάπτειν μᾶλλον ἢ ὠφελεῖν πεφυκότα, ὁμῶς ἀντ' αὐτῶν ἐπηγγείλαντο τοῖς διδασκομένοις ἀρετὴν, τουτέστιν, ἀπεφήναντο ἄνδρας αὐτοὺς καλοὺς κἀγαθοὺς γενήσεσθαι, εἰ μάθοιεν. Cor.

Αὐτοῖς] Scil. τοῖς πολιτικοῖς λόγοις. Auger.

Ὑπέστησαν] *susceperunt, professi sunt.* Lang.

Τοῖς ὑπὸ — προσταττομένοις] *præceptis eloquentiæ civilis.* quæ si, ut potest, et viros fortes laudat, improbos vituperat, honesta et utilia laudat, etc.; illa ad ἐπιείκειαν maxime conferre potest. Idem.

ἐπιείκειαν ἢ πρὸς ῥητορείαν [1]ὠφελήσειεν. καὶ μηδεὶς οἰέσθω d
με λέγειν ὡς ἔστι δικαιοσύνη διδακτόν· ὅλως μὲν γὰρ οὐδε-
μίαν ἡγοῦμαι τοιαύτην εἶναι [2]τέχνην, ἥτις τοῖς κακῶς πεφυ-
κόσι πρὸς ἀρετὴν σωφροσύνην ἂν [3]ἢ δικαιοσύνην ἐμποιήσειεν·
οὐ μὴν ἀλλὰ [4]συμπαρακελεύσασθαί γε καὶ συνασκῆσαι
μάλιστ' ἂν οἶμαι τὴν τῶν πολιτικῶν ἐπιμέλειαν.

ιβ'. Ἵνα δὲ μὴ δοκῶ τὰς μὲν τῶν ἄλλων ὑποσχέσεις e
[5]διαλύειν, αὐτὸς δὲ μείζω λέγειν τῶν ἐνόντων, ἐξ ὧνπερ αὐ-
τὸς ἐπείσθην οὕτω ταῦτ' ἔχειν, ῥᾳδίως οἶμαι καὶ τοῖς
ἄλλοις φανερὸν καταστήσειν.

[1] ὠφελήσειαν A. C. L.
[2] τέχνην τοιαύτην εἶναι A. C. L.
[3] ἢ δικαιοσύνην ἂν ἐμπ. A. C. L.
[4] καὶ συμπαρασκευάσασθαί A. C. L.
[5] διαβάλλειν A. C. L.

Ὠφελέσειαν] Np. οἱ τῶν πολιτικῶν λόγων διδάσκαλοι. Auger. Cor. Scil. τὰ προσταττόμενα ταῦτα. Lang.

Μείζω λέγειν τῶν ἐνόντων] *majora dicere quam ea quæ reipsa sunt.* Mihi videtur imperfectam esse hanc orationem, et ex duabus partibus quas continere debuit, unam tantummodo fuisse tractatam, alteram tractandam quidem oratorem suscepisse, sed intactam reliquisse. Imo quæ nunc dicitur oratio contra Sophistas, nihil aliud est fortassis quam prologus longior orationis in qua id probare propositum fuit, ejusmodi esse eloquentiæ studium ut nos ad omnes virtutes parare possit et informare : quæ oratio vel deperdita fuit lapsu temporis, prologo tantum servato; vel de industria ab Isocrate non scripta fuit, ob aliquam causam nobis ignotam. Auger. Cui assentitur Coraes et laudat Helen. Encom. §. η'.

ΙΔ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΛΑΤΑΙΚΟΣ.

Pag. ed. H. Steph. 296 — Pag. ed. Cor. 297

α΄. ΕΙΔΟΤΕΣ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους καὶ τοῖς εὐεργέταις

SUMMARIUM. (α΄.) *Exordium.* Vestra, viri Athenienses, justitia gratoque animo freti, venimus supplicaturi, ne nos, tempore pacis, a Thebanis everti sinatis, præsertim quum omni culpa vacemus, eaque quæ petimus, nihil periculi habeant. (β΄.) Quodsi Thebani soli contra nos perorarent, paucis profecto opus esset; sed quum præstantissimos etiam causæ patronos e pecunia nostra sibi conciliarunt, res erit prolixius explicanda. (γ΄.) Tanta fuit illorum iniquitas ac violentia, ut, quod maxime dolemus, pace constituta, ne moderatam quidem servitutem impetrare potuerimus. (δ΄.) Oramus igitur vos, ut supplices nos et amicos vestros benevole audiatis; reputantes, etiam Thebanos inimicos vestros in libertatem a vobis restitutos esse. (ε΄.) Quid factum sit, non ignoratis; urbem nostram everterunt agrumque diviserunt; de causis tantum, quas illi interserunt, præmonendi estis. (ϛ΄.) *Confirmatio.* Tributa pendere recusasse nobis objiciunt; at persuasione eo aut vi adigendi eramus, non servitute opprimendi, quum fœdera quemvis sui juris esse jubeant. Hic agrum potius nostrum quam tributum concupivisse eos, apparet. (ζ΄.) Verum quidem est, quod illi perhibent, a Lacedæmoniorum partibus nos stetisse; (η΄.) at hoc inviti fecimus utque alii Græcorum coacti. Cavendum est igitur, ne talis Thebanorum insolentia multos Græcos, qui antea Lacedæmoniorum imperium oderunt, in horum societate salutem quærere cogat. (θ΄.) Cogitate porro, vos proximum bellum suscepisse eorum causa, quibus contra jusjurandum et fœdus libertas erepta erat. Quodsi iniquum putatis, alias civitates Lacedæmoniis servire, a Thebanis nos everti ne patiamini; qui dum Lacedæmonios ob Cadmeam occupatam accusant, ipsi aliorum mœnia subruunt, alios funditus perdunt, ac tanta sunt impudentia et improbitate, ut, suæ salutis curam ab omnibus haberi sociis postulantes, ipsi alios servitute opprimendi potestatem sibi arrogent. (ι΄.) Jam præter alias improbitates se ob commune sociorum commodum hæc fecisse dictitant, non cogitantes, hæc deliberanda prius fuisse cum sociis quam excusanda. Opes nostras privatim diripuerunt, crimen omnibus commune esse volunt, quod propter jusjurandum ac fœdera minime in vos recipietis. In omnibus isti legationibus nil nisi libertatem et fœdera jactitabant: postquam autem sibi licere putant facere, quidquid libuerit, lucra privata ac violentiam defendere audent, quasi e re sociorum sit, quod fecerint. (ια΄.) Neque illud quidem dicere poterunt, metuendum esse, ne, recuperata regione nostra, ad Lacedæmonios deficiamus: (ιβ΄.) nos enim semper fideliores vobis fuimus quam Thebani, qui, ut veteres proditiones omittam, primum in bello Corinthiaco, deinde Cadmea occupata vestris conservati auxiliis, ad Lacedæmonios transierunt, jurejurando illis pollicentes, se illos contra vos secuturos esse. (ιγ΄.) Etsi autem ipsi voluntariis his ac magnis injuriis veniam a vobis impetrarunt, tamen, quæ nos coacti fecimus, haud condonanda putant, ac studium Laconum isti objiciunt aliis, quos diutissime Lacedæmoniis serviisse et pro illorum imperio promptius quam de propria salute contra vos dimicasse constat. Quod, quæso, beneficium isti commemorabunt, quod par sit inimicitiis exstinguendis, quas jure a vobis subiissent? (ιδ΄.) Nulla igitur istis excusatione relicta, patroni tamen eorum dicent: Bœotiam nunc pro vestra regione

μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύσοντες μὴ περι- 297
ϊδεῖν ἡμᾶς εἰρήνης οὔσης ἀναστάτους ὑπὸ Θηβαίων [1] γεγε-
νημένους. πολλῶν δ᾽ ἤδη πρὸς ὑμᾶς καταφυγόντων καὶ δια-
πραξαμένων ἅπανθ᾽ ὅσων ἐδεήθησαν, [2] ἡγούμεθα μάλισθ᾽
ὑμῖν προσήκειν περὶ τῆς ἡμετέρας πόλεως ποιήσασθαι πρό-
νοιαν· οὔτε γὰρ ἂν [3] ἀδικώτερον οὐδένας ἡμῶν εὕροιτε τηλι-
καύταις συμφοραῖς περιπεπτωκότας, οὔτ᾽ ἐκ πλείονος χρό- b
νου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειότερον διακειμένους. ἔτι δὲ

[4] γενομένους A. C. L. [2] πολλὴν ἡγούμεθα μάλιστα προσήκειν ὑμῖν A. C. L. [3] ἀδικώτερον οὐδένας ἂν A. C. L.

propugnare, Lacedæmoniisque magni momenti futurum hoc, si Thebanorum secum conjunxerint civitatem. (ιε΄.) Ego vero Thebanorum defectionem, qua patroni eorum vos terrent, neque ratam fore neque sociis obfuturam arbitror, quum res Thebanorum ita desperatæ sint, ut propter civium discordiam ac finitimorum inimicitias vestrum potius imperium quam Lacedæmoniorum societatem inire cogantur, sicuti jam alia occasione satis declararunt. (ις΄.) Verum transeant ad Lacedæmonios: vos decet, fœdera ac pacem pluris facere quam Thebanos, ac, more majorum, probra magis quam pericula timere, præsertim quum victoria justitiæ defensores sequi soleat, (ιζ΄.) ut vestrum ac Lacedæmoniorum exemplum satis docuit; vos enim injustam Lacedæmoniorum dominationem, hi vestram dissolverunt, utrique justæ causæ defensione plures socios allicientes. (ιη΄.) Nemo igitur vestrum in defendendis injuria affectis pericula reformidet, nec socios sibi defore arbitretur, ubi ostenderitis, vos paratos esse ad bella pro defensione fœderum suscipienda. Nonne hæc ipsa causa est quare Lacedæmoniis bellum intulistis? Quid socios cogitaturos opinamini, si idem Thebanis liceret, quod Lacedæmoniis prohibituri estis, præsertim quum Thebani continuo a Lacedæmoniis steterint, nos vero, longissimum tempus vestras partes secuti, omnium mortalium miserrimi simus? (ιθ΄.) Urbe et agro omnibusque fortunis uno die spoliati, errones facti nescimus, quo nos convertamus. Parentes indigno modo ali, liberos non ea, qua illos suscepimus, spe educari dolemus. Cives a civibus, uxores a conjugibus, liberi a matribus divulsi sunt, totaque cognatio ob victus communis penuriam dissipata. Reliqua paupertatis exsiliique probra pudibundi præterimus. (κ΄.) Consideretis insuper, rogamus, et benevolentia nos et cognatione vobiscum conjunctos esse: plerique enim nostrum e vestris filiabus progeniti sumus; utque olim patriæ vestræ jus dedistis, ita nunc patriam quoque nostram reddere nobis velitis. Si singuli misericordia digni habentur, quidni tota civitas, contra omnem æquitatem eversa, vestram miserationem commoveat? (κα΄.) Vestri majores, Argivis, ob negata a Thebanis cadavera, supplicibus opitulati, vestræ civitati immortalem gloriam reliquerunt. Facta vero majorum sibi laudi ducere et de supplicibus secus statuere, turpe est. (κβ΄.) Accedit, quod nostræ preces graviores sunt et justiores Argivorum illis, utpote qui in alienam ditionem impetum fecerant, nos de patria recipienda supplicamus; illi cadaverum, nos superstitum restitutionem petimus, maximis malis oppressorum. (κγ΄.) Restituatis igitur nobis urbem et agrum, gratiamque referatis iis, qui soli Græcorum Persico bello majoribus vestris patriæ conservatæ adjutores fuimus; (κδ΄.) et nisi nostrum, regionis tamen nostræ curam geratis, in qua splendidissima virtutis vestræ monumenta relicta sunt, quæque Thebani, tanquam contumeliæ suæ documenta, certissime delebunt. Recordemini heroum illius regionis, quibus faventibus et Thebanos ipsos et reliquos Græcos in libertatem vindicastis. Cogitate, quibus essent animis majores vestri, si animadverterent, eos, qui Barbaris servire maluerint, Græcorum dominos factos, nos, qui pro tuenda libertate strenuam operam navavimus, solos e Græcis oppressos esse. (κε΄.) Mitto reliqua vobisque ipsis deliberanda relinquo, quum brevi hac oratione comprehendi vix queant. Jurisjurandi ac fœderum benevolentiæque nostræ et Thebanorum perfidiæ memores, ita de nobis statuere vos obsecramus, ut jus et æquum postulant. Lang.

Τοῖς εὐεργέταις] Cf. Panath. §. λε΄. Idem.

Ἀναστάτους] Cf. Archid. §. θ΄. et de Pace §. ζ΄. Idem.

[1] τοιούτων δεησόμενοι πάρεσμεν, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστι, [2] ἅπαντες δὲ ἄνθρωποι νομιοῦσιν ὑμᾶς [3] πειθομένους ὁσιωτάτους καὶ δικαιοτάτους εἶναι τῶν Ἑλλήνων.

β΄. Εἰ μὲν οὖν [4] μὴ Θηβαίους [5] ἑωρῶμεν ἐκ παντὸς τρόπου παρεσκευασμένους πείθειν ὑμᾶς ὡς οὐδὲν εἰς ἡμᾶς ἐξημαρτήκασι, διὰ βραχέων ἂν ἐποιησάμεθα τοὺς λόγους·
c ἐπειδὴ δὲ εἰς τοῦθ' ἥκομεν ἀτυχίας, ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους ἀλλὰ καὶ [6] τῶν ῥητόρων [7] πρὸς τοὺς [8] δυνατωτάτους, οὓς ἀπὸ τῶν ἡμετέρων αὐτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους, ἀναγκαῖον διὰ μακροτέρων δηλῶσαι περὶ αὐτῶν.

γ΄. Χαλεπὸν μὲν οὖν μηδὲν καταδεέστερον εἰπεῖν ὧν πεπόνθαμεν· ποῖος γὰρ ἂν λόγος ἐξισωθείη ταῖς ἡμετέραις 298
δυσπραξίαις; ἢ τίς ἂν ῥήτωρ ἱκανὸς γένοιτο κατηγορῆσαι τῶν Θηβαίοις εἰς ἡμᾶς ἡμαρτημένων; ὅμως δὲ πειρατέον
d οὕτως ὅπως ἂν δυνώμεθα φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. πολὺ δὲ μάλιστα ἀγανακτοῦμεν, ὅτι τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστ' εἰρήνης οὔσης καὶ συνθηκῶν γεγενημένων οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας τυχεῖν [9] ἠξιώθημεν.

δ΄. Δεόμεθα οὖν ὑμῶν, [10] ὦ ἄνδρες Ἀθηναῖοι, μετ' εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμηθέντας ὅτι πάντων ἂν
e ἡμῖν ἀλογώτατον εἴη συμβεβηκός, [11] εἰ τοῖς μὲν ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς τὴν πόλιν ὑμῶν διακειμένοις αἴτιοι γεγένησθε τῆς ἐλευθερίας, ἡμεῖς δὲ μηδ' ἱκετεύοντες ὑμᾶς τῶν αὐτῶν τοῖς ἐχθίστοις τύχοιμεν.

298 ε΄. Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ' ὅ τι δεῖ μακρολογεῖν· τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ τὴν χώραν ἡμῶν κατανενέμηνται καὶ τὴν πόλιν κατεσκάφασιν; ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατήσειν ὑμᾶς, [12] περὶ τούτων πειρασόμεθα διδάσκειν.

[1] περὶ τοιούτων A. C. L. [2] πάντες A. C. L. [3] πειθομένους νομιοῦσιν ὑμᾶς A. C. L. [4] μὴ om. A. C. L. [5] μόνους ἑωρῶμεν A. [6] πρὸς τῶν A. [7] πρὸς om. A. C. L. [8] ἱκανωτάτους A. C. L. [9] ἠξιώθημεν τυχεῖν A. C. L. [10] ὦ om. A. L. [11] εἰ Θηβαίοις μὲν τοῖς ἅπ. A. C. L. [12] , περὶ τούτων ὑμᾶς A. C. L.

Ἡμετέρων] Ἴσως ὑμετέρων, τουτέστιν, ἀπὸ τῶν ὑμετέρων πολιτῶν, τῶν Ἀθηναίων. Cor.

Αἴτιοι γεγένησθε] Cf. or. ad Phil. §. ιζ. Lang.

ϛʹ. [1] Ἐνίοτε [2] γὰρ ἐπιχειροῦσι λέγειν ὡς διὰ τοῦτο πρὸς ἡμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐτοῖς οὐκ [3] ἠθέλομεν. ὑμεῖς δʼ ἐνθυμεῖσθε πρῶτον μὲν εἰ δίκαιόν ἐστιν ὑπὲρ b
τηλικούτων ἐγκλημάτων οὕτως ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας, ἔπειτʼ εἰ προσήκειν ὑμῖν δοκεῖ μὴ πεισθεῖσαν τὴν Πλαταιέων πόλιν ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. ἐγὼ μὲν γὰρ οὐδένας ἡγοῦμαι τολμηροτέρους εἶναι τούτων, οἵτινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανίζουσι, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεομένους κοινωνεῖν ἀναγκάζουσι. πρὸς δὲ τούτοις οὐδʼ ὁμολογούμενα φαίνονται c
διαπραττόμενοι πρός τε τοὺς ἄλλους καὶ πρὸς ἡμᾶς. ἐχρῆν γὰρ αὐτοὺς, ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τʼ ἦσαν,
299 ὥσπερ τοὺς Θεσπιέας καὶ τοὺς Ταναγραίους, συντελεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν· οὐδὲν γὰρ ἂν τῶν ἀνηκέστων κακῶν ἦμεν πεπονθότες. νῦν δὲ φανεροὶ γεγόνασιν οὐ τοῦτο διαπράξασθαι βουληθέντες, ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. θαυμάζω δὲ πρὸς τί τῶν γεγενημένων [4] ἀναφέ- d
ροντες καὶ πῶς ποτὲ τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν. εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον, ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον· οὕτω γὰρ εἶχε τὸ παλαιόν· εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁμοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας αὐτονόμους κελεύουσιν [5] εἶναι.

ζʹ. Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν αὐτοὺς ἀναι- e
σχυντεῖν, ἐπʼ ἐκεῖνον δὲ τρέψεσθαι τὸν λόγον, ὡς μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν, καὶ πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς τὰ συμφέροντα πεποιήκασιν.

[1] Ἔνιοί τε C. L. [2] μὲν γὰρ τολμῶσι λέγειν A. C. L. [3] ἐθέλομεν A. C. L.
[4] ἀφορῶντες καὶ πῶς πώποτε A. C. L. [5] εἶναι κελεύουσιν A. C. L.

Συντελεῖν] *tributa pendere.* IDEM.

Ὑπὲρ τηλικούτων ἐγκλημάτων] Accipe sensu diminutivo: *ob tantilla crimina.* AUGER.

Πόλεις] H. l. pro πολιτείας. Wolf. 'omnem auctoritatem nobis eripiunt, quasi nullas ipsi respublicas haberemus.' LANG.

Οὕτω γὰρ εἶχε τὸ παλαιὸν] Τουτέστιν, ἐδασμοφόρουν τὸ πάλαι τοῖς Ὀρχομενίοις οἱ Θηβαῖοι, ἕως Ἡρακλῆς ἠλευθέρωσεν αὐτοὺς τοῦ δασμοῦ. COR. Cf. Diod. Sic. xv. 79.

Τὰς συνθήκας] Scil. Antalcidicas. Vid. Xenoph. Hellen. v. 1. 28.

Κελεύουσιν] Np. αἱ συνθῆκαι. AUGER.

Περὶ μὲν — ἀναισχυντεῖν] *impudentes fore ut hæc negent.* LANG.

Μετὰ Λακ. ἐπολεμοῦμεν] I. e. συνεμαχοῦμεν Λακεδαιμονίοις. WOLF.

Πάσῃ τῇ συμμ.] Sub. ὡς.

299 η΄. Ἐγὼ δ᾽ ἡγοῦμαι μὲν χρῆναι μηδεμίαν μήτ᾽ αἰτίαν
μήτε κατηγορίαν [1] μεῖζον δύνασθαι τῶν ὅρκων καὶ [2] τῶν
συνθηκῶν· οὐ μὴν ἀλλ᾽ εἰ δεῖ τινὰς κακῶς παθεῖν διὰ τὴν
Λακεδαιμονίων συμμαχίαν, οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων
τῶν Ἑλλήνων [3] προὐκρίθησαν δικαίως· οὐ γὰρ ἑκόντες ἀλλ᾽
ἀναγκασθέντες αὐτοῖς ἐδουλεύομεν· τίς γὰρ ἂν πιστεύσειεν
εἰς τοῦθ᾽ ἡμᾶς ἀνοίας ἐλθεῖν, ὥςτε περὶ πλείονος [4] ποιήσα-
σθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν τὴν [5] πατρίδα μᾶλλον
b ἢ τοὺς τῆς πόλεως τῆς αὑτῶν μεταδόντας; ἀλλὰ γάρ,
οἶμαι, χαλεπὸν ἦν νεωτερίζειν, αὐτοὺς μὲν μικρὰν πόλιν
οἰκοῦντας, ἐκείνων δ᾽ οὕτω μεγάλην δύναμιν κεκτημένων,
ἔτι δὲ πρὸς τούτοις ἁρμοστοῦ καθεστῶτος καὶ φρουρᾶς
ἐνούσης καὶ τηλικούτου στρατεύματος ὄντος Θεσπιᾶσιν,
ὑφ᾽ ὧν οὐ μόνον [6] ἂν θᾶττον ἢ ὑπὸ Θηβαίων διεφθάρημεν,
ἀλλὰ καὶ δικαιότερον· [7] τούτους μὲν γὰρ εἰρήνης οὔσης οὐ
c προσῆκε μνησικακεῖν περὶ τῶν τότε [8] γεγενημένων, ἐκεῖνοι
δ᾽ ἐν τῷ πολέμῳ προδοθέντες εἰκότως ἂν παρ᾽ ἡμῶν τὴν
μεγίστην δίκην ἐλάμβανον. ἡγοῦμαι δ᾽ ὑμᾶς [9] οὐκ ἀγνοεῖν 300
ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τοῖς μὲν σώμασι μετ᾽
ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ᾽ εὐνοίαις μεθ᾽
ὑμῶν ἦσαν. οὓς τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν, [10] ἢν
ἀκούσωσιν ὅτι Θηβαῖοι τὸν δῆμον τῶν Ἀθηναίων πεπείκα-
σιν ὡς οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμονίοις γενο-
d μένων; ὁ γὰρ τούτων λόγος οὐδὲν [11] ἄλλ᾽ ἢ τοῦτο φανήσεται
δυνάμενος· [12] οὐ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι κατὰ τῆς
ἡμετέρας πόλεως ἀπολωλέκασιν αὐτήν, ἀλλ᾽ ἣν ὁμοίως καὶ
κατ᾽ ἐκείνων ἕξουσιν εἰπεῖν. ὑπὲρ ὧν βουλεύεσθαι χρή, καὶ
σκοπεῖν ὅπως μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν
Λακεδαιμονίων ἡ τούτων ὕβρις [13] διαλλάξει καὶ ποιήσει τὴν
ἐκείνων συμμαχίαν αὑτῶν νομίζειν σωτηρίαν εἶναι.

[1] μείζω A. C. L. [2] τῶν om. A. C. L. [3] προεκρίθησαν A. C. L.
[4] ποιεῖσθαι A. C. L. [5] πόλιν A. C. L. [6] οὐκ ἂν ἔλαττον ἢ A. C. L.
[7] τούτοις A. C. L. [8] γενομένων A. C. L. [9] οὐδὲ τοῦτο ἀγνοεῖν A. C. L.
[10] ἂν A. C. L. [11] ἀλλ᾽ A. L. [12] οὐδὲ A. C. L. [13] διαλλάξῃ καὶ ποιήσῃ A. L.

Τοὺς τῆς πόλεως — μεταδόντας] Vid. Panath. §. λς΄. fin. LANG.

Ἁρμοστοῦ] Vocabantur ἁρμοσταὶ, inquit Suidas, magistratus qui a Lacedæmoniis in civitates sibi subjectas mittebantur. AUGER.

Καθεστῶτος] Scil. ἐν τῇ πόλει ἡμῶν. WOLF.

Προδοθέντες] relicti, deserti a nobis. LANG.

Ἣν ὁμοίως] Ἣν refer ad κατηγορίαν, sicut ἐκείνων ad τῶν ἄλλων Ἑλλήνων. AUGER.

θʹ. Ἐνθυμεῖσθε δʼ ὅτι τὸν πόλεμον ἀνείλεσθε τὸν [1] ὑπο-
γυιότατον οὐχ ὑπὲρ τῆς ὑμετέρας οὐδʼ ὑπὲρ τῆς τῶν συμ- e
μάχων ἐλευθερίας — ἅπασι γὰρ ὑπῆρχεν ὑμῖν — ἀλλʼ
ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τῆς αὐτονο-
μίας ἀποστερουμένων. ὃ δὴ καὶ πάντων σχετλιώτατον, εἰ
τὰς πόλεις ἃς οὐκ [2] ᾤεσθε δεῖν Λακεδαιμονίοις δουλεύειν,
ταύτας περιόψεσθε νῦν ὑπὸ Θηβαίων ἀπολλυμένας, οἳ 300
τοσούτου δέουσι μιμεῖσθαι τὴν πρᾳότητα τὴν ὑμετέραν,
ὥσθʼ, ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δοριαλώτους γενέ-
σθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν παθεῖν ὑπὸ ταύτης τῆς
πόλεως ἢ τούτων τυχεῖν [3] ὁμόρους ὄντας· οἱ μὲν γὰρ ὑφʼ ὑμῶν
κατὰ κράτος ἁλόντες εὐθὺς μὲν ἁρμοστοῦ καὶ δουλείας
ἀπηλλάγησαν, νῦν δὲ τοῦ συνεδρίου καὶ τῆς ἐλευθερίας
μετέχουσιν· οἱ δὲ τούτων πλησίον οἰκοῦντες, οἱ μὲν οὐδὲν b
ἧττον τῶν ἀργυρωνήτων δουλεύουσιν, τοὺς δʼ οὐ πρότερον
παύσονται [4] [κακῶς ποιοῦντες] πρὶν ἂν οὕτως ὥσπερ ἡμᾶς
διαθῶσι. καὶ Λακεδαιμονίων μὲν κατηγοροῦσιν ὅτι τὴν
Καδμείαν κατέλαβον καὶ φρουρὰς εἰς τὰς πόλεις [5] καθί-
στασαν, αὐτοὶ δʼ οὐ φύλακας εἰσπέμποντες, ἀλλὰ τῶν
μὲν τὰ τείχη κατασκάπτοντες τοὺς δὲ ἄρδην ἀπολλύντες,
οὐδὲν οἴονται δεινὸν ποιεῖν, ἀλλʼ εἰς τοῦτʼ ἀναισχυντίας
[6] [καὶ πονηρίας] ἐληλύθασιν, ὥστε τῆς μὲν αὑτῶν σωτηρίας c
301 τοὺς συμμάχους ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν
ἄλλων δουλείας αὑτοὺς κυρίους καθιστᾶσι. καίτοι τίς οὐκ
ἂν μισήσειε τὴν τούτων πλεονεξίαν, οἳ τῶν μὲν ἀσθενεστέρων
ἄρχειν ζητοῦσι, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν οἴονται δεῖν,
καὶ τῇ μὲν ὑμετέρᾳ πόλει τῆς γῆς τῆς ὑπʼ Ὠρωπίων δεδο-
μένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ τὴν ἀλλοτρίαν χώραν κατα-
νέμονται;

ιʹ. Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν ὡς ὑπὲρ τοῦ d
κοινοῦ τῶν συμμάχων ταῦτʼ ἔπραξαν. καίτοι χρῆν αὐτούς,
ὄντος ἐνθάδε συνεδρίου καὶ τῆς ὑμετέρας πόλεως ἄμεινον
βουλεύεσθαι δυναμένης ἢ τῆς Θηβαίων, οὐχ ὑπὲρ τῶν πε-
πραγμένων ἥκειν ἀπολογησομένους, ἀλλά, πρὶν ποιῆσαί τι

[1] ὑπογυιώτατον A. C. ὑπογυώτατον L. [2] οἴεσθε A. L. [3] ὁμορούντων. οἱ A.
[4] uncos om. A. C. L. [5] καθιστᾶσιν A. C. L. [6] uncos om. A. C. L.

Τυχεῖν ὁμόρους ὄντας] I. e. ὁμόρους εἶναι. Nisi forte legendum videatur τυχεῖν ὁμο-

τούτων, ἐλθεῖν ὡς ὑμᾶς βουλευσομένους. νῦν δὲ τὰς μὲν οὐσίας τὰς ἡμετέρας ἰδίᾳ διηρπάκασι, τῆς δὲ διαβολῆς ἅπασι
e τοῖς συμμάχοις ἥκουσι μεταδώσοντες. ἣν ὑμεῖς, ἢν σωφρονῆτε, φυλάξεσθε· πολὺ γὰρ κάλλιον τούτους ἀναγκάσαι μιμήσασθαι τὴν ὁσιότητα τὴν ὑμετέραν, ἢ τῆς τούτων παρανομίας αὐτοὺς πεισθῆναι μετασχεῖν, οἳ μηδὲν τῶν αὑτῶν τοῖς ἄλλοις γιγνώσκουσιν. οἶμαι γὰρ ἅπασιν εἶναι [1] φανερὸν
301 ὅτι προσήκει τοὺς εὖ φρονοῦντας ἐν μὲν τῷ πολέμῳ σκοπεῖν ὅπως ἐκ παντὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δ' εἰρήνη γένηται, μηδὲν περὶ πλείονος ποιεῖσθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν. οὗτοι δὲ τότε μὲν ἐν ἁπάσαις ταῖς πρεσβείαις ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας ἐποιοῦντο τοὺς λόγους· ἐπειδὴ δὲ νομίζουσιν αὑτοῖς ἄδειαν [2] γεγενῆσθαι
b ποιεῖν ὅ τι ἂν βουληθῶσιν, [3] πάντων τῶν ἄλλων ἀμελήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὑτῶν βίας λέγειν τολμῶσι, καὶ φασὶ τὸ Θηβαίους ἔχειν τὴν ἡμετέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς εἰδότες ὡς [4] οὐδὲν τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦσιν [5] οὐδὲ πώποτε συνήνεγκεν, ἀλλὰ πολλοὶ δὴ τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν [6] δικαίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.

ια'. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γε ἕξουσι λέγειν, ὡς αὐτοὶ
c μὲν μεθ' ὧν ἂν γένωνται πιστοὶ διατελοῦσιν ὄντες, ἡμᾶς δ' ἄξιον φοβεῖσθαι, μὴ κομισάμενοι τὴν χώραν, πρὸς Λακε- 302
δαιμονίους ἀποστῶμεν· εὑρήσετε γὰρ ἡμᾶς μὲν δὶς ἐκπεπολιορκημένους ὑπὲρ τῆς φιλίας τῆς ὑμετέρας, τούτους δὲ πολλάκις εἰς [7] ταύτην τὴν πόλιν ἐξημαρτηκότας.

ιβ'. Καὶ τὰς μὲν παλαιὰς προδοσίας πολὺ ἂν ἔργον εἴη λέγειν· γενομένου δὲ τοῦ Κορινθιακοῦ πολέμου διὰ τὴν ὕβριν τὴν τούτων, καὶ Λακεδαιμονίων μὲν ἐπ' αὐτοὺς στρατευ-
d σάντων, δι' ὑμᾶς δὲ σωθέντες, οὐχ ὅπως τούτων χάριν ἀπέδοσαν, ἀλλ' ἐπειδὴ [8] διελέλυσθε τὸν πόλεμον, ἀπολιπόντες

[1] φανερὸν εἶναι A. C. L. [2] εἶναι A. C. L. [3] ἁπάντων A. C. L.
[4] οὐδ' αὐτοῖς τοῖς A. L. οὐδ' αὐτοῖς C. [5] οὐδὲν A. C. L.
[6] εἰς τ. μ. κινδύνους δικαίως A. C. L. [7] ταυτηνὶ A. C. L. [8] διελύσασθε A. C. L.

ρούντων. Wolf.

Δὶς ἐκπεπολιορκημένους] Vid. Thucyd. ii. 71—78. et iii. 52. Lang.

Τὴν τούτων, καὶ Λακεδ.] F. leg. τὴν Λακεδαιμονίων καὶ τούτων, jubente historia. Idem.

ὑμᾶς εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον. καὶ Χῖοι
μὲν καὶ Μιτυληναῖοι καὶ Βυζάντιοι συμπαρέμειναν, οὗτοι δὲ
τηλικαύτην πόλιν οἰκοῦντες οὐδὲ κοινοὺς σφᾶς αὐτοὺς παρα-
σχεῖν ἐτόλμησαν, ἀλλ' εἰς τοῦτ' ἀνανδρίας καὶ πονηρίας
[1][καὶ ἀφροσύνης] ἦλθον, ὥστ' ὤμοσαν ἦ μὴν ἀκολουθήσειν
μετ' ἐκείνων ἐφ' ὑμᾶς τοὺς διασώσαντας τὴν πόλιν αὐτῶν· e
ὑπὲρ ὧν δόντες τοῖς θεοῖς [2]δίκην τῆς Καδμείας [3]καταλη-
φθείσης ἠναγκάσθησαν ἐνθάδε καταφυγεῖν. ὅθεν καὶ μά-
λιστα ἐπεδείξαντο τὴν αὐτῶν ἀπιστίαν· σωθέντες γὰρ πάλιν
διὰ τῆς ὑμετέρας δυνάμεως καὶ κατελθόντες εἰς τὴν αὐτῶν
οὐδένα χρόνον ἐνέμειναν, ἀλλ' εὐθὺς εἰς Λακεδαίμονα πρέ- 302
σβεις ἀπέστελλον, ἕτοιμοι δουλεύειν ὄντες καὶ μηδὲν κινεῖν
τῶν πρότερον πρὸς αὐτοὺς ὡμολογημένων. καὶ τί δεῖ μακρο-
λογεῖν; εἰ γὰρ μὴ προσέταττον ἐκεῖνοι τούς [4]τε φεύγοντας
καταδέχεσθαι καὶ τοὺς αὐτόχειρας ἐξείργειν, οὐδὲν ἂν
ἐκώλυεν αὐτοὺς μετὰ τῶν ἠδικηκότων ἐφ' ὑμᾶς τοὺς εὐερ-
γέτας στρατεύεσθαι.

ιγ'. Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν τήνδε γεγε-
νημένοι, τὸ δὲ παλαιὸν ἁπάσης τῆς Ἑλλάδος προδόται b
καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως ἑκουσίων καὶ μεγάλων
ἀδικημάτων συγγνώμης τυχεῖν ἠξιώθησαν, [5]ἡμῖν δ' ὑπὲρ
ὧν ἠναγκάσθημεν οὐδεμίαν ἔχειν οἴονται δεῖν [6]συγγνώμην,
ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδί-
ζειν, οὓς πάντες ἴσμεν πλεῖστον χρόνον Λακεδαιμονίοις δε-
δουλευκότας καὶ προθυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς ἢ τῆς
303 αὐτῶν σωτηρίας πεπολεμηκότας. ποίας γὰρ εἰσβολῆς ἀπε-
λείφθησαν τῶν εἰς ταύτην τὴν χώραν γεγενημένων; ἢ τίνων
οὐκ ἐχθίους ὑμῖν καὶ δυσμενέστεροι διετέλεσαν ὄντες; οὐκ c
ἐν τῷ Δεκελεικῷ πολέμῳ πλειόνων αἴτιοι κακῶν ἐγένοντο
τῶν ἄλλων τῶν [7]συνεισβαλόντων; οὐ δυστυχησάντων ὑμῶν
μόνοι τῶν συμμάχων ἔθεντο τὴν ψῆφον ὡς χρὴ τήν τε πόλιν

[1] uncos om. A. C. L. [2] δίκας A. C. L. [3] καταλειφθείσης A. L.
[4] τε om. A. C. L. [5] ἡμᾶς A. C. L. [6] συγγνώμην om. A. C. L.
[7] εἰσβαλόντων A. C. L.

Εἰ γὰρ μὴ — καταδέχεσθαι] Verte: *nisi Lacedæmonii* (ἐκεῖνοι) *jussissent Thebanos exsules suos recipere.* Idem.

Τὸ δὲ παλαιὸν] Ἐπὶ τῶν Περσικῶν. Cor.

Ἢ τίνων οὐκ — ὄντες] Ad verbum interpretor: *vel quibusnam isti non inimiciores vobis et malevolentiores perpetuo fuerunt.* Auger.

Δυστυχησάντων ὑμῶν] Ad Ægospotamos. Lang.

[1] ἐξανδραποδίσασθαι καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον
ὥσπερ τὸ Κρισαῖον πεδίον; ὥστ᾽ εἰ Λακεδαιμόνιοι τὴν αὐτὴν
d γνώμην [2] ἔσχον Θηβαίοις, οὐδὲν ἂν ἐκώλυε [3] τοὺς ἅπασι τοῖς
Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους αὐτοὺς ὑπὸ τῶν
Ἑλλήνων ἐξανδραποδισθῆναι καὶ ταῖς μεγίσταις συμφοραῖς
περιπεσεῖν. καίτοι τίνα τηλικαύτην εὐεργεσίαν ἔχοιεν ἂν
εἰπεῖν, ἥτις ἱκανὴ γενήσεται διαλῦσαι τὴν ἔχθραν τὴν ἐκ
τούτων δικαίως ἂν [4] ὑπάρχουσαν πρὸς αὐτούς;

ιδ΄. Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται τηλικαῦτα
e τὸ μέγεθος ἐξημαρτηκόσι, τοῖς δὲ συνηγορεῖν βουλομένοις
ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ Βοιωτία προπολεμεῖ τῆς ὑμε-
τέρας χώρας, ἢν δὲ διαλύσησθε τὴν πρὸς τούτους φιλίαν,
ἀσύμφορα τοῖς συμμάχοις διαπράξεσθε· μεγάλην γὰρ
ἔσεσθαι τὴν ῥοπήν, εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενή-
σεται πόλις.

303 ιε΄. Ἐγὼ δ᾽ οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν
τοὺς ἀσθενεστέρους τοῖς κρείττοσι δουλεύειν — [5] καὶ γὰρ
τὸν παρελθόντα χρόνον ὑπὲρ [6] τούτων ἐπολεμήσαμεν —,
οὔτε Θηβαίους εἰς τοῦτο μανίας ἥξειν ὥστ᾽ ἀποστάντας
τῆς [7] [ὑμετέρας] συμμαχίας Λακεδαιμονίοις ἐνδώσειν τὴν
πόλιν, οὐχ ὡς πιστεύων τοῖς τούτων ἤθεσιν, ἀλλ᾽ οἶδ᾽ ὅτι
γιγνώσκουσιν, ὡς δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν [8] αὐτοῖς, ἢ
b μένοντας ἀποθνήσκειν καὶ πάσχειν οἷάπερ ἐποίησαν, ἢ φεύ-
γοντας ἀπορεῖν καὶ τῶν ἐλπίδων [9] ἁπασῶν ἐστερῆσθαι.
πότερα γὰρ τὰ πρὸς τοὺς πολίτας αὐτοῖς ἔχει καλῶς, ὧν
τοὺς μὲν ἀποκτείναντες τοὺς δ᾽ ἐκ τῆς πόλεως ἐκβαλόντες
διηρπάκασι τὰς οὐσίας, ἢ τὰ πρὸς τοὺς ἄλλους Βοιωτούς, ὧν
οὐκ ἄρχειν μόνον ἀδίκως ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν τὰ
τείχη κατεσκάφασι, τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν;
ἀλλὰ μὴν οὐδ᾽ ἐπὶ τὴν ὑμετέραν πόλιν οἷόν τ᾽ αὐτοῖς [10] ἐπαν- 304
c ελθεῖν ἐστὶν, ἣν οὕτω συνεχῶς φανήσονται προδιδόντες, ὥστ᾽
οὐκ ἔστιν ὅπως βουλήσονται πρὸς ὑμᾶς ὑπὲρ τῆς ἀλλοτρίας

[1] ἐξανδραποδισθῆναι A. C. L. [2] ἔσχον γνώμην A. C. L. [3] ὑμᾶς τοὺς A. C. L.
[4] ὑπάρξασαν A. C. L. [5] οὐδὲ A. C. L. [6] ἄλλων τινῶν ἢ τούτων A. C. L.
[7] uncos om. A. C. L. [8] αὐτοῖς ἐστιν A. C. L. [9] πασῶν ἀποστερεῖσθαι A. C. L.
[10] ἐπανελθεῖν αὐτοῖς οἷόν τ᾽ ἐστὶν A. C. L.

Ἐξανδραποδίσασθαι] Cf. de Pace §. κζ΄.
Μένοντας ἀποθνήσκειν] Scil. a civibus et finitimis interempti, quorum iram sibi contraxerunt, et a qua Lacedæmonii illos neque defendent neque defendere volent. Lano.

διενεχθέντες τὴν αὑτῶν πόλιν οὕτως εἰκῇ καὶ προδήλως ἀπο-
βαλεῖν, ἀλλὰ πολὺ κοσμιώτερον διακείσονται πρὸς ἁπάσας
τὰς πράξεις, καὶ τοσούτῳ [1] πλείω ποιήσονται θεραπείαν
ὑμῶν, ὅσῳπερ ἂν μᾶλλον περὶ σφῶν αὐτῶν δεδίωσιν. ἐπε-
δείξαντο δ' ὑμῖν ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ [2] τούτων, ἐξ d
ὧν ἔπραξαν περὶ Ὠρωπόν· ὅτε μὲν γὰρ ἐξουσίαν ἤλπισαν
[3] αὑτοῖς ἔσεσθαι ποιεῖν ὅ τι ἂν βουληθῶσιν, οὐχ ὡς συμμά-
χοις ὑμῖν προσηνέχθησαν, ἀλλ' [4] ἅπερ ἂν εἰς τοὺς πολε-
μιωτάτους ἐξαμαρτεῖν ἐτόλμησαν· ἐπειδὴ δ' ἐκσπόνδους
αὐτοὺς ἀντὶ τούτων ἐψηφίσασθε ποιῆσαι, παυσάμενοι τῶν
φρονημάτων ἦλθον [5] ὡς ὑμᾶς, ταπεινότερον διατεθέντες ἢ
νῦν ἡμεῖς τυγχάνομεν ἔχοντες. ὥστ' ἤν τινες ὑμᾶς ἐκφοβῶσι e
τῶν ῥητόρων [6] [λέγοντες] ὡς κίνδυνός ἐστι μὴ μεταβάλωνται
καὶ γένωνται [7] μετὰ τῶν πολεμίων, οὐ χρὴ πιστεύειν· τοι-
αῦται γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν, ὥστε πολὺ ἂν
θᾶττον τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμα-
χίαν ὑπομείναιεν.

ιϛʹ. Εἰ δ' οὖν καὶ τἀναντία μέλλοιεν ἅπαντα πράξειν, 304
οὐδ' οὕτως ἡγοῦμαι προσήκειν ὑμῖν τῆς Θηβαίων πόλεως
πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν συνθηκῶν,
ἐνθυμουμένους πρῶτον μὲν ὡς οὐ τοὺς κινδύνους ἀλλὰ τὰς
ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι πάτριον ὑμῖν ἐστὶν,
ἔπειθ' ὅτι συμβαίνει κρατεῖν ἐν τοῖς πολέμοις οὐ τοὺς βίᾳ
τὰς πόλεις καταστρεφομένους, ἀλλὰ τοὺς ὁσιώτερον καὶ
πρᾳότερον τὴν Ἑλλάδα διοικοῦντας. b

ιζʹ. Καὶ ταῦτ' ἐπὶ πλειόνων μὲν ἄν τις παραδειγμάτων
ἔχοι διελθεῖν· τὰ δ' οὖν ἐφ' ἡμῶν γενόμενα τίς οὐκ οἶδεν,
ὅτι [8] Λακεδαιμόνιοι τὴν δύναμιν τὴν ὑμετέραν ἀνυπόστατον
δοκοῦσαν εἶναι κατέλυσαν, μικρὰς μὲν ἀφορμὰς εἰς τὸν
πόλεμον τὸν κατὰ θάλατταν τὸ πρῶτον ἔχοντες, διὰ δὲ τὴν
305 δόξαν ταύτην [9] προσαγόμενοι τοὺς Ἕλληνας· καὶ πάλιν
ὑμεῖς τὴν ἀρχὴν ἀφείλεσθε τὴν ἐκείνων, ἐξ ἀτειχίστου μὲν c

[1] πλείονα A. πλέον L.
[2] σφῶν αὐτῶν A. C. L.
[3] αὐτοῖς ἐξουσίαν ἤλπισαν A. C. L.
[4] ὥσπερ A. C. L.
[5] εἰς A. C. L.
[6] uncos om. A. C. L.
[7] μετὰ Λακεδαιμονίων, οὐ A. C. L.
[8] καὶ Λακεδαιμόνιοι A. C. L.
[9] προσαγαγόμενοι A. C. L.

Οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν] *vobis non usi sunt tanquam sociis.* Idem.

Ταπεινότερον] Accipe adverbialiter. Ad verbum interpretare: *humilius dispositi quam nunc nos sumus.* Auger.

τῆς πόλεως ὁρμηθέντες [1] καὶ κακῶς πραττούσης, τὸ δὲ δί-
καιον ἔχοντες σύμμαχον; καὶ τούτων ὡς οὐ βασιλεὺς αἴτιος
ἦν, ὁ τελευταῖος χρόνος σαφῶς ἐπέδειξεν· [2] ἔξω γὰρ αὐτοῦ
πραγμάτων γεγενημένου, καὶ τῶν μὲν ὑμετέρων ἀνελπίστως
ἐχόντων, Λακεδαιμονίοις δὲ σχεδὸν ἁπασῶν τῶν πόλεων δου-
λευουσῶν, ὅμως αὐτῶν [3] τοσοῦτον περιεγένεσθε πολεμοῦντες
d ὥστε ἐκείνους ἀγαπητῶς ἰδεῖν τὴν εἰρήνην γενομένην.

ιη'. Μηδεὶς οὖν ὑμῶν ὀῤῥωδείτω μετὰ τοῦ δικαίου ποιού-
μενος τοὺς κινδύνους, μηδ' οἰέσθω συμμάχων ἀπορήσειν, ἐὰν
τοῖς ἀδικουμένοις [4] ἐθέλητε βοηθεῖν ἀλλὰ μὴ Θηβαίοις
μόνοις· οἷς νῦν τἀναντία ψηφισάμενοι πολλοὺς ἐπιθυμεῖν
ποιήσετε τῆς ὑμετέρας φιλίας. ἢν γὰρ ἐνδείξησθε ὡς ὁμοίως
ἅπασιν ὑπὲρ τῶν συνθηκῶν παρεσκεύασθε πολεμεῖν, τίνες εἰς
τοῦτ' ἀνοίας ἥξουσιν ὥστε βούλεσθαι μετὰ τῶν καταδουλου-
e μένων τὴν Ἑλλάδα εἶναι μᾶλλον ἢ μεθ' ὑμῶν τῶν ὑπὲρ τῆς
[5] αὐτῶν ἐλευθερίας ἀγωνιζομένων; εἰ δὲ μὴ, τί λέγοντες, ἢν
πάλιν γένηται πόλεμος, ἀξιώσετε προσάγεσθαι τοὺς Ἕλ-
ληνας, εἰ τὴν αὐτονομίαν προτείνοντες [6] ἐνδώσετε πορθεῖν
305 Θηβαίοις ἥν τιν' ἂν βούλωνται τῶν πόλεων; πῶς δ' [7] οὐ
τἀναντία φανήσεσθε πράττοντες ὑμῖν αὐτοῖς, εἰ Θηβαίους
μὲν μὴ [8] διακωλύσετε παραβαίνοντας τοὺς ὅρκους καὶ τὰς
συνθήκας, πρὸς δὲ Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων
προσποιήσεσθε πολεμεῖν; καὶ τῶν μὲν κτημάτων τῶν ὑμε-
τέρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν ὡς με-
γίστην ποιῆσαι, τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν ἐάσετε
b καὶ τοιαῦτα ποιεῖν ἐξ ὧν ἅπαντες χείρους ὑμᾶς [9] εἶναι νο-
μιοῦσιν; ὃ δὲ πάντων [10] δεινότατον, εἰ τοῖς μὲν συνεχῶς
μετὰ Λακεδαιμονίων γεγενημένοις δεδογμένον ὑμῖν ἐστὶ βοη-

[1] καὶ πραττούσης ἀσθενῶς A. C. L. [2] Ξέρξῃ γὰρ αὐτῷ πραγμ. γεγενημένων A. C. L. [3] τοσοῦτον αὐτῶν A. C. L. [4] ἐθελήσῃ τις A. C. L. [5] ἑαυτῶν A. C. L. [6] ἐκδώσετε A. C. L. [7] οὐχὶ καὶ τἀν. A. C. L. [8] διακωλύσητε L. [9] εἶναι νομιοῦσιν ὑμᾶς A. C. L. [10] ἀλογώτατον A. C. L.

Ξέρξῃ γὰρ αὐτῷ πραγμ. γεγενημένων] *nam quum ipsi Xerxi negotium facesseretur,* intellige scil. ab Agesilao. Fuit quidem tunc Persarum rex Artaxerxes Mnemon (ut Wolf. observat); sed fieri tamen potest, ut et hunc Xerxem noster nominet. Bav. et Auger. H. et I. ἔξω γὰρ αὐτοῦ (βασιλέως) πραγμάτων γενομένου. qua mutatione ille quidem de Artaxerxo scrupulus removetur, sed alia difficultas in re ipsa oritur, quæ difficilius removetur: nam Artaxerxes ad classem Cnidicam, quamvis non plurimas copias, tamen nonnullas contulit. Vid. Evag, §. κα'. Lang.

Τὴν εἰρήνην] Intellige Antalcidæ istam. Idem.

Εἰ δὲ μὴ] Repete ἐνδείξεσθε. Idem.

Παραβαίνοντας] I. e. παραβαίνειν. Wolf.

θεῖν, ἤν τι παράσπονδον αὐτοῖς ἐκεῖνοι προστάττωσιν, ἡμᾶς
δ', οἳ τὸν μὲν πλεῖστον χρόνον μεθ' ὑμῶν ὄντες διατετελέκα-
μεν, τὸν δὲ τελευταῖον μόνον πόλεμον ὑπὸ Λακεδαιμονίοις
306 ἠναγκάσθημεν γεγενῆσθαι, διὰ ταύτην τὴν πρόφασιν ἀθλιώ-
τατα [1] πάντων ἀνθρώπων περιόψεσθε διακειμένους. c

ιθ'. Τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυχεστέρους; οἵτι-
νες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων ἐν μιᾷ στερηθέντες
ἡμέρᾳ, πάντων τῶν [2] ἀναγκαίων ὁμοίως ἐνδεεῖς ὄντες ἀλῆται
καὶ πτωχοὶ [3] καθέσταμεν, ἀποροῦντες [4] ὅποι τραπώμεθα
[5] [ἐκπεσόντες γὰρ ἐκ τῆς οἰκείας, ἀθυμοῦντες καὶ ἀλώμενοι
τὴν Ἑλλάδα περίιμεν] [6] καὶ πάσας δυσχεραίνοντες τὰς
οἰκήσεις· ἤν τε γὰρ δυστυχοῦντας καταλάβωμεν, ἀλγοῦμεν
ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς καὶ τῶν ἀλλοτρίων d
κοινωνεῖν· ἤν θ' ὡς [7] εὖ πράττοντας ἔλθωμεν, ἔτι χαλεπώ-
τερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθονοῦντες εὐπορίαις, ἀλλὰ
μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς τὰς ἡμετέρας αὐτῶν
συμφορὰς καθορῶντες, ἐφ' αἷς ἡμεῖς οὐδεμίαν ἡμέραν ἀδα-
κρυτὶ διάγομεν, ἀλλὰ πενθοῦντες τὴν πατρίδα καὶ θρη-
νοῦντες τὴν μεταβολὴν τὴν γεγενημένην ἅπαντα τὸν χρόνον
διατελοῦμεν. τίνα γὰρ ἡμᾶς [8] οἴεσθε γνώμην ἔχειν ὁρῶντας e
[9] καὶ τοὺς γονέας [10] αὐτῶν ἀναξίως γηροτροφουμένους καὶ
τοὺς παῖδας οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα παι-
δευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμβολαίων
δουλεύοντας, ἄλλους δ' ἐπὶ θητείαν ἰόντας, τοὺς δ' ὅπως 306
ἕκαστοι δύνανται τὸ καθ' ἡμέραν πορίζομένους, ἀπρεπῶς
καὶ τοῖς τῶν προγόνων ἔργοις καὶ ταῖς αὐτῶν ἡλικίαις καὶ
τοῖς φρονήμασι τοῖς ἡμετέροις. ὃ δὲ πάντων [11] ἄλγιστον, ὅταν
τις ἴδῃ χωριζομένους ἀπ' ἀλλήλων μὴ μόνον πολίτας ἀπὸ
πολιτῶν, ἀλλὰ καὶ γυναῖκας ἀπ' ἀνδρῶν καὶ [12] θυγατέρας
ἀπὸ μητέρων, καὶ πᾶσαν τὴν συγγένειαν διαλυομένην, ὃ

[1] ἁπάντων A. C. L. [2] ἀναγκαιοτάτων A. C. L. [3] καθεστήκαμεν A. L. [4] ποῖ A. C. L. [5] uncos om. A. C. L. [6] καὶ om. A. C. L. [7] εὐπραγοῦντας A. C. L. [8] οἴεσθε ἡμᾶς A. C. L. [9] καὶ om. A. C. L. [10] ἡμῶν αὐτῶν A. ἡμῶν, αὐτῶν C. ἡμῶν, αὐτῶν L. [11] ἐστὶν ἀλγεινότατον A. C. L. [12] τέκνα A. C. L.

Μικρῶν ἕνεκα συμβολαίων] Συμβόλαια hic intellige, conditiones sub quibus liber aliquis alicui libero servit. Auger. *ob parvos contractus*, seu *pro vili mercede*, seu *parvo pretio a parentibus venditi*. Lang.

Ἐπὶ θητείαν ἰόντας] Ἐπὶ θητείαν ἰέναι, ἢ θητεύειν, τὸ ἐπὶ μισθῷ ἄλλοις ἄλλοτε ἐργάζεσθαι. Cor. Cf. Aristot. Polit. iii. 5. et Demosth. c. Macart. §. ιγ'.

πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ [1] τὴν ἀπορίαν συμβέ-
b βηκεν· ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς ἰδίας [2] τὰς ἐλπίδας
ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν. οἶμαι δ' ὑμᾶς οὐδὲ τὰς ἄλ-
λας αἰσχύνας ἀγνοεῖν τὰς διὰ πενίαν καὶ φυγὴν γιγνομέ-
νας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ χαλεπώτερον τῶν ἄλλων [3] φέ-
ρομεν, τῷ δὲ λόγῳ παραλείπομεν, αἰσχυνόμενοι λίαν ἀκρι-
βῶς τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν.

κ'. Ὧν αὐτοὺς [4] ὑμᾶς ἀξιοῦμεν ἐνθυμουμένους ἐπιμέ- 307
c λειάν τινα ποιήσασθαι περὶ ἡμῶν. καὶ γὰρ οὐδ' ἀλλότριοι
τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐνοίαις ἅπαντες
οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν· διὰ γὰρ τὰς ἐπι-
γαμίας τὰς δοθείσας ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν·
ὥστ' οὐχ οἷόν τ' ὑμῖν ἀμελῆσαι περὶ ὧν ἐληλύθαμεν δεησό-
μενοι. καὶ γὰρ ἂν [5] πάντων εἴη δεινότατον, εἰ πρότερον μὲν
ἡμῖν μετέδοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ
μηδὲ τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν. ἔπειτ' οὐδ' εἰκὸς
d ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι τῶν παρὰ τὸ δίκαιον δυστυχούν-
των, ὅλην δὲ πόλιν οὕτως ἀνόμως διεφθαρμένην μηδὲ κατὰ
μικρὸν οἴκτου δυνηθῆναι τυχεῖν, ἄλλως τε καὶ πρὸς ὑμᾶς
καταφυγοῦσαν, οἷς οὐδὲ τὸ πρότερον αἰσχρῶς οὐδ' ἀκλεῶς
ἀπέβη τοὺς ἱκέτας ἐλεήσασιν.

κα'. Ἐλθόντων γὰρ Ἀργείων ὡς τοὺς προγόνους ὑμῶν καὶ
δεηθέντων ἀνελέσθαι τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας,
πεισθέντες ὑπ' ἐκείνων καὶ Θηβαίους ἀναγκάσαντες βουλεύ-
e σασθαι νομιμώτερον οὐ μόνον αὐτοὶ κατ' ἐκείνους τοὺς [6] και-
ροὺς εὐδοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν ἀείμνηστον εἰς
ἅπαντα τὸν χρόνον κατέλιπον, ἧς οὐκ ἄξιον προδότας γε-
307 νέσθαι. καὶ γὰρ αἰσχρὸν φιλοτιμεῖσθαι μὲν ἐπὶ τοῖς τῶν
προγόνων ἔργοις, φαίνεσθαι δ' ἐκείνοις τἀναντία περὶ τῶν
ἱκετῶν πράττοντας.

κβ'. Καίτοι πολὺ περὶ μειζόνων καὶ δικαιοτέρων ἥκομεν
ποιησόμενοι [7] τὰς δεήσεις· οἱ μὲν γὰρ ἐπὶ τὴν ἀλλοτρίαν

[1] τὰς ἀπορίας A. C. L. [2] τὰς om. A. C. L. [3] κακῶν φέρομεν A. C. L. [4] ὑμᾶς αὐτοὺς A. C. L. [5] ἁπάντων A. C. L. [6] χρόνους A. C. L. [7] τὰς δεήσεις ποιησόμενοι A. C. L.

Τὰς ἐπιγαμίας] Vid. Demosth. c. Neær. §. κε'.

Μετέδοτε τῆς πατρίδος] Vid. Panath. §. λε'. Lang.

Κατὰ μικρὸν] paullulum, aliquantum. Idem.

Ἐλθόντων γὰρ Ἀργείων] Vid. Panath. §. ο'. Idem.

[1] στρατεύσαντες ἱκέτευον ὑμᾶς, ἡμεῖς δὲ, τὴν ἡμετέραν αὐ-
τῶν ἀπολωλεκότες, κἀκεῖνοι μὲν παρεκάλουν ἐπὶ τὴν τῶν
νεκρῶν ἀναίρεσιν, ἡμεῖς δ' ἐπὶ τὴν τῶν λοιπῶν σωτηρίαν.
ἔστι δ' οὐκ ἴσον κακὸν οὐδ' ὅμοιον τοὺς τεθνεῶτας ταφῆς
εἴργεσθαι καὶ τοὺς ζῶντας πατρίδος ἀποστερεῖσθαι καὶ b
τῶν ἄλλων ἀγαθῶν ἁπάντων, ἀλλὰ τὸ μὲν δεινότερον τοῖς
κωλύουσιν ἢ τοῖς ἀτυχοῦσι, τὸ δὲ μηδεμίαν ἔχοντα κατα-
φυγὴν ἀλλ' ἄπολιν γενόμενον καθ' ἑκάστην [2] τὴν ἡμέραν
308 κακοπαθεῖν καὶ τοὺς αὑτοῦ περιορᾶν, μὴ δυνάμενον ἐπαρ-
κεῖν, τί δεῖ λέγειν ὅσον τὰς ἄλλας συμφορὰς [3] ὑπερ-
βέβληκεν;

κγ'. Ὑπὲρ ὧν ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀποδοῦναι τὴν
χώραν ἡμῖν καὶ τὴν πόλιν, τοὺς μὲν πρεσβυτέρους ὑπομι- c
μνήσκοντες ὡς οἰκτρὸν τοὺς τηλικούτους ὁρᾶσθαι δυστυχοῦν-
τας καὶ τῶν καθ' ἡμέραν ἀποροῦντας, τοὺς δὲ νεωτέρους
ἀντιβολοῦντες καὶ δεόμενοι [4] βοηθῆσαι τοῖς ἡλικιώταις καὶ
μὴ περιιδεῖν ἔτι πλείω κακὰ τῶν εἰρημένων παθόντας.
ὀφείλετε δὲ [5] μόνοι τῶν Ἑλλήνων τοῦτον τὸν ἔρανον, ἀναστά-
τοις ἡμῖν [6] γενομένοις ἐπαμῦναι. καὶ γὰρ τοὺς ἡμετέρους
προγόνους φασὶν, ἐκλιπόντων τῶν ὑμετέρων πατέρων ἐν τῷ d
Περσικῷ πολέμῳ ταύτην τὴν χώραν, μόνους τῶν ἔξω Πελο-
ποννήσου κοινωνοὺς ἐκείνοις τῶν κινδύνων γενομένους συν-
ανασῶσαι τὴν πόλιν αὐτοῖς· ὥστε δικαίως ἂν τὴν αὐτὴν
εὐεργεσίαν ἀπολάβοιμεν, ἥνπερ αὐτοὶ τυγχάνομεν εἰς ὑμᾶς
ὑπάρξαντες.

κδ'. Εἰ δ' οὖν καὶ μηδὲν ὑμῖν τῶν σωμάτων τῶν ἡμετέ-
ρων δέδοκται φροντίζειν, ἀλλὰ τήν γε χώραν οὐ πρὸς ὑμῶν e
ἐστὶν [7] ἀνέχεσθαι πεπορθημένην, ἐν ᾗ μέγιστα σημεῖα τῆς
ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν ἄλλων τῶν συναγωνισαμένων
[8] καταλείπεται· τὰ μὲν γὰρ ἄλλα τρόπαια πόλει πρὸς
πόλιν γέγονεν, ἐκεῖνα δ' ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς

[1] στρατεύοντες A. C. L. [2] [τὴν] C. [3] ὑπερβέβηκεν A. C. L.
[4] βοηθεῖν A. C. L. [5] μόνοις A. C. L. [6] γεγενημένοις A. C. L.
[7] ἀνασχέσθαι A. C. L. [8] καταλέλειπται A. C. L.

Τῶν λοιπῶν] Opponitur τῶν νεκρῶν. Vertas igitur: *superstitum*. IDEM. Τῶν μὴ ἀποθανόντων ἐν τῷ πολέμῳ τῷ πρὸς Θηβαίους. COR.

Δεινότερον — ἀτυχοῦσι] *contumeliosius est*, seu *pejus est, iis qui prohibent* (cadavera sepeliri) *quam iis qui prohibentur.* ἀτυχοῦσι enim idem est ac μὴ τυγχάνουσι, scil. τῆς ταφῆς. LANG.

Μόνους τῶν ἔξω Πελοπ.] Vid. Paneg.

ὅλην τὴν ἐκ τῆς Ἀσίας δύναμιν ἔστηκεν. ἃ Θηβαῖοι μὲν
308 εἰκότως ἀφανίζουσι — τὰ γὰρ μνημεῖα τῶν τότε γενομέ-
νων αἰσχύνη τούτοις ἐστὶν —, ὑμῖν δὲ προσήκει διασώζειν·
ἐξ ἐκείνων γὰρ τῶν ἔργων ἡγεμόνες κατέστητε τῶν Ἑλλή-
νων. ἄξιον δὲ καὶ τῶν θεῶν καὶ τῶν ἡρώων μνησθῆναι τῶν
ἐκεῖνον τὸν τόπον κατεχόντων, καὶ μὴ περιορᾶν τὰς τιμὰς
αὐτῶν καταλυομένας, οἷς ὑμεῖς καλλιερησάμενοι τοιοῦτον
ὑπέστητε κίνδυνον, ὃς καὶ τούτους καὶ τοὺς ἄλλους ἅπαν-
b τας Ἕλληνας ἠλευθέρωσε. χρὴ δὲ καὶ τῶν προγόνων ποιή-
σασθαί τινα πρόνοιαν, καὶ μὴ παραμελῆσαι μηδὲ τῆς περὶ
ἐκείνους εὐσεβείας, [1] οἳ πῶς ἂν διατεθεῖεν, εἴ τις ἄρα τοῖς
ἐκεῖ φρόνησίς ἐστι περὶ τῶν ἐνθάδε γιγνομένων, εἰ κυρίων 309
ὑμῶν [2] ὄντων αἴσθοιντο τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις
ἀξιώσαντας δεσπότας τῶν ἄλλων [3] καθισταμένους, ἡμᾶς δὲ
τοὺς ὑπὲρ τῆς ἐλευθερίας συναγωνισαμένους μόνους τῶν
c Ἑλλήνων ἀναστάτους γεγενημένους, καὶ τοὺς μὲν τῶν
[4] συγκινδυνευσάντων τάφους μὴ τυγχάνοντας τῶν νομιζο-
μένων σπάνει τῶν [5] ἐποισόντων, Θηβαίους δὲ τοὺς τἀναντία
[6] παραταξαμένους κρατοῦντας τῆς χώρας ἐκείνης; ἐνθυμεῖσθε
δ' ὅτι [7] Λακεδαιμονίων μεγίστην ἐποιεῖσθε κατηγορίαν, ὅτι
Θηβαίοις χαριζόμενοι, τοῖς τῶν Ἑλλήνων προδόταις, [8] ἡμᾶς
τοὺς εὐεργέτας διέφθειραν. μὴ τοίνυν ἐάσητε [9] ταύτας τὰς
d βλασφημίας περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν
ὕβριν τὴν τούτων ἀντὶ τῆς παρούσης ἕλησθε δόξης.

κε'. Πολλῶν δ' ἐνόντων εἰπεῖν ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοιτο μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας, οὐ δύναμαι [10] [βραχεῖ λόγῳ] πάντα περιλαβεῖν, ἀλλ' αὐτοὺς ὑμᾶς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας, ψηφίσασθαι τὰ δίκαια περὶ ἡμῶν.

[1] ἐνθυμουμένους ὅπως A. C. L. [2] ὑπαρχόντων ὑμῶν A. ὄντων ὑμῶν C. L. [3] Ἑλλήνων καθισταμένους A. C. L. [4] κινδυνευσάντων A. C. L. [5] ποιησόντων A. C. L. [6] διαπραξαμένους A. C. L. [7] καὶ Λακεδαιμονίων A. C. L. [8] ὑμᾶς A. C. L. [9] ταύτην τὴν βλασφημίαν A. C. L. [10] uncos om. A. C. L.

§. κϛ'. et Panath. §. λϛ'. Idem.
Αἰσχύνη τούτοις ἐστὶν] Vid. Panath. §. λϛ'. Idem.
Κυρίων ὑμῶν ὄντων] vobis dominantibus.

Idem.
Δουλεύειν] Vid. Paneg. §. κϛ'. Idem.
Μὴ τυγχάνοντας τῶν νομιζομένων] non honorari inferiis consuetis. Idem.

ΙΕ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΕΡΙ [1]ΑΝΤΙΔΟΣΕΩΣ.

Pag. ed. Cor. 310 — Pag. ed. H. Steph. 310

---

310 α΄. ΕΙ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι 310
τοῖς [2] ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἐπιδείξεις [3] γιγνομένοις,

[1] ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ A. C. L. [2] ἢ om. A. C. L. [3] γεγραμμένοις A. C. L.

SUMMARIUM. (α΄.) *Exordium.* Nisi oratio hæc peculiaris ac novi prorsus generis esset, præfatione non egeret; nunc discrepantiæ hujus ratio ante omnia mihi reddenda est. (β΄.) Non ignorabam quidem, nonnullos sophistas studia mea calumniari, forensibus tantum orationibus scribendis me operam dare dictitantes, parva nimirum cum magnis comparantes, nunquam tamen istam mei extenuationem ultus sum, quum, quo in genere orationum laborarem, cuivis manifestum esse putarem, atque ob hoc meum institutum quietisque studium, apud omnes cives gratiosus esse mihi viderer; sed in fine vitæ meæ de permutandis bonis in judicium vocatus, multos de populo perverse de me existimare et melius edoctos invidos esse vidi; quanquam enim causæ, quas adversarius meus proferebat, futiles tantum erant, munus tamen illud judices mihi obeundum esse decreverunt, egoque illud sucepi. (γ΄.) Quod hac demum occasione animadvertens et deliberans, quomodo non tantum æqualibus, verum etiam posterioribus, vitæ meæ rationem ac studia ante oculos quasi ponerem, inveni, hoc melius fieri posse oratione, quæ veluti imago mentis meæ ac reliquarum mearum rerum esset, quam corporis mei effigie. (δ΄.) Ne vero laudationem mei scribens plura omittere cogerer, quæ dicenda erant, et invidiam excitarem, hanc orationem composui, in speciem defensionis coram judicibus contra adversarii calumnias fictam. (ε΄.) Quoniam vero scripta est anno ætatis meæ octogesimo secundo, multiplex illa ac compositu difficilis, veniam a lectoribus peto, si orationibus ante a me editis mollior esse videbitur. (ϛ΄.) Ad has igitur varias formas, lector, respicias, nec totam simul, sed per partes legas, si, an dignum nobis locuti simus, perspicere velis. (ζ΄.) Finge porro, habitam esse coram judicibus, et verum de me explicare, rerum mearum ignaros melius edocere, invidosque invidiores etiam reddere senties. (η΄.) Quum adversarius meus imprimis sit multus in eo, quod eloquentiam meam apud vos criminatur, dicens causam inferiorem, me posse dicendo reddere superiorem, cui crimini iste obnoxius est, non item ego, ut, hoc illius artificio circumventus, vel bene vel male me defendam, causa cadere cogere, vos, judices, rogo, ne decernatis, antequam nostram defensionem totam audieritis, præsertim quum vix ex utraque parte, nedum ex una, verum elici possit. (θ΄.) Maximorum certe malorum causa est calumnia, quæ innocentissimos nonnunquam homines damnavit, quos si in vitam revocare potuisset civitas nostra, magni fecisset. Non mirum igitur, si calumniatoribus accusandis, qui judicibus fucum faciunt, diutius immorantur nonnulli, quam sibimet ipsis defendendis. (ι΄.) Hinc cavendum judicibus, ne accusatoribus aurem præbeant faciliorem quam reis, quandoquidem ejusmodi in judiciis iniquitas ac perversitas non tantum misericordiæ laudi, qua civitas nostra floret, sed justitiæ et proprio imprimis commodo maxime adversatur: (ια΄.) nam isti homunculi, quibus negligere sua, alienis insidiari propositum est, a sceleratis pecuniam extorquent, ne accusent illos, in civibus vero modestis criminandis et in judicium vocandis vires suas ostendunt, iisque terrorem sui incutiunt. (ιβ΄.) Quorum e numero iste Lysimachus est, qui hoc meum periculum, quod innocentissimo mihi creavit, opti-

οὐδὲν ἂν [1]οἶμαι προδιαλεχθῆναι περὶ αὐτοῦ· νῦν δὲ διὰ τὴν καινότητα καὶ τὴν διαφορὰν ἀναγκαῖόν ἐστι προειπεῖν

[1] ἔδει A. C. L.

mam pecuniæ extorquendæ viam habet, præsertim quum judices ad calumnias audiendas tam promptos esse videat, meque et propter ætatem et ejusmodi certaminum imperitiam facillime superari posse confidat. Ita enim semper me gessi, ut neminem injuria afficerem, ipse vero læsus, controversias amicis ejus, qui læserat, dirimendas relinquerem. Quorum nihil mihi profuit, quippe qui, vita ad hanc usque ætatem sine ullius querela transacta, in eodem nunc periculo versor, ac si omnes offendissem. Attamen spero, si me cum benevolentia audire volueritis, quum eos, qui de me false existiment, a sua opinione deducere, tum, qui me melius noverint, in sua de me opinione confirmare. Nunc, ne vos diutius morer, ea audire velitis, de quibus judicandum est. (ιγ′.) Videtis hinc, me eo nomine accusari, quod adolescentes eloquentiæ præceptis corrumpam, eosque in judiciis vel contra jus vincere edoceam. Cujus criminis accusans me adversarius et supra omnes omnino causidicos oratoresque extollens, et auditorum invidiam et vestram mihi iram movere cupit. (ιδ′.) At eum alia prorsus mentitum esse, alia immodice exaggerasse, facile me ostensurum esse confido, dummodo judicium vestrum tamdiu retinere velitis, quam defensionem audiveritis. (ιε′.) Atqui neminem civium neque eloquentia mea neque scriptis unquam læsum esse, hoc ipsum testimonio est, quod, etsi quivis antea tacuisset, hanc tamen occasionem ad ulciscendum non dimisisset, ubi iste me, quem ne verbis quidem læsi, accusavit. Sed neque nunc, neque antea tale quidquam mihi evenit, ita ut, si verum esset, quod adversarius obtinet, me esse in orationibus noxiis versatissimum, non tam pœnam quam laudem mererer, utpote qui ingenio moderate semper fuerim usus. (ιϛ′.) Me vero nequaquam tales orationes conscripsisse, e quotidianæ vitæ meæ consuetudine cognoscere potestis. Nullus me unquam in istis locis vidit, quæ frequentare necesse fuisset, si e vestris contractibus victitassem. Deinde opes, de quibus iste dixit, ab externis potius quam a vobis comparavi, discipulique mei non ut istorum illi in angustiis versantur, sed Græcorum opulentissimi et otiosissimi sunt. Quis credat, Nicoclem, Salaminiorum regem, mihi idcirco munera dedisse, ut causas agere disceret? Causidicorum denique nullus est, cujus fidei discipuli committerentur; ego vero, ut accusator ait, plures habui, quam omnes rhetores. (ιζ′.) Quam diversa fuerit vita mea ab illorum, qui in judiciis versantur, ita vobis optime demonstrasse puto, si earum rerum, de quibus accusator dixit, nullos mihi discipulos fuisse, neque me egregium orationum forensium artificem exstitisse ostendero; ita enim cupide vos audituros esse arbitror, quibusnam aliis orationibus conficiendis tantam mihi gloriam comparaverim, quarum deinde specimina vobis proponentur. Tanquam igitur vera, etsi nocitura mihi, nullo tamen modo dissimulanda, hæc accipite. (ιη′.) Inter multa orationum genera, numero, poematum generibus haud cedentia, unum est illud, quod Græciæ rerumque publicarum statum tractat, conventibus publicis maxime illud accommodatum, et poematibus propius accedens; quo multi non minus delectantur, quam poematibus, quodque tanquam utilius, celebrius, difficilius ac nobilius addiscere cupientes disciplinæ se tradunt, ex quo ego amplam et gratiam et celebritatem mihi peperi. (ιθ′.) Atque hæc de mea sive facultate, sive eloquentia, sive exercitatione dicta sint. Quod vero ad me ipsum attinet, ego severius atque audacius etiam nunc loquar; provoco enim vos, ut, non modo, si noxias orationes scribam, nullam a vobis veniam impetrem, sed, nisi tales elaboro, quales præter me nullus, gravissima supplicia subeam. (κ′.) Ne vero ambigui sitis, an verum loquar, id, quod in factis judicandis non licet, orationes ipsas non describam vobis, sed ante oculos ponam, non illas quidem totas, sed earum particulas; ut inde et mores meos et reliquas omnes orationes dijudicare possitis. In quibus recitandis ne ægre feratis, rogo, me eodem modo illas repetere, quo scriptæ sunt, quum omnis mutatio consilio esset contraria. Sed ipsi recitationi pauca præmittere liceat, quæ ad meliorem cujusque intelligentiam faciant. (κα′.) Prima, quæ ostendetur, de Græcis inter se reconciliandis et de bello Barbaris inferendo scripta est, cum Lacedæmoniis de principatu contendens, et rempublicam nostram omnium bonorum Græciæ causam fuisse, demonstrans, non tantum in bello, verum etiam in pace. Ne vero prorsus deficiam, quum mihi multa dicenda restent, alius recitet. (E Panegyrico.) At non tantum in pace, verum

τὰς αἰτίας, δι᾽ ἃς οὕτως ἀνόμοιον αὐτὸν ὄντα τοῖς ἄλλοις γράφειν προειλόμην· μὴ γὰρ τούτων δηλωθεισῶν πολλοῖς b ἂν ἴσως ἄτοπος εἶναι δόξειεν.

etiam in bello Atheniensium beneficia laudari merentur, quum pro patria aliorumque libertate multa magnaque et splendida pericula subierunt, imbecillioribusque opitulari, quam potentioribus injuriarum adjutores esse maluerunt. Quem promptum eorum ad opem ferendam animum ac potentiam, supplices, antiquissimis jam temporibus, Athenas, tanquam ad communem misericordiæ aram confugientes, satis declarant. Ut leviora omittam, Adrastus, Argivorum rex, adversus Thebanos, qui corpora ad Cadmeam cæsorum sepelienda reddere recusaverant, et Heraclidæ adversus Eurystheum opem urbis nostræ implorarunt, tanto successu, ut Atheniensium auxilio adjuti alteros cadavera reddere cogerent et alterius ferociam prorsus compescerent. Adrastus, compos voti factus, Thebas reliquit, et Eurystheus, qui Herculem, Jove natum divinoque robore præditum, partim imperiis, partim injuriis, per totam vitam vexaverat, ubi nos lacessiverat, captus ab Heraclidis contumeliosa morte periit; quum vero Heraclidæ Spartam postea conderent ejusque reges fierent, omnis posterioris Lacedæmoniorum felicitatis, Atheniensium beneficio, auctores fuerunt. Quodsi vero antiquissimis illis temporibus civitas nostra Thebanos imperata facere coegit, Lacedæmonios servavit, Argivos vicit, atque hi tres populi potentissimi omnium Græcorum fuerunt, nostros majores omnibus ab initio superiores fuisse liquet. Atque idem fere de Barbaris dicere licet, quorum antiquissimos ac potentissimos civitas nostra vicit. Thracum et Amazonum incursiones, qui, Atheniensibus in potestatem redactis, omnes omnino Græcos subegisse opinabantur, tanto successu a majoribus nostris repulsæ sunt, ut alteri sedes suas Græcis permittere cogerentur, alterarum nulla clade superstes esset. In bello autem contra Darium et Xerxem gesto et virtus et opes majorum nostrorum tam insignes fuere, ut præmio fortitudinis ab initio statim digni haberentur, et paullo post, omnium consensu, maris imperium obtinerent, non recusantibus Lacedæmoniis, de quorum et Atheniensium civitate paullo prolixius disserere conabor, etsi plures iique eloquentissimi cives easdem res jam olim occuparunt. Atque hoc loco ii, qui ante hoc bellum in utraque civitate rempublicam administrarunt, propter egregia instituta moresque, quibus populum ad virtutem, in Persico bello probatam, præpararunt, silentio non sunt prætereundi. Quemadmodum vero erga se, eodem modo et erga reliquas civitates affecti erant, quas beneficiis conciliare sibi, quam vi subigere, satius duxerunt. His igitur moribus posteri eorum imbuti et aucti, tales sese in bello Persico præstiterunt, ut, viribus totius totius Asiæ perbrevi tempore fractis, omnique laude superiores facti, neque poetarum neque oratorum quisquam eos digne satis extollere potuerit. Fuit quidem semper inter Athenienses Lacedæmoniosque æmulatio quædam ac honoris contentio; sed tum de salute Græcorum, non de servitute, certarunt, quod utique imprimis celeritate, qua primam Persarum in Græciam irruptionem represserunt, ubi alteri alteris priores esse voluerunt, affatim satis manifestarunt. Quæ utriusque civitatis æmulatio etiam palam fit ex eo, quod Athenienses in secunda Persarum in Græciam expeditione, cui Xerxes ipse præfuit, cum paucis navibus suis, veluti soli cum Barbaris confligere cuperent, classi illorum ad Artemisium, Lacedæmonii autem, paucis adjuti sociis, Persarum pedestribus copiis innumerabilibus in Thermopylis occurrerunt. Verum enimvero varia utrique fortuna usi sunt. Lacedæmonii in Thermopylis ab hostibus circumventi perierunt; Athenienses vero, victis ad Artemisium Barbaris, ubi Thermopylas expugnatas audiverunt, domum reversi omnibusque sociis destituti, proprio Marte immensam hostium multitudinem terra marique repellere conati sunt. Muneribus Persarum, si bello desisterent, generoso animo repudiatis, nec Græcis, a quibus turpiter destituti erant, irati, solos se, tanquam Græciæ principes, pro patria mori decere existimarunt, et, urbe hostibus ad diripiendum et diruendum relicta, soli naves conscenderunt. Victis vero hac classe ad Salaminem Barbaris, Athenienses, qui plurimas ad hoc prœlium naves contulerant, salutis Græcorum auctores putandi sunt. Qui igitur in superioribus bellis maximam gloriam deportarunt, qui privata sæpius pro communi salute pericula subierunt, qui in communibus prœliis fortitudinis præmia acceperunt, qui pro salute Græcorum urbem suam reliquerunt, denique qui priscis temporibus plurimas urbes condiderunt, easque maximis peri-

β'. Ἐγὼ γὰρ, εἰδὼς ἐνίους τῶν σοφιστῶν βλασφημοῦντας περὶ τῆς ἐμῆς διατριβῆς, καὶ λέγοντας ὡς ἔστι περὶ

culis liberarunt, nonne æquum est, eos in bello contra Barbaros suscepto hegemoniam habere? (κβ'.) Reputetis igitur vobiscum, an orationibus meis juvenum animos corrumpere, et non potius ad virtutem ducere, præmioque quam pœna dignior esse videar, qui urbem nostram majoresque nostros ita extulerim, ut neque antea quisquam aliquid dixisse sibi videatur, neque nunc dicere audeat. (κγ'.) At nihilominus tamen invidi quidam obtrectatores præferendas esse dicent illas orationes, quæ non tam superiora facta prædicent, quam præsentia peccata castigent. (κδ'.) Cui objectioni ut occurram, ejus orationis vobis partem aliquam proponam, in qua, ubi bellum cum sociis finiendum esse demonstravi, imperium Græcorum tanquam civitati inutile reprehendo, idque exemplis roboro. Postquam de his disserui et deploravi Græciæ calamitates, et cives admonui, ut tantis malis remedium invenire studeant, in fine ipsos ad colendam justitiam adhortor, et errata vitupero, et de futuris do consilium. Hanc igitur partem recita: Ex Oratione de Pace. At vero non solum pax facienda est, sed deliberandum etiam, qua ratione illam conservemus, nec tantum dilationem, sed præsentium malorum liberationem inveniamus; quod fieri nullo modo potest, nisi persuasum vobis fuerit, quietem esse sollicitudini præferendam, improbitati justitiam, suarum rerum curam cupiditati alienarum; de quibus rebus oratorum nullus apud vos verba adhuc facere conatus est. Omnes quidem homines commodum suum spectant, sed viam nescientes, diversas rationes ineunt. Ita nos quoque Græcorum imperium expetentes, dum a recta via aberramus, nil nisi inimicitias, bella et sumptus nobis paramus. Qui justitiam probatam quidem, sed inutilem, vel justos etiam miseriores habent injustis, in magno isti errore versantur. Sola virtus ejusque pars justitia est, quæ, etsi non semper, plerumque tamen, non in præsentia tantum, sed etiam in omne ævum felices nos reddit. Utinam vero æque facile sit, virtutem laudibus extollere, atque auditores ad colendam eum ducere, corruptos nempe ab hominibus, qui nihil aliud quam decipere possunt, quique, quando largitionibus corrupti, bellum aliquibus inferre volunt, majores esse imitandos dicere audent, etc. Quos lubenter interrogarem, utros majorum nobis ad imitandum commendent, utrum eos, qui tempore belli Persici fuerunt, an eos, qui ante bellum Decelicum rempublicam gesserunt. Loquar an taceam, dubito. Quanquam autem gravius irascimini iis, qui delicta vestra vituperant, quam malorum vestrorum auctoribus, tamen quum ægrotis animis nullum aliud remedium sit, quam libere reprehendens oratio, meus me patriæ amor cogit, ut loquar ac vituperem. Laudamus majores, iisque contraria facimus; illi enim contra Barbaros pugnarunt, Græcis libertatem donarunt, pro Græcorum salute urbem suam reliquerunt, nos vero cum Græcis adversus Græcos pugnamus, Græcos servitute opprimimus, ne pro amplificando quidem dominatu nostro dimicare volumus, ipsi indigentes rebus ad victum necessariis, peregrinum militem eumque omni flagitiorum genere corruptissimum alere conamur, conductitios milites gravi armatura dignamur, et cives remigare cogimus. Verum non militiæ solum, sed etiam domi deterrime ac perturbatissime res nostras administramus, civitatem, qua gloriamur, cuivis impertientes, leges, quarum plurimas ferimus, ubivis negligentes, belli concitatores tanquam democratiæ fautores æstimantes, sententias in concione semper mutantes, pessimos consultores adhibentes, improbissimos civium fidelissimos reipublicæ custodes existimantes, eos denique, a quibus nemo vel de privatis vel de publicis rebus consilium peteret, summa potestate instructos emittentes. — Res vero civitatis emendabimus, primum, si desierimus calumniatores pro popularibus et honestos viros pro oligarchicis habere; deinde, si socios vobis beneficiis adjungatis, tum præter pietatem erga deos nihil prius habeatis, quam apud Græcos bene audire. Quodsi his accesserit, ut exercitatione et apparatu bellicosi, revera pacis et justitiæ studiosi sitis, non tantum civitatem vestram, verum etiam omnes omnino Græcos felices reddetis. Potentiores enim Græciæ civitates, quibus inferiorem aliquam lædendi animus erit, ubi paratam viderint nostram læsis opitulari, abstinebunt injuriis, aut omnes, qui in angustiis erunt, ad nos confugient. Hinc neque amici nobis, neque opes et potentia, neque denique gloria deerunt, si in aliorum insania primi nos ad sanam mentem reversi, recuperata majorum laude, libertatis potius vindices quam Græciæ pestis fuerimus appellati. Totius autem rei caput est, si maledicta, quibus nunc petimur, exstinguere et a bellis temere susceptis cessare, principatumque in omne tempus tenere cupimus,

4 H

δικογραφίαν, καὶ παραπλήσιον ποιοῦντας ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἕδος ἐργασάμενον τολμῴη καλεῖν κοροπλάθον, ἢ [1] Ζεῦξιν καὶ Παῤῥάσιον τὴν αὐτὴν ἔχειν φαίη [2] τέχνην τοῖς τὰ πινάκια γράφουσιν, ὅμως οὐδὲ πώποτε τὴν μικρολογίαν ταύτην ἠμυνάμην αὐτῶν, ἡγούμενος τὰς μὲν ἐκείνων φλυαρίας οὐδεμίαν δύναμιν [3] ἔχειν, c
αὐτὸς δὲ πᾶσι τοῦτο πεποιηκέναι φανερὸν, ὅτι προῄρημαι καὶ λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ' ὑπὲρ τηλικούτων τὸ μέγεθος καὶ τοιούτων πραγμάτων, ὑπὲρ ὧν οὐδεὶς ἂν ἄλλος ἐπιχειρήσειε, πλὴν τῶν ἐμοὶ πεπλησιακότων ἢ τῶν τούτους μιμεῖσθαι βουλομένων. μέχρι d

[1] Ζεύξιδα A. C. L. [2] τέχνην φαίη A. C. L. [3] ἔχειν δύναμιν A. C. L.

ut principatus noster non tyrannico imperio, sed Lacedæmoniorum regum illi similis sit, qui suos servare, non opprimere solent, indeque apud cives suos in maximo honore et amore sunt. Juniores vero et per ætatem alacriores in fine moneo, ut ea dicant et scribant, quibus maximas civitates aliis mala inferre solitas ad virtutem et justitiam adhortentur, cogitantes, a communi Græcorum salute suam quoque ipsorum prosperam fortunam pendere. (κε'.) Verum ut clarius etiam fiat vobis, omnes meas orationes ad virtutem et justitiam tendere, ex tertia etiam, de regis officio ad Nicoclem scripta, pauca quædam recitato. Singulis separatisque præceptis, e quibus ista oratio constat, et quo ab aliis differt, tum ingenio illius prodesse, tum meos ipsius mores ostendere volui. Populi causam agens, ipsam regni administrationem, quantum in me fuit, quam lenissimam efficere operam dedi, et libere quidem, sicuti Atheniensem civem decet. (κϛ'.) Postquam in procemio principes, ob minorem, quam quæ hominum privatorum esse solet, animi culturam, reprehendi, Nicoclem moneo, ut, spretis voluptatibus, animum rebus gerendis intendat, quum turpe sit, stultiores prudentioribus imperare. * * * (κζ'.) Vereor quidem, ne mea hæc dicendi intemperantia vobis molestiam afferat, ideoque plura, quæ dicenda habeam, omitto, fieri tamen non potest, quin pauca adhuc vobiscum disseram. (κη'.) Pungit me iste vester sapientiæ contemptus, calumniæque, ne dicam, admiratio. Aliter prorsus majores vestri temporibus Solonis. Illi sapientes summis honoribus, calumniatores, tanquam maximorum malorum auctores, gravissimis pœnis afficiebant, (κθ'.) quos tantum abest ut imitemini, ut etiam illos tanquam civium accusatores et legislatores adhibeatis. In causa sunt majores ii, qui tempore auctæ et amplificatæ reipublicæ vixerunt. Isti viris præstantibus et rempublicam amplificantibus ob potentiam invidentes, homines improbos audaciæque plenos summæ rerum præfecerunt, quorum opera in maxima mala civitas conjecta est, ita ut status popularis bis solveretur, mœnibusque dirutis parum abesset, quin urbs everteretur. (λ'.) At sentio, tempus præterlapsum esse meque in longos et accusationis plenos sermones incidisse; hinc omissis reliquis, si pauca adjecero, finem orandi faciam. (λα'.) Equidem nullam rem mihi præsidio ac saluti esse volo, præter scriptas a me et modo recitatas orationes, in quibus tum de majoribus nostris, tum de diis ita juste et sancte locutus sum, ut quidquid de me statueritis, e deorum voluntate tanquam optimum mihi eventurum esse confidam. Lang. Scripta est hæc oratio anno ante Christum 355. et Isocratis ætatis 82. Auger.

ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ] Vid. F. A. Wolfii Proleg. ad Demosth. or. adv. Lept. p. 384. sq. ed. nostr.

Ἀγῶνας] Scil. δικανικούς. Lang.

Πρὸς τὰς ἐπιδείξεις] *ad ostentationem ingenii in conventibus.* Idem.

Ὡς ἔστι] Np. ἡ ἐμὴ διατριβή. Auger.

Ἕδος] I. e. ἄγαλμα. Lang.

Κοροπλάθον] Eos vocabant κοροπλάθους, inquit Harpocration, qui e luto aut cera aut alia hujusmodi materia puellulas aut puellulos fingebant. Auger.

Τοῖς τὰ πινάκια γραφ.] Τοῖς εὐτελέσι τῶν ζωγράφων δηλονότι. Cor.

Τὴν μικρολογίαν] *malignam comparationem rerum magnarum cum parvis.* Lang.

Τούτους] *hos*, i. e. me: nam, dum imitantur meos discipulos, me imitantur. Auger.

Μέχρι — πόῤῥω τῆς ἡλικίας] *ad maximam*

μὲν οὖν πόῤῥω τῆς ἡλικίας ᾠόμην καὶ διὰ τὴν προαίρεσιν ταύτην καὶ διὰ τὴν ἄλλην ἀπραγμοσύνην ἐπιεικῶς ἔχειν πρὸς ἅπαντας τοὺς ἰδιώτας· ἤδη δ' ὑπογυίου μοι τῆς τοῦ βίου τελευτῆς οὔσης, ἀντιδόσεως γενομένης περὶ τριηραρχίας καὶ
311 περὶ ταύτης ἀγῶνος [1] ἔγνων καὶ τούτων τινὰς [2] οὐχ οὕτω 311
πρός με διακειμένους ὥσπερ ἤλπιζον, ἀλλὰ τοὺς μὲν πολὺ διεψευσμένους τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ ῥέποντας ἐπὶ τὸ πείθεσθαι τοῖς ἀνεπιτήδειόν τι λέγουσι, τοὺς δὲ σαφῶς μὲν εἰδότας περὶ ἃ τυγχάνω διατρίβων, φθονοῦντας δὲ καὶ ταὐτὸν πεπονθότας τοῖς σοφισταῖς καὶ χαίροντας ἐπὶ τοῖς ψευδῆ περὶ ἐμοῦ δόξαν ἔχουσιν. ἐδήλωσαν δ' οὕτω διακεί-
b μενοι· τοῦ γὰρ ἀντιδίκου περὶ μὲν ὧν ἡ κρίσις ἦν οὐδὲν [3] λέγοντος δίκαιον, διαβάλλοντος δὲ [4] τὴν τῶν λόγων τῶν ἐμῶν [5] δύναμιν, καὶ καταλαζονευομένου περί τε τοῦ πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν, ἔγνωσαν ἐμὴν εἶναι τὴν λειτουργίαν. τὴν μὲν οὖν δαπάνην οὕτως ἠνέγκαμεν, ὥσπερ προσήκει τοὺς μήτε λίαν ὑπὸ τῶν τοιούτων ἐκταραττομένους μήτε παντάπασιν ἀσώτως μηδ' ὀλιγώρως πρὸς χρήματα διακειμένους.

c γ'. Ἠισθημένος δ', ὥσπερ εἶπον, πλείους ὄντας ὧν ᾠόμην τοὺς οὐκ ὀρθῶς περὶ ἐμοῦ γιγνώσκοντας, ἐνεθυμούμην [6] πῶς ἂν δηλώσαιμι καὶ τούτοις καὶ τοῖς ἐπιγιγνομένοις καὶ τὸν τρόπον ὃν ἔχω καὶ τὸν βίον ὃν ζῶ καὶ τὴν παιδείαν περὶ ἣν διατρίβω, καὶ [7] μὴ περιίδοιμι περὶ τῶν τοιούτων ἄκριτον ἐμαυτὸν ὄντα, μηδ' ἐπὶ τοῖς βλασφημεῖν εἰθισμένοις ὥσπερ
d νῦν γενόμενον. σκοπούμενος οὖν εὕρισκον οὐδαμῶς ἂν ἄλλως

[1] ἔγνων om. A. C. L. [2] ἔγνων οὐχ A. C. L. [3] ἀντιλέγοντος A. C. L. [4] τὴν om. A. C. L. [5] τὴν δύναμιν A. C. L. [6] μὲν πῶς A. L. [7] μήτε A. L.

ætatis partem progressus. Lang.

Διὰ τὴν προαίρεσιν ταύτην] Διὰ τὸν βίον ὃν προῄρημαι ζῆν. Cor.

Πρὸς ἅπαντας τοὺς ἰδιώτας] *me æquum esse omnibus, injuriam facere nemini.* At sensus postulat, ut Wolf. recte observavit, ἐπιεικῶς ἔχειν πρὸς ἐμὲ ἅπαντας τ. ἰδ., vulgatam pro hypallage habens. Atque ita legere suadet Retberg., qui ἰδιώτας insuper mutat in εἰδότας, quod ego factum nollem; quum ἰδιώτας, ut ex opposito σοφιστὰς apparet, omnes significet h. l. qui sophistæ non sunt, et non solum εἰδότας, sed etiam διεψευσμένους, complectatur. Lang. Ὁ νοῦς· Ὠόμην μετρίως φέρεσθαι παρὰ τοῖς ἰδιώταις, τουτέστι, μήτε θαυμάζεσθαι ἄγαν μήτε μὴν φθονεῖσθαι ὑπ' αὐτῶν. Cor.

Ἀγῶνος] Sub. γενομένου. Wolf. Auger. At ex additamento συγγενῶν post ἀγῶνος ego legendum potius duco: ἀγῶνος συγγενομένου. *et insuper judicio hac de re conflato.* Lang.

Καὶ τούτων] Scil. ἰδιωτῶν. Auger.

Λέγουσι] Np. περὶ ἐμοῦ. Idem.

Καταλαζονευομένου] Καταψευδομένου, πολὺ μείζω τοῦ προσήκοντος πλοῦτον καὶ πολὺ πλείους ὧν ἔχω μαθητὰς εἶναί μοι λέγοντος. Cor.

Ἔγνωσαν] Ἔκριναν οἱ δικασταί. Idem.

τοῦτο [1] διαπραξάμενος, πλὴν εἰ γραφείη λόγος ὥσπερ εἰκὼν
τῆς ἐμῆς διανοίας καὶ τῶν ἄλλων τῶν ἐμοὶ βεβιωμένων· διὰ
τούτου γὰρ ἤλπιζον καὶ τὰ περὶ ἐμὲ [2] μάλιστα γνωσθή-
σεσθαι, [3] καὶ τὸν αὐτὸν τοῦτον μνημεῖόν μου καταλειφθήσε-
σθαι πολὺ κάλλιον [4] τῶν χαλκῶν ἀναθημάτων.

δ΄. Εἰ μὲν οὖν ἐπαινεῖν [5] ἐμαυτὸν ἐπιχειροίην, ἑώρων οὔτε
περιλαβεῖν ἅπαντα περὶ ὧν διελθεῖν προῃρούμην οἷός τε
γενησόμενος, οὔτ' ἐπιχαρίτως οὐδ' ἀνεπιφθόνως εἰπεῖν περὶ e
αὐτῶν [6] δυνησόμενος· εἰ δὲ ὑποθείμην ἀγῶνα [7] μὲν καὶ κίν-
δυνόν τινα περὶ ἐμὲ γιγνόμενον, συκοφάντην δ' ὄντα τὸν γε-
γραμμένον καὶ τὸν [8] πράγματά μοι παρέχοντα, [9] κἀκεῖνον
μὲν ταῖς διαβολαῖς χρώμενον ταῖς ἐπὶ τῆς ἀντιδόσεως ῥηθεί-
σαις, ἐμαυτὸν δ' ἐν ἀπολογίας σχήματι τοὺς λόγους [10] ποι-
312 ούμενον, οὕτως ἂν [11] ἐκγενέσθαι μοι μάλιστα διαλεχθῆναι 312
περὶ ἁπάντων ὧν τυγχάνω βουλόμενος.

ε΄. Ταῦτα δὲ διανοηθεὶς ἔγραφον τὸν λόγον τοῦτον, οὐκ
ἀκμάζων, ἀλλ' ἔτη γεγονὼς δύο καὶ ὀγδοήκοντα. διόπερ
χρὴ συγγνώμην ἔχειν, ἢν μαλακώτερος ὢν φαίνηται τῶν
[12] παρ' ἐμοῦ πρότερον ἐκδεδομένων. καὶ γὰρ οὐδὲ ῥᾴδιος ἦν
οὐδ' ἁπλοῦς, ἀλλὰ πολλὴν ἔχων πραγματείαν. ἔστι γὰρ
τῶν γεγραμμένων ἔνια μὲν ἐν δικαστηρίῳ πρέποντα ῥηθῆναι,
τὰ δὲ πρὸς μὲν τοὺς τοιούτους ἀγῶνας οὐχ ἁρμόττοντα, b
περὶ δὲ φιλοσοφίας πεπαῤῥησιασμένα καὶ δεδηλωκότα τὴν
δύναμιν αὐτῆς· ἔστι δέ τι καὶ τοιοῦτον, ὃ τῶν νεωτέρων τοῖς
ἐπὶ τὰ μαθήματα καὶ τὴν παιδείαν ὁρμῶσιν ἀκούσασιν ἂν
συνενέγκοι, πολλὰ δὲ καὶ τῶν ὑπ' ἐμοῦ πάλαι γεγραμμέ-
νων ἐγκαταμεμιγμένα τοῖς νῦν λεγομένοις οὐκ ἀλόγως οὐδ'
ἀκαίρως, ἀλλὰ προσηκόντως τοῖς ὑποκειμένοις. τοσοῦτον
οὖν μῆκος λόγου συνιδεῖν, καὶ τοσαύτας ἰδέας καὶ τοσοῦτον c
ἀλλήλων ἀφεστώσας συναρμόσαι [13] καὶ συναγαγεῖν, καὶ τὰς

[1] διαπραξόμενος L. [2] μάλιστα om. A. C. L.
[3] καὶ τὸν - - - καταλειφθήσεσθαι om. A. C. L. [4] ἢ διὰ τῶν A. C. L.
[5] ἐμαυτὸν ἐπαινεῖν ἐγχειροίην A. C. L. [6] δυνησόμενος περὶ αὐτῶν A. L.
[7] μέν τινα καὶ κίνδυνον περὶ A. C. L. [8] τὰ πράγματα A. C. L. [9] καὶ ἐκεῖνον A. C. L.
[10] ποιούμενον τοὺς λόγους A. L. [11] ἐγγενέσθαι A. C. L. [12] ὑπ' A. C. L.
[13] καὶ συναγαγεῖν om. A. C. L.

Οὐδ' ἀνεπιφθόνως] Γραπτέον· οὔτ' ἀνεπιφθ. Idem.

Τὸν γεγραμμένον] Τὸν τὴν γραφὴν ἐπενεγκόντα μοι, τὸν εἰς ἀντίδοσίν με προκαλεσάμενον. Idem.

Ἐκγενέσθαι] Scil. ἑώρων.

Τοῖς ὑποκειμένοις] *subjecto argumento.* Auger.

ἐπιφερομένας οἰκειῶσαι ταῖς προειρημέναις, καὶ πάσας
ποιῆσαι σφίσιν αὐταῖς ὁμολογουμένας, οὐ πάνυ μικρὸν ἦν
ἔργον. ὅμως δ᾽ οὐκ ἀπέστην, καίπερ τηλικοῦτος ὤν, πρὶν
αὐτὸν ἀπετέλεσα μετὰ πολλῆς μὲν ἀληθείας εἰρημένον,
τὰ δ᾽ ἄλλα τοιοῦτον οἷος ἂν εἶναι δόξῃ τοῖς ἀκροωμένοις.

ϛʹ. Χρὴ δὲ [1] τοὺς διεξιόντας αὐτὸν πρῶτον μὲν ὡς ὄντος
d μικτοῦ τοῦ λόγου καὶ πρὸς ἁπάσας τὰς ὑποθέσεις ταύτας
γεγραμμένου ποιεῖσθαι τὴν ἀκρόασιν, ἔπειτα προσέχειν τὸν
νοῦν ἔτι μᾶλλον τοῖς λέγεσθαι μέλλουσιν ἢ τοῖς ἤδη προει-
ρημένοις, πρὸς δὲ τούτοις μὴ ζητεῖν εὐθὺς ἐπελθόντας ὅλον
αὐτὸν διελθεῖν, ἀλλὰ τοσοῦτον μέρος ὅσον μὴ [2] λυπήσει
τοὺς παρόντας. [3] ἐὰν γὰρ ἐμμείνητε τούτοις, μᾶλλον δυνή-
σεσθε κατιδεῖν εἴ τι τυγχάνομεν λέγοντες ἄξιον ἡμῶν
αὐτῶν.

e ζʹ. Ἃ μὲν οὖν ἀναγκαῖον ἦν προειπεῖν, ταῦτ᾽ ἐστίν· ἤδη
δ᾽ ἀναγιγνώσκετε τὴν ἀπολογίαν τὴν προσποιουμένην μὲν
περὶ κρίσεως γεγράφθαι, βουλομένην δὲ περὶ ἐμοῦ δηλῶσαι
τὴν ἀλήθειαν, καὶ τοὺς μὲν ἀγνοοῦντας εἰδέναι ποιῆσαι, τοὺς 313
313 δὲ φθονοῦντας ἔτι μᾶλλον ὑπὸ τῆς νόσου ταύτης λυπεῖσθαι·
μείζω γὰρ δίκην οὐκ ἂν δυναίμην λαβεῖν παρ᾽ αὐτῶν.

ηʹ. Πάντων [4] ἡγοῦμαι πονηροτάτους εἶναι καὶ μεγίστης
ζημίας ἀξίους, οἵτινες, οἷς αὐτοὶ τυγχάνουσιν ὄντες ἔνοχοι,
ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν, ὅπερ Λυσίμαχος
πεποίηκεν. οὗτος γὰρ αὐτὸς συγγεγραμμένα λέγων περὶ
τῶν ἐμῶν συγγραμμάτων πλείω πεποίηται λόγον ἢ περὶ
τῶν ἄλλων ἁπάντων, ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ τις
b ἱεροσυλίας ἕτερον διώκων αὐτὸς τὰ τῶν θεῶν ἐν [5] τοῖν χεροῖν
ἔχων φανείη. πρὸ πολλοῦ δ᾽ ἂν ἐποιησάμην οὕτως αὐτὸν
νομίζειν εἶναί με δεινόν, ὥσπερ ἐν ὑμῖν εἴρηκεν· οὐ γὰρ ἄν
ποτέ μοι πράγματα [6] ποιεῖν ἐπεχείρησε. νῦν δὲ λέγει μὲν

[1] καὶ τοὺς A. C. L. [2] λυπήσῃ A. L. [3] ἢν A. C. L.
[4] δ᾽ ἡγοῦμαι A. C. L. [5] ταῖν A. C. L. [6] παρέχειν A. C. L.

Πρὶν αὐτὸν] Sup. τὸν λόγον. Lang.

Ποιεῖσθαι τὴν ἀκρόασιν] Vulgo *audire, auscultare*; hic significat *sibi facere auditionem, facere ut se alii audiant*: nam hic agitur de iis qui legunt orationem coram aliis. τοῦ λόγου, quod præcedit, regitur a τὴν ἀκρόασιν. Itaque commentando interpretare: *facere ut, se recitantibus, alii audiant orationem, tanquam* etc. Auger. Recte, ut e seqq. elucet. Lang.

Αὐτὸς συγγεγραμμένα λέγων] *quum ipse scripta recitet*, quibus id ipsum exprobrari potest, quo iste mea scripta suspecta reddere conatur. Lang.

Διώκων] *reum agens*. Idem.

Δεινὸν] H. l. *eloquentem*. Idem.

ὡς ἐγὼ τοὺς ἥττους λόγους κρείττους δύναμαι ποιεῖν,
τοσοῦτον δέ μου καταπεφρόνηκεν, ὥστ᾽ αὐτὸς ψευδόμενος
ἐμοῦ τἀληθῆ λέγοντος ἐλπίζει ῥᾳδίως ἐπικρατήσειν. οὕτω
δέ μοι δυσκόλως ἅπαντα συμβέβηκεν, ὥσθ᾽ οἱ μὲν ἄλλοι c
τοῖς λόγοις διαλύονται τὰς διαβολὰς, ἐμοῦ δὲ Λυσίμαχος
αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκεν, ἵν᾽, ἢν μὲν ἱκα-
νῶς δόξω λέγειν, ἔνοχος ὢν [1] φανῶ τοῖς ὑπὸ τούτου περὶ
τῆς δεινότητος τῆς ἐμῆς προειρημένοις, ἢν δ᾽ ἐνδεέστερον
τύχω διαλεχθεὶς ὧν οὗτος ὑμᾶς προσδοκᾷν πεποίηκε, τὰς
πράξεις [2] ἡγῆσθέ μου χείρους εἶναι. δέομαι οὖν ὑμῶν μήτε
πιστεύειν [3] πω μήτ᾽ ἀπιστεῖν τοῖς εἰρημένοις, πρὶν ἂν διὰ d
τέλους ἀκούσητε καὶ τὰ παρ᾽ ἡμῶν, ἐνθυμουμένους ὅτι
οὐδὲν ἂν ἔδει δίδοσθαι τοῖς φεύγουσιν ἀπολογίαν, εἴπερ
οἷόν τ᾽ ἦν ἐκ τῶν τοῦ διώκοντος λόγων [4] ἐψηφίσθαι τὰ
δίκαια. νῦν δ᾽, εἰ μὲν [5] εὖ τυγχάνει κατηγορηκὼς ἢ κακῶς,
οὐδεὶς ἂν τῶν παρόντων ἀγνοήσειεν· εἰ δ᾽ ἀληθέσι κέχρη-
ται τοῖς λόγοις, οὐκέτι τοῦτο τοῖς κρίνουσι γνῶναι ῥᾴδιον ἐξ
ὧν ὁ πρότερος εἴρηκεν, ἀλλ᾽ ἀγαπητὸν ἦν ἐξ ἀμφοτέρων
τῶν λόγων ἐκλαβεῖν δυνηθῶσι τὸ δίκαιον. e

θʹ. Οὐ θαυμάζω δὲ τῶν πλείω χρόνον διατριβόντων ἐπὶ
314 ταῖς τῶν ἐξαπατώντων κατηγορίαις ἢ ταῖς ὑπὲρ αὑτῶν
ἀπολογίαις, οὐδὲ τῶν λεγόντων ὡς ἔστι μέγιστον κακὸν
διαβολή· τί γὰρ ἂν γένοιτο ταύτης κακουργότερον, ἣ ποιεῖ 314
τοὺς μὲν ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ μηδὲν [6] ἡμαρτηκό-
τας δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας ἐπιορκεῖν, ὅλως δὲ
τὴν μὲν ἀλήθειαν [7] ἀφανίζειν, ψευδῆ δὲ δόξαν παραστή-
σασα τοῖς ἀκούουσιν ὃν ἂν τύχῃ τῶν πολιτῶν ἀδίκως
ἀπόλλυσιν; ἃ φυλακτέον ἐστὶν, ὅπως μηδὲν ὑμῖν συμβή-
σεται τοιοῦτον, μηδ᾽ ἃ τοῖς ἄλλοις ἂν [8] ἐπιτιμήσαιτε, τού-
τοις αὐτοὶ [9] φανήσεσθε περιπίπτοντες. οἶμαι δ᾽ ὑμᾶς

[1] φαίνωμαι A. C. L. [2] ἡγήσησθέ A. C. L. [3] πώποτε A. C. L.
[4] ψηφίσασθαι A. C. L. [5] ἐντυγχάνει κατηγορικῶς καὶ κακοήθως A. L.
[6] ἠδικηκότας A. C. L. [7] ἀφανίζει A. C. L. [8] ἐπιτιμήσητε A. L.
[9] φανοῖσθε A. φαίνοισθε C. L.

Τοὺς ἥττους λόγους κρείττους] I. e. λέγοντα νικᾷν καὶ δίκαια καὶ ἄδικα, Idem.

Ὅτι οὐδὲν ἂν ἔδει] *supervacaneum fuisse.* Idem. Ἴσως· ὅτι οὐδ᾽ ἂν ἔδει. Cor.

Ἀλλ᾽ ἀγαπητὸν] *sed boni consulendum.* Lang.

Ἃ φυλακτέον] Vel ad ἃ subaudi διὰ, vel eo sensu accipe, quo Latini dicerent: *quod præcavendum est ne —.* Auger. I. e. δι᾽ ἅ. Lang.

b οὐκ ἀγνοεῖν ὅτι τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε
τῶν κρίσεων τῶν μετ᾽ ὀργῆς καὶ μὴ μετ᾽ ἐλέγχου γενο-
μένων, ὥστ᾽ οὐ πολὺν χρόνον διαλιποῦσα παρὰ μὲν τῶν
ἐξαπατησάντων δίκην λαβεῖν ἐπεθύμησε, τοὺς δὲ δια-
βληθέντας ἡδέως ἂν εἶδεν ἄμεινον ἢ πρότερον πράττοντας.

ι΄. Ὧν χρὴ μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς
τῶν κατηγόρων λόγοις, μηδὲ μετὰ θορύβου καὶ χαλεπό-
τητος ἀκροᾶσθαι τῶν ἀπολογουμένων. καὶ γὰρ αἰσχρὸν
c ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων ἐλεημονεστάτους ὁμολο-
γεῖσθαι καὶ πρᾳοτάτους ἁπάντων εἶναι τῶν Ἑλλήνων, ἐπὶ
δὲ τοῖς ἀγῶσι τοῖς ἐνθάδε γιγνομένοις τἀναντία τῇ δόξῃ
ταύτῃ φαίνεσθαι πράττοντας· καὶ παρ᾽ ἑτέροις μέν, ἐπειδὰν
περὶ ψυχῆς ἀνθρώπου δικάζωσι, μέρος [1] τι τῶν ψήφων ὑπο-
βάλλεσθαι τοῖς φεύγουσι, παρ᾽ ὑμῖν δὲ μηδὲ τῶν ἴσων τυγ-
χάνειν τοὺς κινδυνεύοντας τοῖς συκοφαντοῦσιν, ἀλλ᾽ ὀμνύναι
d μὲν καθ᾽ ἕκαστον [2] τὸν ἐνιαυτὸν ἦ μὴν ὁμοίως [3] ἀκροάσεσθαι
τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων, τοσοῦτον δὲ
τὸ μεταξὺ ποιεῖν, ὥστε τῶν μὲν αἰτιωμένων ὅ τι ἂν λέγωσιν
ἀποδέχεσθαι, τῶν δὲ τούτους ἐξελέγχειν πειρωμένων ἐνίοτε
μηδὲ τὴν φωνὴν ἀκούοντας ἀνέχεσθαι, καὶ νομίζειν μὲν ἀοι-
κήτους εἶναι ταύτας τῶν πόλεων ἐν αἷς ἄκριτοί τινες ἀπόλ-
λυνται τῶν πολιτῶν, ἀγνοεῖν δ᾽ ὅτι τοῦτο ποιοῦσιν οἱ μὴ
e κοινὴν τὴν εὔνοιαν τοῖς ἀγωνιζομένοις παρέχοντες. ὃ δὲ
πάντων δεινότατον, ὅταν τις αὐτὸς μὲν κινδυνεύων [4] κατη- 315

[1] τι om. A. C. L. [2] [τὸν] C. [3] ἀκροᾶσθαι A. C. L.
[4] ἀξιοῖ κατηγορεῖν A. C. L.

Ἤδη μετεμέλησε τῶν κρίσεων] Socratis injustam damnationem alludere nostrum quid non videat? ad quam h. l. non tantum alludere, sed cujus ulciscendæ causa magna ex parte hanc causam finxisse videtur, ita ut hanc orationem Isocratis apologiam Socratis cum vindicta conjunctam jure vocare possis. Vid. Procem. §. ϛ΄. IDEM.

Ὑποβάλλεσθαι] *subjicere*, i. e. numerum calculorum absolventium affingere. Auger. contra de contrario vertit *condonari*. IDEM. Τῶν λευκῶν, ἤγουν τῶν ἀπολυουσῶν, ψήφων τὸν ἀριθμὸν αὐξάνεσθαι, χάριν τοῦ φεύγοντος, λάθρα ὑποβαλλομένων ἑτέρων τοιούτων ψήφων. COR.

Τὸ μεταξὺ ποιεῖν] *intervallum seu medium facere*, ita intelligendum est: Inter duo nimirum contraria, quorum alterum est, tum accusatores tum reos eadem attentione et animo audire, alterum, id non facere, tanquam medium (τὸ μεταξὺ) interjacet, accusatores approbare, reos ne loqui quidem sinere. Hinc τὸ μεταξὺ h. l. vertere possis *contrarium* (τοὐναντίον), præsertim quum additum sit τοσοῦτον. sed stricte si sumpseris, nostra explicatio retinenda erit. Wolf. explicuit hanc phrasin: τοσοῦτο ἀπέχειν τοῦ τοῦτο ποιεῖν. Auger.: 'tantum vero ab æquabilitate illa recedere.' sed neuter accurate illam intellexit. LANG.

Ἀκούοντας ἀνέχεσθαι] Ἀντὶ τοῦ, ἀκούειν ἀνέχεσθαι. WOLF.

Νομίζειν] Refer ad αἰσχρὸν quod præcessit. AUGER.

γορῇ τῶν διαβαλλόντων, ἑτέρῳ δὲ δικάζων μὴ τὴν αὐτὴν
ἔχῃ γνώμην περὶ αὐτῶν. καίτοι χρὴ τοὺς νοῦν ἔχοντας τοι-
ούτους εἶναι κριτὰς τοῖς ἄλλοις, οἵωνπερ ἂν αὐτοὶ [1] τυγχά-
νειν ἀξιώσαιεν, λογιζομένους ὅτι διὰ τοὺς συκοφαντεῖν τολ- 315
μῶντας ἄδηλον ὅςτις εἰς κίνδυνον καταστὰς ἀναγκασθήσεται
λέγειν ἅπερ ἐγὼ νῦν πρὸς τοὺς μέλλοντας περὶ [2] ἐμαυτοῦ τὴν
ψῆφον διοίσειν.

ιά. Οὐ γὰρ δὴ τῷ γε κοσμίως ζῆν ἄξιον πιστεύειν ὡς
ἀδεῶς ἐξέσται τὴν πόλιν οἰκεῖν· οἱ γὰρ προῃρημένοι τῶν μὲν
ἰδίων ἀμελεῖν, τοῖς δ᾽ ἀλλοτρίοις ἐπιβουλεύειν, οὐ τῶν μὲν
σωφρόνως πολιτευομένων ἀπέχονται, τοὺς δὲ κακόν τι δρῶν-
τας εἰς ὑμᾶς [3] εἰσάγουσιν, ἀλλ᾽ ἐν τοῖς μηδὲν ἀδικοῦσιν ἐπι- b
δειξάμενοι τὰς αὑτῶν δυνάμεις παρὰ τῶν φανερῶς ἐξημαρ-
τηκότων πλεῖον λαμβάνουσιν ἀργύριον.

ιβ΄. Ἅπερ Λυσίμαχος διανοηθεὶς εἰς [4] τουτονὶ τὸν κίν-
δυνόν με κατέστησεν, ἡγούμενος τὸν ἀγῶνα τὸν πρὸς ἐμὲ
παρ᾽ ἑτέρων αὑτῷ χρηματισμὸν [5] ποιήσειν, καὶ προσδοκῶν,
ἐὰν ἐμοῦ περιγένηται τοῖς λόγοις, ὃν φησι διδάσκαλον εἶναι
τῶν ἄλλων, ἀνυπόστατον τὴν αὑτοῦ δύναμιν ἅπασιν εἶναι
δόξειν. ἐλπίζει δὲ ῥᾳδίως [6] τοῦτο ποιήσειν· ὁρᾷ γὰρ ὑμᾶς μὲν c
λίαν ταχέως ἀποδεχομένους τὰς αἰτίας καὶ τὰς διαβολὰς,
ἐμὲ δ᾽ ὑπὲρ αὐτῶν οὐ δυνησόμενον ἀξίως τῆς δόξης ἀπολο-
γήσασθαι καὶ διὰ τὸ γῆρας καὶ διὰ τὴν ἀπειρίαν τῶν τοιού-
των ἀγώνων. οὕτω γὰρ βεβίωκα τὸν παρελθόντα χρόνον,
ὥςτε μηδένα μοι πώποτε [7] μήτ᾽ ἐν ὀλιγαρχίᾳ [7] μήτ᾽ ἐν δη-
μοκρατίᾳ μήθ᾽ ὕβριν μήτ᾽ ἀδικίαν ἐγκαλέσαι, μηδ᾽ εἶναι
[8] μήτε διαιτητὴν μήτε δικαστὴν ὅςτις περὶ τῶν ἐμοὶ πεπρα- d
γμένων φανήσεται κριτὴς γεγενημένος· ἠπιστάμην γὰρ αὐτὸς
μὲν εἰς τοὺς ἄλλους μηδὲν ἐξαμαρτάνειν, ἀδικούμενος δὲ μὴ
μετὰ δικαστηρίου ποιεῖσθαι τὰς τιμωρίας, ἀλλ᾽ ἐν τοῖς φί-
λοις τοῖς ἐκείνων διαλύεσθαι περὶ τῶν ἀμφισβητουμένων. ὧν

[1] τυχεῖν A. C. L. [2] αὐτοῦ A. C. L. [3] ἄγουσιν A. C. L.
[4] τοῦτον A. C. L. [5] ποιήσειν om. A. C. L. [6] τοῦτο ῥᾳδίως A. C. L.
[7] μηδ᾽ A. L. [8] μήτε δικαστὴν μήτε διαιτητὴν A. C. L.

Περὶ αὐτῶν] Scil. τῶν διαβαλλόντων. Lang.

Ἡγούμενος καὶ ἀγῶνα — χρηματισμὸν] *hanc causam sibi lucrum existimans.* Hinc γενησόμενον, quod subaudiri vel addere jubet Auger., non opus est. Idem.

Διαιτητὴν] Διαιτητὴς arbiter est, qui, antequam res in judicium deduceretur, lites componere studebat ex æquo et bono. Vid. Harpocrat. in h. v. Idem.

οὐδέν μοι πλεῖον γέγονεν, ἀλλ' [1] ἀνεγκλητεὶ μέχρι ταυτησὶ
τῆς ἡλικίας βεβιωκὼς εἰς τὸν αὐτὸν καθέστηκα κίνδυνον, 316
e εἰς ὅνπερ ἂν εἰ πάντας ἐτύγχανον ἠδικηκώς. οὐ μὴν [2] παν-
τάπασιν ἀθυμῶ διὰ τὸ μέγεθος τοῦ τιμήματος, ἀλλ', ἐάν
περ ἐθελήσητε μετ' εὐνοίας ἀκροάσασθαι, πολλὰς ἐλπίδας
316 ἔχω τοὺς μὲν διεψευσμένους [3] τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ
[4] πεπεισμένους ὑπὸ τῶν βουλομένων βλασφημεῖν ταχέως
μεταπεισθήσεσθαι [5] περὶ αὐτῶν, τοὺς δὲ τοιοῦτον εἶναί με
νομίζοντας οἷός περ εἰμὶ, βεβαιότερον ἔτι ταύτην ἕξειν τὴν
διάνοιαν. ἵνα δὲ μὴ λίαν ἐνοχλῶ πολλὰ πρὸ τοῦ πράγμα-
τος λέγων, ἀφέμενος τούτων, περὶ ὧν οἴσετε τὴν ψῆφον ἤδη
πειράσομαι διδάσκειν ὑμᾶς. καί μοι ἀνάγνωθι [6] τὴν γραφήν.

b ## ΓΡΑΦΗ.

ιγ'. Ἐκ μὲν τοίνυν τῆς γραφῆς πειρᾶταί με διαβάλλειν
ὁ κατήγορος ὡς διαφθείρω τοὺς νεωτέρους λέγειν διδάσκων
καὶ παρὰ τὸ δίκαιον ἐν τοῖς ἀγῶσι πλεονεκτεῖν, ἐκ δὲ τῶν
ἄλλων λόγων ποιεῖ με τηλικοῦτον, ὅσος οὐδεὶς πώποτε γέ-
γονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν
περὶ τὴν φιλοσοφίαν διατριψάντων· οὐ γὰρ μόνον [7] ἰδιώτας
c φησί [8] μου γεγενῆσθαι μαθητὰς, ἀλλὰ καὶ ῥήτορας καὶ
στρατηγοὺς καὶ βασιλέας καὶ τυράννους, καὶ χρήματα παρ'
αὐτῶν παμπληθῆ τὰ μὲν εἰληφέναι τὰ δ' ἔτι καὶ νῦν λαμ-
βάνειν. τοῦτον δὲ τὸν τρόπον πεποίηται τὴν κατηγορίαν,
ἡγούμενος ἐκ μὲν ὧν καταλαζονεύεται περὶ ἐμοῦ καὶ τοῦ
πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν φθόνον ἅπασι τοῖς
ἀκούουσιν ἐμποιήσειν, ἐκ δὲ τῆς περὶ τὰ δικαστήρια πρα-

[1] ἀνεγκλήτως A. C. L. [2] παντάπασίν γε A. C. L. [3] περὶ τῶν A. C. L.
[4] ῥέποντας ἐπὶ τὸ πείθεσθαι τοῖς ἀνεπιτήδειόν τι λέγουσι περὶ ἡμῶν, ταχέως A. C. L.
[5] περὶ αὐτῶν om. A. C. L. [6] τὴν γραφὴν ἀνάγνωθι A. C. L.
[7] ἰδιώτας μόνον A. C. L. [8] μοι γενέσθαι A. C. L.

Ὧν οὐδέν μοι πλεῖον γέγονεν] I. e. ἀλλ' οὐδὲν τούτων ὠφέλησέ με. Male ergo ad ὧν Auger. subaudit ἕνεκα. Idem. Ἐξ ὧν (ἐκ τῶν σωφρόνως μοι βεβιωμένων δηλονότι) οὐδὲν κέρδος μοι προσεγένετο. Cor.

Εἰς ὅνπερ ἂν] Sub. καθεστήκαιμι. Auger.

Διὰ τὸ μέγεθος τοῦ τιμήμ.] Τὴν δαπάνην τῆς τριηραρχίας, ἥπερ ἠδύνατο εἶναι τάλαντον ὁμοῦ τι κατ' ἔτος ἐν ἅπαντι τῷ τῆς τριηραρχίας χρόνῳ, ὡς ἔστιν εἰκάσαι ἐκ τῶν Λυσίου Ἀπολ. Δωροδοκ. α'. Cor.

Ἐκ δὲ τῶν ἄλλων λόγων] *ex aliis verbis*, i. e. ex verbis orationis quæ non continentur in libello accusatoris. Auger. *ex aliis verbis*, seu secundum alios accusatoris sermones. Vid. §. η'. Lang. Ἡ γραφὴ γὰρ ὀλίγοις ῥήμασιν ἐδήλου τὸ περὶ οὗ ἡ δίκη, οὗ τὰς ἀποδείξεις περιεῖχεν ἔπειτα διὰ μακρῶν ὁ δικανικὸς λόγος. Cor.

Καλινδουμένων] *volutantium*, i. e. tantum non in judiciis habitantium; non tamen sine notione indecori. Lang.

Τοῖς ἀκούουσιν] Ad coronam audientium, et p. 610. v. 1. ὑμᾶς ad judices, spectat. Idem.

γματείας εἰς ὀργὴν καὶ μῖσος ὑμᾶς καταστήσειν· ἅπερ ὅταν d
πάθωσιν οἱ κρίνοντες, [1] χαλεπώτατοι τοῖς ἀγωνιζομένοις
εἰσίν.

ιδ΄. Ὡς οὖν τὰ μὲν μείζω τοῦ προσήκοντος εἴρηκε, τὰ δ᾽
ὅλως ψεύδεται, ῥᾳδίως οἶμαι φανερὸν [2] [ὑμῖν] ποιήσειν. ἀξιῶ
δ᾽ ὑμᾶς τοῖς μὲν λόγοις, [3] οἷς πρότερον ἀκηκόατε περὶ ἐμοῦ,
τῶν βλασφημεῖν καὶ διαβάλλειν βουλομένων μὴ προσέχειν
317 τὸν νοῦν, μηδὲ πιστεύειν τοῖς μήτε μετ᾽ ἐλέγχου μήτε μετὰ e
κρίσεως εἰρημένοις, [4] μηδὲ ταῖς δόξαις χρῆσθαι ταῖς ἀδίκως
ὑπ᾽ ἐκείνων ὑμῖν [5] ἐγγεγενημέναις, ἀλλ᾽ ὁποῖός τις ἂν ἐκ τῆς
κατηγορίας τῆς νῦν καὶ τῆς ἀπολογίας φαίνωμαι, τοιοῦτον
εἶναί με νομίζειν· οὕτω γὰρ γιγνώσκοντες αὐτοί τε δόξετε
καλῶς κρίνειν καὶ νομίμως, ἐγώ τε τεύξομαι πάντων τῶν 317
δικαίων.

ιε΄. Ὅτι μὲν οὖν οὐδεὶς οὔθ᾽ ὑπὸ τῆς δεινότητος τῆς ἐμῆς
οὔθ᾽ ὑπὸ τῶν συγγραμμάτων βέβλαπται τῶν πολιτῶν, τὸν
ἐνεστῶτα κίνδυνον [6] ἡγοῦμαι μέγιστον εἶναι τεκμήριον. εἰ
γάρ τις ἦν ἠδικημένος, εἰ καὶ τὸν ἄλλον χρόνον ἡσυχίαν
εἶχεν, οὐκ ἂν ἠμέλησε [7] τοῦ καιροῦ τοῦ παρόντος, ἀλλ᾽
ἦλθεν ἂν ἤτοι κατηγορήσων ἢ [8] καταμαρτυρήσων. ὅπου γὰρ b
ὁ [9] μηδ᾽ ἀκηκοὼς μηδὲν πώποτε φλαῦρον εἰς ἀγῶνά με
[10] τηλικουτονὶ κατέστησεν, ἦπου σφόδρ᾽ ἂν οἱ κακῶς πεπον-
θότες ἐπειρῶντ᾽ ἂν δίκην παρ᾽ ἐμοῦ λαμβάνειν. οὐ γὰρ [11] δὴ
τοῦτό γ᾽ ἐστὶν οὔτ᾽ εἰκὸς οὔτε δυνατὸν, ἐμὲ μὲν περὶ πολ-
λοὺς ἡμαρτηκέναι, τοὺς δὲ ταῖς συμφοραῖς δι᾽ ἐμὲ περιπε-
πτωκότας ἡσυχίαν ἔχειν καὶ μὴ τολμᾷν ἐγκαλεῖν, ἀλλὰ
πρᾳοτέρους ἐν τοῖς ἐμοῖς εἶναι κινδύνοις τῶν μηδὲν ἠδικημέ-
νων, ἐξὸν αὐτοῖς δηλώσασιν ἃ πεπόνθασι τὴν μεγίστην c
παρ᾽ ἐμοῦ λαβεῖν τιμωρίαν. ἀλλὰ γὰρ οὔτε πρότερον οὔτε
νῦν οὐδείς μοι φανήσεται τοιοῦτον οὐδὲν ἐγκαλέσας. ὥστ᾽,
εἰ συγχωρήσαιμι τῷ κατηγόρῳ καὶ προσομολογήσαιμι

[1] χαλεπώτεροι A. C. L. [2] uncos om. A. C. L. [3] οὓς A. C. L.
[4] μήτε A. C. L. [5] γεγενημέναις A. C. L. [6] ἡγοῦμαί μοι A. C. L.
[7] τοῦ παρόντος καιροῦ A. C. L. [8] καταψευδομαρτυρήσων A. C. L.
[9] μηδ᾽ om. A. C. L. [10] τηλικοῦτον A. C. L. [11] δήπου τοῦτό ἐστιν A. C. L.

Μήτε μετ᾽ ἐλέγχου μήτε μετὰ κρ.] Ἄμεινον· μὴ μετ᾽ ἐλέγχου μηδὲ μετὰ κρ. Cor.

Εἰ γάρ τις ἦν κ. τ. λ] Cf. Plat. Apol. Socrat. §. 22.

Ἧπου σφόδρ᾽ ἂν οἱ] Ἴσως· ἧπου σφόδρα γ᾽ οἱ. Cor.

Δηλώσασιν] Id est, ἐὰν δηλώσωσι. Lang.

πάντων ἀνθρώπων εἶναι δεινότατος, καὶ συγγραφεὺς τῶν
λόγων τῶν λυπούντων ὑμᾶς τοιοῦτος οἷος οὐδεὶς ἄλλος
γέγονε, πολὺ ἂν [1]δικαιότερον ἐπιεικὴς εἶναι δοκοίην ἢ
ζημιωθείην· τοῦ μὲν γὰρ γενέσθαι προέχοντα τῶν ἄλλων
d [2]ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις εἰκότως ἄν τις
τὴν τύχην αἰτιάσαιτο, τοῦ δὲ καλῶς καὶ μετρίως κεχρῆ-
σθαι τῇ φύσει δικαίως ἂν [3]ἅπαντες τὸν τρόπον τὸν ἐμὸν
ἐπαινέσειαν.

ιϛ´. Οὐ μὴν οὐδ' εἰ ταῦτ' [4]ἔχων περὶ ἐμαυτοῦ λέγειν,
οὐδ' οὕτω φανήσομαι περὶ τοὺς λόγους τοὺς τοιούτους
γεγενημένος. γνώσεσθε δ' ἐκ τῶν ἐπιτηδευμάτων τῶν
ἐμῶν, ἐξ ὧνπερ οἷόν τ' ἐστὶν εἰδέναι τὴν ἀλήθειαν πολὺ 318
μᾶλλον ἢ παρὰ τῶν [5]διαβαλλόντων. οἶμαι γὰρ οὐδένα
e τοῦτ' ἀγνοεῖν, ὅτι πάντες ἄνθρωποι περὶ τὸν τόπον τοῦ-
τον εἰώθασι διατρίβειν, ὅθεν ἂν προέλωνται τὸν βίον πορί-
ζεσθαι. τοὺς μὲν τοίνυν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων
ζῶντας καὶ τῆς περὶ ταῦτα πραγματείας [6]ἴδοιτ' ἂν μόνον
318 οὐκ ἐν τοῖς δικαστηρίοις οἰκοῦντας, ἐμὲ δ' οὐδεὶς πώποθ'
ἑώρακεν οὔτ' ἐν τοῖς συνεδρίοις οὔτε περὶ τὰς [7]ἀνακρίσεις
οὔτ' ἐπὶ τοῖς δικαστηρίοις οὔτε πρὸς τοῖς διαιτηταῖς, ἀλλ'
οὕτως ἀπέχομαι τούτων ἁπάντων ὡς οὐδεὶς ἄλλος τῶν
πολιτῶν. ἔπειτ' ἐκείνους μὲν ἂν εὕροιτε παρ' ὑμῖν μόνοις
χρηματίζεσθαι δυναμένους, εἰ δ' ἄλλοσέ [8]ποι πλεύσειαν,
ἐνδεεῖς [9]ἂν ὄντας τῶν καθ' ἡμέραν, ἐμοὶ δὲ τὰς εὐπορίας,
περὶ ὧν [10]οὕτως μειζόνως [11]εἴρηκεν ἔξωθεν ἁπάσας γεγενη-
b μένας· ἔτι δὲ [12]τοῖς μὲν πλησιάζοντας ἢ τοὺς ἐν κακοῖς
αὐτοὺς ὄντας ἢ τοὺς ἑτέροις πράγματα παρέχειν βουλο-
μένους, ἐμοὶ δὲ τοὺς πλείστην σχολὴν τῶν Ἑλλήνων
[13]ἄγοντας. ἠκούσατε δὲ καὶ τοῦ κατηγόρου λέγοντος ὅτι
παρὰ Νικοκλέους τοῦ [14]Σαλαμινίων βασιλέως πολλὰς
ἔλαβον καὶ μεγάλας δωρεάς. [15]καίτοι τίνι πιστὸν ὑμῶν

[1] μᾶλλον δικαιότερον A. C. L. [2] ἢ om. A. C. L. [3] πάντες A. C. L.
[4] ἔχω A. C. L. [5] ἐνδιαβαλλόντων A. L. [6] ἴδοι τις ἂν A. C. L.
[7] κρίσεις A. C. L. [8] που ἐπιπλεύσειαν A. L. [9] ἂν om. A. C. L.
[10] οὗτος A. L. [11] εἴρηκε μειζόνως A. C. L. [12] τούτοις A. C. L.
[13] ἄγοντας τῶν Ἑλλήνων A. C. L. [14] τῶν Σαλ. A. C. L. [15] καὶ τοῦτο A. C. L.

Οὐ μὴν οὐδ' εἰ κ. τ. λ.] *verum etsi vel talia de me prædicare possem*, scil. ἐμὲ γενέσθαι προέχοντα περὶ τοὺς λόγους, *tamen ne sic quidem etc.* Lang.

Λόγους τοὺς τοιούτους] I. e. λυποῦντας ὑμᾶς. Idem.

Παρ' ὑμῖν] I. e. Athenis, ubi rixæ et disceptationes vigent. Idem.

ἐστὶν ὡς Νικοκλῆς ἔδωκέ μοι ταύτας, ἵνα δίκας μανθάνῃ
λέγειν, ὃς καὶ τοῖς ἄλλοις περὶ τῶν ἀμφισβητουμένων ὥσπερ c
δεσπότης ἐδίκαζεν; ὥστ᾽ ἐξ ὧν αὐτὸς [1]οὗτος εἴρηκε,
[2]ῥᾴδιον καταμαθεῖν ὅτι πόῤῥω τῶν [3]πραγματειῶν εἰμὶ
τῶν περὶ τὰ συμβόλαια γιγνομένων. ἀλλὰ μὴν [4]κἀκεῖνο
πᾶσι φανερόν [5]ἐστιν ὅτι παμπληθεῖς εἰσὶν οἱ παρασκευ-
άζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομέ-
νοις. τούτων μὲν τοίνυν τοσούτων ὄντων οὐδεὶς πώποτε φανή-
σεται μαθητῶν ἠξιωμένος, ἐγὼ δὲ πλείους εἰληφὼς, ὥς φησιν
ὁ κατήγορος, ἢ σύμπαντες οἱ περὶ τὴν φιλοσοφίαν διατρί- d
βοντες. καίτοι πῶς εἰκὸς τοὺς [6]τοσοῦτον τοῖς ἐπιτηδεύμασιν
ἀλλήλων ἀφεστῶτας [7][καὶ διαφέροντας] περὶ τὰς αὐτὰς
πράξεις ἡγεῖσθαι διατρίβειν;

ιζ΄. Ἔχων δὲ πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ βίου τοῦ
319 [8]τ᾽ ἐμοῦ καὶ τῶν περὶ [9]τὰς δίκας, ἐκείνως ὑμᾶς ἡγοῦμαι
τάχιστ᾽ ἂν [10]ἀφεῖσθαι τῆς δόξης ταύτης, εἴ τις ὑμῖν ἐπι-
δείξειε μὴ τούτων τῶν πραγμάτων μαθητάς μου [11]γιγνομέ- e
νους ὧν ὁ κατήγορος εἴρηκε, μηδὲ περὶ τοὺς λόγους ὄντα με
δεινὸν τοὺς περὶ τῶν ἰδίων συμβολαίων. οἶμαι γὰρ ὑμᾶς,
ἐξελεγχομένης τῆς αἰτίας ἧς εἶχον πρότερον, ζητεῖν ἑτέραν
μεταλαβεῖν διάνοιαν, καὶ ποθεῖν ἀκοῦσαι περὶ ποίους ἄλ-
λους λόγους γεγενημένος τηλικαύτην δόξαν ἔλαβον. εἰ μὲν 319
οὖν μοι συνοίσει κατειπόντι τὴν ἀλήθειαν, οὐκ οἶδα· χαλε-
πὸν γὰρ [12]στοχάζεσθαι τῆς ὑμετέρας διανοίας· οὐ μὴν ἀλλὰ
[13]παῤῥησιάσομαί γε πρὸς ὑμᾶς. καὶ γὰρ ἂν αἰσχυνθείην
τοὺς πλησιάσαντας, εἰ πολλάκις εἰρηκὼς ὅτι δεξαίμην [14]ἂν
ἅπαντας εἰδέναι τοὺς πολίτας καὶ τὸν βίον ὃν ζῶ καὶ τοὺς
λόγους οὓς λέγω, νῦν μὴ [15]δηλοίην ὑμῖν αὐτοὺς, ἀλλ᾽ ἀπο-

[1] οὗτος om. A. C. L. [2] οὕτω ῥᾴδιον A. L. τοῦτο ῥᾴδιον C. [3] πραγμάτων A. C. L. [4] κἀκεῖνό γε A. C. L. [5] ἐστιν om. A. C. L. [6] οὕτω A. C. L. [7] uncos om. A. C. L. [8] τ᾽ om. A. C. L. [9] τὰ δικαστήρια διατριβόντων, ἐκείνως A. C. L. [10] ἀφέσθαι C. [11] γεγενημένους A. C. L. [12] στοχάσασθαι C. [13] παῤῥησιάσασθαί γε πρὸς ὑμᾶς οἶμαι δεῖν A. C. L. [14] ἂν om. A. L. [15] δηλοίην αὐτοῖς A. C. L.

Πλείους] Cf. §. ιγ΄. Idem.

Ἀφεῖσθαι] I. e. ἀφεθήσεσθαι, *vos dimissum iri ab ista opinione.* Wolf.

Μαθητάς μου] Malim cum Battie μαθητάς μοι. Auger.

Δεξαίμην] Auger. aut mutandum censet in εὐξαίμην (cum Wolfio), vel subaudiendum ἐπὶ πολλῷ. Lang. Προειλοίμην, ἢ προκρίναιμι. ἐπὶ ταύτης γὰρ τῆς σημασίας κέχρηνται τῇ λέξει οἱ ῥήτορες. Cor.

Αὐτοὺς] Scil. τοὺς λόγους.

κρυπτόμενος φανείην. ὡς οὖν ἀκουσόμενοι τὴν ἀλήθειαν,
b οὕτω προσέχετε τὸν νοῦν.

ιή. Πρῶτον μὲν οὖν ἐκεῖνο δεῖ μαθεῖν ὑμᾶς, ὅτι τρόποι
τῶν λόγων εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ μέτρου ποιη-
μάτων. οἱ μὲν γὰρ τὰ γένη [1] τὰ τῶν ἡμιθέων ἀναζητοῦντες
τὸν βίον τὸν αὑτῶν κατέτριψαν, οἱ δὲ περὶ τοὺς ποιητὰς
ἐφιλοσόφησαν, ἕτεροι δὲ τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις
συναγαγεῖν [2] ἐβουλήθησαν, ἄλλοι δέ τινες περὶ τὰς ἐρωτή-
σεις καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς κα-
c λοῦσιν. εἴη δ᾽ ἂν οὐ μικρὸν ἔργον, εἰ πάσας [3] τις τὰς ἰδέας
[4] τὰς τῶν λόγων ἐξαριθμεῖν [5] ἐπιχειρήσειεν· ἧς δ᾽ οὖν ἐμοὶ
προσήκει, ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. εἰσὶ γάρ τινες,
οἳ τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν δὲ
προῄρηνται λόγους οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ᾽
Ἑλληνικοὺς καὶ Πολιτικοὺς καὶ Πανηγυρικούς, οὓς ἅπαν-
τες ἂν [6] φήσαιεν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ
d ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις. καὶ
γὰρ τῇ λέξει ποιητικωτέρᾳ καὶ ποικιλωτέρᾳ τὰς πράξεις
δηλοῦσι, καὶ τοῖς ἐνθυμήμασιν ὀγκωδεστέροις καὶ καινοτέ-
ροις χρῆσθαι ζητοῦσιν, ἔτι δὲ [7] ταῖς ἄλλαις ἰδέαις ἐπιφα- 320
νεστέραις καὶ πλείοσιν ὅλον τὸν λόγον διοικοῦσιν. ὧν ἅπαν-
τες μὲν ἀκούοντες χαίρουσιν οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς μέ-
τροις πεποιημένων, πολλοὶ δὲ καὶ μαθηταὶ [8] γίγνεσθαι
βούλονται, νομίζοντες τοὺς ἐν τούτοις πρωτεύοντας πολὺ
e σοφωτέρους καὶ βελτίους καὶ μᾶλλον ὠφελεῖν δυναμένους
εἶναι τῶν τὰς δίκας εὖ λεγόντων. συνίσασι γὰρ [9] τοὺς μὲν

[1] τὰ om. A. C. L. [2] ἠβουλήθησαν C. [3] τις om. A. C. L. [4] τὰς om. A. C. L.
[5] ἐπιχειροίην A. C. L. [6] φήσειαν A. C. L. [7] καὶ ταῖς A. C. L.
[8] γενέσθαι A. C. L. [9] τοῖς L.

Τῶν λόγων] *orationis prosæ.* Lang.

Ἀντιλογικοὺς] E Wolfii et Corais sententia idem est quod ἐριστικοὺς φιλοσόφους.

Ἑλληνικοὺς] Τοὺς περὶ τῶν συμφερόντων κοινῇ τοῖς Ἕλλησι συμβουλεύοντας. Cor.

Πολιτικοὺς] Τοὺς περὶ τῶν ἰδίᾳ τῇ πόλει συμφερόντων. Idem.

Πανηγυρικοὺς] Τοὺς ἐπιδεικτικοὺς καὶ πανηγύρεσι πρέποντας. Idem.

Ποιητικωτέρᾳ] Verbum κέχρηνται ante ποιητικωτέρᾳ deesse puto. Wolf.

Συνίσασι γὰρ κ. τ. λ.] *sciunt enim hos, cupiditate facessendi aliis negotia, litigandi peritiam sibi peperisse, illos e philosophia earum orationum, quas modo dicebam, facultatem adeptos.* Opposita sibi sunt h. l. διὰ φιλοπραγμοσύνην et ἐκ φιλοσοφίας, quod reliqui interpretes non animadvertentes perperam conjunxerunt ἐκ φιλοσοφίας ἐκείνων τῶν λόγων, *e studio illarum orationum.* Sed ἐκείνων τῶν λόγων pendet a sequenti δύναμιν. Cæterum Auger. e conjectura propter sequentes infinitivos posuit τοὺς — ἐμπείρους — γεγενημένους, etsi συνίσασι cum dativo construi non ignorat. Solvendum est quidem hoc modo, sed neutiquam mutandum. Lang. Sed de Pace §. λς΄. συνίσασι γὰρ τοὺς πρὸ αὐτῶν τετυραννευκότας, τοὺς μὲν ὑπὸ κ. τ. λ.

διὰ [1]πολυπραγμοσύνην [2]ἐμπείρους τῶν ἀγώνων γεγενημέ-
νους, τοὺς δ' ἐκ φιλοσοφίας ἐκείνων τῶν λόγων ὧν [3]ἄρτι
προεῖπον τὴν δύναμιν εἰληφότας, καὶ τοὺς μὲν δικανικοὺς 320
δοκοῦντας εἶναι ταύτην τὴν ἡμέραν [4]μόνην ἀνεκτοὺς ὄντας,
ἐν ᾗ [5]περ ἂν ἀγωνιζόμενοι τυγχάνωσι, τοὺς δ' ἐν ἁπάσαις
ταῖς ὁμιλίαις καὶ παρὰ πάντα τὸν χρόνον ἐντίμους ὄντας
καὶ δόξης ἐπιεικοῦς τυγχάνοντας· ἔτι δὲ τοὺς μὲν, ἢν
ὀφθῶσι δὶς ἢ τρὶς ἐπὶ τῶν δικαστηρίων, μισουμένους καὶ
διαβαλλομένους, τοὺς δ', ὅσῳπερ ἂν πλείοσι καὶ πλεονάκις
συγγίγνωνται, τοσούτῳ μᾶλλον θαυμαζομένους· πρὸς δὲ b
τούτοις τοὺς μὲν περὶ τὰς δίκας δεινοὺς πόῤῥω τῶν λόγων
ἐκείνων ὄντας, τοὺς δ' εἰ βουληθεῖεν ταχέως ἂν [6]ἑλεῖν καὶ
τούτους δυνηθέντας. ταῦτα λογιζόμενοι καὶ πολὺ κρείττω
νομίζοντες εἶναι [7]τὴν αἵρεσιν, βούλονται μετασχεῖν τῆς
παιδείας ταύτης, ἧς οὐδ' ἂν ἐγὼ φανείην [8]ἀπεληλαμένος,
ἀλλὰ πολλῷ χαριεστέραν δόξαν εἰληφώς.

ιθ'. Περὶ μὲν οὖν τῆς ἐμῆς εἴτε βούλεσθε καλεῖν δυνά-
μεως εἴτε φιλοσοφίας εἴτε διατριβῆς, ἀκηκόατε πᾶσαν τὴν c
ἀλήθειαν. βούλομαι δὲ περὶ ἐμαυτοῦ καὶ νόμον θεῖναι χα-
λεπώτερον ἢ περὶ τῶν ἄλλων, καὶ λόγον εἰπεῖν θρασύτερον
ἢ κατὰ τὴν ἐμὴν ἡλικίαν. ἀξιῶ γὰρ οὐ μόνον, εἰ βλαβεροῖς
χρῶμαι τοῖς λόγοις, μηδεμιᾶς συγγνώμης τυγχάνειν παρ'
[9]ὑμῖν, ἀλλ', εἰ μὴ τοιούτοις [10]οἵοις οὐδεὶς ἄλλος, τὴν μεγί-
στην ὑποσχεῖν τιμωρίαν. [11]οὐχ οὕτω δ' ἂν τολμηρὰν ἐποιη-
σάμην τὴν ὑπόσχεσιν, εἰ μὴ καὶ δείξειν [12]ἤμελλον ὑμῖν καὶ d
ῥᾳδίαν ποιήσειν τὴν διάγνωσιν αὐτῶν.

κ'. Ἔχει γὰρ οὕτως. ἐγὼ καλλίστην ἡγοῦμαι καὶ δι-
321 καιοτάτην εἶναι τὴν τοιαύτην ἀπολογίαν, ἥτις εἰδέναι ποιεῖ
τοὺς δικάζοντας ὡς δυνατὸν μάλιστα, περὶ ὧν τὴν ψῆφον
οἴσουσι, καὶ μὴ πλανᾶσθαι τῇ διανοίᾳ μηδ' ἀμφιγνοεῖν
τοὺς τἀληθῆ λέγοντας. εἰ μὲν τοίνυν ἠγωνιζόμην ὡς περὶ
πράξεις τινὰς ἡμαρτηκὼς, οὐκ ἂν οἷός τ' ἦν ἰδεῖν [13]ὑμῖν αὐτὰς
παρασχεῖν, ἀλλ' ἀναγκαίως ἂν εἶχεν εἰκάζοντας ὑμᾶς ἐκ e

[1] φιλοπραγμοσύνην A. C. L. [2] ἐμπείροις τ. ἀ. γεγενημένοις L. [3] ἀρτίως A. C. L. [4] μόνον A. C. L. [5] περ om. A. C. L. [6] λέγειν A. C. L. [7] ταύτην τὴν A. [8] ἀπολελειμμένος A. C. L. [9] ὑμῶν A. C. L. [10] οἷς A. C. L. [11] ἀλλ' οὐχ οὕτω γ' ἂν A. C. L. [12] ἔμελλον A. C. L. [13] ὑμῖν ἰδεῖν A. C. L.

Τούτους] I. e. δικανικούς. LANG. Ἀναγκαίως ἂν εἶχεν] *necesse esse*. IDEM.

τῶν εἰρημένων διαγιγνώσκειν ὅπως [1] ἐτύχετε περὶ τῶν πεπραγμένων· ἐπειδὴ δὲ περὶ τοὺς λόγους ἔχω τὴν αἰτίαν, οἶμαι μᾶλλον ὑμῖν ἐμφανιεῖν τὴν ἀλήθειαν. αὐτοὺς γὰρ ὑμῖν δείξω τοὺς εἰρημένους ὑπ' ἐμοῦ καὶ γεγραμμένους, ὥστ' οὐ [2] δοξάσαντες ἀλλὰ σαφῶς εἰδότες ὁποῖοί τινές εἰσι τὴν
321 ψῆφον οἴσετε περὶ αὐτῶν. ἅπαντας μὲν οὖν διὰ τέλους εἰπεῖν οὐκ ἂν δυναίμην· ὁ γὰρ χρόνος ὁ δεδομένος ἡμῖν ὀλίγος ἐστίν· ὥσπερ δὲ τῶν καρπῶν, ἐξενεγκεῖν ἑκάστου δεῖγμα πειράσομαι. μικρὸν γὰρ μέρος ἀκούσαντες ῥᾳδίως [3] τό τ' ἐμὸν ἦθος γνωριεῖτε καὶ τῶν λόγων τὴν δύναμιν [4] ἁπάντων μαθήσεσθε. δέομαι δὲ τῶν πολλάκις ἀνεγνωκότων τὰ μέλλοντα ῥηθήσεσθαι μὴ ζητεῖν ἐν τῷ παρόντι παρ' ἐμοῦ καινοὺς λόγους,
b μηδ' ὀχληρόν με νομίζειν, ὅτι λέγω τοὺς πάλαι παρ' ὑμῖν [5] διατεθρυλημένους. εἰ μὲν γὰρ ἐπίδειξιν ποιούμενος ἔλεγον αὐτούς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην· νῦν δὲ κρινόμενος καὶ κινδυνεύων ἀναγκάζομαι χρῆσθαι τοῦτον τὸν τρόπον αὐτοῖς. καὶ γὰρ ἂν [6] πάντων εἴην καταγελαστότατος, εἰ, τοῦ κατηγόρου διαβάλλοντος ὅτι τοιούτους γράφω λόγους οἳ καὶ τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθείρουσι, δι' ἑτέρων ποιοίμην τὴν ἀπολογίαν, ἐξὸν αὐ-
c τοὺς δείξαντι [7] τούτους ἀπολύσασθαι τὴν διαβολὴν τὴν λεγομένην περὶ ἡμῶν. ὑμᾶς μὲν οὖν ἀξιῶ μοι διὰ ταῦτα συγγνώμην ἔχειν καὶ συναγωνιστὰς γίγνεσθαι, [8] τοῖς δὲ ἄλλοις ἤδη περαίνειν ἐπιχειρήσω, [9] μικρὸν ἔτι προειπὼν, ἵνα ῥᾷον [10] ἐπακολουθῶσι τοῖς λεγομένοις.

κα΄. Ὁ μὲν γὰρ λόγος ὁ μέλλων πρῶτος ὑμῖν [11] δειχθήσεσθαι κατ' ἐκείνους ἐγράφη τοὺς χρόνους, ὅτε Λακεδαιμόνιοι μὲν ἦρχον τῶν Ἑλλήνων, ἡμεῖς δὲ ταπεινῶς ἐπράτ- 322
d τομεν. ἔστι δὲ τοὺς μὲν Ἕλληνας παρακαλῶν ἐπὶ τὴν [12] τῶν βαρβάρων στρατείαν, Λακεδαιμονίοις δὲ περὶ τῆς ἡγεμονίας ἀμφισβητῶν. τοιαύτην δὲ τὴν ὑπόθεσιν ποιησάμενος, ἀποφαίνω τὴν πόλιν ἁπάντων τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν

[1] ἔτυχε A. C. L. [2] δόξαντες, ἀλλ' ὁποῖοί τινές εἰσι σαφῶς εἰδότες A. C. L. [3] τοὐμὸν A. C. L. [4] ἁπάντων τὴν δύναμιν A. C. L. [5] διατεθρυλλημένος A. C. L. [6] πάντων ἂν A. C. L. [7] τοὺς λόγους διαλῦσαι A. C. L. [8] τοὺς δὲ λόγους ἤδη A. C. L. [9] μικρόν τι πρ. A. C. L. [10] ἐπακολουθῆτε A. C. L. [11] ἐπιδειχθήσεσθαι A. C. L. [12] κατὰ A. C. L.

Δοξάσαντες] Ὑπολήψει χρησάμενοι. Cor. Γνωριεῖτε] Γνώσεσθε. Idem. Δεῖγμα] specimen. Lang.

ἀγαθῶν αἰτίαν γεγενημένην. ἀφορισάμενος δὲ τὸν λόγον τὸν
περὶ τῶν τοιούτων εὐεργεσιῶν, καὶ βουλόμενος τὴν ἡγεμο-
νίαν ἔτι σαφέστερον ἀποφαίνειν ὡς ἔστι τῆς πόλεως, ἐνθένδε e
ποθὲν ἐπιχειρῶ διδάσκειν περὶ τούτων, ὡς τῇ πόλει τιμᾶσθαι
προσήκει πολὺ μᾶλλον ἐκ τῶν περὶ τὸν πόλεμον κινδύνων ἢ
τῶν ἄλλων εὐεργεσιῶν. ᾤμην μὲν οὖν αὐτὸς δυνήσεσθαι διελ-
θεῖν περὶ αὐτῶν· νῦν δέ [1] με τὸ γῆρας ἐμποδίζει καὶ ποιεῖ
προαπαγορεύειν. ἵν᾽ οὖν μὴ παντάπασιν ἐκλυθῶ πολλῶν ἔτι 322
μοι λεκτέων ὄντων, ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς ἀνά-
γνωθι τὰ περὶ τῆς ἡγεμονίας αὐτοῖς.

ΕΚ ΤΟΥ ΠΑΝΗΓΥΡΙΚΟΥ.

[§. ιδ′—§. κη′.]

[2] Ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐεργεσιῶν

* * * * * * * * *

καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθεῖμεν.

332 κβ′. Περὶ μὲν οὖν τῆς ἡγεμονίας, ὡς δικαίως ἂν εἴη τῆς 332
πόλεως, ῥᾴδιον ἐκ τῶν εἰρημένων καταμαθεῖν. ἐνθυμήθητε δὲ
πρὸς ὑμᾶς αὐτούς, εἰ δοκῶ τοῖς λόγοις διαφθείρειν τοὺς νεω-
τέρους, ἀλλὰ μὴ προτρέπειν ἐπ᾽ ἀρετὴν καὶ τοὺς ὑπὲρ τῆς
πόλεως κινδύνους, ἢ δικαίως ἂν δοῦναι δίκην ὑπὲρ τῶν εἰρη- d
μένων, ἀλλ᾽ οὐκ ἂν χάριν κομίσασθαι παρ᾽ ὑμῶν τὴν μεγί-
στην, ὃς οὕτως ἐγκεκωμίακα [3] τὴν πόλιν καὶ τοὺς προγόνους
333 καὶ τοὺς κινδύνους τοὺς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένους,
ὥστε τούς τε πρότερον γράψαντας περὶ τὴν ὑπόθεσιν ταύτην
ἅπαντας ἠφανικέναι τοὺς λόγους, αἰσχυνομένους ὑπὲρ τῶν
εἰρημένων αὐτοῖς, τούς τε [4] νῦν δοκοῦντας εἶναι δεινοὺς μὴ
τολμᾶν ἔτι λέγειν περὶ τούτων, ἀλλὰ [5] καταμέμφεσθαι e
τὴν δύναμιν τὴν σφετέραν αὐτῶν.

[1] μοι A. C. L. [2] locum iterum edunt C. L. [3] καὶ τὴν A. C. L.
[4] νυνὶ A. C. L. [5] καὶ καταμέμφεσθαι A. C. L.

Ἀφορισάμενος] *separavi a reliquo corpore orationis atque seorsim collocavi.* Wolf. *postquam segregaverim*, i. e. postquam concluserim, finierim. Auger. Cum Augero faciunt Langius et Coraes.

Ἐνθένδε ποθὲν] *hinc alicunde*, per hæc verba declarat Isocrates et indigitat a quo incepturus sit recitare ex oratione Panegyrica. Auger.

Προαπαγορεύειν] *defatigari, despondere animo.* Wolf. Προαπαυδᾷν, προαποκάμνειν. Cor.

Ἀπὸ τῆς παραγραφῆς] Ἀφ᾽ οὗ παρέγραψα, τοῦτο δ᾽ ἂν εἴη, ἀφ᾽ οὗ παρεθέμην. Harpocrat. *ab eo loco quo notam apposui.* Wolf. Est enim παραγραφὴ, *nota apposita.* Lang.

Αὐτοῖς] Τοῖς δικασταῖς. Cor.

Ἢ δικαίως ἂν δοῦναι δίκην] Ὁ νοῦς· ἐνθυμήθητε εἰ δοκῶ δίκαιος εἶναι δοῦναι δίκην, ἀλλὰ μὴ πολὺ μᾶλλον κομίσασθαι χάριν. Idem.

κγ΄. Ἀλλ᾿ ὅμως, τούτων οὕτως ἐχόντων, φανήσονταί τινες τῶν εὑρεῖν μὲν οὐδὲν οὐδ᾿ εἰπεῖν ἄξιον λόγου δυναμένων,
333 ἐπιτιμᾶν δὲ καὶ βασκαίνειν τὰ τῶν ἄλλων μεμελετηκότων, οἳ χαριέντως μὲν εἰρῆσθαι ταῦτα φήσουσι — [1] τὸ γὰρ εὖ φθονήσουσιν εἰπεῖν —, πολὺ μέντοι χρησιμωτέρους εἶναι τῶν λόγων καὶ κρείττους τοὺς ἐπιπλήττοντας τοῖς νῦν ἁμαρτανομένοις ἢ τοὺς τὰ πεπραγμένα πρότερον ἐπαινοῦντας, καὶ τοὺς [2] ὑπὲρ ὧν δεῖ πράττειν συμβουλεύοντας ἢ τοὺς τὰ παλαιὰ τῶν ἔργων διεξιόντας.

κδ΄. Ἵν᾿ οὖν μηδὲ ταῦτ᾿ ἔχωσιν εἰπεῖν, ἀφέμενος τοῦ
b βοηθεῖν τοῖς εἰρημένοις πειράσομαι μέρος ἑτέρου λόγου τοσοῦτον, ὅσονπερ ἄρτι, διελθεῖν ὑμῖν· ἐν ᾧ φανήσομαι περὶ τούτων ἁπάντων πολλὴν ἐπιμέλειαν πεποιημένος. ἔστι δὲ τὰ μὲν ἐν ἀρχῇ λεγόμενα περὶ τῆς εἰρήνης τῆς πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους, ἐπιδείξας δ᾿ ὡς συμφέρει τῇ πόλει [3] διαλύσασθαι τὸν πόλεμον, κατηγορῶ τῆς δυναστείας τῆς ἐν τοῖς Ἕλλησι καὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἀποφαί-
c νων αὐτὴν οὐδὲν διαφέρουσαν οὔτε ταῖς πράξεσιν οὔτε τοῖς πάθεσι τῶν μοναρχιῶν· ἀναμιμνήσκω δὲ καὶ τὰ συμβάντα δι᾿ αὐτὴν τῇ πόλει καὶ Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ἅπασι· διαλεχθεὶς δὲ περὶ τούτων, καὶ τὰς τῆς Ἑλλάδος συμφορὰς [4] ὀδυράμενος, καὶ τῇ πόλει παραινέσας ὡς χρὴ μὴ περιορᾶν αὐτὴν οὕτω πράττουσαν, ἐπὶ τελευτῆς ἐπί τε τὴν δικαιοσύνην παρακαλῶ καὶ τοῖς ἁμαρτανομένοις ἐπιπλήττω
d καὶ περὶ τῶν μελλόντων συμβουλεύω. λαβὼν οὖν ἀρχὴν ταύτην ὅθεν διαλέγομαι περὶ αὐτῶν, ἀνάγνωθι καὶ τοῦτο τὸ μέρος [5] αὐτοῖς.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

[§. ι΄—§. ιζ΄. ∞ §. μβ΄—μη΄.]

§. ι΄. [6] Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως ἕξομεν αὐτὴν

* * * * * * * * *

ἐπιλίποι δ᾿ ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας ἐξετάζειν ἐπιχειροίην.

340 μβ΄. Τίς οὖν ἀπαλλαγὴ γενήσεται τῆς ταραχῆς ταύτης; καὶ πῶς ἂν ἐπανορθωσόμεθα 340
τὰ τῆς πόλεως πράγματα καὶ βελτίω ποιήσομεν; πρῶτον μὲν ἢν παυσώμεθα δημοτικοὺς

[1] τοῦτο γὰρ οὐ φθονήσ. A. C. L. [2] περὶ A. C. L. [3] διαλύσασθαι τῇ πόλει A. C. L. [4] ὀδυνώμενος L. [5] αὐτῆς A. [6] loca integra edunt C. L.

Τῶν λόγων] Refer ad τους, i. e. τους λόγους τοὺς —. AUGER.

Αὐτὴν] Np. την Ἑλλάδα. IDEM.

Αὐτοῖς] Scil. τοῖς δικασταῖς. LANG.

μὲν νομίζοντες τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν, γνόντες
ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστὶν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται
καθεστάναι τὴν πολιτείαν. ἢν οὖν ἀσκῆτε καὶ προσδέχησθε τοὺς χρηστοὺς ἀντὶ τῶν πονηρῶν, b
ὥσπερ τὸ παλαιὸν, βέλτιον ἕξετε χρῆσθαι καὶ τοῖς δημαγωγοῖς καὶ τοῖς ἄλλοις τοῖς πολι-
τευομένοις. Δεύτερον δ' ἢν ἐπιχειρῆτε τὰς συμμαχίας κτᾶσθαι μὴ πολέμοις μηδὲ πολιορκίαις,
ἀλλ' εὐεργεσίαις· προσήκει γὰρ τὰς μὲν φιλίας ἐκ τούτων γίγνεσθαι, τὰς δ' ἔχθρας ἐξ ὧν νῦν
τυγχάνομεν πράττοντες. Τρίτον ἢν μηδὲν περὶ πλείονος ποιήσησθε μετά γε τὴν περὶ τοὺς c
θεοὺς εὐσέβειαν τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς
δυναστείας καὶ τὰς ἡγεμονίας παραδιδόασιν.

* * * * * * * * *

342 ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολὺ βελ- 342
τίω γίγνεσθαι.

κέ. Δυοῖν μὲν τοίνυν λόγοιν ἀκηκόατε. βούλομαι δὲ καὶ τοῦ c
τρίτου μικρὰ διελθεῖν, ἵν' ὑμῖν ἔτι [1] μᾶλλον γένηται καταφανὲς
ὅτι πάντες οἱ λόγοι πρὸς ἀρετὴν καὶ δικαιοσύνην συντείνου-
σιν. ἔστι δ' ὁ μέλλων [2] δειχθήσεσθαι Νικοκλεῖ τῷ Κυπρίῳ,
τῷ κατ' ἐκεῖνον τὸν χρόνον βασιλεύοντι, συμβουλεύων ὡς δεῖ
τῶν πολιτῶν ἄρχειν· οὐχ ὁμοίως δὲ γέγραπται τοῖς ἀνε-
γνωσμένοις. οὗτοι μὲν γὰρ τὸ λεγόμενον ὁμολογούμενον ἀεὶ
[3] τῷ προειρημένῳ καὶ [4] συγκεκλειμένον ἔχουσιν, ἐν δὲ τούτῳ d
τοὐναντίον. [5] ἀπολύσας γὰρ ἀπὸ τοῦ προτέρου καὶ [6] χωρὶς,
ὥσπερ τὰ καλούμενα κεφάλαια, ποιήσας, πειρῶμαι διὰ βρα-
χέων ἕκαστον ὧν συμβουλεύω φράζειν. τούτου δ' ἕνεκα ταύ-
την ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν
343 τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' [7] ὠφελήσειν καὶ τὸν τρό-
πον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν. διὰ τὴν αὐτὴν δὲ ταύτην
πρόφασιν καὶ νῦν αὐτὸν ὑμῖν δεῖξαι προειλόμην, οὐχ ὡς e
ἄριστα τῶν λοιπῶν [8] [λόγων] γεγραμμένον, ἀλλ' ὡς ἐκ
τούτου μάλιστα φανερὸς γενησόμενος, ὃν τρόπον εἴθισμαι
[9] καὶ τοῖς ἰδιώταις καὶ τοῖς δυνάσταις πλησιάζειν· φανή-
σομαι γὰρ πρὸς αὐτὸν ἐλευθέρως καὶ τῆς πόλεως ἀξίως 343
διειλεγμένος, καὶ οὐ τὸν ἐκείνου πλοῦτον [10] οὐδὲ τὴν δύναμιν
θεραπεύων ἀλλὰ [11] τοῖς ἀρχομένοις ἐπαμύνων, καὶ παρα-
σκευάζων καθ' ὅσον ἠδυνάμην τὴν πολιτείαν [12] αὐτοῖς ὡς
οἷόν τε πρᾳοτάτην. ὅπου δὲ βασιλεῖ διαλεγόμενος ὑπὲρ τοῦ
δήμου τοὺς λόγους ἐποιούμην, ἦπου τοῖς ἐν δημοκρατίᾳ πο-

[1] μᾶλλον ἔτι A. C. L. [2] ῥηθήσεσθαι A. C. L. [3] τοῖς προειρημένοις A. C. L.
[4] συγκεκλιμένον A. L. συγκεκλεισμένον C. [5] διαλύσας A. C. L. [6] χωρίσας A. L.
[7] ἂν ὠφελήσειν A. C. L. [8] uncos om. A. C. L. [9] καὶ om. A. C. L.
[10] οὔτε A. C. L. [11] καὶ τοῖς A. C. L. [12] αὐτὴν A. C. L.

Συγκεκλειμένον] *conclusum, inclusum.* Wolf.

Πλησιάζειν] Ὁμιλεῖν, συνδιατρίβειν. Cor.

Αὐτὸν] Scil. τὸν Νικοκλέα. Auger.

Θεραπεύων] Κολακεύων, θωπεύων. Cor.

Καθ' ὅσον ἠδυνάμην] Ablegatum it Coraes, ut merum scholion sequentium ὡς οἷόν τε.

λιτευομένοις σφόδρ' ἂν παρακελευσαίμην τὸ πλῆθος θεραπεύειν.

b κς'. Ἐν μὲν οὖν τῷ προοιμίῳ καὶ τοῖς πρώτοις λεγομένοις ἐπιτιμῶ [1] ταῖς μοναρχίαις, ὅτι δέον αὐτοὺς τὴν φρόνησιν ἀσκεῖν μᾶλλον τῶν ἄλλων, οἱ δὲ χεῖρον [2] παιδεύονται τῶν ἰδιωτῶν. διαλεχθεὶς δὲ περὶ τούτων, παραινῶ τῷ Νικοκλεῖ μὴ ῥαθυμεῖν μηδ', ὥσπερ ἱερωσύνην εἰληφότα τὴν βασιλείαν, [3] [ἀμελῶς] οὕτω τὴν γνώμην ἔχειν, ἀλλὰ τῶν ἡδονῶν ἀμελήσαντα προσέχειν τὸν νοῦν τοῖς πράγμασιν. ἐπιχειρῶ δὲ καὶ τοῦτο πείθειν αὐτὸν, ὡς χρὴ δεινὸν νομίζειν,
c ὅταν ὁρᾷ τοὺς [4] μὲν χείρους τῶν [5] βελτιόνων ἄρχοντας καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττοντας, λέγων ὡς ὅσῳ περ ἂν ἐῤῥωμενέστερον τὴν τῶν ἄλλων [6] ἄνοιαν ἀτιμάσῃ, τοσούτῳ μᾶλλον τὴν αὑτοῦ διάνοιαν ἀσκήσει. [7] ποιησάμενος οὖν ἀρχὴν ἣν ἐγὼ τελευτὴν, ἀνάγνωθι καὶ τούτου τοῦ λόγου τὸ λοιπὸν μερὸς αὐτοῖς.

ΕΚ ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

[§. δ'—§. ια'.]

Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν

* * * * * * * *

σοφοὺς νόμιζε μὴ τοὺς περὶ μικρῶν ἀκριβῶς ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων. Pag. ed. Orell.

κς'.* α'. Τῶν μὲν τοίνυν λόγων ἅλις ἡμῖν ἔστω τῶν ἀναμιμνησκομένων καὶ τηλικοῦτο μῆκος ἐχόντων· ἐπεὶ μικροῦ γε μέρους τῶν πάλαι γεγραμμένων οὐκ ἂν ἀποσχοίμην, ἀλλ' εἴποιμ' ἂν εἴ τι μοι δόξειε πρέπον εἶναι τῷ παρόντι καιρῷ· καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους ἐγὼ μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων, ἄλλως τε καὶ νῦν ὅτ' οὐ μόνον μικροῖς μέρεσιν ἀλλ' ὅλοις εἴδεσι προειλόμην χρῆσθαι πρὸς ὑμᾶς. ταῦτα μὲν οὖν, ὅπως ἂν ἡμῖν συμπίπτῃ, ποιήσομεν. εἶπον 58

[1] τοῖς μονάρχαις L. [2] πεπαίδευνται A. C. L. [3] uncos om. A. C. L. [4] μὲν om. A. C. L. [5] κρειττόνων A. C. L. [6] ἄγνοιαν A. [7] ποιησάμενος οὖν - - - (ad p. 668. v. 3.) ἀλλ' οὐκ ἐν τοῖς συκοφάνταις om. A. C. L.

Ταῖς μοναρχίαις] Lego τοῖς μονάρχαις. Wolf.

Ὥσπερ ἱερωσύνην] Τούτῳ παραπλήσιον τὸ τοῦ Δημοσθένους Προοιμ. δημηγ. νγ'. Νῦν δὲ παντάπασι τὸν αὐτὸν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, ὅνπερ τοὺς ἱερεῖς, οὕτω καθίστατε τοὺς ἄρχοντας. Cor.

Ἀναμιμνησκομένων] F. ἀναγιγνωσκομένων. Orellius.

δέ που, πρὶν ἀναγιγνώσκεσθαι τούτους, ὡς ἄξιος εἴην οὐ μόνον, εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις, δοῦναι δίκην ὑμῖν, ἀλλ' εἰ μὴ τοιούτοις οἵοις οὐδεὶς ἄλλος, τῆς μεγίστης τυχεῖν τιμωρίας. εἴ τινες οὖν ὑμῶν ὑπέλαβον τό τε λίαν ἀλαζονικὸν εἶναι καὶ μέγα τὸ ῥηθὲν, οὐκ ἂν δικαίως ἔτι τὴν γνώμην ταύτην ἔχοιεν· οἶμαι γὰρ ἀποδεδωκέναι τὴν ὑπόσχεσιν καὶ τοιούτους εἶναι τοὺς λόγους τοὺς ἀναγνωσθέντας, οἵους περ ἐξ ἀρχῆς ὑπεθέμην. βούλομαι δ' ὑμῖν διὰ βραχέων ἀπολογήσασθαι περὶ ἑκάστου, καὶ ποιῆσαι μᾶλλον ἔτι καταφανὲς ὡς ἀληθῆ καὶ τότε προεῖπον καὶ νῦν λέγω περὶ αὐτῶν.

59 κς΄.* β΄. Καὶ πρῶτον μὲν ποῖος γένοιτ' ἂν λόγος ὁσιώτερος ἢ δικαιότερος τοῦ τοὺς προγόνους ἐγκωμιάζοντος ἀξίως τῆς ἀρετῆς τῆς ἐκείνων καὶ τῶν ἔργων τῶν πεπραγμένων αὐτοῖς; ἔπειτα τίς ἂν πολιτικώτερος καὶ μᾶλλον πρέπων τῇ πόλει τοῦ τὴν ἡγεμονίαν ἀποφαίνοντος ἔκ τε τῶν ἄλλων εὐεργεσιῶν καὶ τῶν κινδύνων ἡμετέραν οὖσαν μᾶλλον ἢ Λακεδαιμονίων; ἔτι δὲ τίς ἂν περὶ καλλιόνων καὶ μειζόνων πραγμάτων τοῦ τοὺς Ἕλληνας ἐπί τε τὴν τῶν βαρβάρων στρατείαν παρακαλοῦντος καὶ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας συμβουλεύοντος; ἐν μὲν τοίνυν τῷ πρώτῳ λόγῳ περὶ τούτων τυγχάνω διειλεγμένος, ἐν δὲ τοῖς ὑστέροις περὶ ἐλαττόνων μὲν ἢ τηλικούτων, οὐ μὴν περὶ ἀχρηστοτέρων οὐδ' ἧττον τῇ πόλει συμφερόντων. γνώσεσθε δὲ τὴν δύναμιν αὐτῶν, ἢν παραβάλλητε πρὸς ἕτερα τῶν εὐδοκιμούντων καὶ τῶν ὠφελίμων εἶναι δοκούντων. οἶμαι δὴ πάντως ἂν ὁμολογῆσαι τοὺς νόμους πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίους εἶναι τῷ βίῳ τῶν ἀνθρώπων· ἀλλ' ἡ μὲν τούτων χρῆσις τοὔτ' ὠφελεῖν μόνον πέφυκε τὰ κατὰ τὴν πόλιν καὶ τὰ συμβόλαια τὰ γιγνόμενα πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς λόγοις πείθοισθε τοῖς ἐμοῖς, ὅλην τὴν Ἑλλάδα καλῶς διοικοῖτε καὶ δικαίως καὶ τῇ πόλει συμφερόντως· χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ ἀμφότερα μὲν
60 ταῦτα σπουδάζειν, αὐτοῖν δὲ τούτοιν τὸ μεῖζον καὶ τὸ πλέονος ἄξιον προτιμᾶν, ἔπειτα κἀκεῖνο γιγνώσκειν, ὅτι νόμους μὲν θεῖναι μυρίοι καὶ τῶν ἄλλων Ἑλλήνων καὶ τῶν βαρβάρων ἱκανοὶ γεγόνασιν, εἰπεῖν δὲ περὶ τῶν συμφερόντων

ἀξίως τῆς πόλεως καὶ τῆς Ἑλλάδος οὐκ ἂν πολλοὶ δυνη-
θεῖεν· ὧν ἕνεκα τοὺς ἔργον ποιουμένους τοὺς τοιούτους λό-
γους εὑρίσκειν τοσούτῳ χρὴ περὶ πλείονος ποιεῖσθαι τῶν
τοὺς νόμους τιθέντων καὶ γραφόντων, ὅσῳπερ εἰσὶ σπανιώ-
τεροι καὶ χαλεπώτεροι καὶ ψυχῆς φρονιμωτέρας δεόμενοι
τυγχάνουσιν, ἄλλως τε δὴ καὶ νῦν. ὅτε μὲν γὰρ ἤρχετο τὸ
γένος τὸ τῶν ἀνθρώπων γίγνεσθαι καὶ συνοικίζεσθαι κατὰ
πόλεις, εἰκὸς ἦν παραπλησίαν εἶναι τὴν ζήτησιν αὐτῶν·
ἐπειδὴ δ' ἐνταῦθα προεληλύθαμεν ὥστε καὶ τοὺς λόγους
τοὺς εἰρημένους καὶ τοὺς νόμους τοὺς κειμένους ἀναριθμή-
τους εἶναι, καὶ τῶν μὲν νόμων ἐπαινεῖσθαι τοὺς ἀρχαιοτά-
τους, τῶν δὲ λόγων τοὺς καινοτάτους, οὐκ ἔτι τῆς αὐτῆς
διανοίας ἔργον ἐστὶν, ἀλλὰ τοῖς μὲν τοὺς νόμους τιθέναι
προαιρουμένοις προὔργου γέγονε τὸ πλῆθος τῶν κειμένων
— οὐδὲν γὰρ αὐτοὺς δεῖ ζητεῖν ἑτέρους, ἀλλὰ τοὺς παρὰ
τοῖς ἄλλοις εὐδοκιμοῦντας πειραθῆναι συναγαγεῖν, ὃ ῥα-
δίως ὅστις ἂν οὖν βουληθεὶς ποιήσειε —, τοῖς δὲ περὶ τοὺς
λόγους πραγματευομένοις διὰ τὸ προκατειλῆφθαι τὰ πλεῖ- 61
στα, τοὐναντίον συμβέβηκε· λέγοντες μὲν γὰρ ταὐτὰ τοῖς
πρότερον εἰρημένοις ἀναισχυντεῖν καὶ ληρεῖν δόξουσι, καινὰ
δὲ ζητοῦντες ἐπιπόνως εὑρήσουσι. διόπερ ἔφασκον ἀμφοτέ-
ροις μὲν ἐπαινεῖσθαι προσήκειν, πολὺ δὲ μᾶλλον, τοῖς τὸ
χαλεπώτερον ἐξεργάζεσθαι δυναμένοις. ἀλλὰ μὴν καὶ τῶν
ἐπὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην προσποιουμένων
προτρέπειν ἡμεῖς ἂν ἀληθέστεροι καὶ χρησιμώτεροι φανεῖ-
μεν ὄντες. οἱ μὲν γὰρ παρακαλοῦσιν ἐπὶ τὴν ἀρετὴν καὶ
τὴν φρόνησιν τὴν ὑπὸ τῶν ἄλλων μὲν ἀγνοουμένην, ὑπ' αὐ-
τῶν δὲ τούτων ἀντιλεγομένην, ἐγὼ δ' ἐπὶ τὴν ὑπὸ πάντων
ὁμολογουμένην· κἀκείνοις μὲν ἀπόχρη τοσοῦτον, ἢν ἐπαγα-
γέσθαι τινὰς τῇ δόξῃ τῇ τῶν ὀνομάτων δυνηθῶσιν εἰς τὴν
αὑτῶν ὁμιλίαν, ἐγὼ δὲ τῶν μὲν ἰδιωτῶν οὐδένα πώποτε
φανήσομαι παρακαλέσας ἐπ' ἐμαυτὸν, τὴν δὲ πόλιν ὅλην
πειρῶμαι πείθειν τοιούτοις πράγμασιν ἐπιχειρεῖν, ἐξ ὧν
αὐτοί τε εὐδαιμονήσουσι καὶ τοὺς ἄλλους Ἕλληνας τῶν
παρόντων κακῶν ἀπαλλάξουσι. καί τοι τὸν πάντας τοὺς

Τοῖς τὸ - - - δυναμένοις] Eloquentiam difficillimo omnium acquiri prolixe demonstrat etiam Cicero de Orat. I. c. 2. et sqq. A. Maius.

πολίτας προτρέπειν προθυμούμενον πρὸς τὸ βέλτιον καὶ δικαιότερον προστῆναι τῶν Ἑλλήνων, πῶς εἰκὸς τοῦτον τοὺς συνόντας διαφθείρειν; τίς δὲ τοιούτους λόγους εὑρίσκειν δυνάμενος πονηροὺς ἂν καὶ περὶ πονηρῶν πραγμάτων ζητεῖν
62 ἐπιχειρήσειεν, ἄλλως τε καὶ διαπεπραγμένος ἀπ' αὐτῶν ἅπερ ἐγὼ;

κϛ'. * γ'. Τούτων γὰρ γραφέντων καὶ διαδοθέντων καὶ δόξαν ἔσχον παρὰ πολλοῖς καὶ μαθητὰς πολλοὺς ἔλαβον, ὧν οὐδεὶς ἂν παρέμεινεν, εἰ μὴ τοιοῦτον ὄντα με κατέλαβον οἷόν περ προσεδόκησαν. νῦν δὲ τοσούτων γεγενημένων, καὶ τῶν μὲν ἔτη τρία τῶν δὲ τέτταρα συνδιαιτηθέντων, οὐδεὶς οὐδὲν φανήσεται τῶν παρ' ἐμοὶ μεμψάμενος, ἀλλ' ἐπὶ τελευτῆς, ὅτ' ἤδη μέλλοιεν ἀποπλεῖν ὡς τοὺς γονέας καὶ τοὺς φίλους τοὺς ἑαυτῶν, οὕτως ἠγάπων τὴν διατριβὴν ὥστε μετὰ πόθου καὶ δακρύων ποιεῖσθαι τὴν ἀπαλλαγήν. καίτοι πότερα χρὴ πιστεύειν ὑμᾶς τοῖς σαφῶς ἐπισταμένοις καὶ τοὺς λόγους καὶ τὸν τρόπον τὸν ἐμὸν, ἢ τῷ μηδὲν μὲν εἰδότι τῶν ἐμῶν, προῃρημένῳ δὲ συκοφαντεῖν; ὃς εἰς τοσοῦτο πονηρίας καὶ τόλμης ἐλήλυθεν, ὥστε γραψάμενος, ὡς λόγους διδάσκω δι' ὧν πλεονεκτήσουσι παρὰ τὸ δίκαιον, ἀπόδειξιν μὲν οὐδεμίαν τούτων ἤνεγκε, λέγων δὲ διατετέλεκεν ὡς δεινόν ἐστι διαφθείρεσθαι τοὺς τηλικούτους, ὥσπερ ἀντιλέγοντός τινος περὶ τούτων, ἢ τοῦτο δέον αὐτὸν ἀποφαίνειν ὃ πάντες ὁμολογοῦσιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον διδάσκειν ὡς ἐγὼ τυγχάνω ταῦτα διαπραττόμενος. καὶ εἰ μέν τις τοῦτον ἀπαγαγὼν ἀνδραποδιστὴν καὶ κλέπτην καὶ λωποδύτην
63 μηδὲν μὲν αὐτὸν ἀποφαίνοι τούτων εἰργασμένον, διεξίοι δ' ὡς δεινὸν ἕκαστόν ἐστι τῶν κακουργημάτων, ληρεῖν ἂν φαίη καὶ μαίνεσθαι τὸν κατήγορον, αὐτὸς δὲ τοιούτοις λόγοις κεχρημένος οἴεται λανθάνειν ὑμᾶς. ἐγὼ δ' ἡγοῦμαι τοῦτό γε καὶ τοὺς ἀμαθεστάτους γιγνώσκειν, ὅτι δεῖ πιστὰς εἶναι καὶ μέγα δυναμένας τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρήσασθαι καὶ περὶ τῶν μηδὲν ἠδικηκότων, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἡμαρτηκότων· ὧν αὐτὸς ὀλιγωρήσας οὐδὲν προσήκοντας τῇ γραφῇ λόγους εἴρηκεν.

Τούτων ἀπαγαγὼν] Lege τοῦτον, scil. Λυσίμαχον. Orell.

Ἐγὼ δ' ἡγοῦμαι κ. τ. λ.] Vide locum omnino similem, immo eadem fere verba, in orat. adv. Callimach. §. ιϛ'. A. Maius.

Πιστὰς] Πίστεις. Orell.

ἔδει γὰρ αὐτὸν καὶ τοὺς λόγους δεικνύναι τοὺς ἐμοὺς, οἷς διαφθείρω τοὺς συνόντας, καὶ τοὺς μαθητὰς φράζειν τοὺς χείρους διὰ τὴν συνουσίαν τὴν ἐμὴν γεγενημένους· νῦν δὲ τούτων μὲν οὐδέτερον πεποίηκε, παραλιπὼν δὲ τὴν δικαιοτάτην τῶν κατηγοριῶν ἐξαπατᾷν ὑμᾶς ἐπεχείρησεν. ἐγὼ δ' ἐξ αὐτῶν τούτων ἐξ ὧν περ προσήκει καὶ δίκαιόν ἐστι, ποιήσομαι τὴν ἀπολογίαν. καὶ τοὺς μὲν λόγους ὀλίγῳ πρότερον ἀνέγνωμεν ὑμῖν, τοὺς δὲ κεχρημένους ἐκ μειρακίων μοι μέχρι γήρως δηλώσω, καὶ μάρτυρας ὑμῶν αὐτῶν παρέξομαι περὶ ὧν ἂν λέγω τοὺς κατὰ τὴν ἡλικίαν τὴν ἐμὴν γεγενημένους. ἤρξαντο μὲν οὖν ἐν πρώτοις Εὔνομός μοι καὶ Λυσιθείδης καὶ Κάλλιππος πλησιάζειν, μετὰ δὲ τούτους Ὀνήτωρ, Ἀντικλῆς, Φιλωνίδης, Φιλόμηλος, Χαρμαντίδης. τούτους ἅπαντας ἡ πόλις χρυσοῖς στεφάνοις ἐστεφάνωσεν, 64
οὐχ ὡς τῶν ἀλλοτρίων ἐφιεμένους, ἀλλ' ὡς ἄνδρας ἀγαθοὺς ὄντας καὶ πολλὰ τῶν ἰδίων εἰς τὴν πόλιν ἀνηλωκότας. πρὸς οὓς ὅπως βούλεσθε θέτε με διακεῖσθαι· πρὸς γὰρ τὸ παρὸν πανταχῶς ἕξει μοι καλῶς. ἤν τε γὰρ ὑπολάβητε σύμβουλον εἶναί με καὶ διδάσκαλον τούτων, δικαίως ἂν ἔχοιτέ μοι πλείω χάριν ἢ τοῖς δι' ἀρετὴν ἐν πρυτανείῳ σιτουμένοις· τούτων μὲν γὰρ ἕκαστος αὑτὸν μόνον παρέσχε καλὸν κἀγαθὸν, ἐγὼ δέ τοσούτους τὸ πλῆθος ὅσους ὀλίγῳ πρότερον διῆλθον ὑμῖν. εἴτε τῶν μὲν πεπραγμένων ἐκείνοις μηδὲν συναίτιος ἐγενόμην, ὡς ἑταίροις δὲ καὶ φίλοις αὐτοῖς ἐχρώμην, ἱκανὴν ὑπὲρ ὧν φεύγω τὴν γραφὴν ἡγοῦμαι καὶ ταύτην εἶναι τὴν ἀπολογίαν· εἰ γὰρ τοῖς μὲν δι' ἀρετὴν δωρεὰς εἰληφόσιν ἤρεσκον, τῷ δὲ συκοφάντῃ μὴ τὴν αὐτὴν ἔχω γνώμην, πῶς ἂν εἰκότως γνωσθείην τοὺς συνόντας διαφθείρειν; ἢ πάντων γ' ἂν εἴην δυστυχέστατος, εἰ τῶν ἄλλων ἀνθρώπων ἔκ τε τῶν ἐπιτηδευμάτων καὶ τῶν συνουσιῶν τῶν μὲν χείρω τῶν δὲ βελτίω δόξαν λαμβανόντων ἐγὼ μόνος μὴ τύχοιμι τῆς δοκιμασίας ταύτης, ἀλλὰ τοιούτοις μὲν ἀνδράσι συμβεβιωκὼς, ἀνέγκλητον δ' ἐμαυτὸν μέχρι

Δικαιοτάτην] Δικαίαν. Idem.
Ὑμῶν αὐτῶν] Ὑμῖν αὐτῶν. Idem.
Τούτους ἅπαντας κ. τ. λ.] Consonat Cicero de Orat. III. c. 35. "Aristoteles cum florere Isocratem discipulum nobilitate videret." Et II. c. 22. "Isocratis e ludo, tanquam ex equo Trojano, innumeri principes exierunt." Luculentas Isocratis laudes vide apud eundem Ciceronem Orator. c. 13. Item de opt. gen. Orat. c. 6. A. Maius.
Γνωσθείην] Forte καταγνωσθείην. Orell.

ταυτησὶ τῆς ἡλικίας παρεσχηκὼς, ὅμοιος εἶναι δόξαιμι τοῖς
65 ἔκ τε τῶν ἐπιτηδευμάτων καὶ τῶν ἄλλων συνουσιῶν διαβεβλημένοις. ἡδέως δ᾽ ἂν εἰδείην τί ποτ᾽ ἂν ἔπαθον, εἴ τίς μοι τοιοῦτος ἦν συγγεγενημένος οἷόσπερ ἐστὶν ὁ κατήγορος, ὃς μισῶν ἅπαντας τοὺς τοιούτους καὶ μισούμενος εἰς τουτονὶ καθέστηκα τὸν κίνδυνον. καὶ μὴν οὐδ᾽ ἐκεῖνος ὁ λόγος δικαίως ἄν με βλάψειεν, ὃν ἴσως ἄν τινες τολμήσαιεν εἰπεῖν τῶν παντάπασι πρός με δυσκόλως διακειμένων, ὡς τούτοις μὲν οἷς εἴρηκα τοσοῦτον μόνον ἐχρώμην ὅσον ὀφθῆναι διαλεγόμενος, ἕτεροι δέ τινές μοι πολλοὶ καὶ πολυπράγμονες μαθηταὶ γεγόνασιν, οὓς ἀποκρύπτομαι πρὸς ὑμᾶς. [ἔχω γὰρ λόγον ὃς ἐξελέγξει καὶ διαλύσει πάσας τὰς τοιάσδε βλασφημίας·] ἀξιῶ γὰρ, εἰ μέν τινες τῶν ἐμοὶ συγγεγενημένων ἄνδρες ἀγαθοὶ γεγόνασι περὶ τὴν πόλιν καὶ τοὺς φίλους καὶ τὸν ἴδιον οἶκον, ἐκείνους ὑμᾶς ἐπαινεῖν, ἐμοὶ δὲ μηδεμίαν ὑπὲρ τούτων χάριν ἔχειν· εἰ δὲ πονηροὶ καὶ τοιοῦτοι τὰς φύσεις οἷοι φαίνειν καὶ γράφεσθαι καὶ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρ᾽ ἐμοῦ δίκην λαμβάνειν. καίτοι τίς ἂν πρόκλησις γένοιτο ταύτης ἀνεπιφθονωτέρα καὶ δικαιοτέρα τῆς τῶν μὲν καλῶν κἀγαθῶν οὐκ ἀμφισβητούσης, εἰ δέ τινες πονηροὶ γεγόνασιν, ὑπὲρ τούτων δίκην ὑποσχεῖν ἐθελούσης; καὶ ταῦτ᾽ οὐ λόγος μάτην εἰρημένος ἐστὶν,
66 ἀλλὰ παραχωρῶ καὶ τῷ κατηγόρῳ καὶ τῷ βουλομένῳ τῶν ἄλλων, εἴ τις ἔχει τινὰ φράσαι τοιοῦτον, οὐχ ὡς οὐχ ἡδέως ἂν τινῶν μου καταψευσαμένων, ἀλλ᾽ ὡς εὐθὺς φανερῶν ἐσομένων ὑμῖν καὶ τῆς ζημίας ἐκείνοις ἀλλ᾽ οὐκ ἐμοὶ γενησομένης. περὶ μὲν οὖν ὧν φεύγω τὴν γραφὴν καὶ τοῦ μὴ διαφθείρειν τοὺς συνόντας, οὐκ οἶδ᾽ ὅπως ἂν σαφέστερον ἐπιδεῖξαι δυνηθείην.

κϛ΄.* δ΄. Ἐμνήσθη δὲ καὶ τῆς πρὸς Τιμόθεον μοι φιλίας

Δικαιοτέρα τῆς] Ante τῆς videtur excidisse περὶ. Orell.

Καταψευσαμένων] Καταψευσομένων. Idem.

Πρὸς Τιμόθεον] Ex hoc loco cognoscitur, quod apud veteres auctores non vidi notatum, nempe Timotheum intra Olympiadem CVI. esse exstinctum. Nam Isocrates hanc Orationem in qua scilicet asserit eum jam mortuum, scripsit annos natus duos et octoginta, ut ipse ait superius §. ε΄. Jam Isocrates editus in lucem fuit an. 1. Olymp. LXXXVI., ut Plutarchus, Laertius, Dionysius Halic. testantur. Igitur Oratio an. 3. aut 4. Olymp. CVI. scripta est. Jam vero damnatio Timothei viventis incidit in an. 2. aut 3. ejusdem Olymp., ut vides apud Dionys. Halic. in Dinarcho n. 13. (sed juxta Diodorum Sic. in an. 1.) Ergo Timotheus intra Olympiadem CVI. vitam finivit: Timotheum dicit

γεγενημένης, καὶ διαβάλλειν ἡμᾶς ἀμφοτέρους ἐπεχείρη-
σεν, καὶ οὐκ ᾐσχύνθη περὶ ἀνδρὸς τετελευτηκότος καὶ
πολλῶν ἀγαθῶν αἰτίου τῇ πόλει βλασφήμους καὶ λίαν
ἀσελγεῖς λόγους εἰπών. ἐγὼ δ' ᾤμην μὲν, εἰ καὶ φανερῶς
ἐξηλεγχόμην ἀδικῶν, διὰ τὴν πρὸς ἐκεῖνον φιλίαν σώζεσθαί
μοι προσήκειν· ἐπειδὴ δὲ Λυσίμαχος καὶ τοῖς τοιούτοις ἐπι-
χειρεῖ με βλάπτειν ἐξ ὧν δικαίως ἂν ὠφελοίμην, ἀναγκαίως
ἔχει διαλεχθῆναι περὶ αὐτῶν. διὰ τοῦτο δ' οὐχ ἅμα περὶ
τούτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἐποιησάμην τὴν μνείαν,
ὅτι πολὺ τὰ πράγματα διέφερεν αὐτῶν. περὶ μὲν γὰρ ἐκεί-
νων οὐδὲν φλαῦρον εἰπεῖν ὁ κατήγορος ἐτόλμησε, περὶ δὲ τὴν
Τιμοθέου κατηγορίαν μᾶλλον ἐσπούδασεν ἢ περὶ ὧν ἀπή-
νεγκε τὴν γραφήν· ἔπειθ' οἱ μὲν ὀλίγων ἐπεστάτησαν, τῶν
δ' ἑκάστῳ προσταχθέντων οὕτως ἐπεμελήθησαν ὥστε τυ-
χεῖν τῆς τιμῆς ὀλίγῳ πρότερον ὑπ' ἐμοῦ λεχθείσης, ὁ δὲ 67
πολλῶν καὶ μεγάλων πραγμάτων καὶ πολὺν χρόνον κατέ-
στη κύριος. ὥστ' οὐκ ἂν ἥρμοσεν ἅμα περὶ τούτου καὶ τῶν
ἄλλων χρήσασθαι τοῖς λόγοις, ἀλλ' ἀναγκαίως εἶχεν οὕτω
διελέσθαι καὶ διατάξασθαι περὶ αὐτῶν. χρὴ δὲ τὸν ὑπὲρ
ἐκείνου λόγον οὐκ ἀλλότριον εἶναι νομίζειν τοῖς ἐνεστῶσι
πράγμασιν, οὐδ' ἐμὲ λέγειν ἔξω τῆς γραφῆς· τοῖς μὲν γὰρ
ἰδιώταις ὑπὲρ ὧν ἕκαστος ἔπραξε προσήκει διαλεχθεῖσι κα-
ταβαίνειν ἢ δοκεῖν περιεργάζεσθαι, τοῖς δ' ὑπολαμβανο-
μένοις συμβούλοις εἶναι καὶ διδασκάλοις ὁμοίως ὑπὲρ τῶν
συγγεγενημένων ὥσπερ ὑπὲρ αὑτῶν ἀναγκαῖον ποιεῖσθαι
τὴν ἀπολογίαν, ἄλλως τ' ἢν καὶ τύχῃ τις διὰ τὴν αἰτίαν
ταύτην κρινόμενος· ὅπερ ἐμοὶ συμβέβηκεν· ἑτέρῳ μὲν οὖν
ἀπέχρησεν ἂν τοῦτ' εἰπεῖν, ὡς οὐ δίκαιόν ἐστι μετέχειν εἴ
τι Τιμόθεος πράττων μὴ κατώρθωσεν· οὐδὲ γὰρ τῶν δω-
ρεῶν οὐδὲ τῶν τιμῶν οὐδεὶς αὐτῷ μετέδωκε τῶν ἐκείνῳ ψη-
φισθεισῶν, ἀλλ' οὐδ' ἐπαινέσαι τῶν ῥητόρων οὐδεὶς ἠξίωσεν
ὡς σύμβουλον γεγενημένον· εἶναι δὲ δίκαιον ἢ καὶ τῶν ἀγα-

mortuum Isocrates etiam in Epist. VIII. ad Mityl. Magistr. §. ε'., quæ quo tempore scripta sit definire nequeo. A. Maius.

Διδασκάλοις] Isocratem magistrum fuisse Timothei confirmat Cicero de Orat. III. c. 34. "Aliis ne igitur artibus instituit Isocrates clarissimum virum Timotheum Cononis præstantissimi imperatoris filium, summum ipsum imperatorem, hominemque doctissimum." Porro narrat Plutarchus in vita Isocratis §. ε'. fin. Timotheum Isocrati magistro æream statuam cum titulo posuisse Eleusine. Mitto nunc quærere sint ne opus Plutarchi Vitæ X. Orator., necne. A. Maius.

θῶν κοινωνεῖν ἢ μηδὲ τῶν ἀτυχιῶν ἀπολαύειν. ἐγὼ δὲ ταῦτα μὲν αἰσχυνθείην ἂν εἰπεῖν, τὴν αὐτὴν δὲ ποιοῦμαι πρόκλησιν ἥνπερ καὶ περὶ τῶν ἄλλων· ἀξιῶ γὰρ, εἰ μὲν κακὸς ἀνὴρ γέγονε Τιμόθεος καὶ πολλὰ περὶ ὑμᾶς ἐξήμαρτε, μετ-
68 έχειν καὶ δίκην διδόναι καὶ πάσχειν ὅμοια τοῖς ἀδικοῦσιν· ἢν δ' ἐπιδειχθῇ καὶ πολίτης ὢν ἀγαθὸς καὶ στρατηγὸς τοιοῦτος οἷος οὐδεὶς ἄλλος ὧν ἡμεῖς ἴσμεν, ἐκεῖνον μὲν οἶμαι δεῖν ὑμᾶς ἐπαινεῖν καὶ χάριν ἔχειν αὐτῷ, περὶ δὲ ταυτησὶ τῆς γραφῆς ἐκ τῶν ἐμοὶ πεπραγμένων, ὅ τι ἂν ὑμῖν δίκαιον εἶναι δοκῇ, τοῦτο γιγνώσκειν.

κς΄. * ε΄. Ἀθροώτατον μὲν οὖν τοῦτ' εἰπεῖν ἔχω περὶ Τιμοθέου καὶ μάλιστα καθ' ἁπάντων, ὅτι τοσαύτας ᾕρηκε πόλεις κατὰ κράτος ὅσας οὐδεὶς πώποτε τῶν ἐστρατηγηκότων, οὔτε τῶν ἐκ ταύτης τῆς πόλεως οὔτε τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ τούτων ἐνίας, ὧν ληφθεισῶν ἅπας ὁ τόπος ὁ περιέχων οἰκεῖος ἠναγκάσθη τῇ πόλει γενέσθαι· τηλικαύτην ἑκάστη δύναμιν εἶχε. τίς γὰρ οὐκ οἶδε Κόρκυραν μὲν ἐν ἐπικαιροτάτῳ καὶ κάλλιστα κειμένην τῶν περὶ Πελοπόννησον, Σάμον δὲ τῶν ἐν Ἰωνίᾳ, Σηστὸν δὲ καὶ Κριθωτὴν τῶν ἐν Ἑλλησπόντῳ, Ποτίδαιαν δὲ καὶ Τορώνην τῶν ἐπὶ Θρᾴκης; ἃς ἐκεῖνος ἁπάσας κτησάμενος παρέδωκεν ὑμῖν, οὐ δαπάναις μεγάλαις, οὐδὲ τοὺς ὑπάρχοντας συμμάχους λυμηνάμενος, οὐδὲ πολλὰς ὑμᾶς εἰσφορὰς ἀναγκάσας εἰσενεγκεῖν, ἀλλ' εἰς μὲν τὸν περίπλουν τὸν περὶ Πελοπόννησον τρία καὶ δέκα μόνον τάλαντα δούσης αὐτῷ τῆς πόλεως καὶ τριήρεις πεντήκοντα Κόρκυραν εἷλε, πόλιν ὀγδοήκοντα τριή-
69 ρεις κεκτημένην, καὶ περὶ τὸν αὐτὸν χρόνον Λακεδαιμονίους ἐνίκησε ναυμαχῶν, καὶ ταύτην ἠνάγκασεν αὐτοὺς συνθέσθαι τὴν εἰρήνην, ἣ τοσαύτην μεταβολὴν ἑκατέρᾳ τῶν πόλεων ἐποίησεν, ὥσθ' ἡμᾶς μὲν ἀπ' ἐκείνης τῆς ἡμέρας θύειν αὐτῇ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ὡς οὐδεμίας ἄλλης οὕτω τῇ πο-

Κριθωτὴν] De urbe appellata Crithote vehementer æstuarunt Critici, ut vides in notis Variorum ad Nepotem in Timoth. c. 1. Veteribus ibidem citatis auctoribus, Atqui ejus meminerunt, adde jam Isocratem: et præterea Harpocrationem, atque ex hoc Demosthenem adv. Aristocr. §. λθ'., Hellanicum l. I. Troicorum, Ephorum l. IV. A. Maius.

Πεντήκοντα Κόρκυραν εἷλε] Πεντήκοντα· Κόρκυραν δ' εἷλε. Orell.

Θύειν αὐτῇ] Confirmat Nepos. in Timoth. c. 2. "Quæ victoria tantæ fuit Atticis lætitiæ, ut tum primum aræ Paci publice sint factæ, eique deæ pulvinar sit institutum." De hac pace vide etiam Xenoph. Hist. Græc. l. VI. c. 2. Diodor. Sic. l. XV. §. 38. A. Maius.

λει συνενεγκούσης, Λακεδαιμονίων δὲ μετ᾽ ἐκεῖνον τὸν χρόνον
μηδ᾽ ὑφ᾽ ἑνός ἑωρᾶσθαι μήτε ναυτικὸν ἐντὸς Μαλέας περι-
πλέον μήτε πεζὸν στρατόπεδον διὰ τοῦ Ἰσθμοῦ πορευόμενον,
ὅπερ αὐτοῖς τῆς περὶ Λεῦκτρα συμφορᾶς εὕροι τις ἂν αἴτιον
γεγενημένον. μετὰ δὲ ταύτας τὰς πράξεις ἐπὶ Σάμον
στρατεύσας, ἣν Περικλῆς ὁ μεγίστην ἐπὶ σοφίᾳ καὶ δικαιο-
σύνῃ καὶ σωφροσύνῃ δόξαν εἰληφὼς ἀπὸ διακοσίων νεῶν καὶ
χιλίων ταλάντων κατεπολέμησε, ταύτην, οὔτε πλέον οὔτ᾽
ἔλαττον παρ᾽ ὑμῶν λαβὼν οὔτε παρὰ τῶν συμμάχων ἐκ-
λέξας, ἐν δέκα μησὶν ἐξεπολιόρκησεν ὀκτακισχιλίοις πελ-
ταστaῖς καὶ τριήρεσι τριάκοντα, καὶ τούτοις ἅπασιν ἐκ τῆς
πολεμίας τὸν μισθὸν ἀπέδωκε. καί τοι τοιοῦτον ἔργον ἄν
τις ἄλλος φανῇ πεποιηκὼς, ὁμολογῶ ληρεῖν, ὅτι διαφε-
ρόντως ἐπαινεῖν ἐπιχειρῶ τὸν οὐδὲν περιττότερον τῶν ἄλλων
διαπεπραγμένον. ἐντεῦθεν τοίνυν ἀναπλεύσας Σηστὸν καὶ
Κριθωτὴν ἔλαβε, καὶ τὸν ἄλλον χρόνον ἀμελουμένης Χεῤῥο-
νήσου προσέχειν ὑμᾶς αὐτῇ τὸν νοῦν ἐποίησε. τὸ δὲ τελευ-
ταῖον Ποτίδαιαν εἰς ἣν ἡ πόλις τετρακόσια καὶ δισχίλια 70
τάλαντα τὸ πρότερον ἀνήλωσε, ταύτην εἷλεν ἀπὸ τῶν χρη-
μάτων ὧν αὐτὸς ἐπόρισε καὶ τῶν συντάξεων τῶν ἀπὸ Θρᾴ-
κης· καὶ προσέτι Χαλκιδεῖς ἅπαντας κατεπολέμησεν. εἰ δὲ
δεῖ μὴ καθ᾽ ἕκαστον ἀλλὰ διὰ βραχέων εἰπεῖν, τεττάρων
καὶ εἴκοσι πόλεων κυρίους ὑμᾶς ἐποίησεν ἐλάττω δαπανή-
σας ὧν οἱ πατέρες ἡμῶν εἰς τὴν Μηλίων πολιορκίαν ἀνήλω-
σαν. ἐβουλόμην δ᾽ ἂν, ὥσπερ ἐξαριθμῆσαι τὰς πράξεις ῥᾴ-
διον γέγονεν, οὕτως οἷόν τ᾽ εἶναι συντόμως δηλῶσαι τοὺς
καιροὺς ἐν οἷς ἕκαστα τούτων ἐπράχθη, καὶ τὰ τῆς πό-
λεως ὡς εἶχε, καὶ τὴν τῶν πολεμίων δύναμιν· πολὺ γὰρ
ἂν ὑμῖν αἵ τε εὐεργεσίαι μείζους κἀκεῖνος πλείονος ἄξιος
ἔδοξεν εἶναι. νῦν δὲ ταῦτα μὲν ἐάσω διὰ τὸ πλῆθος.

κς΄. * ς΄. Ἡγοῦμαι δ᾽ ὑμᾶς ἡδέως ἂν ἀκοῦσαι διὰ τί

Δόξαν εἰληφὼς] Similem prorsus Periclis laudem habes in Orat. de Bigis §. ια΄. A. Maius.

Οὔτε παρὰ τῶν συμμ.] Bekkerus mavult οὐδὲ παρὰ τῶν συμμ.

Τεττάρων καὶ εἴκοσι πόλεων] Æschines de fals. legat. §. κδ΄. ait Timotheum Cononis F. potitum fuisse urbium LXXV., easque Athenarum Concilio adjunxisse. Itaque Isocrates sub numero XXIV. eas tantum comprehendit urbes, quas Timotheus tenuiori dispendio cepit, quam olim Athenienses in obsidendis Meliis passi erant. Apud Dinarchum Orat. c. Demosth. p. 91. antep. et. c. Philocl. p. 110. 23. ed. Steph. dicitur Conon pater Timothei cepisse urbes XXIV. A. Maius.

ποτε τῶν μὲν εὐδοκιμούντων ἀνδρῶν παρ' ὑμῖν καὶ πολεμικῶν εἶναι δοκούντων οὐδὲ κώμην ἔνιοι λαβεῖν ἠδυνήθησαν, Τιμόθεος δ' οὔτε τὴν τοῦ σώματος φύσιν ἔχων ἐῤῥωμένην οὔτ' ἐν τοῖς στρατοπέδοις τοῖς πλανωμένοις κατατετριμμένος, ἀλλὰ ὁ μεθ' ὑμῶν πολιτευόμενος τηλικαῦτα διεπράξατο τὸ μέγεθος. ἔστι δ' ὁ λόγος ὁ περὶ τούτων φιλαπεχθήμων μὲν, ῥηθῆναι δ' οὐκ ἀσύμφορος. ἐκεῖνος γὰρ τούτῳ τῶν ἄλλων διήνεγκεν, ὅτι περὶ τῶν Ἑλληνικῶν καὶ
71 συμμαχικῶν πραγμάτων καὶ τῆς ἐπιμελείας τῆς τούτων οὐ τὴν αὐτὴν ὑμῖν γνώμην ἔσχεν· ὑμεῖς μὲν γὰρ χειροτονεῖτε στρατηγοὺς τοὺς εὐρωστοτάτους τοῖς σώμασι καὶ πολλάκις ἐν τοῖς ξενικοῖς στρατεύμασι γεγενημένους, ὡς διὰ τούτων διαπραξάμενοί τι τῶν δεόντων· ὁ δὲ τοῖς μὲν τοιούτοις λοχαγοῖς ἐχρῆτο καὶ ταξιάρχοις, [ὧν ἔνιοι διὰ τὴν μετ' ἐκείνου στρατείαν ἄξιοι λόγου καὶ χρήσιμοι τῇ πόλει γεγόνασιν,] αὐτὸς δὲ περὶ ταῦτα δεινὸς ἦν, περὶ ἅπερ χρὴ φρόνιμον εἶναι τὸν στρατηγὸν τὸν ἀγαθόν. ἔστι δὲ ταῦτα τίνα δύναμιν ἔχοντα; — δεῖ γὰρ οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφῶς φράσαι περὶ αὐτῶν — πρῶτον μὲν δύνασθαι γνῶναι πρὸς τίνας πολεμητέον καὶ τίνας συμμάχους ποιητέον· ἀρχὴ γὰρ αὕτη στρατηγίας ἐστὶν, ἧς ἢν διαμάρτῃ τις, ἀνάγκη τὸν πόλεμον ἀσύμφορον καὶ χαλεπὸν καὶ περίεργον εἶναι, περὶ τοίνυν τὴν τοιαύτην προαίρεσιν οὐ μόνον οὐδεὶς τοιοῦτος γέγονεν, ἀλλ' οὐδὲ παραπλήσιος. ῥᾴδιον δ' ἐξ αὐτῶν τῶν ἔργων γνῶναι· πλείστους γὰρ πολέμους ἄνευ τῆς πόλεως ἀνελόμενος, ἅπαντας τούτους κατώρθωσε καὶ δικαίως ἅπασι τοῖς Ἕλλησιν ἔδοξεν αὐτοὺς ποιήσασθαι. καί τοι τοῦ καλῶς βουλεύσασθαι τίς ἂν ἀπόδειξιν ἔχοι σαφεστέραν καὶ μείζω ταύτης παρασχέσθαι; δεύτερον τί προσήκει τὸν στρατηγὸν τὸν ἀγαθόν; στρατόπεδον συνα-
72 γαγεῖν ἁρμόττον τῷ πολέμῳ τῷ παρόντι, καὶ τοῦτο συντάξαι καὶ χρήσασθαι συμφερόντως. ὡς μὲν τοίνυν ἠπί-

Γνώμην ἔχειν] Ἴσως, γνώμην εἶχεν, ἢ ἔσχεν. Mustoxydes.

Τοὺς εὐρωστάτους] Innuit Charetem, Timothei postea accusatorem, quem oratores Athenienses, licet imprudentem et stolidum, tamen quia corporis viribus praepollebat, imperatorem fieri volebant: dicente contra Timotheo, eum potius ad imperatoris stragula gestanda esse idoneum. Vide Plutarch. An Seni &c. §. η'. Apophth. vol. viii. p. 119. ed. Hutten. Diodor. Sic. l. XVI. §. 85. A. Maius.

Τίνα δύναμιν] Bekkerus mavult, τίνα, καὶ τίνα δύν.

Δεύτερον τί - - - ἀγαθόν;] Δεύτερον δὲ - - - ἀγαθὸν —. Orell.

στατο χρῆσθαι καλῶς, αἱ πράξεις αὐταὶ δεδηλώκασιν· ὡς δὲ καὶ πρὸς τὸ παρασκευάσασθαι μεγαλοπρεπῶς καὶ τῆς πόλεως ἀξίως ἁπάντων διήνεγκεν, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἂν ἄλλως εἰπεῖν τολμήσειεν. ἔτι τοίνυν πρὸς τούτοις ἀπορίας ἐνεγκεῖν στρατοπέδου καὶ πενίας, καὶ πάλιν εὐπορίας εὑρεῖν, τίς οὐκ ἂν τῶν συνεστρατευμένων πρὸς ἀμφότερα ταῦτα διαφέρειν ἐκείνου προκρίνειε; συνίσασι γὰρ αὐτῷ κατὰ μὲν ἀρχὰς τῶν πολέμων διὰ τὸ μηδὲν παρὰ τῆς πόλεως λαμβάνειν εἰς τὰς ἐσχάτας ἐνδείας καθιστάμενον, ἐκ δὲ τούτων εἰς τοῦτο τὰ πράγματα περιϊστάναι δυνάμενον, ὥστε καὶ τῷ πολέμῳ περιγίγνεσθαι καὶ τοῖς στρατιώταις ἐντελεῖς ἀποδιδόναι τοὺς μισθούς. οὕτω τοίνυν τούτων μεγάλων ὄντων καὶ σφόδρα κατεπειγόντων, ἐπὶ τοῖς ἐχομένοις δικαίως ἄν τις αὐτὸν ἔτι μᾶλλον ἐπαινέσειεν. ὁρῶν γὰρ ὑμᾶς τούτους μόνους ἄνδρας νομίζοντας, τοὺς ἀπειλοῦντας καὶ τοὺς ἐκφοβοῦντας τὰς ἄλλας πόλεις καὶ τοὺς ἀεί τι νεωτερίζοντας ἐν τοῖς συμμάχοις, οὐκ ἐπηκολούθησε ταῖς ὑμετέραις γνώμαις, οὐδ᾽ ἠβουλήθη βλάπτων τὴν πόλιν εὐδοκιμεῖν, ἀλλὰ τοῦτ᾽ ἐφιλοσόφει καὶ τοῦτ᾽ ἔπραττεν, ὅπως μηδεμία τῶν πόλεων αὐτὸν φοβήσεται τῶν Ἑλληνίδων, ἀλλὰ πᾶσαι θαρσήσουσι πλὴν τῶν ἀδικουσῶν· ἠπί- 73
στατο γὰρ τούς τε δεδιότας ὅτι μισοῦσι δι᾽ οὓς ἂν τοῦτο πεπονθότες τυγχάνωσι, τήν τε πόλιν διὰ μὲν τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην, διὰ δὲ τὸ μῖσος μικρὸν ἀπολιποῦσαν τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. ὧν ἐνθυμούμενος τῇ μὲν δυνάμει τῇ τῆς πόλεως τοὺς πολεμίους κατεστρέφετο, τῷ δ᾽ ἤθει τῷ ἑαυτοῦ τὴν εὔνοιαν τὴν τῶν ἄλλων προσήγετο, νομίζων τοῦτο στρατήγημα μεῖζον εἶναι καὶ κάλλιον ἢ πολλὰς πόλεις ἑλεῖν καὶ πολλάκις νικῆσαι μαχόμενος. οὕτω δ᾽ ἐσπούδαζε περὶ τὸ μηδεμίαν τῶν πόλεων μηδὲ μικρὰν ὑποψίαν περὶ αὐτοῦ λαβεῖν ὡς ἐπιβουλεύοντος, ὥσθ᾽ ὁπότε μέλλοι τινὰ παραπλεῖν τῶν μὴ τὰς συντάξεις διδουσῶν, πέμψας προηγόρευε τοῖς ἄρχουσιν, ἵνα μὴ πρὸ τῶν λιμένων ἐξαίφνης ὀφθεὶς εἰς θόρυβον καὶ ταραχὴν αὐτοὺς καταστή-

Διαφέρειν ἐκείνου] Διαφέρειν ἐκεῖνον. ORELL.

Τὴν εὔνοιαν] Vide eandem sententiam Epist. B. ad Philipp. §. η´. fin. A. MAIUS.

σειεν. εἴτε τύχοι καθορμισθεὶς πρὸς τὴν χώραν, οὐκ ἂν
ἐφῆκε τοῖς στρατιώταις ἁρπάζειν καὶ κλέπτειν καὶ πορ-
θεῖν τὰς οἰκίας, ἀλλὰ τοσαύτην εἶχεν ἐπιμέλειαν ὑπὲρ
τοῦ μηδὲν γίγνεσθαι τοιοῦτον, ὅσην περ οἱ δεσπόται τῶν
χρημάτων· οὐ γὰρ τούτῳ προσεῖχε τὸν νοῦν, ὅπως ἐκ τῶν
τοιούτων αὐτὸς εὐδοκιμήσει παρὰ τοῖς στρατιώταις, ἀλλ᾽
ὅπως ἡ πόλις παρὰ τοῖς Ἕλλησι. πρὸς δὲ τούτοις τὰς
74 δοριαλώτους τῶν πόλεων οὕτω πράως διῴκει καὶ νομίμως ὡς
οὐδεὶς ἄλλος τὰς συμμαχίδας, ἡγούμενος εἰ τοιοῦτος ὢν
φαίνοιτο περὶ τοὺς πολεμήσαντας, τὴν μεγίστην πίστιν
ἔσεσθαι δεδωκὼς ὡς οὐδέποτ᾽ ἂν περί γε τοὺς ἄλλους ἐξα-
μαρτεῖν τολμήσειε. τοιγάρτοι διὰ τὴν δόξαν τὴν ἐκ τούτων
γιγνομένην πολλαὶ τῶν πόλεων τῶν πρὸς ὑμᾶς δυσκόλως
ἐχουσῶν ἀναπεπταμέναις αὐτὸν ἐδέχοντο ταῖς πύλαις· ἐν
αἷς ἐκεῖνος οὐδεμίαν ταραχὴν ἐποίησεν, ἀλλ᾽ ὥσπερ οἰκου-
μένας αὐτὰς εἰσιὼν κατέλαβεν, οὕτως ἐξιὼν κατέλειπε.
κεφάλαιον δὲ πάντων τούτων· εἰθισμένων γὰρ τὸν ἄλλον
χρόνον πολλῶν γίγνεσθαι καὶ δεινῶν ἐν τοῖς Ἕλλησιν, ἐπὶ
τῆς ἐκείνου στρατηγίας οὐδεὶς ἂν οὔτ᾽ ἀναστάσεις εὕροι
γεγενημένας οὔτε πολιτειῶν μεταβολὰς οὔτε σφαγὰς καὶ
φυγὰς οὔτ᾽ ἄλλ᾽ οὐδὲν τῶν κακῶν τῶν ἀνηκέστων, ἀλλ᾽
οὕτως αἱ τοιαῦται συμφοραὶ κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐλώφη-
σαν, ὥστε μόνος ὧν ἡμεῖς μνημονεύομεν ἀνέγκλητον τὴν
πόλιν τοῖς Ἕλλησι παρέσχε. καί τοι χρὴ στρατηγὸν ἄρι-
στον νομίζειν οὐκ εἴ τις μιᾷ τύχῃ τηλικοῦτόν τι κατώρθω-
σεν ὥσπερ Λύσανδρος, ὃ μηδενὶ τῶν ἄλλων διαπράξασθαι
συμβέβηκεν· ἀλλ᾽ ὅστις ἐπὶ πολλῶν καὶ παντοδαπῶν καὶ
δυσκόλων πραγμάτων ὀρθῶς ἀεὶ πράττων καὶ νουνεχόντως
διατετέλεκεν, ὅπερ Τιμοθέῳ συμβέβηκεν.
75 κϛ΄. * ζ΄. Οἶμαι οὖν ὑμῶν τοὺς πολλοὺς θαυμάζειν τὰ
λεγόμενα καὶ νομίζειν τὸν ἔπαινον τὸν ἐκείνου κατηγορίαν
εἶναι τῆς πόλεως, εἰ τοσαύτας μὲν πόλεις ἑλόντα μηδεμίαν
δ᾽ ἀπολέσαντα περὶ προδοσίας ἔκρινε, καὶ πάλιν εἰ διδόν-
τος εὐθύνας αὐτοῦ, καὶ τὰς μὲν πράξεις Ἰφικράτους ἀναδε-

Λύσανδρος] Confirmat Nepos ita Lysandri vitam exordiens: "Lysander Lacedæmonius magnam reliquit sui ſamam, magis felicitate quam virtute partam." Porro hic indicat Isocrates famigeratam Atheniensium cladem ad Ægos flumen, de qua vide Xen. Hist. Græc. l. ii. c. 1. A. Maius.

Ἰφικράτους] Vide Nepotem in Iphicr. c.

χομένου, τὸν δ' ὑπὲρ τῶν χρημάτων λόγον Μενεσθέως, τούτους μὲν ἀπέλυσε, Τιμόθεον δὲ τοσούτοις ἐζημίωσε χρήμασιν ὅσοις οὐδένα πώποτε τῶν προγεγενημένων. ἔχει δ' οὕτως· βούλομαι γὰρ καὶ τὸν ὑπὲρ τῆς πόλεως λόγον εἰπεῖν. εἰ μὲν ὑμεῖς πρὸς αὐτὸ τὸ δίκαιον ἀποβλέποντες σκέψεσθε περὶ τούτων, οὐκ ἔστιν ὅπως οὐ δεινὰ καὶ σχέτλια πᾶσιν εἶναι δόξει τὰ πεπραγμένα περὶ Τιμόθεον· ἢν δ' ἀναλογίσησθε τὴν ἄγνοιαν ὅσην ἔχομεν πάντες ἄνθρωποι, καὶ τοὺς φθόνους τοὺς ἐπιγιγνομένους ἡμῖν, ἔτι δὲ τὰς ταραχὰς καὶ τὴν τύρβην ἐν ᾗ ζῶμεν, οὐδὲν τούτων ἀλόγως οὐδ' ἔξω τῆς ἀνθρωπίνης φύσεως εὑρεθήσεται γεγενημένον, ἀλλὰ καὶ Τιμόθεος μέρος τι συμβεβλημένος τοῦ μὴ κατὰ τρόπον γνωσθῆναι περὶ αὐτῶν. ἐκεῖνος γὰρ οὔτε μισόδημος ὢν οὔτε μισάνθρωπος οὔθ' ὑπερήφανος οὔτ' ἄλλ' οὐδὲν ἔχων τῶν τοιούτων κακῶν διὰ τὴν μεγαλοφροσύνην τὴν τῇ στρατηγίᾳ μὲν συμφέρουσαν, πρὸς δὲ τὰς χρείας τῶν ἀεὶ προσπιπτόντων οὐχ ἁρμόττουσαν, ἅπασιν ἔδοξεν ἔνοχος εἶναι τοῖς προειρημένοις· οὕτω γὰρ ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων 76
θεραπείαν, ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν. καί τοι πολλάκις καὶ παρ' ἐμοῦ τοιούτους λόγους ἤκουσεν, ὡς χρὴ τοὺς πολιτευομένους καὶ βουλομένους ἀρέσκειν προαιρεῖσθαι μὲν τῶν τε πράξεων τὰς ὠφελιμωτάτας καὶ βελτίστας καὶ τῶν λόγων τοὺς ἀληθεστάτους καὶ δικαιοτάτους, οὐ μὴν ἀλλὰ κἀκεῖνο παρατηρεῖν καὶ σκοπεῖν, ὅπως ἐπιχαρίτως καὶ φιλανθρώπως ἅπαντα φανήσονται καὶ λέγοντες καὶ πράττοντες, ὡς οἱ τούτων ὀλιγωροῦντες ἐπαχθέστεροι καὶ βαρύτεροι δοκοῦσιν εἶναι τοῖς συμπολιτευομένοις. ὁρᾷς δὲ τὴν φύσιν τὴν τῶν πολλῶν ὡς διάκειται πρὸς τὰς ἡδονάς, καὶ διότι μᾶλλον φιλοῦσι τοὺς πρὸς χάριν ὁμιλοῦντας ἢ τοὺς εὖ ποιοῦντας, καὶ τοὺς μετὰ φαιδρότητος

3. Item in Timoth. c. 3. Dionys. Hal. in Lysia c. 12. quorum postremus ait Iphicratem τὰς εὐθύνας ὑπεσχηκέναι τῆς στρατηγίας. Iphicratem autem hoc judicio fuisse absolutum confirmat Nepos in ejus Vita c. 3. et Polyænus Stratag. l. iii. 29. Contra Diodorus Sic. l. xvi. §. 21. ait Iphicratem mulctatum esse cum Timotheo. A. Maius.

Τοσούτοις ἐζημίωσε χρήμ.] Lis Timotheo æstimata est C. talentis, ut ait Nepos in Timoth. c. 3. Dinarchus c. Demosth. p. 92. 1. et c. Philocl. p. 110. 26. ed. H. Steph. A. Maius.

Περὶ Τιμόθ.] Τὰ περὶ Τιμόθ. Orell.

Περὶ αὐτῶν] Περὶ αὐτόν. Idem.

Διὰ τὴν μεγαλοφροσύνην] Id de Timotheo innuit etiam Plutarchus in Sylla, §. ς'. A. Maius.

καὶ φιλανθρωπίας φενακίζοντας ἢ τοὺς μετ᾽ ὄγκου καὶ σεμνότητος ὠφελοῦντας. ὧν οὐδέν σοι μεμέληκεν, ἀλλ᾽ ἢν ἐπιεικῶς τῶν ἔξω πραγμάτων ἐπιμεληθῇς, οἴει σοι καὶ τοὺς ἐνθάδε πολιτευομένους καλῶς ἕξειν. τὸ δ᾽ οὐχ οὕτως, ἀλλὰ τοὐναντίον φιλεῖ συμβαίνειν. ἢν γὰρ τούτοις ἀρέσκῃς, ἅπαν ὅ τι ἂν πράξῃς οὐ πρὸς τὴν ἀλήθειαν κρινοῦσιν ἀλλὰ πρὸς τὸ σοὶ συμφέρον ὑπολήψονται, καὶ τὰ μὲν ἁμαρτανόμενα παρόψονται, τὸ δὲ κατορθωθὲν οὐρανόμηκες ποιήσουσιν· ἡ γὰρ εὔνοια
77 πάντας οὕτω διατίθησιν. ἢν σὺ τῇ μὲν πόλει παρὰ τῶν ἄλλων ἐκ παντὸς τρόπου κτήσασθαι ζητεῖς, ἡγούμενος μέγιστον εἶναι τῶν ἀγαθῶν, αὐτὸς δὲ σαυτῷ παρὰ τῆς πόλεως οὐκ οἴει δεῖν τὴν αὐτὴν ταύτην παρασκευάζειν, ἀλλὰ πλείστων ἀγαθῶν αἴτιος γεγενημένος χεῖρον διάκεισαι τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων. εἰκότως· οἱ μὲν γὰρ τοὺς ῥήτορας καὶ τοὺς ἐν τοῖς ἰδίοις συλλόγοις λογοποιεῖν δυναμένους καὶ πάντα προσποιουμένους εἰδέναι θεραπεύουσι, σὺ δ᾽ οὐ μόνον ἀμελεῖς, ἀλλὰ καὶ πολεμεῖς τοῖς μέγιστον ἀεὶ δυναμένοις αὐτῶν. καίτοι πόσους οἴει διὰ τὰς τούτων ψευδολογίας, τοὺς μὲν συμφοραῖς περιπεπτωκέναι, τοὺς δ᾽ ἀτίμους εἶναι, [πόσους δὲ τῶν προγεγενημένων ἀνωνύμους εἶναι,] πολὺ σπουδαιοτέρους καὶ πλέονος ἀξίους γεγενημένους τῶν ᾀδομένων καὶ τραγῳδουμένων; ἀλλ᾽ οἱ μέν, οἶμαι, ποιητῶν ἔτυχον καὶ λογοποιῶν, οἱ δ᾽ οὐκ ἔσχον τοὺς ὑμνήσοντας. ἢν οὖν ἐμοὶ πείθῃ καὶ νοῦν ἔχῃς, οὐ καταφρονήσεις τῶν ἀνδρῶν τούτων οἷς τὸ πλῆθος εἴθισται πιστεύειν οὐ μόνον περὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλὰ καὶ περὶ ὅλων τῶν πραγμάτων, ἀλλ᾽ ἐπιμέλειαν τινὰ ποιήσῃ καὶ θεραπείαν αὐτῶν, ἵν᾽ εὐδοκιμήσῃς δι᾽ ἀμφότερα, καὶ διὰ τὰς σαυτοῦ πράξεις καὶ

διὰ τοὺς τούτων λόγους. ταῦτα δ' ἀκούων ὀρθῶς μὲν
ἔφασκέ με λέγειν, οὐ μὴν οἷός τ' ἦν τὴν φύσιν μεταβαλεῖν, 78
ἀλλ' ἦν καλὸς κἀγαθὸς ἀνὴρ καὶ τῆς πόλεως καὶ τῆς Ἑλ-
λάδος ἄξιος, οὐ μὴν σύμμετρός γε τοῖς τοιούτοις τῶν ἀν-
θρώπων, ὅσοι τοῖς ὑπὲρ αὐτούς πεφυκόσιν ἀχθόμενοι τυγχά-
νουσι. τοιγαροῦν οἱ μὲν ῥήτορες ἔργον εἶχον αἰτίας περὶ
αὐτοῦ πολλὰς καὶ ψευδεῖς πλάττειν, τὸ δὲ πλῆθος ἀπο-
δέχεσθαι τὰς ὑπὸ τούτων λεγομένας. περὶ ὧν ἡδέως ἂν ἀπε-
λογησάμην, εἰ καιρὸν εἶχον· οἶμαι γὰρ ἂν ὑμᾶς ἀκούσαντας
μισῆσαι τούς τε προαγαγόντας τὴν πόλιν ἐπὶ τὴν ὀργὴν
τὴν πρὸς ἐκεῖνον καὶ τοὺς φλαῦρόν τι περὶ αὐτοῦ λέγειν
τολμῶντας.

κς'. * ή. Νῦν δὲ ταῦτα μὲν ἐάσω, περὶ ἐμαυτοῦ δὲ καὶ
τῶν ἐνεστώτων πραγμάτων πάλιν ποιήσομαι τοὺς λόγους.
ἀπορῶ δ' ὅ τι χρήσομαι τοῖς ὑπολοίποις, καὶ τίνος πρώτου
μνησθῶ καὶ ποίου δευτέρου· τὸ γὰρ ἐφεξῆς με λέγειν διαπέ-
φευγεν. ἴσως μὲν οὖν ἀναγκαῖόν ἐστιν, ὡς ἂν ἕκαστον τύχῃ
προσπεσὸν, οὕτως εἰπεῖν περὶ αὐτῶν· ἃ δ' οὖν μοι νῦν ἐπε-
λήλυθε, καὶ περὶ ὧν ἐγὼ μὲν ἐνόμιζον εἶναι δηλωτέον, ἄλλος
δέ τις μοι συνεβούλευε μὴ λέγειν, οὐκ ἀποκρύψομαι πρὸς
ὑμᾶς. ἐπειδὴ γὰρ ἀπήνεγκε τὴν γραφὴν, ἐσκόπουν περὶ αὐ-
τῶν τούτων ὥσπερ ἂν ὑμῶν ἕκαστος, καὶ τόν τε βίον τὸν
ἐμαυτοῦ καὶ τὰς πράξεις ἐξήταζον, καὶ πλεῖστον χρόνον
περὶ τὰς τοιαύτας διέτριβον ἐφ' αἷς ᾤόμην ἐπαινεῖσθαί με 79
προσήκειν. ἀκροώμενος δέ τις τῶν ἐπιτηδείων ἐτόλμησεν
εἰπεῖν πρός με λόγον πάντων σχετλιώτατον, ὡς ἄξια μὲν
εἴη τὰ λεγόμενα φιλοτιμίας, οὐ μὴν ἀλλ' αὐτός γε δεδιέναι
ταῦτα μάλιστα, μὴ πολλοὺς λυπήσῃ τῶν ἀκουόντων. οὕτω
γὰρ ἔφη τινὲς ὑπὸ τοῦ φθόνου καὶ τῶν ἀπο-
ριῶν ἐξηγρίωνται καὶ δυσμενῶς ἔχουσιν, ὥστ'
οὐ ταῖς πονηρίαις ἀλλὰ ταῖς εὐπραγίαις πο-
λεμοῦσι, καὶ μισοῦσιν οὐ μόνον τῶν ἀνθρώπων
τοὺς ἐπιεικεστάτους, ἀλλὰ καὶ τῶν ἐπιτηδευ-
μάτων τὰ βέλτιστα, καὶ πρὸς τοῖς ἄλλοις κα-
κοῖς τοῖς μὲν ἀδικοῦσι συναγωνίζονται καὶ

Εὐπραγίαις] Εὐπραγία apud Isocratem *gerendis*. Vide Evagor. Laudat. §. ιθ'.
significat aliquando *diligentiam in rebus* A. Maius.

συγγνώμην ἔχουσιν, οἷς δ᾽ ἂν φθονήσωσι ἀπολλύουσιν, ἥνπερ δυνηθῶσι. ταῦτα δὲ δρῶντες οὐκ ἀγνοοῦσι περὶ ὧν τὴν ψῆφον οἴσουσιν, ἀλλ᾽ ἀδικήσειν μὲν ἐλπίζοντες, ὀφθήσεσθαι δ᾽ οὐ προσδοκῶντες· σώζοντες [δ᾽] οὖν τοὺς ὁμοίους σφίσιν αὐτοῖς βοηθεῖν νομίζουσι. τούτου δ᾽ ἕνεκά σοι ταῦτα διῆλθον, ἵνα προειδὼς ἄμεινον προσφέρῃ καὶ τοῖς λόγοις ἀσφαλεστέροις χρῇ πρὸς αὐτούς· ἐπεὶ νῦν γε τίνα χρὴ προσδοκᾷν γνώμην ἕξειν τοὺς τοιούτους, ὅταν τόν τε βίον τὸν σαυτοῦ καὶ τὰς πράξεις διεξίῃς μηδὲ κατὰ μικρὸν ὁμοίας οὔσας ταῖς τούτων, ἀλλ᾽ οἵασπερ πρὸς ἐμὲ λέγειν ἐπιχειρεῖς; ἀποφαίνεις γὰρ τούς τε λόγους οὓς γέγραφας οὐ μέμψεως ἀλλὰ χάριτος τῆς μεγίστης ἀξίους ὄντας, τῶν τε πεπλησιακότων σοι τοὺς μὲν
80 οὐδὲν ἠδικηκότας οὐδ᾽ ἡμαρτηκότας, τοὺς δὲ δι᾽ ἀρετὴν ὑπὸ τῆς πόλεως ἐστεφανωμένους, τά τε καθ᾽ ἡμέραν οὕτω κοσμίως καὶ τεταγμένως βεβιωκότα σαυτὸν ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος τῶν πολιτῶν, ἔτι δὲ μήτε δεδικασμένον μηδενὶ μήτε πεφευγότα πλὴν περὶ ἀντιδόσεως, μήθ᾽ ἑτέροις συνηγωνισμένον μήτε μεμαρτυρηκότα, μήτ᾽ ἄλλο πεποιηκότα μηδὲν, ἐν οἷς ἅπαντες οἱ πολιτευόμενοι τυγχάνουσι. πρὸς δὲ τούτοις οὕτως ἰδίοις οὖσι καὶ περιττοῖς κἀκεῖνο λέγεις, ὡς τῶν μὲν ἀρχῶν καὶ τῶν ὠφελιῶν τῶν ἐντεῦθεν γιγνομένων καὶ τῶν ἄλλων ἁπάντων τῶν κοινῶν ἐξέστηκας, εἰς δὲ τοὺς διακοσίους καὶ χι-

Ἀποφαίνεις] Etiam in Panathenaica §. ρα'. inducitur quidam Isocratem laudans. Idem.

Τοὺς διακοσίους καὶ χιλίους] Declaratur hic locus ex Sigonio de Rep. Athen. l. iv. c. 4. "Placuit (Atheniensibus) ut MCC. ex universis classibus legerentur, qui cum cæteros divitiis antecederent, soli etiam publicorum munerum onera sustinerent. Unde Pollux et Harpocratio scripserunt, MCC. fuisse ex quibus legerentur liturgi." Jam εἰσφορὰ, *tributum militare*, imperabatur Athenis impendente aut urgente bello. Quid autem est Trierarchia, nempe *triremium instructio*, explicatum est in argumento orationis. Erat præterea Athenis tria alia sumptuosissima munera, Choragia, Gymnasiarchia, Hestiasis, de quibus, ut de duobus prædictis, præter laudatum Sigonium, vide Prolegomena doctissimi viri F. A. Wolfii ad orationem Demosthenis contra Leptinem. Idem.

λίους τοὺς εἰσφέροντας καὶ λειτουργοῦντας οὐ
μόνον αὐτὸν παρέχεις ἀλλὰ καὶ τὸν υἱὸν, καὶ
τρίς μὲν ἤδη τετριηραρχήκατε, τὰς δ' ἄλλας
λειτουργίας πολυτελέστερον λελειτουργήκατε
καὶ κάλλιον ὧν οἱ νόμοι προστάττουσι. ταῦτ'
ἀκούοντας τοὺς τἀναντία πᾶσι τοῖς προειρη-
μένοις ἐπιτετηδευκότας οὐκ οἴει βαρέως οἴσειν
καὶ νομιεῖν ἐλέγχεσθαι τὸν βίον τὸν αὑτῶν οὐ
σπουδαῖον ὄντα; καὶ γὰρ εἰ μὲν μετὰ πό-
νου καὶ ταλαιπωρίας ᾐσθάνοντό σε πορίζό-
μενον εἴς τε τὰς λειτουργίας καὶ περὶ τὴν
ἄλλην διοίκησιν, οὐκ ἂν ὁμοίως ἔμελεν αὐτοῖς·
νῦν δὲ τά τε παρὰ τῶν ξένων σοι γιγνόμενα
πολὺ πλείω νομίζουσιν εἶναι τῶν διδομένων,
αὐτόν τε σὲ ῥᾳθυμότερον ἡγοῦνται ζῆν οὐ μόνον 81
τῶν ἄλλων ἀλλὰ καὶ τῶν περὶ τὴν φιλοσοφίαν
καὶ τὴν αὐτήν σοι πραγματείαν ὄντων. ὁρῶσι
γὰρ ἐκείνων μὲν τοὺς πλείστους, πλὴν τῶν τὸν
σὸν βίον καὶ τὸν τρόπον ἠγαπηκότων, ἔν τε ταῖς
πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις ἐπιδείξεις
ποιουμένους, διαγωνιζομένους πρὸς ἀλλήλους
καθ' ὑπερβολὴν, ὑπισχνουμένους, ἐρίζοντας, λοι-
δορουμένους, οὐδὲν ἀπολείποντας κακῶν, ἀλλὰ
σφίσι μὲν αὐτοῖς πράγματα παρέχοντας, τοῖς
δ' ἀκροωμένοις ἐξουσίαν παραδιδόντας τοῖς μὲν
καταγελάσαι τῶν λεγομένων, ἐνίοις δ' ἐπαινέ-
σαι τοῖς δὲ πλείστοις μισῆσαι, τοῖς δ' ὅπως
ἕκαστοι βούλονται διατεθῆναι πρὸς αὐτούς· σὲ
δ' οὐδενὸς μετέχοντα τούτων, ἀλλ' ἀνομοίως
ζῶντα καὶ τοῖς σοφισταῖς καὶ τοῖς ἰδιώταις, καὶ
τοῖς πολλὰ κεκτημένοις καὶ τοῖς ἀπόρως δια-
κειμένοις. ἐφ' οἷς οἱ μὲν λογίζεσθαι δυνάμενοι

Αὑτὸν παρέχεις] Forte σαυτὸν παρέχεις. Orell.

Πολυτελέστερον] Gloriabantur sæpe veteres se publica munera splendide obivisse. Vide et de Bigis §. ιδ'. Æginet. §. ιζ'. A. Maius.

Οὐδὲν ἀπολείποντας] *nihil ab improbis differre.* Licet etiam interpretari: *nihil improbitatis omittere.* Idem.

Οὐδενὸς μετέχοντα τούτων] Etiam in orat. ad Philippum §. λδ'. scribit Isocrates se neque ad populum agere neque cum rhetorum turba confligere solitum. Sic in Epist. H. ad Mityl. §. ε'. Idem.

καὶ νοῦν ἔχοντες ἴσως ἄν σε ζηλώσειαν, οἱ δὲ καταδεέστερον πράττοντες καὶ λυπεῖσθαι μᾶλλον εἰωθότες ἐπὶ ταῖς τῶν ἄλλων ἐπιεικείαις ἢ ταῖς αὑτῶν ἀτυχίαις οὐκ ἔστιν ὅπως οὐ δυσκολανοῦσι καὶ χαλεπῶς οἴσουσιν. ὡς οὖν οὕτως αὐτῶν διατεθησομένων σκόπει τί σοι λεκτέον τούτων καὶ τί παραλειπτέον ἐστίν. ἐγὼ δὲ κἀκείνου τότε ταῦτα λέγοντος καὶ νῦν ἡγοῦμαι πάντων ἀνθρώπων ἀτοπωτάτους εἶναι καὶ σχετλιωτάτους, οἵτινες βαρέως ἂν ἀκούοιεν εἰ
82 λειτουργοῦντα μὲν ἐμαυτὸν τῇ πόλει παρέχω καὶ ποιοῦντα τὸ προσταττόμενον, μηδὲν δὲ δέομαι μήτε κληροῦσθαι τῶν ἀρχῶν ἕνεκα, μήτε λαμβάνειν ἃ τοῖς ἄλλοις ἡ πόλις δίδωσι, μήτ᾽ αὖ φεύγειν δίκας μήτε διώκειν. ταῦτα γὰρ συνεταξάμην οὐ διὰ πλοῦτον οὐδὲ δι᾽ ὑπερηφανίαν, οὐδὲ καταφρονῶν τῶν μὴ τὸν αὐτὸν τρόπον ἐμοὶ ζώντων, ἀλλὰ τὴν μὲν ἡσυχίαν καὶ τὴν ἀπραγμοσύνην ἀγαπῶν, μάλιστα δ᾽ ὁρῶν τοὺς τοιούτους καὶ παρ᾽ ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦντας, ἔπειτα τὸν βίον ἡδίω νομίσας εἶναι τοῦτον ἢ τὸν τῶν πολλὰ πραττόντων, ἔτι δὲ ταῖς διατριβαῖς ταῖς ἐμαῖς πρεπωδέστερον, αἷς ἐξ ἀρχῆς κατεστησάμην. τούτων μὲν ἕνεκα τοῦτον τὸν τρόπον ζῆν προειλόμην· τῶν δὲ λημμάτων τῶν παρὰ τῆς πόλεως ἀπεσχόμην, δεινὸν ἡγησάμενος, εἰ δυνάμενος ἐκ τῶν ἰδίων τρέφειν ἐμαυτὸν ἐμποδών τῳ γενήσομαι τῶν ἐντεῦθεν ζῆν ἠναγκασμένων λαβεῖν τὸ διδόμενον ὑπὸ τῆς πόλεως, καὶ διὰ τὴν ἐμὴν παρουσίαν ἐνδεής τις γενήσεται τῶν ἀναγκαίων. ὑπὲρ ὧν ἐπαίνου τυγχάνειν ἄξιος ἦν μᾶλλον ἢ διαβολῆς. νῦν δ᾽ εἰς πολλὴν ἀπορίαν καθέστηκα, τί δρῶν ἀρέσαι δυνηθείην ἂν τοῖς τοιούτοις. εἰ γὰρ ἅπαντα τὸν χρόνον ἔργον ποιούμενος ὅπως μηδένα μήτ᾽ ἀδικήσω μήτ᾽ ἐνοχλήσω μήτε λυπήσω, δι᾽ αὐτὰ ταῦτα λυπῶ
83 τινάς, τί ποιῶν ἂν χαριζοίμην; ἢ τί λοιπόν ἐστι πλὴν ἐμὲ μὲν ἀτυχῆ, τοὺς δε τοιούτους ἀμαθεῖς δοκεῖν εἶναι καὶ δυσκόλους τοῖς συμπολιτευομένοις.

κς΄. * θ΄. Πρὸς μὲν οὖν τοὺς μηδὲν τῶν αὐτῶν τοῖς ἄλ-

Μήτε κληροῦσθαι] Idem ait in Epist. A. ad Phil. §. ς΄. et Epist. H. ad Mityl. Mag. §. ι΄. A. Maius.

Ταῦτα γὰρ συνεταξάμην] Confer hunc locum cum simili in Panath. §. η΄. Idem.

λοις γιγνώσκοντας, ἀλλὰ χαλεπωτέρους ὄντας τοῖς μὴ
κακῶς πράττουσιν ἢ τοῖς ἀδικοῦσι, μωρόν ἐστιν ἀπολογίαν
ζητεῖν· ὅσῳ γὰρ ἄν τις ἐπιεικέστερον αὑτὸν ἐπιδείξῃ, δῆλον
ὅτι τοσούτῳ χεῖρον ἀγωνιεῖται παρ' αὐτοῖς· πρὸς δὲ τοὺς
ἄλλους, περὶ ὧν Λυσίμαχος διέβαλεν, ὡς παμπληθῆ κε-
κτήμεθα τὴν οὐσίαν, ἀναγκαῖόν ἐστιν εἰπεῖν, ἵνα μὴ πιστευ-
θεὶς ὁ λόγος εἰς μείζους καὶ πλείους ἡμᾶς ἐμβάλῃ λειτουρ-
γίας ὧν ὑπενεγκεῖν ἂν δυνηθεῖμεν. ὅλως μὲν οὖν οὐδεὶς
εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα
συλλεξάμενος, ἀλλ' οἱ μὲν ἐν ὀλίγοις οἱ δ' ἐν πάνυ μετρίοις
τὸν βίον διαγαγόντες· ὁ δὲ πλεῖστα κτησάμενος ὧν ἡμεῖς
μνημονεύομεν, Γοργίας ὁ Λεοντῖνος, οὗτος διατρίψας μὲν
περὶ Θετταλίαν, ὅτ' εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν,
πλεῖστον δὲ χρόνον βιοὺς καὶ περὶ τὸν χρηματισμὸν τοῦ-
τον γενόμενος, πόλιν δ' οὐδεμίαν καταπαγίως οἰκήσας
οὐδὲ περὶ τὰ κοινὰ δαπανηθεὶς οὐδ' εἰσφορὰν εἰσενεγκεῖν
ἀναγκασθεὶς, ἔτι δὲ πρὸς τούτοις οὔτε γυναῖκα γήμας οὔτε
παῖδας ποιησάμενος, ἀλλ' ἀτελὴς γενόμενος καὶ ταύτης τῆς
λειτουργίας τῆς ἐνδελεχεστάτης καὶ πολυτελεστάτης, το- 84
σοῦτον προλαβὼν πρὸς τὸ πλείω κτήσασθαι τῶν ἄλλων,
χιλίους μόνους στατῆρας κατέλιπε. καί τοι χρὴ περὶ τῆς
οὐσίας τῆς ἀλλήλων μὴ τοῖς αἰτιωμένοις εἰκῇ πιστεύειν, μηδὲ
τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τῶν σοφιστῶν καὶ τὰς τῶν
ὑποκριτῶν, ἀλλὰ τοὺς ἐν ταῖς αὐταῖς τέχναις ὄντας πρὸς ἀλ-
λήλους κρίνειν, καὶ τοὺς ὁμοίαν ἐν ἑκάστῃ δύναμιν λαβόντας
παραπλησίαν καὶ τὴν οὐσίαν ἔχειν νομίζειν. ἢν οὖν ἐξισώσητέ
με τῷ πλεῖστον ἐξειργασμένῳ καὶ θῆτε πρὸς ἐκεῖνον, οὔθ'
ὑμεῖς παντάπασιν ἀσκέπτως εἰκάζειν δόξετε περὶ τῶν
τοιούτων, οὔθ' ἡμεῖς εὑρεθεῖμεν ἂν οὔτε τὰ περὶ τὴν πόλιν
οὔτε τὰ περὶ ἡμᾶς αὐτοὺς κακῶς διῳκηκότες, ἀλλ' ἀπ'
ἐλαττόνων ζῶντες ὧν εἰς τὰς λειτουργίας ἀνηλώκαμεν. καί

Περὶ Θετταλίαν] Ipse Isocrates adolescens audivit Gorgiam senem in Thessalia, teste Cicerone Orator. c. 52. IDEM.

Στρατῆρας] Ne Gorgiæ lucra tenuissima putem, censeo omnino non de argenteo sed de aureo statere hic agi, qui appendebat duas drachmas et valebat viginti. (Vide Eckhel Doctr. Num. Vet. t. I. p. 42.) Plures stateres aurei philippici exstant in regio Museo nummario Mediolanensi, ubi initis rationibus apparuit M. aureos stateres valere hodie circiter aureos venetos MMCCCLXIV. De divitiis a Gorgia collectis testatur etiam Plato Hipp. Maj. §. 4. A. MAIUS.

Τῶν ὑποκριτῶν] Magna fuisse histrionum apud Græcos lucra patet etiam ex Plutarcho, qui narrat in Vit. Demosth. inter Vit. X. Orat. ad fin. Polum histrionem biduo talentum lucratum esse. A. MAIUS.

τοι τοὺς εὐτελεστέρους ἐν τοῖς ἰδίοις ἢ τοῖς κοινοῖς ὄντας δίκαιόν ἐστιν ἐπαινεῖν.

κς΄. * ί. Ἐνθυμοῦμαι δὲ μεταξὺ λέγων, ὅσον τὰ τῆς πόλεως μεταπέπτωκε, καὶ τὰς διανοίας ὡς οὐδὲν ὁμοίας περὶ τῶν πραγμάτων οἱ νῦν τοῖς πρότερον πεπολιτευμένοις ἔχουσιν. ὅτε μὲν γὰρ ἐγὼ παῖς ἦν, οὕτως ἐνομίζετο τὸ πλουτεῖν ἀσφαλὲς εἶναι καὶ σεμνὸν ὥστ᾽ ὀλίγου δεῖν πάντες προσεποιοῦντο πλείω κεκτῆσθαι τὴν οὐσίαν ἧς ἔχοντες ἐτύγχανον, βουλόμενοι μετασχεῖν τῆς δόξης ταύτης· νῦν
85 δ᾽ ὑπὲρ τοῦ μὴ πλουτεῖν ὥσπερ τῶν μεγίστων ἀδικημάτων ἀπολογίαν δεῖ παρασκευάζεσθαι, καὶ σκοπεῖν εἰ μέλλει τις σωθήσεσθαι. πολὺ γὰρ δεινότερον καθέστηκε τὸ δοκεῖν εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν· οἱ μὲν γὰρ ἢ συγγνώμης ἔτυχον ἢ μικροῖς ἐζημιώθησαν, οἱ δ᾽ ἄρδην ἀπόλλυνται, καὶ πλείους ἂν εὕροιμεν τοὺς ἐκ τῶν ὄντων ἐκπεπτωκότας ἢ τοὺς δίκην ὑπὲρ τῶν ἁμαρτημάτων δεδωκότας. καὶ τί δεῖ λέγειν περὶ τῶν κοινῶν; αὐτὸς γὰρ οὐ μικρὸν διήμαρτον διὰ ταύτην τὴν μεταβολὴν τῶν ἐμαυτοῦ πραγμάτων. ὅτε γὰρ ἐπαμύνειν ἠρχόμην τοῖς ἰδίοις, ἀπολομένων ἐν τῷ πολέμῳ τῷ πρὸς Λακεδαιμονίους ἁπάντων τῶν ὑπαρχόντων ἡμῖν, ἀφ᾽ ὧν ὁ πατὴρ ἅμα τῇ τε πόλει χρήσιμον αὑτὸν παρεῖχεν, ἡμᾶς θ᾽ οὕτως ἐπιμελῶς ἐπαίδευσεν ὥστ᾽ ἐπιφανέστερον εἶναί με τότε καὶ γνωριμώτερον ἐν τοῖς ἡλικιώταις καὶ συμπαιδευομένοις ἢ νῦν ἐν τοῖς συμπολιτευομένοις, ὅτε δ᾽ οὖν, ὥσπερ εἶπον, ἠρχόμην πλησιάζειν τισὶν, ᾠόμην, εἰ δυνηθείην πλείω κτήσασθαι καὶ περιποιήσασθαι τῶν ἐπὶ τὸν αὐτὸν βίον ὁρμησάντων, ἀμφότερα δόξειν, καὶ περὶ τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον βεβιωκέναι τῶν ἄλλων. ἐμοὶ δὲ τοὐναντίον ἀποβέβηκεν. εἰ μὲν γὰρ μήτ᾽ ἄξιος μηδενὸς ἐγενόμην μήτε περιεποιησάμην μηδὲν, οὐδεὶς ἄν μοι πράγματα παρεῖχεν, ἀλλὰ
86 φανερῶς ἀδικῶν ἀσφαλῶς ἂν ἔζων ἕνεκά γε τῶν συκοφαντῶν· νῦν δ᾽, ἀντὶ τῆς δόξης ἧς προσεδόκων, ἀγῶνες περὶ ἐμὲ καὶ κίνδυνοι καὶ φθόνοι καὶ διαβολαὶ γεγόνασιν. οὕτω γὰρ ἡ πόλις ἐν τῷ παρόντι χαίρει τοὺς μὲν ἐπιεικεῖς πιέζουσα

Ἁμαρτημάτων] Elegantior forte lectio Cod. Laur. ἡμαρτημένων. Orell.

Ἀπολομένων κ. τ. λ.] Hoc confirmat Plutarchus in Vita Isocratis §. γ΄. A. Maius.

καὶ ταπεινοὺς ποιοῦσα, τοῖς δὲ πονηροῖς ἐξουσίαν διδοῦσα
καὶ λέγειν καὶ ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ὥςτε Λυσίμαχος
μὲν ὁ προῃρημένος ζῆν ἐκ τοῦ συκοφαντεῖν καὶ κακῶς ἀεί
τινα ποιεῖν τῶν πολιτῶν κατηγορήσων ἡμῶν ἀναβέβηκεν,
ἐγὼ δ' ὃς οὐδὲ περὶ ἕνα πώποτ' ἐξήμαρτον, ἀλλὰ τῶν μὲν
ἐνθένδε λημμάτων ἀπεσχόμην, παρὰ ξένων δὲ καὶ νομιζόν-
των εὖ πάσχειν ἐπορισάμην τὰς ὠφελίας, ὡς δεινὰ ποιῶν
εἰς τηλικουτονὶ καθέστηκα κίνδυνον. καί τοι προσῆκε τοὺς
εὐφρονοῦντας εὔχεσθαι τοῖς θεοῖς ὡς πλείστοις τῶν πολιτῶν
παραγενέσθαι τὴν δύναμιν ταύτην, δι' ἣν ἔμελλον παρ' ἑτέ-
ρων λαμβάνοντες χρησίμους αὐτοὺς, ὥςπερ ἐγὼ, τῇ πόλει
παρέξειν. πολλῆς δ' ἀλογίας περὶ ἐμὲ γεγενημένης πάντων
ἂν συμβαίη δεινότατον, εἰ οἱ μὲν δεδωκότες μοι χρήματα
τοσαύτην ἔχοιεν χάριν, ὥςτε ἔτι καὶ νῦν με θεραπεύειν·
ὑμεῖς δὲ, εἰς οὓς ἀνήλωκα τἀμαυτοῦ, δίκην ἐπιθυμήσαιτε
παρ' ἐμοῦ λαβεῖν. ἔτι δὲ δεινότερον, εἰ Πίνδαρον μὲν τὸν
ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι
τὴν πόλιν Ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμη- 87
σαν ὥςτε καὶ πρόξενον ποιήσασθαι καὶ δωρεὰν μυρίας αὐτῷ
δοῦναι δραχμὰς, ἐμοὶ δὲ πολὺ πλείω καὶ κάλλιον ἐγκεκω-
μιακότι καὶ τὴν πόλιν καὶ τοὺς προγόνους μηδ' ἀσφαλῶς
ἐγγένοιτο ἐπιβιῶναι τὸν ἐπίλοιπον χρόνον. περὶ μὲν οὖν
τούτων καὶ τῶν ἄλλων τῶν κατηγορηθέντων ἱκανὴν εἶναι
νομίζω τὴν εἰρημένην ἀπολογίαν.

κϛ'. * ια'. Οὐκ ὀκνήσω δὲ πρὸς ὑμᾶς οὐθ' ὡς ἔχω νῦν

Ἀπεσχόμην] Confirmat Plutarchus in Isocr. Vit. Isocratem a nullo unquam cive mercedem exegisse. IDEM.

Ἔρεισμα τῆς Ἑλλ.] Confer Æschinem epist. Δ. qui illius Pindarici cautici, ubi hæc laus Athenarum fuit, nobis aliqua verba conservavit, nempe αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα Ἀθᾶναι. Narrat autem Æschines Pindarum ob hanc laudem mulctatum esse pecunia a Thebanis Atheniensium odio, quam ei duplam Athenienses rependerunt. Vide etiam Pausaniam l. i. c. 8. Paulo aliter citavit hunc locum Scholiastes ad Aristoph. Nub. 298. ἔρεισμα κλειναὶ Ἀθῆναι. Rem autem minus fideliter narrare videtur Thom. Magister in Vita Pindari, nempe hunc a Thebanis mulctatum, quia scripserat μεγαλοπόλιες Ἀθᾶναι, quod nimirum est initum Odæ vii. Pyth. IDEM.

πρόξενον] Proxenus, saltem publicus, is erat qui peregrinos nomine totius civitatis hospitio excipiebat, publica auctoritate ad id munus electus. Vide saltem Eustath, in Il. Δ. p. 485. ed. Rom. Proxeni etiam in alienis civitatibus deligebantur, ut hi nimirum ibi legatos aut peregrinos ejus urbis, cujus erant Proxeni, domi sua reciperent operaque juvarent, atque adeo ejusdem urbis negotia procurarent. Vide Polluc. l. iii. §. 59. Athen. l. xiii. p. 603. Demosth. in Callipp. §. γ'. atque hoc modo Athenienses suum Proxenum Pindarum fecerunt. Plura de Proxenis si vis cognoscere, lege Voyage d'Anach. t. iv. p. 46—7. Vide denique Decreta quatuor Corcyræorum, quibus creantur Proxeni, apud Cl. Mustoxidum Illustr. Corcyr. p. 188. sqq. IDEM.

πρὸς τὸν ἐνεστῶτα κίνδυνον κατειπεῖν τὴν ἀλήθειαν, οὔθ'
ὡς τὸ πρῶτον διετέθην πρὸς αὐτόν. ἐγὼ γὰρ ὑπὲρ μὲν τῶν
ἰδίων πολλὰς ἐλπίδας εἶχον καλῶς ἀγωνιεῖσθαι· καὶ γὰρ
τοῖς βεβιωμένοις καὶ τοῖς πεπραγμένοις ἐπίστευον, καὶ
πολλοὺς λόγους καὶ δικαίους ᾤμην ἔχειν ὑπὲρ αὐτῶν· ὁρῶν
δ' οὐ μόνον δυσκόλως διακειμένους περὶ τὴν τῶν λόγων παι-
δείαν τοὺς εἰθισμένους ἅπασι χαλεπαίνειν, ἀλλὰ καὶ τῶν
ἄλλων πολιτῶν πολλοὺς τραχέως πρὸς αὐτὴν διακειμένους,
ἐφοβούμην μὴ τὰ μὲν ἴδιά μου παραμεληθῇ, τῆς δὲ κοινῆς
καὶ τῆς περὶ τοὺς σοφιστὰς διαβολῆς ἀπολαύσω τι φλαῦ-
ρον. ἐπειδὴ δὲ χρόνων ἐγγιγνομένων εἰσέπεσον εἰς τὸ λογί-
ζεσθαι καὶ σκοπεῖν τί χρήσωμαι τοῖς παροῦσιν, ἐπαυσά-
μην τοῦ δέους καὶ τῆς ταραχῆς ταύτης, οὐκ ἀλόγως, ἀλλ'
ἐκ τῶν εἰκότων λογισάμενος καὶ παραμυθησάμενος ἐμαυ-
τόν· τούς τε γὰρ ἐπιεικεῖς ὑμῶν, πρὸς οὕς περ ἐγὼ ποιήσο-
88 μαι τοὺς λόγους, ἠπιστάμην οὐκ ἐμμένοντας ταῖς δόξαις
ταῖς ἀδίκως ἐγγεγενημέναις, ἀλλ' ἐπακολουθοῦντας ταῖς
ἀληθείαις καὶ μεταπειθομένους ὑπὸ τῶν λεγόντων τὰ
δίκαια, τήν τε φιλοσοφίαν ἐκ πολλῶν ἐνόμιζον ἐπιδείξειν
ἀδίκως διαβεβλημένην, καὶ πολὺ ἂν δικαιοτέρως ἀγαπωμέ-
νην αὐτὴν ἢ μισουμένην. ἔχω δὲ καὶ νῦν ἔτι ταύτην τὴν
γνώμην. οὐκ ἄξιον δὲ θαυμάζειν εἴ τι τῶν καλῶν ἐπιτηδευ-
μάτων ἠγνόηται καὶ διαλέληθεν, οὐδ' εἰ διεψευσμένοι τινὲς
αὐτοῦ τυγχάνουσι· καὶ γὰρ περὶ ἡμῶν αὐτῶν καὶ περὶ ἄλ-
λων πραγμάτων ἀναριθμήτων οὕτως ἔχοντες ἂν εὑρεθεῖμεν.
ἡ γὰρ πόλις ἡμῶν πολλῶν ἀγαθῶν αἰτία καὶ νῦν οὖσα
καὶ πρότερον γεγενημένη καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις
Ἕλλησι, καὶ πολλῶν ἡδονῶν γέμουσα, τοῦτ' ἔχει δυσκολώ-
τατον· διὰ γὰρ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἐνοικούντων
οὐκ εὐσύνοπτός ἐστιν οὐδ' ἀκριβής, ἀλλ' ὥσπερ χειμάρρους,
ὅπως ἂν ἕκαστον ὑπολαβοῦσα τύχῃ καὶ τῶν ἀνθρώπων καὶ
τῶν πραγμάτων, οὕτω κατήνεγκε, καὶ δόξαν ἐνίοις τὴν ἐναν-
τίαν τῆς προσηκούσης περιέθηκεν· ὅπερ καὶ τῇ παιδείᾳ ταύ-
τῃ συμβέβηκεν. ὧν ἐνθυμουμένους χρὴ μηδενὸς πράγματος
ἄνευ λόγου καταγιγνώσκειν, μηδ' ὁμοίως διακεῖσθαι δικά-
ζοντας ὥσπερ ἐν ταῖς ἰδίαις διατριβαῖς, ἀλλὰ διακριβοῦσθαι
89 περὶ ἑκάστου καὶ τὴν ἀλήθειαν ζητεῖν, μεμνημένους τῶν ὅρκων

καὶ τῶν νόμων, καθ' οὓς συνεληλύθατε δικάσοντες. ἔστι δ' οὐ περὶ μικρῶν οὔθ' ὁ λόγος οὔθ' ἡ κρίσις ἐν ᾗ καθέσταμεν, ἀλλὰ περὶ τῶν μεγίστων· οὐ γὰρ περὶ ἐμοῦ μέλλετε μόνον τὴν ψῆφον διοίσειν, ἀλλὰ καὶ περὶ ἐπιτηδεύματος ᾧ πολλοὶ τῶν νεωτέρων προσέχουσι τὸν νοῦν. οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τὰ πράγματα τῆς πόλεως τοῖς ἐπιγιγνομένοις καὶ τοῖς τηλικούτοις οἱ πρεσβύτεροι παραδιδόασι. τοιαύτης οὖν ἀεὶ τῆς περιόδου γιγνομένης ἀναγκαῖόν ἐστιν, ὅπως ἂν οἱ νεώτεροι παιδευθῶσιν, οὕτω τὴν πόλιν πράττουσαν διατελεῖν· ὥστ' οὐ ποιητέον τοὺς συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ' ὧν δ' ἂν λάβωσιν ἐατέον ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ἀλλ' εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον κολάζειν ὃν ἂν γράψηταί τις τούτων, ἀλλὰ πάντας ἐκποδὼν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ' ὠφελεῖν καὶ βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλέονος ἀξίους, τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς δὲ συκοφαντοῦντας ἀτιμητέον, τοῖς δὲ νεωτέροις συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς ἄλλοις ἐπιτηδεύμασι. 90

κϛ'.* ιβ'. Πρὸ πολλῶν δ' ἂν ἐποιησάμην, εἴπερ ἦν εἱμαρμένον μοι φεύγειν τὴν γραφὴν ταύτην, ἀκμάζοντί μοι προσπεσεῖν τὸν κίνδυνον· οὐ γὰρ ἂν ἠθύμουν, ἀλλὰ μᾶλλον οἷός τ' ἂν ἐγενόμην καὶ τὸν κατήγορον ἀμύνασθαι καὶ τῇ φιλοσοφίᾳ βοηθῆσαι· νῦν δὲ φοβοῦμαι μὴ διὰ ταύτην ὑπὲρ ἄλλων πραγμάτων ἐπιεικῶς εἰρηκώς, περὶ αὐτῆς ταύτης χεῖρον τύχω διαλεχθεὶς ἢ περὶ ὧν ἧττόν μοι σπουδάσαι προσῆκε. καίτοι δεξαίμην ἂν — εἰρήσεται γὰρ τἀληθές, εἰ καὶ μωρὸς ὁ λόγος ἐστὶν — ἤδη τελευτῆσαι τὸν βίον ἀξίως εἰπὼν τῆς ὑποθέσεως καὶ πείσας ὑμᾶς τοιαύτην νομίζειν τὴν τῶν λόγων μελέτην οἵαπερ ἐστί, μᾶλλον ἢ ζῆν πολυπλασίω χρόνον ἐφορῶν οὕτως αὐτὴν ὥσπερ νῦν παρ' ὑμῖν φερομένην. τῆς μὲν οὖν ἐπιθυμίας οἶδ' ὅτι πολὺ καταδεέστερον ἐροῦμεν· ὅμως δ' ὅπως ἂν δύνωμαι, πειράσομαι διελθεῖν τήν τε φύσιν αὐτῆς καὶ τὴν δύναμιν ἣν ἔχει, καὶ ποίᾳ τῶν ἄλλων τεχνῶν ὁμοιοειδής ἐστι, καὶ τί τοὺς συν-

όντας ὠφελεῖ, καὶ ποίας τινὰς ποιούμεθα ἡμεῖς τὰς ὑποσχέσεις· οἶμαι γὰρ ὑμᾶς μαθόντας τὴν ἀλήθειαν ἄμεινον καὶ βουλεύσεσθαι καὶ διαγνώσεσθαι περὶ αὐτῆς. ἀξιῶ δ' ὑμᾶς, ἢν ἄρα φαίνωμαι λόγους διεξιὼν πολὺ τῶν εἰθισμένων λέγεσθαι παρ' ὑμῖν ἐξηλλαγμένους, μὴ δυσχεραίνειν ἀλλ' ἔχειν συγγνώμην, ἐνθυμουμένους ὅτι τοὺς περὶ πρα-
91 γμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι περὶ αὐτῶν. ὑπομείναντες οὖν τὸν τρόπον τῶν λεγομένων καὶ τὴν παῤῥησίαν, καὶ τὸν χρόνον ἐάσαντες ἀναλῶσαί με τὸν δεδομένον ταῖς ἀπολογίαις, ὅπως ἂν ὑμῶν ἑκάστῳ δοκῇ δίκαιον εἶναι καὶ νόμιμον, οὕτω φέρετε τὴν ψῆφον.

κϛ'.* ιγ'. Βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας ὥσπερ οἱ γενεαλογοῦντες πρῶτον διελθεῖν πρὸς ὑμᾶς. ὁμολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδείς ἐστιν ὅστις οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλέονος ἀξίαν· τῆς μὲν γὰρ ἔργον εἶναι βουλεύσασθαι καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν, τοῦ δὲ σώματος ὑπηρετῆσαι τοῖς ὑπὸ τῆς ψυχῆς γνωσθεῖσιν. οὕτω δὲ τούτων ἐχόντων ὁρῶντές τινες τῶν πολὺ πρὸ ἡμῶν γεγονότων περὶ μὲν τῶν ἄλλων πολλὰς τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν οὐδὲν τοιοῦτον συντεταγμένον, εὑρόντες διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν· περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν, ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν, περὶ ἧς ἐγὼ μέλλω ποιεῖσθαι τοὺς λόγους, ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς
92 ὁμολογουμένας, δι' ὧν οἱ προεστῶτες αὐτῶν τάς τε ψυχὰς φρονιμωτέρας καὶ τὰ σώματα χρησιμώτερα παρασκευάζουσιν, οὐ πολὺ διαστησάμενοι τὰς παιδείας ἀπ' ἀλλήλων, ἀλλὰ παραπλησίαις χρώμενοι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς γυμνασίαις καὶ ταῖς ἄλλαις ἐπιμελείαις. ἐπειδὰν γὰρ

Τὴν φιλοσοφίαν] Philosophiæ vocabulum in hac oratione, et sæpe alibi apud Isocratem, significat plerumque *studium* aut *scientiam recte sentiendi et dicendi*. Nam, ut inquit Cicero de Orat. iii. c. 15. "Cogitandi pronuntiandique rationem vimque dicendi, veteres Græci sapientiam (φιλοσοφίαν) nominabant." Et c. 16. "Quod omnis rerum optimarum cognitio, atque in iis exercitatio, philosophia nominaretur." A. Maius.

Ὁμολογουμένους] Leg. ὁμολογουμένας. A. Maius. Orell.

λάβωσι μαθητὰς, οἱ μὲν παιδοτρίβαι τὰ σχήματα τὰ πρὸς τὴν ἀγωνίαν εὑρημένα τοὺς φοιτῶντας διδάσκουσιν, οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος, διεξέρχονται τοῖς μαθηταῖς. ἐμπείρους δὲ τούτων ποιήσαντες καὶ διακριβώσαντες ἐν τούτοις πάλιν γυμνάζουσιν αὐτοὺς, καὶ πονεῖν ἐθίζουσι, καὶ συνείρειν καθ᾽ ἓν ἕκαστον ὧν ἔμαθον ἀναγκάζουσιν, ἵνα ταῦτα βεβαιότερον κατάσχωσι καὶ τῶν καιρῶν ἐγγυτέρω ταῖς δοξαις γένωνται. τῷ μὲν γὰρ εἰδέναι περιλαβεῖν αὐτοὺς οὐχ οἷόν τ᾽ ἐστίν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων διαφεύγουσι τὰς ἐπιστήμας, οἱ δὲ μάλιστα προσέχοντες τὸν νοῦν καὶ δυνάμενοι θεωρεῖν τὸ συμβαῖνον ὡς ἐπὶ τὸ πολὺ πλειστάκις αὐτῶν τυγχάνουσι. τοῦτον δὲ τὸν τρόπον ἐπιμελόμενοι καὶ παιδεύοντες μέχρι μὲν τοῦ γενέσθαι βελτίους αὐτοὺς αὐτῶν τοὺς μαθητὰς καὶ ἔχειν ἄμεινον τοὺς μὲν τὰς διανοίας τοὺς δὲ τὰς τῶν σωμάτων ἕξεις, ἀμφότεροι δύνανται προαγαγεῖν· ἐκείνην δὲ τὴν ἐπιστήμην οὐδέτεροι τυγχάνουσιν ἔχοντες, δι᾽ ἧς ἂν οἱ μὲν ἀθλητὰς οὓς βουληθεῖεν, 93
οἱ δὲ ῥήτορας ἱκανοὺς ποιήσαιεν, ἀλλὰ μέρος μὲν ἄν τι συμβάλοιντο, τὸ δ᾽ ὅλον αἱ δυνάμεις αὗται παραγίγνονται τοῖς καὶ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις διενεγκοῦσιν. ὁ μὲν οὖν τύπος τῆς φιλοσοφίας τοιοῦτός τίς ἐστιν.

κϛʹ.* ιδʹ. Ἡγοῦμαι δ᾽ ὑμᾶς μᾶλλον ἂν ἔτι καταμαθεῖν τὴν δύναμιν αὐτῆς, εἰ διέλθοιμι τὰς ὑποσχέσεις ἃς ποιούμεθα πρὸς τοὺς πλησιάζειν ἡμῖν βουλομένους. λέγομεν γὰρ, ὡς δεῖ τοὺς μέλλοντας διοίσειν ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις ἢ περὶ τὰς ἄλλας ἐργασίας πρῶτον μὲν πρὸς τοῦτο πεφυκέναι καλῶς, πρὸς ὃ ἂν προῃρημένοι τυγχάνωσιν, ἔπειτα παιδευθῆναι καὶ λαβεῖν τὴν ἐπιστήμην, ἥτις ἂν ᾖ περὶ ἑκάστου, τρίτον ἐντριβεῖς γενέσθαι καὶ

Τῶν καιρῶν ἐγγυτέρω] Huic loco sane difficili magnam lucem affundit ipse Isocrates Panath. §. ιαʹ. ubi sermo est de hac eadem scientia *opportune agendi*. Vide etiam Orat. ad Philipp. §. ιʹ. A. Maius.

Τύπος τῆς φιλοσοφίας] Τέχνην ῥητορικὴν ab Isocrate conscriptam ut nonnulli veteres auctores testantur (apud Fabricium Bibl. Gr. ed. nov. t. ii. p. 790. cum quibus tamen conferendus Cicero de Invent. l. ii. c. 2.), et ingenti cum literarum damno deperditam, nemo adhuc, quod sciam, e tenebris, sicubi latet, in publicam lucem eduxit. Verum tam multa in hac oratione sunt oratoria præcepta, ut vel partem illius libri huc infusam ab Isocrate arbitrer, vel certe hæc oratio vice illius Rhetoricæ Artis apud nos fungi quodammodo possit. Idem.

Πρὸς ὃ] Præpositionem deletum it Bekerus.

γυμνασθῆναι περὶ τὴν χρείαν καὶ τὴν ἐμπειρίαν αὐτῶν· ἐκ τούτων γὰρ ἐν ἁπάσαις ταῖς ἐργασίαις τελείους γίγνεσθαι καὶ πολὺ διαφέροντας τῶν ἄλλων. εἶναι δὲ τούτων προσῆκον ἑκατέροις, τοῖς τε διδάσκουσι καὶ τοῖς μανθάνουσιν, ἴδιον μὲν τοῖς μὲν εἰσενέγκασθαι τὴν φύσιν οἵαν δεῖ, τοῖς δὲ δύνασθαι παιδεῦσαι τοὺς τοιούτους, κοινὸν δ᾽ ἀμφοτέρων τὸ περὶ τὴν ἐμπειρίαν γυμνάσιον· δεῖν γὰρ τοὺς μὲν ἐπιμελῶς ἐπιστατῆσαι τοῖς παιδευομένοις, τοὺς δ᾽ ἐγκρατῶς ἐμμεῖναι τοῖς προσταττομένοις. ταῦτα μὲν οὖν ἐστὶν, ἃ κατὰ πασῶν λέγομεν τῶν τεχνῶν· εἰ δὲ δή τις ἀφέμενος τῶν
94 ἄλλων ἔροιτό με τί τούτων μεγίστην ἔχει δύναμιν πρὸς τὴν τῶν λόγων παιδείαν, ἀποκριναίμην ἂν ὅτι τὸ τῆς φύσεως ἀνυπέρβλητόν ἐστι καὶ πολὺ πάντων διαφέρει· τὸν γὰρ ἔχοντα τὴν μὲν ψυχὴν εὑρεῖν καὶ μαθεῖν καὶ πονῆσαι καὶ μνημονεῦσαι δυναμένην, τὴν δὲ φωνὴν καὶ τὴν τοῦ στόματος σαφήνειαν τοιαύτην ὥςτε μὴ μόνοις τοῖς λεγομένοις ἀλλὰ καὶ ταῖς τούτων εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούοντας, ἔτι δὲ τὴν τόλμαν μὴ τὴν ἀναισχυντίας σημεῖον γινομένην, ἀλλὰ τὴν μετὰ σωφροσύνης οὕτω παρασκευάζουσαν τὴν ψηχὴν ὥςτε μηδὲν ἧττον θαρρεῖν ἐν δὴ πᾶσι τοῖς πολίταις τοὺς λόγους ποιούμενον ἢ πρὸς αὑτὸν διανοούμενον, τίς οὐκ οἶδεν ὅτι τυχὼν ὁ τοιοῦτος παιδείας μὴ τῆς ἀπηκριβωμένης, ἀλλὰ τῆς ἐπιπολαίου καὶ πᾶσι κοινῆς, τοιοῦτος ἂν εἴη ῥήτωρ οἷος οὐκ οἶδ᾽ εἴ τις τῶν Ἑλλήνων γέγονε; καὶ μὴν δὴ κἀκείνους ἴσμεν τοὺς καταδεεστέραν μὲν τούτων τὴν φύσιν ἔχοντας, ταῖς δ᾽ ἐμπειρίαις καὶ ταῖς ἐπιμελείαις προσέχοντας, ὅτι γίγνονται κρείττους οὐ μόνον αὑτῶν ἀλλὰ καὶ τῶν εὖ μὲν πεφυκότων λίαν δὲ αὑτῶν κατημεληκότων· ὥςθ᾽ ἑκάτερόν τε τούτων δεινὸν ἂν καὶ λέγειν καὶ πράττειν ποιήσειεν, ἀμφότερά τε γενόμενα περὶ τὸν αὐτὸν ἀνυπέρβλητον ἂν τοῖς ἄλλοις ἀποτελέσειε. περὶ μὲν οὖν τῆς φύσεως καὶ τῆς ἐμπειρίας ταῦτα γιγνώσκω·
95 περὶ δὲ τῆς παιδείας οὐκ ἔχω τοιοῦτον λόγον εἰπεῖν, οὔτε παρομοίαν οὔτε παραπλησίαν ἔχει τούτοις τὴν δύναμιν. εἰ γάρ τις διακούσειεν ἅπαντα τὰ περὶ τοὺς λόγους καὶ δια-

Δὲ τούτων προσῆκον] Legendum nunc arbitror: δὲ τούτων προσήκειν. ORELL.

Dederat enim δ᾽ ἐκ τούτων προσῆκεν. Προσέχοντας] Corrige προέχοντας. ORELL.

κριβωθείη μᾶλλον τῶν ἄλλων, λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστὰς τούτου μόνου ἀποστερηθεὶς, τοῦ τολμᾶν, οὐδ᾽ ἂν φθέγξασθαι δυνηθείη.

κϛ΄. * ιέ. Καὶ μηδεὶς οἰέσθω με πρὸς μὲν ὑμᾶς συστέλλειν τὴν ὑπόσχεσιν, ἐπειδὰν δὲ διαλέγωμαι πρὸς τοὺς συνεῖναί μοι βουλομένους, ἅπασαν ὑπ᾽ ἐμαυτῷ ποιεῖσθαι τὴν δύναμιν· φεύγων γὰρ τὰς τοιαύτας αἰτίας, ὅτ᾽ ἠρχόμην περὶ ταύτην εἶναι τὴν πραγματείαν, λόγον διέδωκα γράψας, ἐν ᾧ φανήσομαι τοῖς τε μείζους ποιουμένοις τὰς ὑποσχέσεις ἐπιτιμῶν καὶ τὴν ἐμαυτοῦ γνώμην ἀποφαινόμενος. ἃ μὲν οὖν κατηγορῶ τῶν ἄλλων παραλείψω· καὶ γὰρ ἐστὶ πλείω τοῦ καιροῦ τοῦ παρόντος· ἃ δ᾽ αὐτὸς ἀποφαίνομαι, πειράσομαι διελθεῖν ὑμῖν. ἄρχομαι δ᾽ ἐνθένδε ποθέν·

ΕΚ ΤΟΥ ΚΑΤΑ ΣΟΦΙΣΤΩΝ.

[§. η΄.—§. θ΄.]

Εἰ δὲ δεῖ μὴ μόνον κατηγορεῖν τῶν ἄλλων, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν

* * * * * * *

καθ᾽ ὃ δ᾽ ἂν ἐλλειφθῇ τι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλησιάζοντας.

ταῦτα κομψοτέρως μὲν πέφρασται τῶν ἔμπροσθεν 97
εἰρημένων, βούλεται δὲ ταὐτὰ δηλοῦν ἐκείνοις. ὃ χρὴ μέγιστον ὑμῖν γενέσθαι τεκμήριον τῆς ἐμῆς ἐπιεικείας· οὐ γὰρ, ὅτε μὲν ἦν νεώτερος, ἀλαζονευόμενος φαίνομαι καὶ μεγάλας τὰς ὑποσχέσεις ποιούμενος, ἐπειδὴ δ᾽ ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα, τηνικαῦτα ταπεινὴν ποιῶ τὴν φιλοσοφίαν, ἀλλὰ τοῖς αὐτοῖς λόγοις χρώμενος ἀκμάζων καὶ παυόμενος αὐτῆς, καὶ θαῤῥῶν καὶ κινδυνεύων, καὶ πρὸς τοὺς βουλομένους πλησιάζειν καὶ 98
πρὸς τοὺς μέλλοντας περὶ ἐμοῦ τὴν ψῆφον οἴσειν διατελῶ, ὥστ᾽ οὐκ οἶδ᾽ ὅπως ἄν τις ἀληθέστερος ἢ δικαιότερος περὶ αὐτὴν ἐπιδειχθείη γεγενημένος. ταῦτα μὲν οὖν ἐκείνοις προσκείσθω τοῖς πρότερον περὶ ἡμῶν εἰρημένοις.

κϛ΄. * ιϛ΄. Οὐκ ἀγνοῶ δ᾽ ὅτι τοὺς δυσκόλως διακειμένους οὐδέν πω τῶν εἰρημένων ἱκανόν ἐστιν ἀπαλλάξαι τῆς διανοίας ταύτης, ἀλλὰ πολλῶν ἔτι δέονται λόγων καὶ παντοδαπῶν, εἰ μέλλουσιν ἑτέραν μεταλήψεσθαι δόξαν ἀνθ᾽ ἧς νῦν τυγχάνουσιν ἔχοντες. δεῖ δὴ μηδ᾽ ἡμᾶς προαπειπεῖν διδάσκοντας καὶ λέγοντας, ἐξ ὧν δυοῖν θάτερον [ποιήσο-

Παυόμενος αὐτῆς] Παυόμενος ἀκμῆς conjectat Bekkerus.

μεν] ἢ μεταστήσομεν τὰς γνώμας αὐτῶν, ἢ τὰς βλασφημίας καὶ κατηγορίας αἷς χρῶνται καθ᾽ ἡμῶν ἐξελέγξομεν ψευδεῖς οὔσας. εἰσὶ δὲ διτταί. λέγουσι γὰρ οἱ μὲν ὡς ἔστιν ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός· οὐδεμία γὰρ εὕρηται παιδεία τοιαύτη, δι᾽ ἧς γένοιτό τις ἂν ἢ περὶ τοὺς λόγους δεινότερος ἢ περὶ τὰς πράξεις φρονιμώτερος, ἀλλ᾽ οἱ προέχοντες ἐν τούτοις τῇ φύσει τῶν ἄλλων διαφέρουσιν. οἱ δὲ δεινοτέρους μὲν ὁμολογοῦσιν εἶναι τοὺς περὶ τὴν μελέτην ταύτην ὄντας, οὐ μὴν ἀλλὰ διαφθείρεσθαι καὶ γίγνεσθαι χείρους· ἐπειδὰν γὰρ λάβωσι δύναμιν, τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν. ὡς οὖν οὐδὲν ὑγιὲς οὐδ᾽ ἀλη-
99 θὲς οὐδέτεροι τούτων λέγουσι, πολλὰς ἐλπίδας ἔχω πᾶσι φανερὸν ποιήσειν. πρῶτον δ᾽ ἐνθυμήθητε περὶ τῶν φλυαρίαν φασκόντων εἶναι τὴν παιδείαν, ὡς αὐτοὶ λίαν καταφανῶς ληροῦσι. διασύρουσι μὲν γὰρ αὐτὴν ὡς οὐδὲν ὠφελεῖν δυναμένην ἀλλ᾽ ἀπάτην καὶ φενακισμὸν οὖσαν, ἀξιοῦσι δὲ τοὺς συνόντας ἡμῖν εὐθὺς μὲν προσελθόντας διαφέρειν αὐτοὺς αὑτῶν, ὀλίγας δ᾽ ἡμέρας συνδιατρίψαντας σοφωτέρους ἐν τοῖς λόγοις καὶ κρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις προεχόντων, ἐνιαυτὸν δὲ μόνον παραμείναντας ῥήτορας ἅπαντας ἀγαθοὺς εἶναι καὶ τελέους καὶ μηδὲν φαυλοτέρους τοὺς ἀμελεῖς τῶν πονεῖν ἐθελόντων μηδὲ τοὺς ἀφυεῖς τῶν τὰς ψυχὰς ἀνδρικὰς ἐχόντων. καὶ ταῦτα προστάττουσιν οὔθ᾽ ἡμῶν ἀκηκοότες τοιαύτας ποιουμένων τὰς ὑποσχέσεις, οὔτ᾽ ἐν ταῖς ἄλλαις τέχναις καὶ παιδείαις οὐδὲν ἑωρακότες τούτων συμβαῖνον, ἀλλὰ μόλις μὲν ἡμῖν τὰς ἐπιστήμας παραγιγνομένας, οὐχ ὁμοίως δ᾽ ἀλλήλοις ὅ τι ἂν μάθωμεν ἐξεργαζομένους, ἀλλὰ δύο μὲν ἢ τρεῖς ἐξ ἁπάντων τῶν διδασκαλείων ἀγωνιστὰς γιγνομένους, τοὺς δ᾽ ἄλλους ἐξ αὐτῶν ἰδιώτας ἀπαλλαττομένους. καί τοι πῶς οὐκ ἄφρονας εἶναι χρὴ νομίζειν τοὺς τὰς δυνάμεις τὰς ἐν ταῖς ὁμολογουμέναις τῶν τεχνῶν οὐκ ἐνούσας, ταύτας ἀπαιτεῖν τολμῶντας παρὰ ταύτης ἣν οὐκ εἶναι φασὶ, καὶ πλείους τὰς ὠφελίας ἀξιοῦντας γίγνεσθαι
100 παρὰ τῆς ἀπιστουμένης ὑφ᾽ αὑτῶν ἢ παρὰ τῶν ἀκριβῶς εὑρῆσθαι δοκουσῶν; χρὴ δὲ τοὺς νοῦν ἔχοντας οὐκ ἀνωμάλως ποιεῖσθαι τὰς κρίσεις περὶ τῶν ὁμοίων πραγμάτων,

Ἑωρακότες τοῦτο] Ἑωρακότες τοιοῦτο. ORELL.

οὐδ᾽ ἀποδοκιμάζειν τὴν παιδείαν τὴν ταὐτὰ ταῖς πλεί-
σταις τῶν τεχνῶν ἀπεργαζομένην. τίς γὰρ οὐκ οἶδεν ὑμῶν
πολλοὺς τῶν ὑπὸ τοῖς σοφισταῖς γενομένων οὐ φενακισθέν-
τας οὐδ᾽ οὕτως διατεθέντας ὡς οὗτοι λέγουσιν, ἀλλὰ τοὺς
μὲν αὐτῶν ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας, τοὺς δὲ
παιδεύειν ἑτέρους δυνηθέντας, ὅσοι δὲ αὐτῶν ἰδιωτεύειν ἐβου-
λήθησαν, ἔν τε ταῖς ὁμιλίαις χαριεστέρους ὄντας ἢ πρό-
τερον ἦσαν, τῶν τε λόγων κριτὰς καὶ συμβούλους ἀκριβε-
στέρους τῶν πλείστων γεγενημένους; ὥστε πῶς χρὴ τῆς
τοιαύτης διατριβῆς καταφρονεῖν τῆς τοὺς κεχρημένους αὐτῇ
τοιούτους παρασκευάζειν δυναμένης; ἀλλὰ μὴν καὶ τόδε
πάντες ἂν ὁμολογήσαιεν, ὅτι τούτους τεχνικωτάτους εἶναι
νομίζομεν ἀπὸ πασῶν τῶν τεχνῶν καὶ χειρουργιῶν, οἵτινες
ἂν τοὺς μαθητὰς ὡς οἷόν θ᾽ ὁμοιοτάτους ἐργάτας ἀλλήλοις
ἀποδείξωσι. τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο
συμβεβηκός. ὅσοι γὰρ ἡγεμόνος ἔτυχον ἀληθινοῦ καὶ νοῦν
ἔχοντος, εὑρεθεῖεν ἂν ἐν τοῖς λόγοις οὕτως ὁμοίαν τὴν δύνα-
μιν ἔχοντες ὥστε πᾶσιν εἶναι φανερὸν ὅτι τῆς αὐτῆς παι-
δείας μετεσχήκασι. καίτοι μηδενὸς ἔθους αὐτοῖς ἐγγενομέ-
νου κοινοῦ μηδὲ διατριβῆς τεχνικῆς ὑπαρξάσης οὐκ ἔστιν 101
ὅπως ἂν εἰς τὴν ὁμοιότητα ταύτην κατέστησαν. ἔτι τοίνυν
ὑμῶν αὐτῶν οὐδείς ἐστιν ὅστις οὐκ ἂν εἰπεῖν ἔχοι πολλοὺς
τῶν συμπαιδευθέντων, οἳ παῖδες μὲν ὄντες ἀμαθέστατοι
τῶν ἡλικιωτῶν ἔδοξαν εἶναι, πρεσβύτεροι δὲ γενόμενοι πλέον
διήνεγκαν πρὸς τὸ φρονεῖν καὶ λέγειν τῶν αὐτῶν τούτων ὧν
παῖδες ὄντες ἀπελείφθησαν. ὅθεν μάλιστ᾽ ἄν τις γνοίη
τὴν ἐπιμέλειαν ὅσην ἔχει δύναμιν· δῆλον γὰρ ὅτι τότε μὲν
ἅπαντες τοιαύταις ἐχρῶντο ταῖς διανοίαις οἵας περ ἐξ
ἀρχῆς ἔφυσαν ἔχοντες, ἄνδρες δὲ γενόμενοι τούτων διή-
νεγκαν καὶ μετήλλαξαν τὴν φρόνησιν τῷ τοὺς μὲν ἐκ-
κεχυμένως ζῆν καὶ ῥᾳθύμως, τοὺς δὲ τοῖς τε πράγμασι
καὶ σφίσιν αὐτοῖς προσέχειν τὸν νοῦν. ὅπου δὲ καὶ διὰ
τὰς αὐτῶν ἐπιμέλειας γίγνονταί τινες βελτίους, πῶς
οὐκ ἂν οὗτοι λαβόντες ἐπιστάτην καὶ πρεσβύτερον καὶ
πολλῶν πραγμάτων ἔμπειρον, καὶ τὰ μὲν παρειληφότα,
τὰ δ᾽ αὐτὸν εὑρηκότα, πολὺ ἂν ἐπὶ πλεῖον καὶ σφῶν αὐ-

Τὰ δ᾽ αὐτῶν] Pro αὐτῶν scriberetur αὐτὸν melius, non tamen necessario. A.

τῶν καὶ τῶν ἄλλων διήνεγκαν; οὐ μόνον δ' ἐκ τούτων,
ἀλλὰ καὶ τῶν λοιπῶν εἰκότως ἂν ἅπαντες τὴν ἄγνοιαν
θαυμάσειαν τῶν τολμώντων οὕτως εἰκῇ καταφρονεῖν τῆς
φιλοσοφίας, πρῶτον μὲν εἰ πάσας τὰς πράξεις καὶ τὰς
τέχνας εἰδότες ταῖς μελέταις καὶ ταῖς φιλοπονίαις ἁλισκο-
102 μένας πρὸς τὴν τῆς φρονήσεως ἄσκησιν ταῦτα μηδεμίαν
ἡγοῦνται δύναμιν ἔχειν, ἔπειτ' εἰ τῶν μὲν σωμάτων μηδὲν
οὕτως ἂν φήσαιεν εἶναι φαῦλον, ὅτι γυμνασθὲν καὶ πονῆσαν
οὐκ ἂν εἴη βέλτιον, τὰς δὲ ψυχὰς τὰς ἄμεινον πεφυκυίας
τῶν σωμάτων μηδὲν ἂν νομίζουσι γενέσθαι σπουδαιοτέρας
παιδευθείσας καὶ τυχούσας τῆς προσηκούσης ἐπιμελεί-
ας· ἔτι δ' εἰ περὶ τοὺς ἵππους καὶ τοὺς κύνας καὶ τὰ
πλεῖστα τῶν ζώων ὁρῶντες τέχνας ἔχοντας τινὰς, αἷς
τὰ μὲν ἀνδρειότερα τὰ δὲ πρᾳότερα τὰ δὲ φρονιμώτερα
ποιοῦσι, περὶ τὴν τῶν ἀνθρώπων φύσιν μηδεμίαν οἴονται
τοιαύτην εὑρῆσθαι παιδείαν, ἥτις ἂν αὐτοὺς ἐπί τι τού-
των ὧν περ καὶ τὰ θηρία δυνηθείη προαγαγεῖν, ἀλλὰ
τοσαύτην ἁπάντων ἡμῶν ἀτυχίαν κατεγνώκασιν, ὥσθ'
ὁμολογήσειαν μὲν ἂν ταῖς ἡμετέραις διανοίαις ἕκαστον
τῶν ὄντων βέλτιον γίγνεσθαι καὶ χρησιμώτερον, αὐτοὺς
δ' ἡμᾶς τοὺς ἔχοντας τὴν φρόνησιν ταύτην, ᾗ πάντα πλέ-
ονος ἄξια ποιοῦμεν, τολμῶσι λέγειν ὡς οὐδὲν ἂν ἀλλή-
λους πρὸς ἐπιείκειαν εὐεργετήσαιμεν. ὃ δὲ πάντων δεινότα-
τον, ὅτι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θεωροῦντες ἐν τοῖς
θαύμασι τοὺς μὲν λέοντας πρᾳότερον διακειμένους πρὸς
τοὺς θεραπεύοντας ἢ τῶν ἀνθρώπων ἔνιοι πρὸς τοὺς εὖ
103 ποιοῦντας, τὰς δ' ἄρκτους καλινδουμένας καὶ παλαιού-
σας καὶ μιμουμένας τὰς ἡμετέρας ἐπιστήμας, οὐδ' ἐκ
τούτων δύνανται γνῶναι τὴν παιδείαν καὶ τὴν ἐπιμέ-
λειαν ὅσην ἔχει δύναμιν, οὐδ' ὅτι ταῦτα πολὺ ἂν θᾶττον
τὴν ἡμετέραν φύσιν ἢ τὴν ἐκείνων ὠφελήσειεν· ὥστ' ἀπορῶ
πότερον ἄν τις δικαιότερον θαυμάσειε τὰς πρᾳότητας τὰς
τοῖς χαλεπωτάτοις τῶν θηρίων ἐγγιγνομένας ἢ τὰς ἀγριό-
τητας τὰς ἐν ταῖς ψυχαῖς τῶν τοιούτων ἀνθρώπων ἐνούσας.
ἔχοι δ' ἄν τις πλείω περὶ τούτων εἰπεῖν· ἀλλὰ γὰρ ἣν

MAIUS. Cui assentitur Orellius.
Διήνεγκαν] Διενέγκειαν. ORELL.

Πρὸς τὴν τῆς - - - ἔχειν] Vide locum similem in orat. ad Nicocl. §. γ. A. MAIUS.

πολλὰ λίαν λέγω περὶ τῶν παρὰ τοῖς πλείστοις ὁμολογου-
μένων, δέδοικα μὴ περὶ τῶν ἀμφισβητουμένων ἀπορεῖν δόξω.
κϛʹ. * ιζʹ. Παυσάμενος οὖν τούτων, ἐπ' ἐκείνους τρέψο-
μαι τοὺς οὐ καταφρονοῦντας μὲν τῆς φιλοσοφίας, πολὺ δὲ
πικρότερον κατηγοροῦντας αὐτῆς, καὶ μεταφέροντας τὰς
πονηρίας τὰς τῶν φασκόντων μὲν εἶναι σοφιστῶν ἄλλο δέ
τι πραττόντων ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτη-
δεύοντας. ἐγὼ δ' οὐχ ὑπὲρ ἁπάντων τῶν προσποιουμένων
δύνασθαι παιδεύειν ποιοῦμαι τοὺς λόγους, ἀλλ' ὑπὲρ τῶν
δικαίως τὴν δόξαν ταύτην ἐχόντων. οἶμαι δὲ σαφῶς ἐπιδεί-
ξειν τοὺς κατηγοροῦντας ἡμῶν πολὺ τῆς ἀληθείας διημαρ-
τηκότας, ἤν περ ἐθελήσητε διὰ τέλους ἀκοῦσαι τῶν λεγο-
μένων. πρῶτον μὲν οὖν ὁρίσασθαι δεῖ τίνων ὀρεγόμενοι καὶ
τίνος τυχεῖν βουλόμενοι τολμῶσί τινες ἀδικεῖν· ἢν γὰρ
ταῦτα καλῶς περιλάβωμεν, ἄμεινον γνώσεσθε τὰς αἰτίας 104
τὰς καθ' ἡμῶν λεγομένας, εἴτ' ἀληθεῖς εἰσὶν εἴτε ψευδεῖς.
ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα φημὶ πάντας
πάντα πράττειν· ἔξω γὰρ τούτων οὐδεμίαν ἐπιθυμίαν ὁρῶ
τοῖς ἀνθρώποις ἐγγιγνομένην. εἰ δὴ ταῦθ' οὕτως ἔχει,
λοιπόν ἐστι σκέψασθαι τί τούτων ἂν ἡμῖν γίγνοιτο δια-
φθείρουσι τοὺς νεωτέρους. πότερ' ἂν ἡσθεῖμεν ὁρῶντες ἢ καὶ
πυνθανόμενοι πονηροὺς αὐτοὺς ὄντας καὶ δοκοῦντας τοῖς
συμπολιτευομένοις; καὶ τίς οὕτως ἐστὶν ἀναίσθητος,
ὅστις οὐκ ἂν ἀλγήσειε τοιαύτης διαβολῆς περὶ αὐτὸν γιγνο-
μένης; ἀλλὰ μὴν οὐδ' ἂν θαυμασθεῖμεν οὐδὲ τιμῆς μεγά-
λης τύχοιμεν τοιούτους τοὺς συνόντας ἀποπέμποντες, ἀλλὰ
πολὺ ἂν μᾶλλον καταφρονηθεῖμεν καὶ μισηθεῖμεν τῶν
ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων. καὶ μὴν οὐδ' εἰ ταῦτα
παρίδοιμεν, χρήματα πλεῖστ' ἂν λάβοιμεν οὕτω παιδείας
προεστῶτες. οἶμαι γὰρ δήπου τοῦτό γε πάντας γιγνώσκειν,
ὅτι σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος, ἢν τῶν
μαθητῶν τινὲς καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται καὶ
παρὰ τοῖς πολίταις εὐδοκιμοῦντες· οἱ μὲν γὰρ τοιοῦτοι
πολλοὺς μετασχεῖν τῆς παιδείας εἰς ἐπιθυμίαν καθιστᾶσιν,
οἱ δὲ πονηροὶ καὶ τοὺς πρότερον συνεῖναι διανοουμένους ἀπο-
τρέπουσιν, ὥστε τίς ἂν ἐν τούτοις τὸ κρεῖττον ἀγνοήσειεν, 105
οὕτω μεγάλην τὴν διαφορὰν τῶν πραγμάτων ἐχόντων;

κϛʹ. * ιηʹ. Ἴσως οὖν ἄν τις πρὸς ταῦτα τολμήσειεν εἰπεῖν ὡς πολλοὶ τῶν ἀνθρώπων διὰ τὰς ἀκρασίας οὐκ ἐμμένουσι τοῖς λογισμοῖς, ἀλλ᾽ ἀμελήσαντες τοῦ συμφέροντος ἐπὶ τὰς ἡδονὰς ὁρμῶσιν. ἐγὼ δ᾽ ὁμολογῶ καὶ τῶν ἄλλων πολλοὺς καὶ τῶν προσποιουμένων εἶναι σοφιστῶν ἔχειν τινὰς τὴν φύσιν ταύτην. ἀλλ᾽ ὅμως οὐδὲ τῶν τοιούτων οὐδείς ἐστιν οὕτως ἀκρατὴς, ὅστις ἂν δέξαιτο καὶ τοὺς μαθητὰς εἶναι τοιούτους· τῶν μὲν γὰρ ἡδονῶν τῶν διὰ τὴν ἀκρασίαν ἐκείνοις συμβαινουσῶν οὐκ ἂν δύναιτο μετασχεῖν, τῆς δὲ δόξης τῆς διὰ τὴν πονηρίαν γιγνομένης αὐτὸς ἂν τὸ πλεῖστον μέρος ἀπολαύσειεν. ἔπειτα τίνας ἂν καὶ διαφθείραιεν καὶ τοὺς πῶς διακειμένους λάβοιεν ἂν μαθητάς; ἄξιον γὰρ καὶ ταῦτα διελθεῖν. πότερον τοὺς ἤδη κακοήθεις ὄντας καὶ πονηρούς; καὶ τίς ἂν, ἃ παρὰ τῆς αὑτοῦ φύσεως ἐπίσταται, ταῦτα παρὰ ἑτέρου μανθάνειν ἐπιχειρήσειεν; ἀλλὰ τοὺς ἐπιεικεῖς καὶ χρηστῶν ἐπιτηδευμάτων ἐπιθυμοῦντας; ἀλλ᾽ οὐδ᾽ ἂν εἷς τῶν τοιούτων, τοῖς κακόν τι λέγουσιν ἢ πράττουσι διαλεχθῆναι τολμήσειεν.

κϛʹ.* ιθʹ. Ἡδέως δ᾽ ἂν κἀκεῖνο πυθοίμην παρὰ τῶν χαλεπῶς ἐχόντων πρὸς ἡμᾶς, τίνα ποτὲ γνώμην ἔχουσι
106 περὶ τῶν ἐκ Σικελίας καὶ τοῦ Πόντου καὶ τῶν ἄλλων τόπων δεῦρο πλεόντων ὡς ἡμᾶς, ἵνα παιδευθῶσι; πότερον αὐτοὺς οἴονται σπανίζοντας ἐκεῖ πονηρῶν ἀνθρώπων ἐνθάδε ποιεῖσθαι τὴν πορείαν; ἀλλὰ πανταχοῦ πολλὴν ἀφθονίαν εὕροι τις ἂν τῶν συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων. ἀλλ᾽ ἵνα κακοπράγμονες καὶ συκοφάνται γένωνται, πολλὰ χρήματα τελέσαντες; ἀλλὰ πρῶτον μὲν οἱ ταύτην ἔχοντες τὴν γνώμην πολὺ ἂν ἥδιον τὰ τῶν ἄλλων λάβοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων αὐτῶν· ἔτι δὲ τίνες ἂν ὑπὲρ πονηρίας ἀργύριον ἀναλώσαιεν, ἐξὸν αὐτοῖς μηδὲν δαπανηθεῖσιν εἶναι τούτοις, ὁπόταν βουληθῶσιν; οὐ γὰρ μαθεῖν, ἀλλ᾽ ἐπιχειρῆσαι μόνον δεῖ τοῖς τοιούτοις τῶν ἔργων. ἀλλὰ δῆλον ὅτι καὶ πλέουσι καὶ χρήματα διδόασι καὶ πάντα ποι-

Ἀκρόασιν - - - δύναιντο] Levi facta mutatione verborum ἀκρόασιν in ἀκρασίαν et δύναιντο in δύναιτο lucidissimus sensus emergit. Si nihil mutare velis, dicas: *nam voluptatum quidem, quæ ex auditione illis acciderent, participes esse non possent.* quod est obscurius et alio recidit. A. Maius. Egregia est Maii conjectura. Orell.

οὖσι νομίζοντες αὐτοί τε βελτίους γενήσεσθαι καὶ τοὺς ἐνθάδε παιδεύοντας πολὺ φρονιμωτέρους εἶναι τῶν παρὰ σφίσιν αὐτοῖς· ἐφ᾽ οἷς ἄξιον ἦν ἅπαντας τοὺς πολίτας φιλοτιμεῖσθαι, καὶ περὶ πολλοῦ ποιεῖσθαι τοὺς αἰτίους τῇ πόλει τῆς δόξης ταύτης γενομένους. ἀλλὰ γὰρ οὕτω τινὲς ἀγνωμόνως ἔχουσιν, ὥστ᾽ εἰδότες καὶ τοὺς ξένους τοὺς ἀφικνουμένους καὶ τοὺς προεστῶτας τῆς παιδείας οὐδὲν κακὸν ἐπιτηδεύοντας, ἀλλ᾽ ἀπραγμονεστάτους μὲν ὄντας τῶν ἐν τῇ πόλει καὶ πλείστην ἡσυχίαν ἄγοντας, προσέχοντας δὲ τὸν 107
νοῦν σφίσιν αὐτοῖς καὶ τὰς συνουσίας μετ᾽ ἀλλήλων ποιουμένους, ἔτι δὲ τὰ καθ᾽ ἡμέραν εὐτελέστατα καὶ κοσμιώτατα ζῶντας, καὶ τῶν λόγων ἐπιθυμοῦντας οὐ τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων οὐδὲ τῶν λυπούντων τινὰς, ἀλλὰ τῶν παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμούντων, ὅμως τολμῶσι βλασφημεῖν περὶ αὐτῶν, καὶ λέγειν ὡς ταύτην ποιοῦνται τὴν μελέτην, ἵν᾽ ἐν τοῖς ἀγῶσι παρὰ τὸ δίκαιον πλεονεκτῶσι. καί τοι τίνες ἂν ἀδικίαν καὶ κακίαν ἀσκοῦντες σωφρονέστερον τῶν ἄλλων ζῆν ἐθελήσαιεν; τίνας δὲ πώποθ᾽ ἑωράκασιν οἱ ταῦτα λέγοντες ἀναβαλλομένους καὶ θησαυριζομένους τὰς πονηρίας, ἀλλ᾽ οὐκ εὐθὺς τῇ φύσει τῇ παρούσῃ χρωμένους;

κϛʹ. * κʹ. Χωρὶς δὲ τούτων, εἴπερ ἡ περὶ τοὺς λόγους δεινότης ποιεῖ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, προσῆκεν ἅπαντας τοὺς δυναμένους εἰπεῖν πολυπράγμονας καὶ συκοφάντας εἶναι· τὸ γὰρ αἴτιον ἐν ἅπασι τοῦτο πέφυκεν ἐνεργάζεσθαι. νῦν δ᾽ εὑρήσετε καὶ τῶν ἐν τῷ παρόντι πολιτευομένων καὶ τῶν νεωστὶ τετελευτηκότων τοὺς πλείστην ἐπιμέλειαν τῶν λόγων ποιουμένους βελτίστους ὄντας τῶν ἐπὶ τὸ βῆμα παριόντων, ἔτι δὲ τῶν παλαιῶν τοὺς ἀρίστους ῥήτορας καὶ μεγίστην δόξαν λαβόντας πλείστων ἀγαθῶν αἰτίους τῇ πόλει γεγενημένους, ἀρξαμένους ἀπὸ Σόλωνος. ἐκεῖνός τε γὰρ προστάτης τοῦ δήμου καταστὰς οὕτως 108
ἐνομοθέτησε καὶ τὰ πράγματα διέταξεν καὶ τὴν πόλιν κατεσκεύασεν, ὥστ᾽ ἔτι καὶ νῦν ἀγαπᾶσθαι τὴν διοίκησιν τὴν ὑπ᾽ ἐκείνου συνταχθεῖσαν· μετὰ δὲ ταῦτα Κλεισθένης

Τὸ γὰρ αἴτιον ἐν ἅπ. τοῦτο] Τὸ αὐτὸ γὰρ αἴτιον ἐν ἅπ. ταὐτὸ —. Idem. Bekkerus etiam mavult ταὐτό.

Ἐκεῖνός τε γὰρ] Ἐκεῖνος μὲν γὰρ —. Orell.

ἐκπεσὼν ἐκ τῆς πόλεως ὑπὸ τῶν τυράννων, λόγῳ πείσας τοὺς Ἀμφικτύονας δανεῖσαι τῶν τοῦ θεοῦ χρημάτων αὐτῷ, τόν τε δῆμον κατήγαγε καὶ τοὺς τυράννους ἐξέβαλε καὶ τὴν δημοκρατίαν ἐκείνην κατέστησε τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγίστων ἀγαθῶν γενομένην· ἐπὶ δὲ τούτῳ Θεμιστοκλῆς ἡγεμὼν ἐν τῷ πολέμῳ τῷ Περσικῷ γενόμενος, συμβουλεύσας τοῖς προγόνοις ἡμῶν ἐκλιπεῖν τὴν πόλιν — ὃ τίς ἂν οἷός τ' ἐγένετο πεῖσαι μὴ πολὺ τῷ λόγῳ διενεγκών; —, εἰς τοῦτ' αὐτῶν τὰ πράγματα προήγαγεν ὥστ' ὀλίγας ἡμέρας ἀνάστατοι γενόμενοι πολὺν χρόνον δεσπόται τῶν Ἑλλήνων κατέστησαν· τὸ δὲ τελευταῖον Περικλῆς καὶ δημαγωγὸς ὢν ἀγαθὸς καὶ ῥήτωρ ἄριστος οὕτως ἐκόσμησε τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ἀναθήμασι καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστ' ἔτι καὶ νῦν τοὺς εἰσαφικνουμένους εἰς αὐτὴν νομίζειν μὴ μόνον ἄρχειν ἀξίαν εἶναι τῶν Ἑλλήνων ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, καὶ πρὸς τούτοις εἰς τὴν ἀκρόπολιν οὐκ ἐλάττω μυρίων ταλάντων ἀνήνεγκε. καὶ τούτων τῶν ἀνδρῶν τῶν τηλικαῦτα διαπραξαμένων οὐδεὶς λόγων
109 ἠμέλησεν, ἀλλὰ τοσούτῳ μᾶλλον τῶν ἄλλων προσέσχον αὐτοῖς τὸν νοῦν, ὥστε Σόλων μὲν τῶν ἑπτὰ Σοφιστῶν ἐκλήθη καὶ ταύτην ἔσχε τὴν ἐπωνυμίαν τὴν νῦν ἀτιμαζομένην καὶ κρινομένην παρ' ὑμῖν, Περικλῆς δὲ δυοῖν ἐγένετο μαθητής, Ἀναξαγόρου τε τοῦ Κλαζομενίου καὶ Δάμωνος τοῦ κατ' ἐκεῖνον τὸν χρόνον φρονιμωτάτου δόξαντος εἶναι τῶν πολιτῶν. ὥστε ἐκ τίνων ἂν τις ὑμῖν σαφέστερον ἐπιδείξειεν ὡς οὐχ αἱ δυνάμεις αἱ τῶν λόγων κακοπράγμονας τοὺς ἀνθρώπους ποιοῦσιν, ἀλλ' οἱ τοιαύτην φύσιν ἔχοντες, οἵαν περ ὁ κατήγορος, πονηροῖς οἶμαι καὶ τοῖς λόγοις καὶ τοῖς πράγμασι χρώμενοι διατελοῦσιν;

κϛ'.*κα'. Ἔχω δὲ δεῖξαι καὶ τόπους ἐν οἷς ἔξεστιν ἰδεῖν τοῖς βουλομένοις τοὺς πολυπράγμονας καὶ τοὺς ταῖς αἰτίαις

Τοὺς Ἀμφικτύονας δαν.] Amphictyones "commune Græciæ concilium," ut inquit Cicero de Invent. l. ii. c. 23. A. Maius.

Τοῦ θεοῦ] Nempe Apollinis Delphici, cujus templum Clisthenes mercede conduxit ædificandum. Vide Herodot. Terpsich. 62. Idem.

Τόν τε δῆμον κατήγαγε] Idem de Clisthene narrat Isocrates in Areopagit. §. ϛ'. de Bigis §. ι'. Idem.

Δεσπόται τῶν Ἑλλ. κατέστησαν] Idem dicitur in Archidamo §. ιϛ'. fin. Idem.

Περικλῆς] Eadem pæne de Pericle habes in orat. de Pace §. μ'. Idem.

Ἀναξαγόρου] De Anaxagora Clazomenio confirmat Cicero de Orat. iii. c. 34. Idem.

ἐνόχους ὄντας ἃς οὗτοι τοῖς σοφισταῖς ἐπιφέρουσιν. ἐν γὰρ
ταῖς σανίσι ταῖς ὑπὸ τῶν ἀρχόντων ἐκτιθεμέναις ἀναγκαῖόν
ἐστιν, ἐν μὲν ταῖς ὑπὸ τῶν θεσμοθετῶν ἀμφοτέρους ἐνεῖναι
τούς τε τὴν πόλιν ἀδικοῦντας καὶ τοὺς συκοφαντοῦντας, ἐν
δὲ ταῖς τῶν ἕνδεκα τούς τε κακουργοῦντας καὶ τοὺς τούτοις
ἐφεστῶτας, ἐν δὲ ταῖς τῶν τετταράκοντα τοὺς ἐν τοῖς ἰδίοις
πράγμασιν ἀδικοῦντας καὶ τοὺς μὴ δικαίως ἐγκαλοῦντας·
ἐν αἷς τοῦτον μὲν καὶ τοὺς τούτου φίλους εὕροιτ’ ἂν ἐν πολ-
λαῖς ἐγγεγραμμένους, ἐμὲ δὲ καὶ τοὺς περὶ τὴν αὐτὴν ἐμοὶ
διατριβὴν ὄντας οὐδ’ ἐν μιᾷ τούτων ἐνόντας, ἀλλ’ οὕτω τὰ 110
περὶ ἡμᾶς αὐτοὺς διοικοῦντας ὥστε μηδὲν δεῖσθαι τῶν ἀγώ-
νων τῶν παρ’ ὑμῖν. καίτοι τοὺς μήτ’ ἐν ταῖς πραγματείαις
ταύταις ὄντας μήτε ἀκολάστως ζῶντας μήτε περὶ ἄλλην
πρᾶξιν μηδεμίαν αἰσχρὰν γεγενημένους πῶς οὐκ ἐπαινεῖσθαι
προσήκει μᾶλλον ἢ κρίνεσθαι; δῆλον γὰρ ὅτι τοιαῦτα τοὺς
συνόντας παιδεύομεν, οἷά περ αὐτοὶ τυγχάνομεν ἐπιτη-
δεύοντες.

κϛ´.*κβ´. Ἔτι τοίνυν γνώσεσθε σαφέστερον ἐκ τῶν ῥη-
θήσεσθαι μελλόντων ὡς πόῤῥω τοῦ διαφθείρειν τοὺς νεωτέ-
ρους ἐσμέν. εἰ γάρ τι τοιοῦτον ἐποιοῦμεν, οὐκ ἂν Λυσίμαχος
ἦν ὁ λυπούμενος ὑπὲρ αὐτῶν οὐδ’ ἄλλος οὐδεὶς τῶν τοιούτων,
ἀλλὰ τοὺς πατέρας ἂν ἑωρᾶτε τῶν συνόντων ἡμῖν καὶ τοὺς
οἰκείους ἀγανακτοῦντας καὶ γραφομένους καὶ δίκην ζητοῦν-
τας παρ’ ἡμῶν λαμβάνειν. νῦν δ’ ἐκεῖνοι μὲν συνιστᾶσι τοὺς
παῖδας τοὺς αὑτῶν καὶ χρήματα διδόασι καὶ χαίρουσιν
ὁπόταν ὁρῶσιν αὐτοὺς μεθ’ ἡμῶν ἡμερεύοντας, οἱ δὲ συκο-
φάνται διαβάλλουσι καὶ πράγματα παρέχουσιν ἡμῖν, ὧν
τίνες ἂν ἥδιον ἴδοιεν πολλοὺς τῶν πολιτῶν διαφθειρομένους
καὶ πονηροὺς γιγνομένους; ἴσασι γὰρ σφᾶς αὐτοὺς ἐν μὲν
τοῖς τοιούτοις δυναστεύοντας, ὑπὸ δὲ τῶν καλῶν κἀγαθῶν
καὶ νοῦν ἐχόντων ἀπολλυμένους, ὁπόταν ληφθῶσιν. ὥσθ’

Τῶν ἀρχόντων] Supremus magistratus Athenis fuerunt Archontes. Novem hi erant, primus Eponymus, alter Rex, tertius Polemarchus, reliqui sex Thesmothetæ dicebantur. Cuncti vario officii gradu judiciis præerant. XIviri erant judices, quorum singuli e singulis tribubus, quæ decem fuerunt Athenis, eligebantur, ipsisque scriba annumerabatur. XLviri, qui primum XXX. tantum fuerunt, pagatim Atticam obeuntes de minoribus quibusdam litibus et criminibus judicabant. Vide Polluc. l. viii. c. 9. et rerum Græcarum scriptores passim. Idem.

Τῶν θεσμοθετῶν] Vide contra Lochitem §. γ´. ubi dicitur licere deferre ad Thesmothetas de contumelia, περὶ ὕβρεως, tanquam de crimine publico. Idem.

111 οὗτοι μὲν σωφρονοῦσιν ἀναιρεῖν ζητοῦντες ἁπάσας τὰς τοιαύτας διατριβὰς, ἐν αἷς ἡγοῦνται βελτίους γενομένους χαλεπωτέρους ἔσεσθαι ταῖς αὐτῶν πονηρίαις καὶ συκοφαντίαις, ὑμᾶς δὲ προσήκει τἀναντία τούτοις πράττειν, καὶ ταῦτα νομίζειν εἶναι κάλλιστα τῶν ἐπιτηδευμάτων οἷς ἂν τούτους ὁρᾶτε μάλιστα πολεμοῦντας.

κς΄. *κγ΄. Ἄτοπον δέ τι τυγχάνω πεπονθώς· εἰρήσεται γὰρ, εἰ καί τινες λίαν εὐμετάβολον εἶναί με φήσουσιν. ὀλίγῳ μὲν γὰρ πρότερον ἔλεγον ὡς πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν διεψευσμένοι τῆς φιλοσοφίας τραχύτερον πρὸς αὐτὴν ἔχουσι· νῦν δ᾽ οὕτως ἐναργεῖς ὑπείληφα τοὺς λόγους εἶναι τοὺς εἰρημένους καὶ πᾶσι φανεροὺς, ὥστε οὐδεὶς ἀγνοεῖν μοι δοκεῖ τὴν δύναμιν αὐτῆς, οὐδὲ καταγιγνώσκειν ἡμῶν ὡς διαφθείρομεν τοὺς μαθητὰς, οὐδὲ πεπονθέναι τοιοῦτον οὐδὲν οἷον αὐτοὺς ὀλίγῳ πρότερον ᾐτιώμην· ἀλλ᾽ εἰ δεῖ τἀληθὲς εἰπεῖν καὶ τὸ νῦν ἐν τῇ διανοίᾳ μοι παρεστηκὸς, ἡγοῦμαι πάντας τοὺς φιλοτίμως μοι διακειμένους ἐπιθυμητικῶς ἔχοντας τοῦ φρονεῖν εὖ καὶ λέγειν αὐτοὺς μὲν ἀμελεῖν τούτων, τοὺς μὲν διὰ ῥᾳθυμίαν, τοὺς δὲ καταμεμφομένους τὴν φύσιν τὴν αὑτῶν, τοὺς δὲ δι᾽ ἄλλας τινὰς προφάσεις — παμπληθεῖς δ᾽ εἰσὶ —, πρὸς δὲ τοὺς πολλὴν ἐπιμέλειαν ποιουμένους καὶ τυχεῖν βουλομένους ὧν εἰς ἐπιθυμίαν αὐτοὶ καθεστᾶσι, δυσκόλως ἔχειν καὶ ζηλοτυ-
112 πεῖν καὶ τὰς ψυχὰς τεταραγμένως διακεῖσθαι καὶ πεπονθέναι παραπλήσια τοῖς ἐρῶσι· τίνα γὰρ ἄν τις αὐτοῖς ἐπενεγκεῖν αἰτίαν ἔχοι πρεπωδεστέραν ταύτης; οἵτινες μακαρίζουσι μὲν καὶ ζηλοῦσι τοὺς καλῶς χρῆσθαι τῷ λόγῳ δυναμένους, ἐπιτιμῶσι δὲ τῶν νεωτέρων τοῖς τυχεῖν ταύτης τῆς τιμῆς βουλομένοις. καὶ τοῖς μὲν θεοῖς οὐδείς ἐστιν ὅστις οὐκ ἂν εὔξαιτο μάλιστα μὲν αὐτὸς δύνασθαι λέγειν, εἰ δὲ μὴ, τοὺς παῖδας καὶ τοὺς οἰκείους τοὺς αὑτοῦ· τοὺς δὲ πόνῳ καὶ φιλοσοφίᾳ τοῦτο κατεργάσασθαι πειρωμένους, ὃ παρὰ τῶν θεῶν αὐτοὶ βούλονται λαβεῖν, οὐδὲν φασὶ τῶν δεόντων πράττειν, ἀλλ᾽ ἐνίοτε μὲν ὡς ἐξηπατημένων καὶ πεφενακισμένων προσποιοῦνται καταγελᾶν αὐτῶν, ὁπόταν

Παμπληθεῖς δ᾽ εἰσὶ] *quæ* (scil. causæ) *innumeræ esse possunt.* Vel refer ad personas, et dic *atque horum maxima turba est.* IDEM.

Δυσκόλως ἔχειν —] Idem dicit Isocrates in Panegyric. §. ιγ΄. IDEM.

δὲ τύχωσι, μεταβάλοντες ὥςπερ πλεονεκτεῖν δυναμένων τοὺς λόγους ποιοῦνται. καὶ συμβούλοις μὲν, ὅταν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τοῖς ἄριστα περὶ τῶν πραγμάτων λέγουσι, τούτοις χρῶνται, καὶ πράττουσιν ὅ τι ἂν [αὐτοῖς] οἱ τοιοῦτοι παραινέσωσι· περὶ δὲ τοὺς ἔργον ποιουμένους ὅπως χρησίμους αὑτοὺς ἐν τοῖς καιροῖς τοῖς τοιούτοις τῇ πόλει παρασχήσουσι, βλασφημεῖν οἴονται χρῆναι. καὶ Θηβαίοις μὲν καὶ τοῖς ἄλλοις ἐχθροῖς τὴν ἀμαθίαν ὀνειδίζουσι, τοὺς δ' ἐκ παντὸς τρόπου ζητοῦντας τὴν νόσον ταύτην διαφεύγειν λοιδοροῦντες διατελοῦσι. ὃ δ' οὐ μόνον ταραχῆς σημεῖόν ἐστιν, ἀλλὰ καὶ τῆς περὶ τοὺς θεοὺς 113
ὀλιγωρίας· τὴν μὲν γὰρ Πειθὼ μίαν τῶν θεῶν νομίζουσι εἶναι, καὶ τὴν πόλιν ὁρῶσι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θυσίαν αὐτῇ ποιουμένην, τοὺς δὲ τῆς δυνάμεως ἧς ἡ θεὸς ἔχει μετασχεῖν βουλομένους ὡς κακοῦ πράγματος ἐπιθυμοῦντας διαφθείρεσθαι φασίν. ὃ δὲ πάντων δεινότατον, ὅτι προκρίναιεν μὲν ἂν τὴν ψυχὴν σπουδαιοτέραν εἶναι τοῦ σώματος, οὕτω δὲ γιγνώσκοντες ἀποδέχονται μᾶλλον τοὺς γυμναζομένους τῶν φιλοσοφούντων. καί τοι πῶς οὐκ ἄλογον τοὺς τοῦ φαυλοτέρου ποιουμένους τὴν ἐπιμέλειαν ἐπαινεῖν μᾶλλον ἢ τοὺς τοῦ σπουδαιοτέρου, καὶ ταῦτα πάντων εἰδότων διὰ μὲν εὐεξίαν σώματος οὐδὲν πώποτε τὴν πόλιν τῶν ἐλλογίμων ἔργων διαπραξαμένην, διὰ δὲ φρόνησιν [ἑνὸς] ἀνδρὸς εὐδαιμονεστάτην καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων γενομένην.

κς'. * κδ'. Πολὺ δ' ἄν τις ἔχοι πλείους τούτων ἐναντιώσεις συναγαγεῖν τῶν ἀκμαζόντων τε μᾶλλον ἢ ἐγὼ καὶ τοῦ καιροῦ τοῦ παρόντος μὴ φροντιζόντων· ἐπεὶ καὶ τάδε περὶ τῶν αὐτῶν τούτων ἔνεστιν εἰπεῖν. φέρε γὰρ εἴ τινες

Ὥσπερ πλεονεκτεῖν] Ὡς περὶ πλεονεκτεῖν. Orell.

Θηβαίοις] Hinc vides Isocratem orationem hanc scripsisse, quum Atheniensibus bellum esset adversus Thebanos. Revera Athenienses societatem inierunt cum Phocensibus contra Thebanos bello sacro, Olymp. cvi. an. 3. Vide Diodorum Siculum ad hunc annum. Porro orationem hanc esse scriptam anno 3. aut 4. ejusdem Olympiadis ostendimus §. κς'. * δ'. A. Maius.

Πειθὼ] Suadam inter *deas* numerat Hesiodus Op. et Dies 73. Immo hanc magnam deam Atheniensium comitem dicit Themistocles apud Herodot. in Uran. 111. Apud Aristoph. invocatur ut *domina* in Lysistr. 203. ubi vide et Scholiastem: et apud Eurip. in Hecub. 816. dicitur *regina*. Suadæ templum erat Ægialeæ, ut vides apud Pausan. l. ii. c. 7. De hac Cicero in Brut. c. 15. "Quam Πειθὼ vocant Græci, cujus effector est orator, hanc Suadam appellavit Ennius, quam deam in Periclis labris scripsit Eupolis sessitavisse." Idem.

πολλὰ χρήματα παρὰ τῶν προγόνων παραλαβόντες τῇ μὲν πόλει μηδὲν εἶεν χρήσιμοι, τοὺς δὲ πολίτας ὑβρίζοιεν καὶ τούς τε παῖδας καὶ τὰς γυναῖκας αἰσχύνοιεν, ἔστιν
114 ὅστις ἂν τοὺς αἰτίους τοῦ πλούτου μέμψασθαι τολμήσειεν, ἀλλ᾽ οὐκ ἂν αὐτοὺς τοὺς ἐξαμαρτάνοντας κολάζειν ἀξιώσειε; τί δ᾽ εἴ τινες ὁπλομαχεῖν μαθόντες πρὸς μὲν τοὺς πολεμίους μὴ χρῷντο ταῖς ἐπιστήμαις, ἐπανάστασιν δὲ ποιήσαντες πολλοὺς τῶν πολιτῶν διαφθείραιεν, ἢ καὶ πυκτεύειν καὶ παγκρατιάζειν ὡς οἷόν τ᾽ ἄριστα παιδευθέντες τῶν μὲν ἀγώνων ἀμελοῖεν, τοὺς δ᾽ ἀπαντῶντας τύπτοιεν, τίς οὐκ ἂν τούτων τοὺς μὲν διδασκάλους ἐπαινέσειε, τοὺς δὲ κακῶς χρωμένους οἷς ἔμαθον ἀποκτείνειεν; οὐκοῦν χρὴ καὶ περὶ τῶν λόγων τὴν αὐτὴν ἔχειν διάνοιαν, ἥν περ καὶ περὶ τῶν ἄλλων, καὶ μὴ περὶ τῶν ὁμοίων τἀναντία γιγνώσκειν, μηδὲ πρὸς τοιοῦτο πρᾶγμα δυσμενῶς φαίνεσθαι διακειμένους ὃ πάντων τῶν ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν, ἅπερ ἤδη καὶ πρότερον εἶπον, οὐδὲν τῶν ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες· ἐγγενομένου δ᾽ ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι᾽ ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. οὗτος γὰρ περὶ τῶν δικαίων
115 καὶ τῶν ἀδίκων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν, ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ᾽ ἦμεν οἰκεῖν μετ᾽ ἀλλήλων. τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς

Τοῖς μὲν γὰρ ἄλλοις - - - νοῦν ἔχοντας] Tota hæc eloquentiæ laudatio exstat etiam in Nicocle §. γ΄. Porro locum hunc egregie imitatus est Cicero de Orat. c. 8. 9. Et quam sedulo ex Isocratis lectione proficeret Cicero, vides etiam ad Atticum l. ii. ep. 1. ubi de Græco Commentario proprii Consulatus a se confecto dicit: "Meus liber totum Isocratis μυροθήκιον, atque omnes ejus discipulorum arculas consumpsit." De Cicerone Isocratem imitante vide etiam Justi Lipsii Var. Lect. l. i. c. 12. l. iii. c. 24. Nota etiam ex hoc loco orationis oriri argumentum confirmans orationem quæ inscribitur *Nicocles* revera esse Isocratis nostri, contra nonnullorum et nominatim H. Stephani suspiciones, qui in sua Diatriba ii. Isocratea eam huic tribuere dubitat: quo in dubio versatur etiam Augerus Præf. iv. Et quidem Augero *Nicocles* non videtur Isocrateus, quia stylo a cæteris Isocratis Operibus differat. Sed nunc ecce tibi satis lata Nicoclis particula in Opere Isocratis. Idem. Pro ἅπερ Bekkerus mavult ὅπερ.

ἀγαθοὺς ἐγκωμιάζομεν. διὰ τούτου τούς τε ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστι. μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα, καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ πίστεσιν, αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. ὧν οὐδὲν ἐνθυμηθεὶς Λυσίμαχος κατηγορεῖν ἐτόλμησε τῶν ἐπιθυμούντων τοιούτου πράγματος, ὃ τοσούτων τὸ πλῆθος καὶ τηλικούτων τὸ μέγεθος ἀγαθῶν αἴτιόν ἐστι.

κϛ΄.* κέ΄. Καὶ τί δεῖ τούτου θαυμάζειν, ὅπου καὶ τῶν
περὶ τὰς ἔριδας σπουδαζόντων ἔνιοι τινὲς ὁμοίως βλασφη- 116
μοῦσι περὶ τῶν λόγων τῶν κοινῶν καὶ τῶν χρησίμων ὥσπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων, οὐκ ἀγνοοῦντες τὴν δύναμιν αὐτῶν, οὐδ᾽ ὅτι τάχιστ᾽ ἂν οὗτοι τοὺς χρωμένους ὠφελήσαιεν, ἀλλ᾽ ἐλπίζοντες, ἢν τούτους διαβάλλωσι, τοὺς αὑτῶν ἐντιμοτέρους ποιήσειν. περὶ ὧν δυνηθείην μὲν ἂν ἴσως διαλεχθῆναι πολὺ πικρότερον ἢ ᾽κεῖνοι περὶ ἡμῶν, οὐδέτερον δ᾽ οἶμαι δεῖν, οὔθ᾽ ὅμοιος γίγνεσθαι τοῖς ὑπὸ τοῦ φθόνου διεφθαρμένοις, οὔτε ψέγειν τοὺς μηδὲν μὲν κακὸν τοὺς συνόντας ἐργαζομένους, ἧττον δ᾽ ἑτέρων εὐεργετεῖν δυναμένους. οὐ μὴν ἀλλὰ μικρά γε μνησθήσομαι περὶ αὐτῶν, μάλιστα μὲν ὅτι κἀκεῖνοι περὶ ἡμῶν, ἔπειθ᾽ ὅπως ἂν ὑμεῖς σαφέστερον εἰδότες τὴν δύναμιν αὐτῶν οὕτω διάκεισθε πρὸς ἑκάστους ἡμῶν ὥσπερ δίκαιόν ἐστι, πρὸς δὲ τούτοις ἵνα καὶ τοῦτο ποιήσω φανερὸν, ὅτι περὶ τοὺς πολιτικοὺς λόγους

Πρὸς ἑκάστους] Πρὸς ἑκατέρους. Orell.

Τοὺς πολιτικοὺς λόγους] *orationes civiles*, quæ nempe de rebus agunt ad reip. administrationem vel ad mores pertinentibus. Porro Plutarchus monet in Isocr. Vit. §. ιγ΄. primum Isocratem contentiosas orationes a civilibus, quibus operam dabat, segregasse: χωρίσας πρῶτος τοὺς ἐριστικοὺς λόγους τῶν πολιτικῶν, περὶ οὓς ἐσπούδασε. Idem ait Dionysius Hal. in Judicio

ἡμεῖς ὄντες, οὓς ἐκεῖνοι φασὶν εἶναι φιλαπεχθήμονας, πολὺ πρᾳότεροι τυγχάνομεν αὐτῶν ὄντες· οἱ μὲν γὰρ αἰεί τι περὶ ἡμῶν φλαῦρον λέγουσιν, ἐγὼ δ᾽ οὐδὲν ἂν εἴποιμι τοιοῦτον, ἀλλὰ ταῖς ἀληθείαις χρήσομαι περὶ αὐτῶν. ἡγοῦμαι γὰρ καὶ τοὺς ἐν τοῖς ἐριστικοῖς λόγοις δυναστεύοντας καὶ τοὺς περὶ τὴν ἀστρολογίαν καὶ τὴν γεωμετρίαν καὶ τὰ τοιαῦτα
117 τῶν μαθημάτων διατρίβοντας οὐ βλάπτειν ἀλλ᾽ ὠφελεῖν τοὺς συνόντας, ἐλάττω μὲν ὧν ὑπισχνοῦνται, πλείω δ᾽ ὧν τοῖς ἄλλοις δοκοῦσιν. οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων ὑπειλήφασιν ἀδολεσχίαν καὶ μικρολογίαν εἶναι τὰ τοιαῦτα τῶν μαθημάτων· οὐδὲν γὰρ αὐτῶν οὔτ᾽ ἐπὶ τῶν ἰδίων οὔτ᾽ ἐπὶ τῶν κοινῶν εἶναι χρήσιμον, ἀλλ᾽ οὐδ᾽ ἐν ταῖς μνήμαις οὐδένα χρόνον ἐμμένειν ταῖς τῶν μαθόντων διὰ τὸ μήτε τῷ βίῳ παρακολουθεῖν μήτε ταῖς πράξεσιν ἐπαμύνειν, ἀλλ᾽ ἔξω παντάπασιν εἶναι τῶν ἀναγκαίων. ἐγὼ δ᾽ οὔθ᾽ οὕτως οὔτε πόῤῥω τούτων ἔγνωκα περὶ αὐτῶν, ἀλλ᾽ οἵ τε νομίζοντες μηδὲν χρησίμην εἶναι τὴν παιδείαν ταύτην πρὸς τὰς πράξεις ὀρθῶς μοι δοκοῦσι γιγνώσκειν, οἵ τ᾽ ἐπαινοῦντες αὐτὴν ἀληθῆ λέγειν. διὰ τοῦτο δ᾽ οὐχ ὁμολογούμενον αὐτὸν αὑτῷ τὸν λόγον εἴρηκα, διότι καὶ ταῦτα τὰ μαθήματα τὴν φύσιν οὐδὲν ὁμοίαν ἔχει τοῖς ἄλλοις οἷς διδασκόμεθα. τὰ μὲν γὰρ ἄλλα τότ᾽ ὠφελεῖν ἡμᾶς πέφυκεν, ὅταν λάβωμεν αὐτῶν τὴν ἐπιστήμην, ταῦτα δὲ τοὺς μὲν ἀπηκριβωμένους οὐδὲν ἂν εὐεργετήσειε, πλὴν τοὺς ἐντεῦθεν ζῆν προῃρημένους, τοὺς δὲ μανθάνοντας ὀνίνησι· περὶ γὰρ τὴν περιττολογίαν καὶ τὴν ἀκρίβειαν τῆς ἀστρολογίας καὶ γεωμετρίας διατρίβοντες, καὶ δυσκαταμαθήτοις πράγμασιν ἀναγκαζόμενοι προσέχειν τὸν νοῦν, ἔτι δὲ συνεθιζόμενοι
118 λέγειν καὶ πονεῖν ἐπὶ τοῖς λεγομένοις καὶ δεικνυμένοις καὶ μὴ πεπλανημένην ἔχειν τὴν διάνοιαν, ἐν τούτοις γυμνασθέντες καὶ παροξυνθέντες ῥᾷον καὶ θᾶττον τὰ σπουδαιότερα καὶ πλέονος ἄξια τῶν πραγμάτων ἀποδέχεσθαι καὶ μανθάνειν δύνανται. φιλοσοφίαν μὲν οὖν οὐκ οἶμαι δεῖν

de Isocr. Jam ἐριστικὸν dicendi genus definit Plato Sophist. p. 159. C. esse illud, *quod arte compositum, de justo et injusto deque aliis rebus generatim disceptat.* A. Maius.

Φλαῦρον λέγουσιν] Etiam in Helenæ Laudat. sub init. invehitur Isocrates in contentiosos et argutos sophistas. Idem.

Τοῖς ἄλλοις] Probabiliter legas: τοῖς πολλοῖς. Orell.

Μανθάνειν δύνανται] Jam huc fere pertinet locus Ciceronis pro Arch. c. 1. "Et-

προσαγορεύειν τὴν μηδὲν ἐν τῷ παρόντι μήτε πρὸς τὸ λέγειν μήτε πρὸς τὸ πράττειν ὠφελοῦσαν, γυμνασίαν μέντοι τῆς ψυχῆς καὶ παρασκευὴν φιλοσοφίας καλῶ τὴν διατριβὴν τὴν τοιαύτην, ἀνδρικωτέραν μὲν ἧς οἱ παῖδες ἐν τοῖς διδασκαλείοις ποιοῦνται, τὰ δὲ πλεῖστα παραπλησίαν· καὶ γὰρ ἐκείνων οἱ περὶ τὴν γραμματικὴν καὶ τὴν μουσικὴν καὶ τὴν ἄλλην παιδείαν διαπονηθέντες πρὸς μὲν τὸ βέλτιον εἰπεῖν ἢ βουλεύσασθαι περὶ τῶν πραγμάτων οὐδεμίαν πω λαμβάνουσιν ἐπίδοσιν, αὐτοὶ δ' αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μαθημάτων. διατρίψαι μὲν οὖν περὶ τὰς παιδείας ταύτας χρόνον τινὰ συμβουλεύσαιμ' ἂν τοῖς νεωτέροις, μὴ μέντοι περιϊδεῖν τὴν φύσιν τὴν αὑτῶν κατασκελετευθεῖσαν ἐπὶ τούτοις, μηδ' ἐξοκείλασαν εἰς τοὺς λόγους τοὺς τῶν παλαιῶν σοφιστῶν, ὧν οἱ μὲν ἄπειρον τὸ πλῆθος ἔφησαν εἶναι τῶν ὄντων, Ἐμπεδοκλῆς δὲ τέτταρα, καὶ νεῖκος καὶ φιλίαν ἐν αὐτοῖς, Ἴων δ' οὐ πλείω τριῶν, Ἀλκμαίων δὲ δύο μόνα, Παρμενίδης δὲ καὶ 119
Μέλισσος ἕν, Γοργίας δὲ παντελῶς οὐδέν. ἡγοῦμαι γὰρ τὰς μὲν τοιαύτας περιττολογίας ὁμοίας εἶναι ταῖς θαυματοποιΐαις ταῖς οὐδὲν μὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γιγνομέναις, δεῖν δὲ τοὺς προὔργου τι ποιεῖν βουλομένους καὶ τῶν λόγων τοὺς ματαίους καὶ τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν ἐξ ἁπασῶν τῶν διατριβῶν.

κϛʹ. * κϛʹ. Περὶ μὲν οὖν τούτων ἀπόχρη μοι τὸ νῦν εἶναι

enim omnes artes quæ ad humanitatem pertinent, habent quoddam commune vinculum, et quasi cognatione quadam inter se continentur." A. Maius.

Ἐμπεδοκλῆς] Empedoclis sententiam de quatuor rebus exsistentibus vide etiam in Fragmentis Empedoclis et Parmenidis, quæ nuper ope Codicis Taurinensis in pristinam sinceritatem ingeniose vindicavit eruditissimus juvenis Amedeus Peyronus in Taurin. Acad. LL. Orient. Professor. Item apud Ciceronem Acad. iv. c. 37. Placitum suum Ion in opere inscripto Τριαγμὸς explicuit, cujus vide particulam apud Harpocrationem. Ionem forte innuit Plato Sophist. p. 170. ubi ait quendam philosophum tres statuere res exsistentes. De Ione denique multa habes in Harpocratione et in Notis ad Suidam. Alcmæonis opinionem narrant etiam Aristot. Metaph. l. i. c. 5. Diog. Laert. l. viii. §. 83. Bruckerus Hist. Crit. Philos. t. i. p. ii. pag. 1132. Parmenidis ipsa verba vide in Fragmentis a Cl. Peyrono restitutis: tum idem de eo et de Melisso confirmant Aristot. l. s. d. Cicero l. item d. Denique de eodem Melisso et de Gorgia eadem scribit ipse Isocrates in Helenæ Laudat. sub init. De his pæne omnibus philosophorum placitis, simillima dicit Plato Sophist. p. 170. quem conferre operæ pretium erit. Idem.

Περιστάτοις] Notavit Cl. Mustoxidus Præf. Gr. p. IX. hunc locum laudari ab Harpocratione ex oratione Isocratis de Permutatione sub voc. περίστατος. Adde jam et Suidam eodem modo citantem sub eodem vocabulo, nisi forte ex Harpocratione Suidas locum exscripsit. Idem.

ταῦτ᾽ εἰρηκέναι καὶ συμβεβουλευκέναι· περὶ δὲ σοφίας καὶ φιλοσοφίας τοῖς μὲν περὶ ἄλλων τινῶν ἀγωνιζομένοις οὐκ ἂν ἁρμόσειε λέγειν περὶ τῶν ὀνομάτων τούτων — ἔστι γὰρ ἀλλότρια πάσαις ταῖς πραγματείαις —, ἐμοὶ δ᾽, ἐπειδὴ καὶ κρίνομαι περὶ τῶν τοιούτων καὶ τὴν καλουμένην ὑπό τινων φιλοσοφίαν οὐκ εἶναι φημὶ, προσήκει τὴν δικαίως ἂν νομιζομένην ὁρίσαι καὶ δηλῶσαι πρὸς ὑμᾶς. ἁπλῶς δέ πως τυγχάνω γιγνώσκων περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων ἐπιστήμην λαβεῖν ἣν ἔχοντες ἂν εἰδεῖμεν ὅ τι πρακτέον ἢ λεκτέον ἐστὶν, ἐκ τῶν λοιπῶν σοφοὺς μὲν νομίζω τοὺς ταῖς δόξαις ἐπιτυγχάνειν ὡς ἐπὶ τὸ πολὺ τοῦ βελτίστου δυναμένους, φιλοσόφους δὲ τοὺς ἐν τούτοις διατρίβοντας, ἐξ ὧν τάχιστα λήψονται τὴν τοιαύτην φρόνησιν. ἃ δ᾽ ἐστὶ τῶν ἐπιτηδευμάτων ταύτην ἔχοντα τὴν
120 δύναμιν, ἔχω μὲν εἰπεῖν, ὀκνῶ δὲ λέγειν· οὕτω γάρ ἐστι σφοδρὰ καὶ παράδοξα καὶ πολὺ τῆς τῶν ἄλλων ἀφεστῶτα διανοίας, ὥστε φοβοῦμαι μὴ τὴν ἀρχὴν αὐτῶν ἀκούσαντες θορύβου καὶ βοῆς ἅπαν ἐμπλήσητε τὸ δικαστήριον. ὅμως δὲ καί περ οὕτω διακείμενος ἐπιχειρήσω διαλεχθῆναι περὶ αὐτῶν· αἰσχύνομαι γὰρ εἴ τισι δόξω δεδιὼς ὑπὲρ γήρως καὶ μικροῦ βίου προδιδόναι τὴν ἀλήθειαν. δέομαι δ᾽ ὑμῶν μὴ προκαταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ᾽ ἐγὼ κινδυνεύων προειλόμην ἂν λόγους εἰπεῖν ἐναντίους [καὶ] ταῖς ὑμετέραις γνώμαις, εἰ μὴ καὶ τοῖς προειρημένοις ἀκολούθους αὐτοὺς ἐνόμιζον εἶναι, καὶ τὰς ἀποδείξεις ἀληθεῖς καὶ σαφεῖς ᾤμην ἔχειν ὑπὲρ αὐτῶν. ἡγοῦμαι δὲ τοιαύτην μὲν τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσιν πρὸς ἀρετὴν ἐνεργάσαιτ᾽ ἂν καὶ δικαιοσύνην, οὔτε πρότερον οὔτε νῦν οὐδεμίαν εἶναι, τούς τε τὰς ὑποσχέσεις ποιουμένους περὶ αὐτῶν πρότερον ἀπερεῖν καὶ παύσεσθαι ληροῦντας, πρὶν εὑρεθῆναι τινὰ παιδείαν τοιαύτην, οὐ μὴν ἀλλ᾽ αὐτούς γ᾽ αὑτῶν βελτίους ἂν γενέ-

Προτείνω, οὐκ εἶναι φημὶ, προσήκει] Puto scribendum: προτείνω, εἶναι φημὶ προσῆκον. Tum participium καλουμένην videtur explicandum *quæ in jus vocatur*, potius quam *quæ dicitur*. Quod si quis non probat, sua utatur opinione, me non invito. Idem. Haud placet. Ejiciendum potius προτείνω, quod temere in πρότερον mutavi. Orell.

᾽Αρετὴν ἐργάσαιτ᾽] ᾽Αρετὴν, σωφροσύνην ἐργάσαιτ᾽. Idem.

Οὐδεμίαν εἶναι] Similem prorsus locum vide in oratione contra Sophistas sub fin. Et quoniam ea oratio mutila est, fortasse complebitur, si addamus ei multa ex his quæ hic sequuntur. A. Maius. οὐδεμίαν εἶναί πω· τούς τε τοιαύτας τὰς ὑποσχ. Orell.

Οὐ μὴν ἀλλ᾽ αὐτούς γ᾽] Nec dissentit Cicero de Orat. iii. c. 15. "Nam vetus

σθαι καὶ πλέονος ἀξίους, εἰ πρός τε τὸ λέγειν εὖ φιλοτίμως διατεθεῖεν, καὶ τοῦ πείθειν δύνασθαι τοὺς ἀκούοντας ἐρασθεῖεν, καὶ πρὸς τούτοις τῆς πλεονεξίας ἐπιθυμήσαιεν, μὴ τῆς ὑπὸ τῶν ἀνοήτων νομιζομένης, ἀλλὰ τῆς ὡς ἀληθῶς τὴν δύναμιν ταύτην ἐχούσης. καὶ ταῦθ' ὡς οὕτω πέφυκε, τα- 121
χέως οἶμαι δηλώσειν. πρῶτον μὲν γὰρ ὁ λέγειν ἢ γράφειν προαιρούμενος λόγους ἀξίους ἐπαίνου καὶ τιμῆς οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις ἀδίκους ἢ μικρὰς ἢ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλὰ μεγάλας καὶ καλὰς καὶ φιλανθρώπους καὶ περὶ τῶν κοινῶν πραγμάτων· μὴ γὰρ τοιαύτας εὑρίσκων οὐδὲν διαπράξεται τῶν δεόντων. ἔπειτα τῶν πράξεων τῶν συντεινουσῶν πρὸς τὴν ὑπόθεσιν ἐκλέξεται τὰς πρεπωδεστέτας καὶ μάλιστα συμφερούσας· ὁ δὲ τὰς τοιαύτας συνεθιζόμενος θεωρεῖν καὶ δοκιμάζειν οὐ μόνον περὶ τὸν ἐνεστῶτα λόγον, ἀλλὰ καὶ περὶ τὰς ἄλλας πράξεις τὴν αὐτὴν ἕξει ταύτην δύναμιν, ὥσθ' ἅμα τὸ λέγειν εὖ καὶ τὸ φρονεῖν παραγενήσεται τοῖς φιλοσόφως καὶ φιλοτίμως πρὸς τοὺς λόγους διακειμένοις. καὶ μὴν οὐδ' ὁ πείθειν τινὰς βουλόμενος ἀμελήσει τῆς ἀρετῆς, ἀλλὰ τούτῳ μάλιστα προσέξει τὸν νοῦν, ὅπως δόξαν ὡς ἐπιεικεστάτην λήψεται παρὰ τοῖς συμπολιτευομένοις. τίς γὰρ οὐκ οἶδε καὶ τοὺς λόγους ἀληθεστέρους δοκοῦντας εἶναι τοὺς ὑπὸ τῶν εὖ διακειμένων λεγομένους ἢ τοὺς ὑπὸ τῶν διαβεβλημένων, καὶ τὰς πίστεις μεῖζον δυναμένας τὰς ἐκ τοῦ βίου γεγενημένας ἢ τὰς ὑπὸ τοῦ λόγου πεπορισμένας; ὥσθ' ὅσῳ ἄν τις ἐῤῥωμενεστέρως
ἐπιθυμῇ πείθειν τοὺς ἀκούοντας, τοσούτῳ μᾶλλον ἀσκήσει 122
καλὸς κἀγαθὸς εἶναι καὶ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν. καὶ μηδεὶς ὑμῶν οἰέσθω τοὺς μὲν ἄλλους ἅπαντας γιγνώσκειν ὅσην ἔχει ῥοπὴν εἰς τὸ πείθειν τὸ τοῖς κρίνουσιν ἀρέσκειν, τοὺς δὲ περὶ τὴν φιλοσοφίαν ὄντας μόνους ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν· πολὺ γὰρ ἀκριβέστερον τῶν ἄλλων καὶ ταῦτ' ἴσασι, καὶ πρὸς τούτοις ὅτι τὰ μὲν εἰκότα καὶ τὰ

quidem illa doctrina eadem videtur et recte faciendi et bene dicendi magistra; neque disjuncti doctores, sed iidem erant vivendi præceptores atque dicendi." A. Maius.

Ὥσθ' ἅμα τὸ λέγειν εὖ —] Cicero de Orat. iii. c. 16. ipsum Socratem castigat, "qui sapienter sentiendi et ornate dicendi scientiam, re cohærentes, disputationibus suis separavit . . . Hinc dissidium illud extitisse quasi linguæ atque cordis, absurdum sane et inutile, et reprehendendum, ut alii nos sapere, alii dicere, docerent." Idem.

τεκμήρια καὶ πᾶν τὸ τῶν πίστεων εἶδος τοῦτο μόνον ὠφελεῖ τὸ μέρος, ἐφ᾽ ᾧ ἂν αὐτῶν ἕκαστον τύχῃ ῥηθὲν, τὸ δὲ δοκεῖν εἶναι καλὸν κἀγαθὸν οὐ μόνον τὸν λόγον πιστότερον ἐποίησεν, ἀλλὰ καὶ τὰς πράξεις τοῦ τὴν τοιαύτην δόξαν ἔχοντος ἐντιμοτέρας κατέστησεν, ὑπὲρ οὗ σπουδαστέον ἐστὶ τοῖς εὖ φρονοῦσι μᾶλλον ἢ περὶ τῶν ἄλλων ἁπάντων.

κς΄. *κζ΄. Τὸ τοίνυν περὶ τὴν πλεονεξίαν, ὃ δυσχερέστατον ἦν τῶν ῥηθέντων· εἰ μέν τις ὑπολαμβάνει τοὺς ἀποστεροῦντας ἢ παραλογιζομένους ἢ κακόν τι ποιοῦντας πλεονεκτεῖν, οὐκ ὀρθῶς ἔγνωκεν· οὐδένες γὰρ ἐν ἅπαντι τῷ βίῳ μᾶλλον ἐλαττοῦνται τῶν τοιούτων, οὐδ᾽ ἐν πλέοσιν ἀπορίαις εἰσὶν, οὐδ᾽ ἐπονειδιστότερον ζῶσιν, οὐδ᾽ ὅλως ἀθλιώτεροι τυγχάνουσιν ὄντες· χρὴ δὲ καὶ νῦν πλέον ἔχειν ἡγεῖσθαι καὶ πλεονεκτήσειν νομίζειν παρὰ μὲν τῶν θεῶν τοὺς εὐσεβεστάτους καὶ τοὺς περὶ τὴν θεραπείαν τὴν ἐκείνων ἐπιμελεστάτους ὄντας, παρὰ δὲ τῶν ἀνθρώπων τοὺς
123 ἄριστα πρὸς τούτους μεθ᾽ ὧν ἂν οἰκῶσι καὶ πολιτεύωνται διακειμένους καὶ τοὺς βελτίστους αὐτοὺς εἶναι δοκοῦντας. καὶ ταῦτα καὶ ταῖς ἀληθείαις οὕτως ἔχει, καὶ συμφέρει τὸν τρόπον τοῦτον λέγεσθαι περὶ αὐτῶν· ἐπεὶ νῦν γ᾽ οὕτως ἀνέστραπται καὶ συγκέχυται πολλὰ τῶν κατὰ τὴν πόλιν, ὥστ᾽ οὐδὲ τοῖς ὀνόμασιν ἐν τῇ διαλέκτῳ ἔνιοί τινες ἔτι χρῶνται κατὰ φύσιν, ἀλλὰ μεταφέρουσιν ἀπὸ τῶν καλλίστων πραγμάτων ἐπὶ τὰ φαυλότατα τῶν ἐπιτηδευμάτων. τοὺς μέν γε βωμολοχευομένους καὶ σκώπτειν καὶ μιμεῖσθαι δυναμένους εὐφυεῖς καλοῦσι, προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας, τοὺς δὲ ταῖς κακοηθείαις καὶ ταῖς κακουργίαις χρωμένους, καὶ μικρὰ μὲν λαμβάνοντας πονηρὰν δὲ δόξαν κτωμένους, πλεονεκτεῖν νομίζουσιν, ἀλλ᾽ οὐ τοὺς ὁσιωτάτους καὶ δικαιοτάτους, οἳ περὶ τῶν ἀγαθῶν ἀλλ᾽ οὐ τῶν κακῶν πλεονεκτοῦσι· τοὺς δὲ τῶν μὲν ἀναγκαίων ἀμελοῦντας, τὰς δὲ τῶν παλαιῶν σοφιστῶν τερατολογίας

Ὃ δυσχερέστατον] *quod omnium probatu difficillimum*, vel *quod omnium odiosissimum*. Jam id superius p. 660. 26. sqq. dictum vides. Hic autem contendit Isocrates τὴν πλεονεξίαν, nempe *studium præstandi cæteris* sive *ipsam præstantiam inter cæteros*,, non vituperatione sed laude dignam esse, ita tamen ut stricte definiat quid sit vere præstare cæteris. Idem.

Αὐτοὺς εἶναι] Αὐτοῖς εἶναι. Orell.

ἀγαπῶντας φιλοσοφεῖν φασὶν, ἀμελήσαντες τοὺς τὰ τοιαῦτα μανθάνοντας καὶ μελετῶντας ἐξ ὧν καὶ τὸν ἴδιον οἶκον καὶ τὰ κοινὰ τὰ τῆς πόλεως καλῶς διοικήσουσιν, ὧνπερ ἕνεκα καὶ πονητέον καὶ φιλοσοφητέον καὶ πάντα πρακτέον ἐστίν. ἀφ᾽ ὧν ὑμεῖς πολὺν ἤδη χρόνον ἀπελαύνετε τοὺς νεωτέρους, ἀποδεχόμενοι τοὺς λόγους τῶν διαβαλλόν- 124
των τὴν τοιαύτην παιδείαν. καὶ γάρ τοι πεποιήκατε τοὺς μὲν ἐπιεικεστάτους αὐτῶν ἐν πότοις καὶ συνουσίαις καὶ ῥαθυμίαις καὶ παιδιαῖς τὴν ἡλικίαν διάγειν, ἀμελήσαντες τοῦ σπουδάζειν ὅπως ἔσονται βελτίους, τοὺς δὲ χείρω τὴν φύσιν ἔχοντας ἐν τοιαύταις ἀκολασίαις ἡμερεύειν, ἐν αἷς πρότερον οὐδ᾽ ἂν οἰκέτης ἐπιεικὴς οὐδεὶς ἐτόλμησεν· οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς Ἐννεακρούνου ψύχουσιν οἶνον, οἱ δ᾽ ἐν τοῖς καπηλείοις πίνουσιν, ἕτεροι δ᾽ ἐν τοῖς σκιραφείοις κυβεύουσι, πολλοὶ δ᾽ ἐν τοῖς τῶν αὐλητρίδων διδασκαλείοις διατρίβουσι. καὶ τοὺς μὲν ἐπὶ ταῦτα προτρέποντας οὐδεὶς πώποτε τῶν κήδεσθαι φασκόντων τῆς ἡλικίας ταύτης εἰς ὑμᾶς εἰσήγαγεν· ἡμῖν δὲ κακὰ παρέχουσιν, οἷς ἄξιος ἦν, εἰ καὶ μηδενὸς ἄλλου, τούτου γε χάριν ἔχειν, ὅτι τοὺς συνόντας τῶν τοιούτων ἐπιτηδευμάτων ἀποτρέπομεν. οὕτω δ᾽ ἐστὶ δυσμενὲς ἅπασι τὸ τῶν συκοφαντῶν γένος, ὥστε τοῖς μὲν λυομένοις εἴκοσι καὶ τριάκοντα μνῶν τὰς μελλούσας καὶ τὸν ἄλλον οἶκον συναναιρήσειν οὐχ ὅπως ἂν ἐπιπλήξειαν, ἀλλὰ καὶ συγχαίρουσι ταῖς ἀσωτίαις αὐτῶν, τοὺς δὲ εἰς τὴν αὑτῶν παιδείαν ὁτιοῦν ἀναλίσκοντας διαφθείρεσθαι φασίν. ὧν τίνες ἂν ἀδικώτερον ἔχοιεν τὴν αἰτίαν ταύτην; οἵτινες ἐν αὐταῖς μὲν ταῖς ἀκμαῖς ὄντες ὑπερεῖδον τὰς ἡδονὰς, ἐν αἷς οἱ πλεῖστοι τῶν τηλικούτων 125
μάλιστ᾽ αὐτῶν ἐπιθυμοῦσιν, ἐξὸν δ᾽ αὐτοῖς ῥαθυμεῖν μηδὲν δαπανωμένοις εἵλοντο πονεῖν χρήματα τελέσαντες· ἄρτι δ᾽ ἐκ παίδων ἐξεληλυθότες ἔγνωσαν ἃ πολλοὶ τῶν πρεσβυ-

Ἀμελήσαντες] Ἀμελήσαντας. IDEM.

Ἐννεακρούνου] Enneacrunus celeberrimus fons Athenis, qui prius Callirhoe dictus fuit. De eo vide, si lubet, Thucydidem l. ii. 94. 15. A. MAIUS.

Σκιραφείοις] Confer cum loco simili Areopag. §. ιη′. Ibi editiones quas vidi habent ἐν τοῖς *σκιραφίοις*, *in lustris* vel *in aleatoriis*. Sed Codex Ambrosianus habet ibidem ἐν τοῖς σκυττοῤῥαφείοις, quod melius respondet præsenti loco ἐν τοῖς σκηνοῤῥαφείοις. Quamobrem suspicor veram lectionem Areopagiticæ corruptam esse in nonnullis codicibus et in Editionibus ex vana conjectura. IDEM. Et vertit: *alii in tentoriorum officinis mulsum parant.*

τέρων οὐκ ἴσασιν, ὅτι δεῖ τὸν ὀρθῶς καὶ πρεπόντως προεστῶτα τῆς ἡλικίας καὶ καλὴν ἀρχὴν τοῦ βίου ποιούμενον αὐτοῦ πρότερον ἢ τῶν αὐτοῦ ποιήσασθαι τὴν ἐπιμέλειαν, καὶ μὴ σπεύδειν μήτε ζητεῖν ἑτέρων ἄρχειν πρὶν ἂν τῆς αὑτοῦ διανοίας λάβῃ τὸν ἐπιστατήσοντα, μηδ᾽ οὕτω χαίρειν μηδὲ μέγα φρονεῖν ἐπὶ τοῖς ἄλλοις ἀγαθοῖς ὡς ἐπὶ τοῖς ἐν τῇ ψυχῇ διὰ τὴν παιδείαν ἐγγιγνομένοις. καί τοι τοὺς τοιούτῳ λογισμῷ κεχρημένους πῶς οὐκ ἐπαινεῖσθαι χρὴ μᾶλλον ἢ ψέγεσθαι, καὶ νομίζεσθαι βελτίστους εἶναι καὶ σωφρονεστάτους τῶν ἡλικιωτῶν; θαυμάζω δ᾽ ὅσοι τοὺς μὲν φύσει δεινοὺς ὄντας εἰπεῖν εὐδαιμονίζουσιν ὡς ἀγαθοῦ καὶ καλοῦ πράγματος αὐτοῖς συμβεβηκότος, τοὺς δὲ τοιούτους γενέσθαι βουλομένους λοιδοροῦσιν ὡς ἀδίκου καὶ κακοῦ παιδεύματος ἐπιθυμοῦντας. καί τοι τί τῶν φύσει καλῶν ὄντων μελέτῃ κατεργασθὲν αἰσχρὸν ἢ κακὸν ἐστίν; οὐδὲν γὰρ εὑρήσομεν τοιοῦτον, ἀλλ᾽ ἔν γε τοῖς ἄλλοις ἐπαινοῦμεν τοὺς ταῖς φιλοπονίαις ταῖς αὑτῶν ἀγαθόν τι κτήσασθαι
126 δυνηθέντας μᾶλλον ἢ τοὺς παρὰ τῶν προγόνων παραλαβόντας. εἰκότως· συμφέρει γὰρ ἐπί τε τῶν ἄλλων ἁπάντων, καὶ μάλιστ᾽ ἐπὶ τῶν λόγων, μὴ τὰς εὐτυχίας ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν. οἱ μὲν γὰρ φύσει καὶ τύχῃ δεινοὶ γενόμενοι λέγειν οὐ πρὸς τὸ βέλτιστον ἀποβλέπουσιν, ἀλλ᾽ ὅπως ἂν τύχωσιν, οὕτω χρῆσθαι τοῖς λόγοις εἰώθασιν· οἱ δὲ φιλοσοφίᾳ καὶ λογισμῷ τὴν δύναμιν ταύτην λαβόντες, οὐδὲν ἀσκέπτως λέγοντες, ἧττον περὶ τὰς πράξεις πλημμελοῦσιν. ὥσθ᾽ ἅπασι μὲν βούλεσθαι προσήκει πολλοὺς εἶναι τοὺς ἐκ παιδείας δεινοὺς εἰπεῖν γιγνομένους, μάλιστα δ᾽ ὑμῖν· καὶ γὰρ αὐτοὶ προέχετε καὶ διαφέρετε τῶν ἄλλων οὐ ταῖς περὶ τὸν πόλεμον ἐπιμελείαις, οὐδ᾽ ὅτι κάλλιστα πολιτεύεσθε καὶ μάλιστα φυλάττετε τοὺς νόμους οὓς ὑμῖν οἱ πρόγονοι κατέλιπον, ἀλλὰ τούτοις οἷς περ ἡ φύσις ἡ τῶν ἀνθρώπων τῶν ἄλλων ζώων διήνεγκε, καὶ τὸ γένος τὸ τῶν Ἑλλήνων τῶν βαρβάρων, τῷ καὶ πρὸς τὴν φρόνησιν καὶ πρὸς τοὺς λόγους ἄμεινον πεπαιδεῦσθαι τῶν ἄλλων. ὥςτε πάντων ἂν συμβαίη δεινότατον, εἰ τοὺς βουλομένους τοῖς αὐτοῖς τούτοις διενεγκεῖν τῶν ἡλικιωτῶν, οἷςπερ ὑμεῖς ἁπάντων, δια-

βελτίστους εἶναι] Probo supplementum quod exhibet Cod. Laurent. βελτίστους

φθείρεσθαι ψηφίσαισθε, καὶ τοὺς τῇ παιδείᾳ ταύτῃ χρωμέ-
νους, ἧς ὑμεῖς ἡγεμόνες γεγένησθε, συμφορᾷ τινὶ περιβάλοιτε.
κϛ΄. * κη΄. Χρὴ γὰρ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι
πάντων τῶν δυναμένων λέγειν ἢ παιδεύειν ἡ πόλις ἡμῶν
δοκεῖ γεγενῆσθαι διδάσκαλος. εἰκότως· καὶ γὰρ ἆθλα μέ- 127
γιστα τιθεῖσαν αὐτὴν ὁρῶσι τοῖς τὴν δύναμιν ταύτην
ἔχουσι, καὶ γυμνάσια πλεῖστα καὶ παντοδαπώτατα παρέ-
χουσαν τοῖς ἀγωνίζεσθαι προῃρημένοις, καὶ περὶ τὰς τοι-
αύτας γυμνάζεσθαι βουλομένοις, ἔτι δὲ τὴν ἐμπειρίαν, ἥπερ
μάλιστα ποιεῖ δύνασθαι λέγειν, ἐνθένδε πάντας λαμβά-
νοντας· πρὸς δὲ τούτοις καὶ τὴν τῆς φωνῆς κοινότητα καὶ
μετριότητα καὶ τὴν ἄλλην εὐτραπελίαν καὶ φιλολογίαν οὐ
μικρὸν ἡγοῦνται συμβαλέσθαι μέρος πρὸς τὴν τῶν λόγων
παιδείαν, ὥστ᾽ οὐκ ἀδίκως ὑπολαμβάνουσιν ἅπαντας τοὺς
λέγειν ὄντας δεινοὺς τῆς πόλεως εἶναι μαθητάς. σκοπεῖτ᾽
οὖν μὴ παντάπασιν ᾖ καταγέλαστον τῆς δόξης ταύτης
φλαῦρόν τι καταγιγνώσκειν, ἣν ὑμεῖς ἔχετε παρὰ τοῖς Ἕλ-
λησι πολὺ μᾶλλον ἢ ἐγὼ παρ᾽ ὑμῖν· οὐδὲν γὰρ ἀλλ᾽ ἢ φανε-
ρῶς ὑμῶν αὐτῶν ἔσεσθε κατεψηφισμένοι τὴν τοιαύτην ἀδι-
κίαν, καὶ πεποιηκότες ὅμοιον ὥσπερ ἂν εἰ Λακεδαιμόνιοι τοὺς
τὰ περὶ τὸν πόλεμον ἀσκοῦντας ζημιοῦν ἐπιχειροῖεν, ἢ
Θετταλοὶ παρὰ τῶν ἱππεύειν μελετώντων δίκην λαμβάνειν
ἀξιοῖεν. ὑπὲρ ὧν φυλακτέον ἐστὶν, ὅπως μηδὲν τοιοῦτον ἐξα-
μαρτήσεσθε περὶ ὑμᾶς αὐτοὺς, μηδὲ πιστοτέρους ποιή-
σεσθε τοὺς λόγους τοὺς τῶν κατηγορούντων τῆς πόλεως ἢ 128
τοὺς τῶν ἐπαινούντων.

κϛ΄. * κθ΄. Οἶμαι δ᾽ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τῶν Ἑλλή-
νων οἱ μὲν δυσκόλως πρὸς ὑμᾶς ἔχουσιν, οἱ δ᾽ ὡς οἷόν τε
μάλιστα φιλοῦσι καὶ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν ἡμῖν
ἔχουσι. καὶ φασὶν οἱ μὲν τοιοῦτοι μόνην εἶναι ταύτην πόλιν,
τὰς δ᾽ ἄλλας κώμας, καὶ δικαίως ἂν αὐτὴν ἄστυ τῆς Ἑλ-
λάδος προσαγορεύεσθαι καὶ διὰ τὸ μέγεθος καὶ διὰ τὰς
εὐπορίας τὰς ἐνθένδε τοῖς ἄλλοις γιγνομένας καὶ μάλιστα

τοὺς τοιούτους εἶναι. Orell.

Διδάσκαλος] Idem ait Isocrates in Panegyr. §. ιγ΄. A. Maius.

Περὶ τὰς τοιαύτας] Addendum necessario διατριβὰς, vel aliquid simile. Idem. Assentior. Orell.

Οἱ μὲν τοιοῦτοι] Οἱ μὲν τοιαῦτα. Idem.

Ἄστυ τῆς Ἑλλάδος] Idem de Athenis dicitur in orat. de Bigis §. ι΄. fin. A. Maius.

διὰ τὸν τρόπον τῶν ἐνοικούντων· οὐδένας γὰρ εἶναι πρᾳοτέρους οὐδὲ κοινοτέρους οὐδ' οἷς οἰκειότερον ἄν τις τὸν ἅπαντα βίον συνδιατρίψειεν. οὕτω δὲ μεγάλαις χρῶνται ταῖς ὑπερβολαῖς, ὥστ' οὐδὲ τοῦτ' ὀκνοῦσι λέγειν, ὡς ἥδιον ἂν ὑπ' ἀνδρὸς Ἀθηναίου ζημιωθεῖεν ἢ διὰ τῆς ἑτέρων ὠμότητος εὖ πάθοιεν. οἱ δὲ ταῦτα μὲν διασύρουσι, διεξιόντες δὲ τὰς τῶν συκοφαντῶν πικρότητας καὶ κακοπραγίας ὅλης τῆς πόλεως ὡς ἀμίκτου καὶ χαλεπῆς οὔσης κατηγοροῦσιν. ἔστιν οὖν δικαστῶν νοῦν ἐχόντων, τοὺς μὲν τῶν τοιούτων λόγων αἰτίους γιγνομένους ἀποκτείνειν ὡς μεγάλην αἰσχύνην τῇ πόλει περιποιοῦντας, τοὺς δὲ τῶν ἐπαίνων τῶν λεγομένων περὶ αὐτῆς μέρος τι συμβαλλομένους τιμᾷν μᾶλλον ἢ τοὺς ἀθλητὰς τοὺς ἐν τοῖς στεφανίταις ἀγῶσι νικῶντας· πολὺ γὰρ καλλίω δόξαν ἐκεί-
129 νων κτώμενοι τῇ πόλει τυγχάνουσι καὶ μᾶλλον ἁρμόττουσαν. περὶ μὲν γὰρ τὴν τῶν σωμάτων ἀγωνίαν πολλοὺς τοὺς ἀμφισβητοῦντας ἔχομεν, περὶ δὲ τὴν παιδείαν ἅπαντες ἂν ἡμᾶς πρωτεύειν προκρίνειαν. χρὴ δὲ τοὺς μικρὰ λογίζεσθαι δυναμένους τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων διαφέροντας ἐν οἷς ἡ πόλις εὐδοκιμεῖ, τιμῶντας φαίνεσθαι, καὶ μὴ φθονερῶς ἔχειν, μηδ' ἐναντία τοῖς ἄλλοις Ἕλλησι γιγνώσκειν περὶ αὐτῶν. ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν, ἀλλὰ τοσοῦτον διημαρτήκατε τοῦ συμφέροντος, ὥσθ' ἥδιον ἔχετε δι' οὓς ἀκούετε κακῶς ἢ δι' οὓς ἐπαινεῖσθε, καὶ δημοτικοὺς εἶναι νομίζετε τοὺς τοῦ μισεῖσθαι τὴν πόλιν ὑπὸ πολλῶν αἰτίους ὄντας, ἢ τοὺς ἅπαντας οἷς πεπλησιάκασιν εὖ διακεῖσθαι πρὸς αὐτὴν πεποιηκότας. ἢν οὖν σωφρονῆτε, τῆς μὲν ταραχῆς παύσεσθε ταύτης, οὐχ οὕτω δ' ὥσπερ νῦν οἱ μὲν τραχέως οἱ δ' ὀλιγώρως διακείσεσθε πρὸς τὴν φιλοσοφίαν, ἀλλ' ὑπολαβόντες κάλλιστον εἶναι καὶ σπουδαιότατον τῶν ἐπιτηδευμάτων τὴν τῆς ψυχῆς ἐπιμέλειαν, προτρέψετε τῶν νεωτέρων τοὺς βίον ἱκανὸν κεκτημένους καὶ σχολὴν ἄγειν δυναμένους ἐπὶ τὴν παιδείαν καὶ τὴν ἄσκησιν τὴν τοιαύτην, καὶ τοὺς μὲν πονεῖν ἐθέλοντας καὶ παρασκευάζειν σφᾶς

Διεξιόντες δὲ τὰς τῶν συκοφ.] En tibi in Isocratis oratione, quod Ælianus l. xii. c. 52. narrat Isocratem dicere solitum, pp. τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην, καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ ἀσφαλῆ μηκέτι εἶναι. ᾐνίττετο δὲ διὰ τούτων τοὺς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιβουλάς. Idem.

αὐτοὺς χρησίμους τῇ πόλει περὶ πολλοῦ ποιήσεσθε, τοὺς
δὲ καταβεβλημένως ζῶντας καὶ μηδενὸς ἄλλου φροντί- 130
ζοντας, πλὴν ὅπως ἀσελγῶς ἀπολαύσονται τῶν κατα-
λειφθέντων, τούτους δὲ μισήσετε καὶ προδότας νομιεῖτε
καὶ τῆς πόλεως καὶ τῆς τῶν προγόνων δόξης· μόλις γὰρ ἢν
οὕτως ὑμᾶς αἴσθωνται πρὸς ἑκατέρους αὐτῶν διακειμένους,
ἐθελήσουσιν οἱ νεώτεροι καταφρονήσαντες τῆς ῥᾳθυμίας
προσέχειν σφίσιν αὐτοῖς καὶ τῇ φιλοσοφίᾳ τὸν νοῦν. ἀνα-
μνήσθητε δὲ τὸ κάλλος καὶ τὸ μέγεθος τῶν ἔργων τῶν τῇ
πόλει καὶ τοῖς προγόνοις πεπραγμένων, καὶ διέλθετε πρὸς
ὑμᾶς αὐτοὺς καὶ σκέψασθε ποῖός τις ἦν καὶ πῶς γεγονὼς
καὶ τίνα τρόπον πεπαιδευμένος ὁ τοὺς τυράννους ἐκβαλὼν
καὶ τὸν δῆμον καταγαγὼν καὶ τὴν δημοκρατίαν κατα-
στήσας, ποῖος δέ τις ὁ τοὺς βαρβάρους Μαραθῶνι τῇ μάχῃ
νικήσας καὶ τὴν δόξαν τὴν ἐκ ταύτης γενομένην τῇ πόλει
κτησάμενος, τίς δ' ἦν ὁ μετ' ἐκεῖνον τοὺς Ἕλληνας ἐλευθε-
ρώσας καὶ τοὺς προγόνους ἐπὶ τὴν ἡγεμονίαν καὶ τὴν δυνα-
στείαν ἣν ἔσχον προαγαγὼν, ἔτι δὲ τὴν φύσιν τὴν τοῦ
Πειραιῶς κατιδὼν καὶ τὸ τεῖχος ἀκόντων Λακεδαιμονίων τῇ
πόλει περιβαλὼν, τίς δὲ ὁ μετὰ τοῦτον ἀργυρίου καὶ χρυσίου
τὴν ἀκρόπολιν ἐμπλήσας καὶ τοὺς οἴκους τοὺς ἰδίους μεστοὺς
πολλῆς εὐδαιμονίας καὶ πλούτου ποιήσας· εὑρήσετε γὰρ,
ἢν ἐξετάζητε τούτων ἕκαστον, οὐ τοὺς συκοφαντικῶς βεβιω-
κότας οὐδὲ τοὺς ἀμελῶς, οὐδὲ τοὺς τοῖς πολλοῖς ὁμοίους ὄν- 131
τας, ταῦτα διαπεπραγμένους, ἀλλὰ τοὺς διαφέροντας καὶ
προσέχοντας μὴ μόνον ταῖς εὐγενείαις καὶ ταῖς δόξαις,
ἀλλὰ καὶ τῷ φρονεῖν καὶ λέγειν, τούτους ἁπάντων ἀγαθῶν
αἰτίους γεγενημένους. ὧν εἰκὸς ὑμᾶς ἐνθυμουμένους, ὑπὲρ μὲν
τοῦ πλήθους τοῦτο σκοπεῖν, ὅπως ἔν τε τοῖς ἀγῶσι τοῖς
περὶ τῶν συμβολαίων τῶν δικαίων τεύξονται καὶ τῶν ἄλλων
τῶν κοινῶν μεθέξουσι, τοὺς δ' ὑπερέχοντας καὶ τῇ φύσει
καὶ ταῖς μελέταις, καὶ τοὺς τοιούτους γενέσθαι προθυμου-
μένους, ἀγαπᾷν καὶ τιμᾷν καὶ θεραπεύειν, ἐπισταμένους,
ὅτι καὶ τὸ καλῶν καὶ μεγάλων ἡγήσασθαι πραγμάτων

Διέλθετε πρὸς ὑμᾶς αὐτοὺς] Clisthenis, Miltiadis, Themistoclis, Periclis, notissima facinora recensentur. Idem.

Προσαγαγὼν] Legendum suspicor: προαγαγών. Orell.

Προσέχοντας] Προέχοντας. Idem.

Τῷ φρονεῖν] Post φρονεῖν videtur excidisse εὖ. Idem.

καὶ τὸ δύνασθαι τὰς πόλεις ἐκ τῶν κινδύνων σώζειν καὶ τὴν
Pag. δημοκρατίαν διαφυλάττειν ἐν τοῖς τοιούτοις ἔνεστιν, ἀλλ' Pag.
ed. οὐκ ἐν τοῖς συκοφάνταις. ed.
Cor. H. Steph.
343 κζ. Πολλῶν δ' ἐφεστώτων μοι λόγων ἀπορῶ πῶς αὐ- 343
τοὺς διαθῶμαι· δοκεῖ γάρ μοι καθ' αὐτὸ μὲν ἕκαστον ὧν
διανοοῦμαι ῥηθὲν ἐπιεικὲς ἂν φανῆναι, πάντα δὲ νυνὶ λε-
γόμενα πολὺν ἂν ὄχλον ἐμοί τε καὶ τοῖς ἀκούουσι παρα- d
σχεῖν. ὅπερ καὶ περὶ τῶν ἤδη προειρημένων δέδοικα, μὴ
τοιοῦτόν τι πάθος αὐτοῖς διὰ τὸ πλῆθος τυγχάνῃ συμβε-
βηκός. οὕτω γὰρ ἀπλήστως ἅπαντες ἔχομεν περὶ τοὺς
λόγους, ὥστ' ἐπαινοῦμεν μὲν τὴν εὐκαιρίαν καὶ φαμὲν
344 οὐδὲν εἶναι τοιοῦτον, ἐπειδὰν δ' οἰηθῶμεν ὡς ἔχομέν τι λέ-
γειν, ἀμελήσαντες τοῦ μετριάζειν, κατὰ μικρὸν ἀεὶ προσ-
τιθέντες εἰς τὰς ἐσχάτας ἀκαιρίας ἐμβάλλομεν ἡμᾶς e
αὐτούς. ὅπου γε καὶ λέγων ἐγὼ ταῦτα καὶ γιγνώσκων,
ὅμως ἔτι βούλομαι [1] διαλεχθῆναι πρὸς ὑμᾶς.

κή. Ἀγανακτῶ γὰρ ὁρῶν τὴν συκοφαντίαν ἄμεινον
τῆς φιλοσοφίας φερομένην, καὶ τὴν μὲν κατηγοροῦσαν, τὴν 344
δὲ κρινομένην. ὃ τίς ἂν τῶν παλαιῶν ἀνδρῶν [2] γενήσεσθαι
προσεδόκησεν, ἄλλως τε καὶ παρ' ὑμῖν τοῖς ἐπὶ σοφίᾳ
[3] μεῖζον τῶν ἄλλων φρονοῦσιν; οὔκουν ἐπί γε τῶν προγόνων
οὕτως εἶχεν, ἀλλὰ τοὺς μὲν καλουμένους σοφιστὰς ἐθαύ-
μαζον καὶ τοὺς συνόντας αὐτοῖς ἐζήλουν, τοὺς δὲ συκοφάν-
τας πλείστων κακῶν αἰτίους ἐνόμιζον εἶναι. μέγιστον δὲ
τεκμήριον· Σόλωνα μὲν γάρ, τὸν πρῶτον τῶν πολιτῶν λα-
βόντα τὴν ἐπωνυμίαν ταύτην, προστάτην ἠξίωσαν τῆς πό- b
λεως εἶναι, περὶ δὲ τῶν [4] συκοφαντῶν χαλεπωτέρους ἢ περὶ
τῶν ἄλλων κακουργιῶν τοὺς νόμους ἔθεσαν. τοῖς μὲν γὰρ
μεγίστοις τῶν ἀδικημάτων, ἐν ἑνὶ τῶν δικαστηρίων [5] τὴν

[1] βραχέα διαλεχθῆναι A. C. L. [2] γενέσθαι A. C. L. [3] μείζω A. C. L.
[4] συκοφαντιῶν L. [5] τὰς κρίσεις ἐποιήσαντο A. C. L.

Τὴν εὐκαιρίαν] Τὸ μέτρον. Cor.

Οὐδὲν εἶναι τοιοῦτον] *nihil esse tale*, i. e. nihil esse tam bonum, tam pulcrum. Ita Gallice trito loquendi modo, *il n'est rien de tel*. Auger. Recte: ita ut τοιοῦτον idem sit ac οὕτω καλὸν καὶ πρέπον. Lang. Προσυπακουστέον τὸ ἀναφορικὸν, οἷόν ἐστιν ἡ εὐκαιρία. Cor.

Ἀκαιρίας] Ἀμετρίας τὰς περὶ τὸ λέγειν. Idem.

Καὶ τὴν μὲν — κρινομένην] *et illam quidem accusare, hanc vero causam dicere*, quod mihi ipsi nunc accidit. Lang.

Σοφιστὰς] Σοφοὺς, φιλοσόφους. ἐπὶ καλοῦ γὰρ ἦν τέως τοὔνομα. Cor.

Ἐν ἑνὶ τῶν δικαστηρίων] Uti ἐν τῷ ἐπὶ Παλλαδίῳ, ἐπὶ Δελφινίῳ, ἐπὶ Πρυτανείῳ, ἐν Φρεαττοῖ. Cf. Demosth. c. Aristocrat. §. ιε' — ιθ'.

κρίσιν ἐποίησαν, κατὰ δὲ τούτων γραφὰς μὲν πρὸς τοὺς
θεσμοθέτας, εἰσαγγελίας δ' εἰς τὴν βουλὴν, προβολὰς δ' ἐν
τῷ δήμῳ, νομίζοντες τοὺς ταύτῃ τῇ τέχνῃ χρωμένους ἁπά-
c σας ὑπερβάλλειν τὰς πονηρίας. τοὺς μὲν γὰρ ἄλλους
[1]ἀλλ' οὖν πειρᾶσθαί γε λανθάνειν κακουργοῦντας, τούτους
δ' ἐν ἅπασιν ἐπιδείκνυσθαι τὴν αὑτῶν ὠμότητα καὶ μισ-
ανθρωπίαν καὶ φιλαπεχθημοσύνην.

κθ'. Κἀκεῖνοι μὲν οὕτως ἐγίγνωσκον περὶ αὐτῶν· ὑμεῖς
δὲ τοσοῦτον ἀπέχετε τοῦ κολάζειν αὐτοὺς, ὥστε τούτοις
[2]χρῆσθε [3]καὶ κατηγόροις καὶ νομοθέταις περὶ τῶν ἄλλων.
καίτοι προσῆκεν αὐτοὺς νῦν μισεῖσθαι μᾶλλον ἢ κατ'
d ἐκεῖνον τὸν χρόνον. τότε μὲν γὰρ ἐν τοῖς ἐγκυκλίοις μόνον
καὶ τοῖς κατὰ τὴν πόλιν ἔβλαπτον τοὺς συμπολιτευομέ-
νους, [4]ἐπειδὴ δ' αὐξηθείσης τῆς πόλεως καὶ λαβούσης τὴν
ἀρχὴν [5]οἱ πατέρες ἡμῶν, μᾶλλον θαῤῥήσαντες τοῦ συμ-
φέροντος, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν καὶ μεγά-
λην τὴν πόλιν ποιήσασι διὰ τὰς δυναστείας ἐφθόνησαν, 345
πονηρῶν δ' ἀνθρώπων καὶ μεστῶν θρασύτητος ἐπεθύμησαν,
οἰηθέντες ταῖς μὲν τόλμαις καὶ ταῖς φιλαπεχθημοσύναις
e ἱκανοὺς αὐτοὺς ἔσεσθαι διαφυλάττειν τὴν δημοκρατίαν, διὰ
δὲ τὴν φαυλότητα τῶν ἐξ ἀρχῆς αὐτοῖς ὑπαρξάντων οὐ
μέγα φρονήσειν οὐδ' ἐπιθυμήσειν ἑτέρας πολιτείας, ἐκ ταύ-
της [6]τῆς μεταβολῆς τί τῶν δεινῶν οὐ συνέπεσε τῇ [7]πόλει, τί
345 δὲ τῶν μεγίστων κακῶν [8]οἱ ταύτην ἔχοντες τὴν φύσιν [9]οὐ

[1] ἀλλ' οὖν om. A. C. L. [2] χρῆσθαι A. L. [3] καὶ om. A. C. L.
[4] νυνὶ A. C. L. [5] ἣν οἱ πατ. ἡμ. εἶχον, μᾶλλον A. C. L. [6] δὴ τῆς A. C. L.
[7] πολιτείᾳ καὶ τῶν A. C. L. [8] ὧν οἱ A. C. L. [9] οὐ om. A. C. L.

Γραφὰς — εἰσαγγελίας — προβολὰς] Γραφαὶ sunt causæ seu actiones publicæ. Thesmothetæ fuere magnæ auctoritatis, numero sex, singulares legum vindices, quos nonnulli Censores posse dici censent. Phavorinus ait, proprie pertinere εἰσαγγελίαν ad magna et publica crimina, de quibus sit nihil legibus definitum. Idem προβολὴν γραφὴν esse ait κατὰ τῶν συκοφαντούντων. Ulpianus in commentario orationis κατὰ Μειδίου inquit, προβολὴ est judicii nomen contra eos qui ferias violent. Budæus interpretatur: intentionem et objectionem judicii dictati, quasi petitionem digladiantis. Wolf. Προβολὴ, ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν. *Harpocrat.* Προβολὴ, ἡ κλῆσις εἰς δίκην κατὰ τῶν κακόνως πρὸς τὸν δῆμον διακειμένων. προβολαὶ δὲ γίγνονται τοῦ δήμου ψηφισαμένου καὶ τῶν εὐνουστάτων τῇ πόλει. προβολαὶ δὲ ἦσαν καὶ αἱ τῆς συκοφαντίας γραφαί. ἐγίνοντο δὲ καὶ περὶ τῶν ἐξυβρισάντων ἢ ἀδικησάντων ἢ ἀσεβησάντων περὶ τὰς ἑορτάς. *Pollux* l. viii. c. 1. 6.

Τὴν βουλὴν] Τὴν τῶν πεντακοσίων. Cor.

Αὐξηθείσης τῆς πόλεως] I. e. Xerxe superato et imperio maritimo accepto. Lang.

Συμφέροντος] Ἐπὶ τοῦ προσήκοντος ἢ ἁρμόζοντος ἐνταῦθα (Ἡσυχ. λέξ. σύμφορον). Cor.

Τὴν φαυλότητα] Verte: *et quum ex infimo loco emerserint.* Lang. Cf. Demosth. de Chers. §. ιϛ'. et de Syntax. §. θ'.

καὶ λέγοντες καὶ πράττοντες διετέλεσαν; [1]οὐ τοὺς μὲν ἐνδοξοτάτους τῶν πολιτῶν καὶ μάλιστα δυναμένους ποιῆσαί τι τὴν πόλιν ἀγαθὸν, ὀλιγαρχίαν ὀνειδίζοντες καὶ λακωνισμὸν, οὐ πρότερον ἐπαύσαντο πρὶν ἠνάγκασαν ὁμοίους γενέσθαι ταῖς αἰτίαις ταῖς λεγομέναις περὶ αὐτῶν; τοὺς δὲ συμμάχους λυμαινόμενοι καὶ συκοφαντοῦντες, καὶ τοὺς βελτίστους ἐκ τῶν [2]ὄντων ἐκβάλλοντες, οὕτω διέθεσαν b
ὥσθ' ἡμῶν μὲν [3]ἀποστῆναι, τῆς δὲ Λακεδαιμονίων ἐρασθῆναι φιλίας καὶ συμμαχίας; ἐξ ὧν εἰς πόλεμον καταστάντες πολλοὺς ἐπείδομεν τῶν πολιτῶν τοὺς μὲν τελευτήσαντας, τοὺς δ' ὑπὸ τοῖς πολεμίοις γενομένους, τοὺς δ' εἰς ἔνδειαν τῶν ἀναγκαίων καταστάντας, ἔτι δὲ τὴν δημοκρατίαν δὶς καταλυθεῖσαν, καὶ τὰ τείχη τῆς πατρίδος κατασκαφέντα, τὸ δὲ μέγιστον, ὅλην τὴν πόλιν περὶ ἀνδραποδισμοῦ κινδυ- c
νεύσασαν καὶ τὴν ἀκρόπολιν τοὺς πολεμίους οἰκήσαντας.

λ'. Ἀλλὰ γὰρ αἰσθάνομαι, καίπερ ὑπὸ τῆς ὀργῆς [4]βίᾳ φερόμενος, τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ' ἐμπεπτωκὼς εἰς λόγους ἡμερησίους καὶ κατηγορίας. ὑπερβὰς οὖν τὸ πλῆθος τῶν συμφορῶν, τῶν διὰ τούτους γεγενημένων, καὶ διωσάμενος τὸν ὄχλον τῶν ἐνόντων εἰπεῖν περὶ τῆς τούτων συκοφαντίας, μικρῶν ἔτι πάνυ μνησθεὶς [5]ἤδη καταλύσω τὸν λόγον. d

λα'. Τοὺς μὲν οὖν ἄλλους ὁρῶ τοὺς κινδυνεύοντας, ἐπειδὰν περὶ τὴν τελευτὴν ὦσι τῆς ἀπολογίας, ἱκετεύοντας, [6]δεομένους, τοὺς παῖδας, τοὺς φίλους ἀναβιβαζομένους· ἐγὼ δὲ οὔτε πρέπειν οὐδὲν ἡγοῦμαι τῶν τοιούτων τοῖς τηλι-
346 κούτοις, πρός τε τῷ ταῦτα γιγνώσκειν, αἰσχυνθείην ἂν, εἰ δι' ἄλλο τι σωζοίμην ἢ διὰ τοὺς λόγους τοὺς προειρημένους [7][ὑπ' ἐμοῦ καὶ γεγραμμένους]. οἶδα γὰρ ἐμαυτὸν οὕτως e
ὁσίως καὶ δικαίως κεχρημένον αὐτοῖς καὶ περὶ τὴν πόλιν

[1] οἱ A. C. L. [2] ὑπαρχόντων A. C. L. [3] ἀπωσθῆναι A. L.
[4] ἔξω A. C. L. [5] ἤδη om. A. C. L. [6] καὶ δεομένους, καὶ τοὺς π. καὶ τοὺς A. C. L.
[7] uncos om. A. C. L.

Δὶς καταλυθεῖσαν] Ὑπὸ τῶν Τετρακοσίων καὶ ὑπὸ τῶν Τριάκοντα. Wolf.

Κατασκαφέντα] Ὑπὸ Λακεδαιμονίων. Cor.

Περὶ ἀνδρ. κινδυνεύσασαν] Διὰ τὴν Θηβαίων γνώμην. Cor. Cf. De Pace §. κζ'.

Τὸ μὲν ὕδωρ] Tempus scilicet dimensum fuit litigantibus per horologium aquæ, nomine Κλεψύδρα. Auger.

Ἡμερησίους] I. e. ὅλην ἡμέραν ἀναλίσκοντας, quibus absolvendis totus dies requiratur. Wolf.

Τοὺς μὲν οὖν ἄλλους κ. τ. λ.] Cf. Plat. Apol. Socrat. §. 23.

Κεχρημ. αὐτοῖς] Np. τοῖς λόγοις. Auger.

καὶ περὶ τοὺς προγόνους καὶ μάλιστα περὶ τοὺς θεοὺς, ὥστ᾽,
εἴ τι μέλει τῶν ἀνθρωπίνων αὐτοῖς [1] πραγμάτων, οὐδὲ τῶν
346 νῦν περὶ ἐμὲ γιγνομένων οὐδὲν αὐτοὺς [2] οἶμαι λανθάνειν.
διόπερ οὐκ ὀῤῥωδῶ τὸ μέλλον [3] συμβήσεσθαι παρ᾽ ὑμῶν,
ἀλλὰ θαῤῥῶ καὶ πολλὰς ἐλπίδας ἔχω τότε μοι τοῦ βίου
τὴν τελευτὴν ἥξειν, ὅταν μέλλῃ συνοίσειν ἡμῖν, [4] [σημείῳ]
χρώμενος, ὅτι καὶ τὸν παρελθόντα χρόνον οὕτω τυγχάνω
βεβιωκὼς μέχρι [5] ταύτης τῆς ἡμέρας, ὥσπερ [6] προσήκει
τοὺς εὐσεβεῖς καὶ θεοφιλεῖς τῶν ἀνθρώπων. ὡς οὖν ἐμοῦ
ταύτην ἔχοντος τὴν γνώμην, καὶ νομίζοντος ὅ τι ἂν ὑμῖν
δόξῃ, τοῦθ᾽ ἕξειν μοι καλῶς καὶ συμφερόντως, ὅπως ἕκαστος
ὑμῶν χαίρει καὶ βούλεται, [7] τοῦτον τὸν τρόπον φερέτω τὴν
ψῆφον.

[1] πραγμάτων αὐτοῖς A. C. L. [2] οἴομαι A. C. L. [3] μοι συμβήσεσθαι A. C. L. [4] uncos om. A. C. L. [5] ταυτησὶ A. C. L. [6] προσῆκε A. L. [7] τῷ τρόπῳ τούτῳ περαινέτω τὴν ψῆφ. A. C. L.

Θεοφιλεῖς] Passive: *diis cari.* LANG.

Φερέτω τὴν ψῆφον] Et iterum hic Socratem in mente habere, sive comparans se cum illo, sive illius mortem ulciscens, quis est, quin videat? IDEM.

Iϛ.

ΙΣΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΤΟΥ ΖΕΥΓΟΥΣ
Η
ΠΕΡΙ ΤΟΥ ΑΛΚΙΒΙΑΔΟΥ.

Pag. ed. Cor. 347 | Pag. ed. H. Steph. 347

α΄. ΠΕΡΙ μὲν οὖν τοῦ ζεύγους τῶν ἵππων, ὡς οὐκ ἀφελόμενος ὁ πατὴρ Τισίαν εἶχεν ἀλλὰ πριάμενος παρὰ τῆς

SUMMARIUM. (α΄.) *Exordium.* Omnes quidem calumniari me solent, pœnasque injuriarum, quas a patre meo vobis illatas esse aiunt, a me exigere volunt, causas publicas permiscentes cum privatis; sed mittam hoc tempore alios, et contra Tisiæ calumniam, exsilium patris mihi sæpius objicientis, peracta de equorum jugo causa, cujus ergo hac postulabar, me defendam, ne patris existimationem minus quam mea ipsius pericula curare videar. (β΄.) Verum propter juniores, qui post illas res nati sunt, res erit altius repetenda. (γ΄.) Quum populo inimici patrem meum ad partes suas trahere non possent, sed populo fidelem viderent, neque tamen ulla vetera instituta loco se movere posse confiderent, nisi illum e medio sustulissent, gravissimorum scelerum insimularunt, et per absentiam, quoniam primo se optime defenderat et dux in Siciliam creatus erat, de integro rem moverunt, nec prius conquieverunt, quam et patrem ab exercitu revocassent et ex ejus amicis alios occidissent, alios urbe ejecissent. Quanquam autem indigne secum actum existimabat, quod absens condemnatus esset, ne sic tamen ad hostes transiit, sed Argos profectus otium egit et adversariorum demum insolentia ad Lacedæmonios confugere coactus est. (δ΄.) Quid mirum igitur, quum tam injuste urbe pulsus fuerit, eum Deceleam contra rempublicam muniisse præceptoremque hostium exstitisse? Facile ostenderem, eum alia juste egisse, de aliis injuste in crimen vocari. Omnium autem esset injustissimum, si, quum pater meus post exsilium præmium acciperet, ego ob illius exsilium plecterer. (ε΄.) Maximam autem illi veniam tribuetis, si in animum revocaveritis, quid ipsi a Triginta pulsi tentaveritis, ut in patriam redire et de adversariis vindictam sumere possetis. (ϛ΄.) Ipsi igitur, quum fecistis, quæ pater meus, non irascendum vobis erit ei, qui quovis modo in patriam redire conatus est; nec judicandum, qualis fuerit civis, quo tempore nihil eum attinuit civitas, sed considerandum, qualia ante exsilium bona in civitatem contulerit. (ζ΄.) Recordamini porro, postquam reversus est, quibus civitatem beneficiis affecerit, et quo rerum statu eum receperitis. Nam in summis civitatis angustiis, ubi rempublicam gubernantes a populo magis quam hostes timebantur, a ducibus revocatus, quidvis cum republica pati maluit, quam cum Lacedæmoniis felicissimus esse, planumque omnibus reddidit, se bellum gessisse non contra vos, sed contra inimicos suos. Vobiscum vero conjunctus omnia in integrum restituit populoque reddidit libertatem. Atque quum nostra civitas illis temporibus plurima prœlia commisit, nunquam patre meo duce hostes tropæum adversus nos erexerunt. (η΄.) Quoniam vero in reliquam quoque patris vitam insolenter nimis et confidenter invehuntur idque sibi apud vos laudi fore arbitrantur, (θ΄.) de moribus ejus ac studiis, re paullo altius repetita majorumque facta mentione verba facere cupio. (ι΄.) E nobili Patriciorum gente ortus pater maternum genus ab Alcmæonidis, divitiis ac populi amore insignibus, duxit; qui, quanquam cum Pisistrato cognati erant,

πόλεως τῶν Ἀργείων, τῶν τε πρέσβεων τῶν ἐκεῖθεν ἡκόντων καὶ τῶν ἄλλων τῶν εἰδότων ἀκηκόατε μαρτυρούντων. τὸν αὐτὸν δὲ τρόπον ἅπαντες εἰσὶν εἰθισμένοι με συκοφαντεῖν. τὰς μὲν γὰρ δίκας ὑπὲρ τῶν ἰδίων ἐγκλημάτων λαγχάνουσι,
b τὰς δὲ κατηγορίας ὑπὲρ τῶν τῆς πόλεως πραγμάτων

tamen exsulare maluerunt, quam tyrannidis participes esse civesque intueri servitute oppressos. Tyrannis admodum invisi, tantum apud exsules nacti sunt fidem, ut omni eo tempore populi duces fuerint, atque Alcibiades et Clisthenes, alter paternus, alter maternus patris mei proavus, ab exsilio populum reduxerint, tyrannisque ejectis, eam constituerent democratiam, in qua cives ita sunt ad fortitudinem instituti, ut Barbaros, qui contra totam Græciam venerant, soli prœlio vincerent, iisque ultro traderent Græci maris imperium. (ια'.) Amorem igitur populi a majoribus accepit Alcibiades, qui, pupillus a patre relictus, tutorem habuit Periclem, modestissimum et justissimum et sapientissimum civem. Jam virilem consecutus ætatem non degeneravit a virtute majorum, sed tanta fuit magnanimitate, ut existimaret, oportere se propter semet ipsum, non ob illorum res gestas celebrari. (ιβ'.) Ac primum contra Thraces inter delectos viros duce Phormione militans corona et armatura ab imperatore est ornatus. (ιγ'.) Post prima hæc adolescentiæ facinora matrem meam, Hipponici, opibus inter Græcos principis et ætatis suæ honoratissimi hominis, filiam, in matrimonium duxit. (ιδ'.) Circa eadem tempora, quum videret Olympicam celebritatem ab omnibus amari et prædicari, ibique nomine civitatis in totius Græciæ delectationem munera subiri, relictis omnibus certaminibus reliquis equos alere suscepit, quam plurimos iisque primam simul et secundam et tertiam palmam retulit. Atque quemadmodum in hac urbe in ædilitatibus, gymnasiarchiis et trierarchiis omnes superavit, sic quoque ibi in sacrificiis aliisque sumptibus effecit, ut nulli unquam excellentiæ ejus spes relinqueretur. (ιε'.) Quod autem ad rempublicam attinet, adeo reliquis, qui maxime habiti sunt populares, in populum benevolentior exstitit, ut exsulare quam oligarchiæ particeps aut princeps esse mallet, quod clarius apparet ex seditionibus, in quarum prima simulatque illum removissent, populi auctoritatem dissolverunt, in secunda primus ille fuit, quem exsilio mulctarunt. Nihilominus tamen multi cives ei offensi fuerunt tanquam regnum affectanti, non e factis eum, sed communi principatus appetitione et opibus ac potentia dijudicantes. (ιϛ'.) Atque missis aliis multis hoc tantum commemorare volo, quod illius felicitas cum civitatis illa tam arcte cohæreret, ut hanc optare illi necesse esset. In civitatis igitur calamitate semper infelicissimus repertus est. Hinc eadem semper illi fuit cum civitate voluntas, diversa prorsus ab affinis tui, Tisia, consiliis, et ipsius tuis, qui sub Triginta Senator fuisti, non reputantis, si decretum fuerit, ut veteres offensæ puniantur, tibi et prius et magis quam mihi periclitandum esse. Tu enim et ipse ea fecisti, quæ patri meo crimini das, et aliis ac ille de causis. (ιζ'.) Sed de his alias, quando ipse fortasse in judicium vocaberis. Nunc autem a vobis peto, ut me juvetis, nec patria spoliari aut infamia conspicuum fieri patiamini, quum etiamnum omnia infortunia exhauserim parentibus in prima infantia orbatus, puer adhuc a Triginta urbe pulsus et tenui patrimonio per inimicos spoliatus, qui denique nunc in infamiæ periculo versor. Res autem meæ ita sunt comparatæ, ut per se commiserationem vestram mereantur, tametsi ego vos eo deducere non studeam. Indigna patior tum me, tum majoribus meis. Maxime autem ob hæc indignor: primum, si isti pœnas dare cogar, de quo sumere deberem; deinde, si ignominia notabor, ob quæ alios præmia accepisse video; post, si male ab omnibus excipiar, quos nunquam offendi; denique, si vos eodem erga me animo esse video, quo Triginta fuerunt, egoque per vos civitate exterminabor. Lang. Quum Alcibiades exsularit anno 415. ante Christum, quumque eo tempore filius quatuor duntaxat annos attigerit, et debuerit viginti ad minus adimplevisse quando hanc causam diceret, hæc oratio, modo dicta fuerit, debuit scribi anno circiter ante Christum 399. et Isocratis ætatis 70. Auger.

ΖΕΥΓΟΥΣ] Ad hanc orationem rectius intelligendam vide Alcibiadem Plutarchi et Xenophontis Ἑλληνικὰ et Diodorum Siculum l. xii. et. xiii. Wolf.

Τισίαν] Apud Andocidem c. Alcib. §. ι'., Plutarchum in Vit. §. 12., et Diodorum Siculum l. xiii. 74. Diomedes nominatur: ut alia videatur fuisse controversia.

Κατηγορίας] Ad Lysiam c. Theomn. ii. §. γ'. κακηγορίας vult Markland.

ποιοῦνται, καὶ πλείω χρόνον διατρίβουσι τὸν πατέρα μου διαβάλλοντες ἢ περὶ ὧν ἀντώμοσαν διδάσκοντες, καὶ τοσοῦτον καταφρονοῦσι τῶν νόμων, ὥστε, περὶ ὧν ὑμᾶς ὑπ' ἐκείνου φασὶν ἠδικῆσθαι, τούτων αὐτοὶ δίκην παρ' ἐμοῦ λαβεῖν ἀξιοῦσιν. ἐγὼ δ' ἡγοῦμαι μὲν οὐδὲν προσήκειν τὰς κοινὰς αἰτίας τοῖς ἰδίοις ἀγῶσιν· ἐπειδὴ δὲ Τισίας πολλάκις ὀνειδίζει μοι τὴν φυγὴν [1] τὴν τοῦ πατρὸς, καὶ μᾶλλον ὑπὲρ c
τῶν [2] ὑμετέρων ἢ τῶν αὑτοῦ σπουδάζει πραγμάτων, ἀνάγκη πρὸς ταῦτα τὴν ἀπολογίαν ποιεῖσθαι· καὶ γὰρ ἂν αἰσχυνοίμην, εἴ τῳ δόξαιμι τῶν πολιτῶν ἧττον φροντίζειν τῆς ἐκείνου δόξης ἢ τῶν ἐμαυτοῦ κινδύνων.

β΄. Πρὸς μὲν οὖν τοὺς πρεσβυτέρους βραχὺς ἂν ἐξήρκει λόγος· ἅπαντες γὰρ ἴσασιν ὅτι διὰ τοὺς αὐτοὺς ἄνδρας ἥ τε δημοκρατία κατελύθη κἀκεῖνος ἐκ τῆς πόλεως ἐξέπεσε·
348 τῶν δὲ νεωτέρων ἕνεκα, οἳ τῶν μὲν πραγμάτων [3] ὕστεροι d
γεγόνασι, τῶν δὲ διαβαλλόντων πολλάκις ἀκηκόασι, [4] ποῤῥωτέρωθεν ἄρξομαι διδάσκειν.

γ΄. Οἱ [5] γὰρ τὸ πρῶτον ἐπιβουλεύσαντες τῷ δήμῳ καὶ καταστήσαντες τοὺς Τετρακοσίους, ἐπειδὴ παρακαλούμενος ὁ πατὴρ οὐκ ἤθελε γενέσθαι μετ' αὐτῶν, ὁρῶντες αὐτὸν καὶ πρὸς τὰς πράξεις ἐῤῥωμένως ἔχοντα καὶ πρὸς τὸ πλῆθος πιστῶς διακείμενον, οὐχ ἡγοῦντ' οὐδὲν οἷοί τ' εἶναι κινεῖν τῶν καθεστώτων, πρὶν [6] ἐκποδὼν ἐκεῖνος αὐτοῖς e
γένοιτο. εἰδότες δὲ τὴν πόλιν τῶν μὲν περὶ τοὺς θεοὺς μάλιστ' ἂν ὀργισθεῖσαν εἴ τις εἰς τὰ μυστήρια φαίνοιτ' ἐξαμαρτάνων, τῶν δ' ἄλλων εἴ [7] τις τὴν δημοκρατίαν τολμῴη καταλύειν, ἀμφοτέρας ταύτας συνθέντες τὰς αἰτίας εἰσήγγελ- 348
λον εἰς τὴν βουλὴν, λέγοντες ὡς ὁ πατὴρ μὲν [8] συνάγοι τὴν ἑταιρείαν ἐπὶ νεωτέροις πράγμασιν, οὗτοι δ' ἐν τῇ [9] Πουλυ-

[1] τὴν om. A. C. L. [2] ἡμετέρων A. C. L. [3] ὕστερον A. C. L.
[4] πόῤῥωθεν A. C. L. [5] γὰρ πρότερον A. C. L. [6] ἐκ ποδῶν C.
[7] τις τολμῴη τὸν δῆμον καταλ. A. C. L. [8] συνάγει μὲν τὴν ἑταιρίαν A. C. L.
[9] Πολυτίωνος A. C. L.

Ἀντώμοσαν] Ἀντωμοσία, mutuum utriusque partis jusjurandum, quo actor jurabat se juste accusaturum, reus se justa defensione usurum. Auger. Vid. Harpocrat. et Suid. in voc.

Περὶ ὧν — ἠδικῆσθαι] Hinc conjicio Atticam fuisse legem, ne paterna in Rempub. delicta filii luerent. Wolf.

Διὰ τοὺς αὐτοὺς ἄνδρας] I. e. qui Quadringentos constituerant. Lang.

Πρὸς τὰς πράξεις ἐῤῥωμένως ἔχοντα] *in rebus gerendis esse strenuum*. Idem.

Τῶν μὲν] Sub. ἕνεκα, sicut et ad τῶν δ' ἄλλων. Auger.

Οὗτοι] Np. ii qui cœtus concelebrabant. Idem.

τίωνος οἰκίᾳ συνδειπνοῦντες τὰ μυστήρια [1] ποιήσειαν. ὀρθῆς δὲ τῆς πόλεως γενομένης διὰ τὸ μέγεθος τῶν αἰτιῶν, καὶ διὰ ταχέων συλλεγείσης ἐκκλησίας, οὕτω σαφῶς ἐπέδειξεν [2] αὐτοὺς ψευδομένους, ὥστε παρὰ μὲν τῶν κατηγόρων ἡδέως
b ἂν ὁ δῆμος δίκην ἔλαβε, τὸν δ' εἰς Σικελίαν στρατηγὸν ἐχειροτόνησε. μετὰ δὲ ταῦθ' ὁ μὲν ἐξέπλευσεν ὡς ἀπηλλαγμένος ἤδη τῆς διαβολῆς, οἱ δὲ συστήσαντες τὴν βουλὴν καὶ τοὺς ῥήτορας ὑφ' αὑτοῖς ποιησάμενοι πάλιν ἤγειρον τὸ πρᾶγμα καὶ μηνυτὰς εἰσέπεμπον. καὶ τί δεῖ μακρολογεῖν; οὐ γὰρ πρότερον ἐπαύσαντο, πρὶν [3] τόν τε [4] πατέρα ἐκ τοῦ στρατοπέδου μετεπέμψαντο, καὶ τῶν φίλων αὐτοῦ τοὺς
c μὲν ἀπέκτειναν τοὺς δ' ἐκ τῆς πόλεως ἐξέβαλον. πυθόμενος δὲ τήν τε τῶν ἐχθρῶν δύναμιν καὶ τὰς τῶν ἐπιτηδείων συμφοράς, καὶ νομίζων δεινὰ πάσχειν, ὅτι παρόντα μὲν αὐτὸν οὐκ ἔκρινον ἀπόντος δὲ κατεγίγνωσκον, οὐδ' [5] ὣς ἀπελθεῖν ἠξίωσεν εἰς τοὺς πολεμίους· ἀλλ' ἐκεῖνος μὲν τοσαύτην πρόνοιαν [6] ἔσχεν ὑπὲρ τοῦ μηδὲ φεύγων μηδὲν [7] ἐξαμαρτεῖν εἰς τὴν πόλιν, ὥστ' εἰς Ἄργος ἐλθὼν ἡσυχίαν [8] εἶχεν, οἱ δ'
d εἰς τοσοῦθ' ὕβρεως ἦλθον, ὥστ' ἔπεισαν ὑμᾶς ἐλαύνειν αὐτὸν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ [9] στηλίτην ἀναγράφειν καὶ 349
πρέσβεις πέμποντας ἐξαιτεῖν παρ' Ἀργείων. ἀπορῶν δ' ὅ τι χρήσαιτο τοῖς παροῦσι κακοῖς καὶ πανταχόθεν εἰργόμενος, καὶ σωτηρίας οὐδεμιᾶς ἄλλης αὐτῷ φαινομένης, [10] τελευτῶν ἐπὶ Λακεδαιμονίους ἠναγκάσθη καταφυγεῖν.

δ'. Καὶ τὰ μὲν [11] γενόμενα ταῦτ' ἐστίν· [12] τοσοῦτον δὲ τοῖς ἐχθροῖς τῆς ὕβρεως περίεστιν, ὥστε οὕτως [13] ἀνόμως [14] τοῦ
e πατρὸς ἐκπεσόντος, ὡς δεινὰ δεδρακότος αὐτοῦ κατηγοροῦσι,

[1] ποιήσαιεν A. C. L. [2] αὐτοὺς ἀπέδειξε A. C. L. [3] ἂν τόν A. L. αὐτόν C. [4] πατέρα om. C. [5] οὕτως A. C. L. [6] εἶχεν A. C. L. [7] ἐξαμαρτάνειν A. C. L. [8] ἦγεν A. C. L. [9] στήλην A. C. L. [10] τὸ τελευταῖον A. τελευταῖον C. L. [11] γεγενημένα A. C. L. [12] τοσοῦτον - - - περίεστιν, ὥστε om. A. C. L. [13] δ' ἀνόμως A. C. L. [14] τοῦ πατρὸς om. A. C. L.

Ὀρθῆς — γενομένης] Ἐν μεγίστῃ ταραχῇ γενομένης. Cor.

Συστήσαντες τὴν βουλὴν] *senatum Athenienseum sollicitantes.* Wolf. aliter quidem, sed quoque recte: *sibi conciliantes et adjungentes.* Lang. Συναθροίσαντες τὴν βουλήν. Cor.

Μηνυτὰς εἰσέπεμπον] Scil. εἰς τὰς τῶν ἐγκαλουμένων οἰκίας, *indices seu delatores immiserunt,* negotium explorandum curarunt. Wolf. *delatores immiserunt,* i. e. subornarunt. Lang.

Στηλίτην] In columna hujus nomen inscribere solebant Athenienses, cujus caput proscribebatur. Auger.

Ὅ τι χρήσαιτο — κακοῖς] *quo se in his malis converteret.* Lang.

[1][καὶ διαβάλλειν ἐπιχειροῦσιν] ὡς Δεκέλειάν [2]τ' ἐπετεί-
χισε καὶ τὰς νήσους ἀπέστησε καὶ τῶν πολεμίων διδάσκα-
λος [3]κατέστη. καὶ ἐνίοτε μὲν αὐτοῦ προσποιοῦνται κατα-
φρονεῖν, λέγοντες ὡς οὐδὲν διέφερε τῶν ἄλλων, [4]νυνὶ δ' ἁπάν-
των αὐτὸν τῶν γεγενημένων αἰτιῶνται, καὶ φασὶ παρ' ἐκείνου
μαθεῖν Λακεδαιμονίους ὡς χρὴ πολεμεῖν, οἱ καὶ τοὺς ἄλλους 349
διδάσκειν [5]τέχνην ἔχουσιν. ἐγὼ δ' εἴ μοι χρόνος ἱκανὸς γέ-
νοιτο, ῥᾳδίως ἂν αὐτὸν ἐπιδείξαιμι τὰ μὲν δικαίως πράξαντα,
τῶν δ' ἀδίκως αἰτίαν ἔχοντα. πάντων δ' ἂν εἴη δεινότατον,
εἰ τοῦ πατρὸς μετὰ τὴν φυγὴν δωρεὰν λαβόντος ἐγὼ διὰ
τὴν ἐκείνου φυγὴν ζημιωθείην.

ε'. Ἡγοῦμαι δ' αὐτὸν παρ' ὑμῶν δικαίως ἂν πλείστης
συγγνώμης τυγχάνειν· ὑπὸ γὰρ τῶν Τριάκοντ' ἐκπεσόντες
ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς [6]ἐχρήσασθε. ἐξ ὧν ἐνθυμεῖ- b
σθαι χρὴ πῶς ἕκαστος ὑμῶν διέκειτο καὶ τίνα γνώμην εἶχε
καὶ ποῖον κίνδυνον οὐκ ἂν ὑπέμεινεν, ὥστε παύσασθαι μὲν
μετοικῶν, κατελθεῖν δ' εἰς τὴν πατρίδα, τιμωρήσασθαι δὲ
τοὺς ἐκβαλόντας; ἐπὶ τίνα δ' ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ
ἤλθετε δεησόμενοι συγκαταγαγεῖν ὑμᾶς; τίνος δ' [7]ἀπέ-
σχεσθε πειρώμενοι κατελθεῖν; οὐ καταλαβόντες τὸν Πει-
ραιᾶ καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν
ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε καὶ τελευτῶντες c
τοῖς τείχεσι προσεβάλετε; καὶ ταῦθ' οὕτω σφόδρα ἐνομί-
ζετε χρῆναι ποιεῖν, ὥστε τοῖς ἡσυχίαν ἄγουσι τῶν συμφυ-
γάδων μᾶλλον ὠργίζεσθε, ἢ τοῖς αἰτίοις τῶν συμφορῶν γε-
γενημένοις.

350 ϛ'. Ὥστ' οὐκ εἰκὸς ἐπιτιμᾶν τοῖς τῶν [8]αὐτῶν ὑμῖν ἐπι-
θυμοῦσιν, οὐδὲ κακοὺς ἄνδρας νομίζειν ὅσοι φυγόντες κατελ- d
θεῖν ἐζήτησαν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι μένοντες φυγῆς
ἄξια ἐποίησαν· οὐδ' ἐντεῦθεν ἀρξαμένους κρίνειν ὁποῖός τις
ἦν ὁ πατὴρ πολίτης, ὅτ' οὐδὲν αὐτῷ τῆς πόλεως προσῆκεν,
ἀλλ' [9]ἐπ' ἐκείνου τοῦ χρόνου σκοπεῖν, οἷος ἦν πρὶν φυγεῖν

[1] uncos om. A. C. L. [2] τ' om. A. C. L. [3] κατέστη διδάσκαλος A. C. L.
[4] νῦν δὲ πάντων A. C. L. [5] τὴν τέχνην διδάσκειν A. C. L. [6] ἐχρῆσθε A. C. L.
[7] ἀπείχεσθε; οὐ A. C. L. [8] αὐτῶν πραγμάτων A. C. L.
[9] ἀπ' A. C. L.

Αἰτιῶνται] Resolve αἴτιον εἶναι φασί. Auger.

Μετοικῶν] *in alia urbe inquilinum vivere.* Lang.

περὶ τὸ πλῆθος, καὶ ὅτι διακοσίους ὁπλίτας [1] ἔχων τὰς
μεγίστας πόλεις τῶν ἐν Πελοποννήσῳ Λακεδαιμονίων μὲν
e ἀπέστησεν, ὑμῶν δὲ συμμάχους ἐποίησε, καὶ εἰς οἵους κινδύ-
νους αὐτοὺς κατέστησε, καὶ ὡς [2] περὶ Σικελίαν ἐστρατή-
γησε. τούτων μὲν γὰρ ἐκείνῳ προσήκει χάριν ὑμᾶς ἔχειν·
τῶν δ᾽ ἐν τῇ συμφορᾷ γενομένων τοὺς ἐκβαλόντας αὐτὸν
δικαίως ἂν αἰτίους νομίζοιτε.

ζ΄. Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς, ἐπειδὴ κατῆλ-
350 θεν, ὡς πόλλ᾽ ἀγαθὰ τὴν πόλιν ἐποίησεν, ἔτι δὲ πρότερον,
ὡς ἐχόντων τῶν πραγμάτων αὐτὸν κατεδέξασθε, καταλε-
λυμένου μὲν τοῦ δήμου, στασιαζόντων δὲ τῶν πολιτῶν,
διαφερομένων δὲ τῶν στρατιωτῶν πρὸς τὰς ἀρχὰς τὰς ἐνθάδε
καθεστηκυίας, εἰς τοῦτο δὲ μανίας ἀμφοτέρων ἀφιγμένων
ὥστε μηδετέροις μηδεμίαν ἐλπίδ᾽ εἶναι σωτηρίας· οἱ μὲν γὰρ
b τοὺς ἔχοντας τὴν πόλιν ἐχθροὺς ἐνόμιζον μᾶλλον ἢ Λακε-
δαιμονίους, οἱ δὲ τοὺς ἐκ Δεκελείας μετεπέμποντο, ἡγού-
μενοι κρεῖττον εἶναι τοῖς πολεμίοις τὴν πατρίδα παραδοῦναι
μᾶλλον ἢ τοῖς ὑπὲρ τῆς πόλεως στρατευομένοις τῆς πολι-
τείας μεταδοῦναι. τοιαύτην μὲν οὖν τῶν πολιτῶν γνώμην
ἐχόντων, κρατούντων δὲ τῶν πολεμίων καὶ τῆς γῆς καὶ τῆς
θαλάττης, ἔτι δὲ χρημάτων ὑμῖν [3] μὲν οὐκ ὄντων, ἐκείνοις
c δὲ βασιλέως [4] παρέχοντος, πρὸς δὲ τούτοις ἐνενήκοντα νεῶν
ἐκ Φοινίκης εἰς Ἄσπενδον ἡκουσῶν καὶ παρεσκευασμένων
Λακεδαιμονίοις βοηθεῖν, ἐν τοσαύταις συμφοραῖς καὶ [5] τοιού-
τοις κινδύνοις τῆς πόλεως οὔσης, μεταπεμψαμένων αὐτὸν
τῶν στρατηγῶν οὐκ ἐσεμνύνατο ἐπὶ τοῖς παροῦσιν, οὐδ᾽
ἐμέμψατο περὶ τῶν γεγενημένων, οὐδ᾽ ἐβουλεύσατο περὶ
τῶν μελλόντων, ἀλλ᾽ εὐθὺς εἵλετο μετὰ τῆς πόλεως ὁτιοῦν
πάσχειν μᾶλλον ἢ μετὰ Λακεδαιμονίων εὐτυχεῖν, καὶ 351
d πᾶσι φανερὸν ἐποίησεν ὅτι τοῖς ἐκβαλοῦσιν ἀλλ᾽ οὐχ ὑμῖν
ἐπολέμει, καὶ ὅτι κατελθεῖν ἀλλ᾽ [6] οὐκ ἀπολέσαι τὴν πόλιν
ἐπεθύμει. γενόμενος δὲ μεθ᾽ ὑμῶν ἔπεισε μὲν Τισσαφέρνην
μὴ παρέχειν χρήματα Λακεδαιμονίοις, ἔπαυσε δὲ τοὺς

[1] ἔχων ὁπλίτας A. C. L. [2] εἰς A. C. L. [3] μὲν ὑμῖν A. C. L.
[4] χορηγοῦντος A. C. L. [5] τοσούτοις A. C. L. [6] οὐ καταπολεμῆσαι A. C. L.

Καὶ ὅτι] Refer ad σκοπεῖν, sicut et εἰς οἵους et ὡς quæ sequuntur. Auger.

βασιλέως] Scil. Persarum.

Οὐκ ἐσέμνυνατο ἐπὶ τοῖς παροῦσιν] non se jactavit ob præsentem rerum difficultatem. Lang.

συμμάχους ὑμῶν ἀφισταμένους, διέδωκε δὲ παρ' αὑτοῦ
μισθὸν τοῖς στρατιώταις, ἀπέδωκε δὲ τῷ δήμῳ τὴν πολι-
τείαν, διήλλαξε δὲ τοὺς πολίτας, ἀπέστρεψε δὲ τὰς ναῦς
τὰς [1] Φοινίσσας. καὶ μετὰ ταῦτα καθ' ἕκαστον μὲν ὅσας e
τριήρεις ἔλαβεν ἢ μάχας ἐνίκησεν ἢ πόλεις κατὰ κράτος
εἷλεν ἢ λόγῳ πείσας φίλας ὑμῖν ἐποίησε, πολὺ ἂν ἔργον
εἴη λέγειν· πλείστων δὲ κινδύνων τῇ πόλει κατ' ἐκεῖνον τὸν
[2] καιρὸν γενομένων, οὐδέποτε τοῦ πατρὸς ἡγουμένου τρόπαιον
[3] ὑμῶν ἔστησαν οἱ πολέμιοι. περὶ μὲν οὖν τῶν ἐστρατηγη- 351
μένων οἶδα μὲν ὅτι πολλὰ παραλείπω, διὰ τοῦτο δ' οὐκ
ἀκριβῶς εἴρηκα περὶ αὐτῶν, ὅτι σχεδὸν ἅπαντες μνημο-
νεύετε τὰ πραχθέντα.

η'. Λοιδοροῦσι δὲ λίαν ἀσελγῶς καὶ θρασέως καὶ τὸν
ἄλλον βίον [4] τὸν τοῦ πατρὸς, καὶ οὐκ αἰσχύνονται τοιαύτῃ
παῤῥησίᾳ χρώμενοι περὶ τοῦ τεθνεῶτος, ἣν ἔδεισαν ἂν [5] ποιή-
σασθαι περὶ ζῶντος, ἀλλ' εἰς τοσοῦτον ἀνοίας ἐληλύθασιν,
ὥστ' οἴονται καὶ παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμή- b
σειν, ἢν ὡς ἂν δύνωνται πλεῖστα περὶ αὐτοῦ βλασφημή-
σωσιν, ὥσπερ οὐ πάντας εἰδότας ὅτι καὶ τοῖς φαυλοτάτοις
τῶν ἀνθρώπων ἔξεστιν οὐ μόνον περὶ τῶν ἀνδρῶν τῶν ἀρί-
στων ἀλλὰ καὶ περὶ τῶν θεῶν ὑβριστικοὺς λόγους [6] εἰπεῖν.

θ'. Ἴσως μὲν οὖν ἀνόητόν [7] ἐστιν ἁπάντων τῶν εἰρημένων
φροντίζειν· ὅμως δ' οὐχ ἥκιστα ἐπιθυμῶ περὶ τῶν ἐπιτη-
δευμάτων τῶν τοῦ πατρὸς διελθεῖν πρὸς ὑμᾶς, μικρὸν προ-
λαβὼν καὶ τῶν προγόνων ἐπιμνησθεὶς, ἵν' ἐπίστησθ' ὅτι c
πόῤῥωθεν ἡμῖν ὑπάρχει μέγιστα καὶ κάλλιστα τῶν
πολιτῶν.

ι'. Ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν [8] ἦν Εὐπατριδῶν, ὧν
τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιον γνῶναι, πρὸς

[1] ἐκ Φοινίκης A. C. L. [2] χρόνον A. C. L. [3] καθ' ὑμῶν A. C. L.
[4] τὸν om. A. C. L. [5] ποιούμενοι A. C. L. [6] εἰπεῖν λόγους A. C. L.
[7] ἐστιν ἀνόητον A. C. L. [8] ἦν πρὸς μὲν ἀνδρῶν A. C. L.

Παῤῥησίᾳ] Hic juxta Harpocrat. ἀντὶ τοῦ, βλασφημίᾳ καὶ λοιδορίᾳ. Cf. Sophocl. Aj. 167.

Πόῤῥωθεν] *a prima origine.* Lang.

Εὐπατριδῶν] Wolfius dubitat, an Εὐπατριδῶν proprium sit gentis alicujus nomen, ideoque ex Plutarcho, qui Alcibiadis paternum genus ad Eurysacem, Ajacis Telamonii filium, refert, fortasse corrigendum opinatur Εὐρυσακιδῶν, sed huic conjecturæ proxime sequentia obstare mihi videntur. Hinc referendum potius credo ad vetustissimam populi Atheniensis divisionem, qua is in εὐπατρίδας, γεωμόρους, δημιουργοὺς, h. e. patricios, agricolas, opifices, dividebatur: cui explicationi Wolfius ipse non est alienus. Idem.

Πρὸς γυναικῶν δ' Ἀλκμαιωνιδῶν] Πρὸς πα-

γυναικῶν δ' Ἀλκμαιωνιδῶν, οἳ τοῦ μὲν πλούτου μέγιστον
[1] μνημεῖον κατέλιπον — ἵππων γὰρ [2] ζεύγει πρῶτος Ἀλ- 352
κμαίων τῶν πολιτῶν [3] Ὀλυμπιάσιν ἐνίκησε —, τὴν δ'
εὔνοιαν, ἣν εἶχον εἰς τὸ πλῆθος, ἐν τοῖς τυραννικοῖς ἐπεδεί-
d ξαντο· συγγενεῖς γὰρ ὄντες Πεισιστράτου, καὶ πρὶν εἰς τὴν
ἀρχὴν καταστῆναι μάλιστ' αὐτῷ χρώμενοι τῶν πολιτῶν,
οὐκ ἠξίωσαν μετασχεῖν τῆς ἐκείνου τυραννίδος, [4] ἀλλ'
εἵλοντο φυγεῖν μᾶλλον ἢ τοὺς πολίτας ἰδεῖν δουλεύοντας.
τετταράκοντα δ' ἔτη τῆς στάσεως γενομένης, ὑπὸ μὲν τῶν
e τυράννων [5] τοσούτῳ μᾶλλον τῶν ἄλλων ἐμισήθησαν, ὥσθ'
ὁπότε τἀκείνων κρατήσειεν, οὐ μόνον τὰς οἰκίας αὐτῶν
κατέσκαπτον ἀλλὰ καὶ τοὺς τάφους ἀνώρυττον, ὑπὸ δὲ
τῶν [6] συμφυγάδων οὕτω σφόδρ' ἐπιστεύθησαν, ὥσθ' ἅπαντα
τοῦτον τὸν χρόνον ἡγούμενοι τοῦ δήμου διετέλεσαν. καὶ τὸ
τελευταῖον Ἀλκιβιάδης καὶ Κλεισθένης, ὁ μὲν πρὸς πατρὸς
ὁ δὲ πρὸς μητρὸς ὢν πρόπαππος τοῦ πατρὸς τοὐμοῦ,
352 στρατηγήσαντες [7] τῆς φυγῆς κατήγαγον τὸν δῆμον καὶ
τοὺς τυράννους ἐξέβαλον, καὶ κατέστησαν ἐκείνην τὴν δη-
μοκρατίαν, ἐξ ἧς οἱ πολῖται πρὸς μὲν ἀνδρίαν οὕτως ἐπαι-
δεύθησαν, ὥστε τοὺς βαρβάρους τοὺς ἐπὶ πᾶσαν ἐλθόντας
τὴν Ἑλλάδα μόνοι νικᾶν μαχόμενοι, περὶ δὲ δικαιοσύνης το-
σαύτην δόξαν ἔλαβον, ὥσθ' ἑκόντας αὐτοῖς τοὺς Ἕλληνας
ἐγχειρίσαι τὴν ἀρχὴν τῆς θαλάττης, τὴν δὲ πόλιν τηλικαύ-
b την ἐποίησαν καὶ τῇ δυνάμει καὶ ταῖς ἄλλαις κατασκευ-
αῖς, ὥστε τοὺς φάσκοντας αὐτὴν Ἄστυ τῆς Ἑλλάδος εἶναι
καὶ τοιαύταις ὑπερβολαῖς εἰθισμένους χρῆσθαι δοκεῖν
ἀληθῆ λέγειν.

[1] σημεῖον A. C. L. [2] ζεύγη L. [3] Ὀλυμπιᾷσιν C.
[4] ἀλλ' ἡγήσαντο κρεῖττον εἶναι φυγεῖν τὴν πατρίδα μᾶλλον A. C. L.
[5] συγγενῶν ὄντων οὕτως ἐμισήθ. A. τοσοῦτον ἐμισήθ. C. τοσούτων ἐτῶν, οὕτως ἐμισήθ. L.
[6] φυγάδων A. C. L. [7] ἐκ τῆς A. C. L.

πρὸς μὲν Ἀλκμαιωνιδῶν e contrario Demosth. c. Mid. §. μα'. Vid. ibi annotata et H. Vales. Emend. l. iv. c. 1. et Lysias c. Alcib. A. §. ι'.

Τυραννικοῖς] Πράγμασι sub. vult Coraes, i. e. ἐν τοῖς συμβᾶσι πράγμασι κατὰ τοὺς τυράννους. cæteri χρόνοις.

Καταστῆναι] Τὸν Πεισίστρατον. Cor.

Χρώμενοι] Φίλοι ὄντες. Idem.

Τετταράκοντα] Hic restituendum πεντήκοντα. In Pisistr. c. 20. fin. Meursius. Coraes citat Larcherum ad Herodot. tom. vii. p. 542—9. ubi multa de hac discrepantia.

Κατέσκαπτον] Ὑπὸ τῶν Πεισιστρατιδῶν, οὐχ ὑπ' αὐτοῦ Πεισιστράτου. Cor.

Ὁ μὲν πρὸς πατρὸς] Leg. ὁ μὲν πάππος πρὸς πατρός. In Emend. l. iv. c. 1. H. Vales. Vid. Meurs. Att. Lect. l. vi. 12. et Harpocrat. in v. Ἀλκιβιάδης, quem etiam correctum it Valesius.

Ταῖς ἄλλαις κατασκευαῖς] Ταῖς ἄλλαις εὐτρεπίσεσι καὶ παρασκευαῖς ταῖς κατὰ τὴν πόλιν. Cor. Vid. Demosth. π. Συντάξ. §. ι'

ια´. Τὴν μὲν οὖν φιλίαν τὴν πρὸς τὸν δῆμον οὕτω πα-
λαιὰν καὶ γνησίαν καὶ διὰ τὰς μεγίστας εὐεργεσίας γε-
γενημένην παρὰ τῶν προγόνων παρέλαβεν· [1]αὐτὸς δὲ κατε-
λείφθη μὲν ὀρφανὸς — ὁ γὰρ πατὴρ αὐτοῦ μαχόμενος ἐν
Κορωνείᾳ τοῖς πολεμίοις ἀπέθανεν —, ἐπετροπεύθη δ' ὑπὸ c
Περικλέους ὃν πάντες ἂν [2]ὁμολογήσειαν καὶ σωφρονέστατον
καὶ δικαιότατον καὶ σοφώτατον [3]γενέσθαι τῶν πολιτῶν.
353 ἡγοῦμαι γὰρ καὶ τοῦτ' εἶναι τῶν καλῶν, ἐκ τοιούτων γενό-
μενον ὑπὸ τοιούτοις ἤθεσιν ἐπιτροπευθῆναι καὶ τραφῆναι
καὶ παιδευθῆναι. δοκιμασθεὶς δ' οὐκ ἐνδεέστερος ἐγένετο
τῶν προειρημένων, οὐδ' ἠξίωσεν αὐτὸς μὲν ῥαθύμως ζῆν,
σεμνύνεσθαι δ' ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς, ἀλλ' εὐθὺς
οὕτω μέγα ἐφρόνησεν, ὥστ' ᾠήθη δεῖν δι' αὑτὸν καὶ [4]τἀκεί- d
νων ἔργα μνημονεύεσθαι.

ιβ´. Καὶ πρῶτον μὲν, ὅτε Φορμίων ἐξήγαγεν ἐπὶ [5]Θρᾴ-
κης χιλίους Ἀθηναίων ὁπλίτας, ἐπιλεξάμενος τοὺς ἀρί-
στους, [6]μετὰ τούτων στρατευσάμενος τοιοῦτος ἦν ἐν τοῖς
κινδύνοις ὥστε στεφανωθῆναι καὶ πανοπλίαν λαβεῖν παρὰ
τοῦ στρατηγοῦ. καίτοι τί χρὴ [7][νομίζειν ποιεῖν] τὸν τῶν
μεγίστων ἐπαίνων ἄξιον; οὐ μετὰ μὲν τῶν βελτίστων ἐκ
τῆς πόλεως στρατευόμενον ἀριστείων ἀξιοῦσθαι, πρὸς δὲ e
τοὺς κρατίστους τῶν Ἑλλήνων ἀντιστρατηγοῦντ' ἐν [8]ἅπασι
τοῖς κινδύνοις [9]αὐτῶν φαίνεσθαι περιγιγνόμενον; ἐκεῖνος
τοίνυν τῶν μὲν νέος ὢν ἔτυχε, τὰ δ' ἐπειδὴ πρεσβύτερος
ἦν ἔπραξε.

ιγ´. Μετὰ δὲ ταῦτα τὴν μητέρα τὴν [10]ἐμὴν ἔγημεν. 353
ἡγοῦμαι γὰρ καὶ ταύτην ἀριστεῖον αὐτὸν λαβεῖν. ὁ γὰρ
πατὴρ αὐτῆς Ἱππόνικος, πλούτῳ μὲν [11]πρῶτος ὢν τῶν

[1] οὗτος A. C. L. [2] ὁμολογήσειαν ὡς σωφρ. A. C. L. [3] γεγενῆσθαι A. C. L. [4] ὡς διὰ τἀκείνων A. C. L. [5] Θρᾷκας A. C. L. [6] καὶ μετὰ A. C. L. [7] uncos om. A. C. L. [8] πᾶσι A. C. L. [9] αὐτὸν A. [10] ἡμετέραν A. C. L. [11] ἦν πρῶτος τῶν A. C. L.

Ὁ γὰρ πατὴρ αὐτοῦ] Clinias, qui propria nave ad Artemisium magna gloria dimicavit. WOLF.

Εἶναι τῶν καλῶν] Suppleas τι. *inter præclara habendum esse.* LANG. Ἴσως· καὶ τοῦθ' ἓν εἶναι τῶν καλ. COR.

Δοκιμασθεὶς] I. e. εἰς ἄνδρας ἐγγραφεὶς, quia nempe is ἐδοκιμάζετο, *examinabatur*, qui inscribebatur inter viros. Vide ad hoc verbum Suidam et Harpocrationem. AUGER.

Τῶν μὲν] Τοῦ ἀριστείων ἀξιωθῆναι, ἢ ἁπλῶς, τῶν ἀριστείων. COR.

Τὰ δ'] Τὸ περιγενέσθαι τῶν ἐν τοῖς Ἕλλησι κρατίστων στρατήγων ἀντιστρατηγοῦντα. COR.

Μετὰ δὲ ταῦτα] *post hæc*, e. i. post facinora adolescentiæ. AUGER.

Ἑλλήνων, γένει δ' οὐδενὸς ὕστερος τῶν πολιτῶν, τιμώμενος δὲ καὶ θαυμαζόμενος μάλιστα τῶν ἐφ' αὑτοῦ, μετὰ προικὸς δὲ πλείστης καὶ δόξης μεγίστης ἐκδιδοὺς τὴν θυγατέρα, καὶ τοῦ γάμου τυχεῖν εὐχομένων μὲν ἁπάντων, ἀξιούντων δὲ τῶν πρώτων, τὸν πατέρα τὸν ἐμὸν ἐξ ἁπάντων ἐκλεξά-
b μενος κηδεστὴν ἐπεθύμησε ποιήσασθαι.

ιδ'. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶν τὴν [1] ἐν Ὀλυμπίᾳ πανήγυριν ὑπὸ πάντων ἀνθρώπων ἀγαπωμένην καὶ θαυμαζομένην, καὶ τοὺς Ἕλληνας [2] ἐπίδειξιν ἐν αὐτῇ ποιουμένους πλούτου καὶ ῥώμης καὶ παιδεύσεως, καὶ τούς τ' ἀθλητὰς ζηλουμένους καὶ τὰς πόλεις ὀνομαστὰς γιγνομένας [3] τὰς τῶν νικώντων, καὶ πρὸς τούτοις ἡγούμενος τὰς μὲν ἐνθάδε
c λειτουργίας ὑπὲρ τῶν ἰδίων πρὸς τοὺς πολίτας εἶναι, τὰς δ' εἰς ἐκείνην τὴν πανήγυριν ὑπὲρ τῆς πόλεως εἰς ἅπασαν 354
τὴν Ἑλλάδα γίγνεσθαι, ταῦτα [4] διανοηθεὶς, οὐδενὸς ἀφυέστερος οὐδ' ἀῤῥωστότερος τῷ σώματι γενόμενος τοὺς μὲν γυμνικοὺς ἀγῶνας ὑπερεῖδεν, εἰδὼς ἐνίους τῶν ἀθλητῶν καὶ κακῶς γεγονότας καὶ μικρὰς πόλεις οἰκοῦντας καὶ ταπεινῶς πεπαιδευμένους, ἱπποτροφεῖν δ' ἐπιχειρήσας, ὃ τῶν εὐ-
d δαιμονεστάτων ἔργον ἐστὶ, φαῦλος δ' οὐδεὶς ἂν ποιήσειεν, οὐ μόνον τοὺς ἀνταγωνιστὰς ἀλλὰ καὶ τοὺς πώποτε νικήσαντας ὑπερεβάλετο. ζεύγη γὰρ καθῆκε τοσαῦτα μὲν τὸν ἀριθμὸν, ὅσοις οὐδ' αἱ μέγισται τῶν [5] πόλεων ἠγωνίσαντο, τοιαῦτα δὲ τὴν ἀρετὴν, ὥστε καὶ πρῶτος καὶ δεύτερος καὶ τρίτος γενέσθαι. χωρὶς δὲ τούτων ἐν ταῖς θυσίαις καὶ ταῖς ἄλλαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις οὕτως ἀφειδῶς
e διέκειτο καὶ μεγαλοπρεπῶς, ὥστε φαίνεσθαι τὰ κοινὰ [6] τὰ τῶν ἄλλων ἐλάττω τῶν ἰδίων τῶν ἐκείνου. κατέλυσε δὲ τὴν

[1] Ὀλυμπιάσι A. L. Ὀλυμπιᾶσι C. [2] ἐπιδείξεις A. C. L. [3] τὰς om. A. C. L.
[4] δὲ διανοηθεὶς A. L. [5] ἄλλων πόλεων A. C. L. [6] τὰ om. A. C. L.

Τῶν ἐφ' αὑτοῦ] inter ætatis suæ homines. Lang.

Εὐχομένων] quum optarent. Idem.

Ἀξιούντων] quum ambirent. Idem. Ζητούντων. Cor.

Κηδεστὴν] Γαμβρόν. Idem.

Ὑπὲρ τῶν ἰδίων] Interpretari malim pro singulis, quam e re privata; oppositum enim est ὑπὲρ τῆς πόλεως. πρὸς τοὺς πολίτας autem est in usum omnium civium.

Κακῶς γεγονότας] Δυσγενεῖς ὄντας. Cor.

Τὸν ἀριθμὸν] Ἕπτα, ὥς φησιν Θουκυδίδης ς. ις'. Idem. Cf. Plutarch. in Vit. §. 11.

Τὴν ἑορτὴν] Scil. Olympicam.

Κατέλυσε δὲ τὴν θεωρίαν] Ἐκ τῆς θεωρίας οὕτως ἀπῆλθε συντετελεσμένης. Wolf. Ἐπαύσατο τοῦ θεωρεῖν καὶ ἀγωνίζεσθαι, ἀπελύθη τοῦ ἀγῶνος καὶ ἀνεχώρησεν οἴκαδε. Cor.

θεωρίαν, τὰς μὲν τῶν [1] προτέρων εὐτυχίας μικρὰς πρὸς τὰς αὑτοῦ [2] δόξαι ποιήσας, τοὺς δ' ἐφ' αὑτοῦ νικήσαντας παύσας ζηλουμένους, τοῖς δὲ μέλλουσιν ἱπποτροφεῖν οὐδεμίαν 354
ὑπερβολὴν καταλιπών. περὶ δὲ τῶν ἐνθάδε χορηγιῶν καὶ γυμνασιαρχιῶν καὶ τριηραρχιῶν αἰσχύνομαι λέγειν. [3] τοσοῦτον γὰρ τῶν ἄλλων διήνεγκεν, ὥσθ' οἱ μὲν ἐνδεεστέρως ἐκείνου λειτουργήσαντες ἐκ τούτων σφᾶς αὐτοὺς ἐγκωμιάζουσιν· ὑπὲρ [4] ἐκείνου δ' εἴ τις καὶ τῶν τηλικούτων χάριν ἀπαιτοίη, περὶ [5] μικρῶν ἂν δόξειε τοὺς λόγους ποιεῖσθαι.

ιε'. Πρὸς δὲ τὴν πολιτείαν, οὐδὲ γὰρ τοῦτο παραλει- b
πτέον, ὥσπερ οὐδ' ἐκεῖνος αὐτῆς ἠμέλησεν, ἀλλὰ τοσούτῳ τῶν μάλιστ' εὐδοκιμησάντων ἀμείνων περὶ τὸν δῆμον [6] γέγονεν, ὅσον τοὺς μὲν ἄλλους εὑρήσεθ' ὑπὲρ αὑτῶν στασιάσαντας, ἐκεῖνον δ' ὑπὲρ ὑμῶν κινδυνεύοντα. οὐ γὰρ ἀπελαυνόμενος ἀπὸ τῆς ὀλιγαρχίας, ἀλλὰ παρακαλούμενος, ἦν δημοτικός· καὶ πολλάκις [7] ἐκγενόμενον αὐτῷ μὴ μόνον μετ' ὀλίγων τῶν ἄλλων ἄρχειν, ἀλλὰ καὶ τούτων αὐτῶν πλέον ἔχειν, οὐκ ἠθέλησεν, ἀλλ' εἵλεθ' ὑπὸ τῆς c
355 πόλεως ἀδικηθῆναι μᾶλλον ἢ τὴν πολιτείαν προδοῦναι. καὶ ταῦθ' ἕως μὲν συνεχῶς ἐδημοκρατεῖσθ', οὐδεὶς ἂν ὑμᾶς λέγων ἔπεισε· νῦν δ' αἱ στάσεις αἱ γενόμεναι σαφῶς ὑμῖν ἐπέδειξαν καὶ τοὺς δημοτικοὺς καὶ τοὺς ὀλιγαρχικούς, καὶ τοὺς οὐδετέρων ἐπιθυμοῦντας καὶ τοὺς ἀμφοτέρων μετέχειν ἀξιοῦντας. ἐν αἷς δὶς ὑπὸ τῶν ἐχθρῶν τῶν ὑμετέρων ἐξέπεσε· καὶ τὸ μὲν πρότερον, ἐπειδὴ τάχιστ' ἐκεῖνον [8] ἐκ- d
ποδὼν ἐποιήσαντο, τὸν δῆμον κατέλυσαν, τὸ δ' ὕστερον οὐκ ἔφθησαν ὑμᾶς καταδουλωσάμενοι, καὶ πρώτου τῶν πολιτῶν αὐτοῦ φυγὴν κατέγνωσαν· οὕτω σφόδρα ἥ τε πόλις τῶν τοῦ πατρὸς [9] κακῶν ἀπέλαυσε, κἀκεῖνος τῶν τῆς πόλεως συμφορῶν ἐκοινώνησε. καίτοι πολλοὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσκόλως εἶχον [10] ὡς πρὸς τυραννεῖν ἐπιβουλεύοντα, οὐκ ἐκ τῶν ἔργων σκοποῦντες, ἀλλ' ἡγούμενοι τὸ μὲν

[1] πρώτων A. L. πρότερον C. [2] δόξας A. C. L. [3] τοσούτῳ A. C. L. [4] ἐκείνων A. C. L. [5] τούτων A. C. L. [6] ἐγεγόνει A. C. L. [7] ἐγγενόμενον A. C. L. [8] ἐκ ποδῶν C. [9] καλῶν A. C. L. [10] ὡς τυραννεῖν ἐπιχειροῦντα A. C. L.

Ἐκγενόμενον] Pro ἐκγενομένου, *quum licuisset*. Lang. Coraes vero sic construit: οὐκ ἠθέλησε τὸ μετ' ὀλίγων τῶν ἄλλων ἄρχειν, καὶ τὸ τούτων αὐτῶν πλέον ἔχειν, ἐκγενόμενον αὐτῷ πολλάκις.

Τούτων αὐτῶν πλέον ἔχειν] Scil. τῶν ὀλίγων, i. e. quum liceret ei tyrannidem occupare. Wolf.

e πρᾶγμα ὑπὸ πάντων ζηλοῦσθαι, δύνασθαι δ' ἂν [1]ἐκεῖνον
μάλιστα διαπράξασθαι. διὸ καὶ δικαίως ἂν αὐτῷ πλείω
χάριν ἔχοιτε, ὅτι τὴν μὲν αἰτίαν [2]μόνος τῶν πολιτῶν
355 ἄξιος ἦν ταύτην ἔχειν, τῆς δὲ πολιτείας ἴσον ᾤετο δεῖν
[3]καὶ τοῖς ἄλλοις μετεῖναι.

ιϛ'. Διὰ δὲ τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν ὑπὲρ τοῦ
πατρὸς, ἀπορῶ τίνος ἐν τῷ παρόντι πρέπει μνησθῆναι καὶ
ποῖ' αὐτῶν χρὴ παραλιπεῖν· ἀεὶ γάρ μοι δοκεῖ μεῖζον εἶναι
τὸ μήπω πεφρασμένον τῶν ἤδη πρὸς ὑμᾶς εἰρημένων. ἐπεὶ
καὶ τοῦθ' ἡγοῦμαι πᾶσιν εἶναι φανερὸν, ὅτι τοῦτον ἀναγκαῖόν
b ἐστιν εὐνούστατον εἶναι ταῖς τῆς πόλεως εὐτυχίαις, [4]ὅτῳ τὸ
πλεῖστον μέρος καὶ τῶν ἀγαθῶν καὶ [5]τῶν κακῶν μέτε-
στιν. ἐκείνου τοίνυν εὖ μὲν πραττούσης τῆς πόλεως τίς
εὐδαιμονέστερος ἢ θαυμαστότερος [6]ἢ ζηλωτότερος ἦν τῶν
πολιτῶν, δυστυχησάσης δὲ τίς ἐλπίδων μειζόνων ἢ χρη-
μάτων πλειόνων ἢ δόξης καλλίονος ἐστερήθη; οὐ τὸ τελευ-
ταῖον, ἐπειδὴ κατέστησαν οἱ Τριάκονθ', οἱ μὲν ἄλλοι τὴν
πόλιν ἔφευγον, ἐκεῖνος δ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ἐξέπεσεν;
c οὐ Λακεδαιμόνιοι καὶ Λύσανδρος ὁμοίως ἔργον ἐποιήσαντ'
ἐκεῖνον [7]ἀποκτεῖναι καὶ τὴν ὑμετέραν καταλῦσαι δύναμιν,
οὐδεμίαν ἡγούμενοι πίστιν ἕξειν παρὰ τῆς πόλεως, εἰ τὰ 356
τείχη καταβάλοιεν, εἰ μὴ καὶ τὸν ἀναστῆσαι δυνάμενον
ἀπολέσαιεν; ὥστ', οὐ μόνον ἐξ ὧν ὑμᾶς εὖ πεποίηκεν,
ἀλλὰ καὶ ἐξ ὧν δι' ὑμᾶς κακῶς πέπονθε, ῥᾴδιον γνῶναι
τὴν εὔνοιαν τὴν ἐκείνου. φαίνεται γὰρ τῷ δήμῳ βοηθῶν,
τῆς αὐτῆς πολιτείας ὑμῖν ἐπιθυμῶν, ὑπὸ τῶν αὐτῶν κακῶς
πάσχων, ἅμα τῇ πόλει δυστυχῶν, τοὺς αὐτοὺς ἐχθροὺς καὶ
d φίλους ὑμῖν νομίζων, ἐκ παντὸς τρόπου κινδυνεύων τὰ μὲν
ὑφ' ὑμῶν, τὰ δὲ μεθ' ὑμῶν, τὰ δὲ δι' ὑμᾶς, τὰ δ' ὑπὲρ
ὑμῶν, ἀνόμοιος πολίτης Χαρικλεῖ τῷ τούτου κηδεστῇ [8]γε-
γενημένος, ὃς τοῖς μὲν πολεμίοις δουλεύειν ἐπεθύμει, τῶν

[1] ἐκεῖνον ἂν A. C. L. [2] ταύτην μόνος τῶν πολ. ἦν ἄξιος ἔχειν A. C. L. [3] αὐτῷ καὶ A. L. αὐτῷ καὶ C. [4] ᾧ A. C. L. [5] τῶν κακῶν καὶ τῶν ἀγαθῶν A. C. L. [6] ἢ ζηλωτότερος om. A. C. L. [7] κτεῖναι A. C. L. [8] γενόμενος A. C. L.

Πρᾶγμα] I. e. tyrannidem. Lang.
Τῶν ἀγαθῶν] Sub. ταύτης, sp. τῆς πόλεως. Auger.
Πίστιν ἕξειν παρὰ τῆς πόλεως] Se fiduciam in civitate haud posse ponere. Lang.
Χαρικλεῖ] E numero xxx tyrannorum hunc Chariclem fuisse suspicatur Coraes.
Κηδεστῇ] Πενθερῷ. Cor.

δὲ πολιτῶν ἄρχειν ἠξίου, καὶ φεύγων μὲν ἡσυχίαν [1] εἶχε,
κατελθὼν δὲ κακῶς ἐποίει τὴν πόλιν. καίτοι πῶς ἂν γένοιτο
ἢ φίλος πονηρότερος ἢ ἐχθρὸς ἐλάττονος ἄξιος; εἶτα σὺ e
κηδεστὴς μὲν ὢν ἐκείνου, βεβουλευκὼς δ' ἐπὶ τῶν Τριά-
κοντα, τολμᾷς ἑτέροις μνησικακεῖν, καὶ οὐκ αἰσχύνῃ τὰς
συνθήκας παραβαίνων, δι' ἃς αὐτὸς οἰκεῖς τὴν πόλιν, οὐδ'
ἐνθυμῇ διότι, ὁπόταν δόξῃ τῶν παρεληλυθότων τιμωρίαν 356
ποιεῖσθαι, σοὶ καὶ [2] προτέρῳ καὶ μᾶλλον ἢ ἐμοὶ κινδυνεύειν
ὑπάρχει; οὐ γὰρ δήπου παρ' ἐμοῦ μὲν [3] ὑπὲρ ὧν ὁ πατὴρ
ἔπραξε δίκην λήψονται, σοὶ δὲ καὶ ὧν αὐτὸς ἡμάρτηκας
συγγνώμην ἕξουσιν. ἀλλὰ μὴν οὐδ' ὁμοίας ἐκείνῳ φανήσῃ
τὰς προφάσεις ἔχων· οὐ γὰρ ἐκπεσὼν ἐκ τῆς πατρίδος
ἀλλὰ συμπολιτευόμενος, οὐδ' ἀναγκασθεὶς ἀλλ' ἑκὼν, οὐδ'
ἀμυνόμενος ἀλλ' ὑπάρχων, ἠδίκεις αὐτοὺς, ὥστ' οὐδ' ἀπο-
λογίας σοι προσήκει τυχεῖν [4] παρ' αὐτῶν. b

ιζ'. Ἀλλὰ γὰρ περὶ μὲν τῶν [5] Τισίᾳ πεπολιτευμένων
ἴσως ποτ' ἐν τοῖς τούτου κινδύνοις ἐγγενήσεται [6] καὶ διὰ
μακροτέρων εἰπεῖν· ὑμᾶς δ' ἀξιῶ μὴ προέσθαι με τοῖς
ἐχθροῖς, μηδ' ἀνηκέστοις συμφοραῖς περιβαλεῖν. [7] ἱκανῶς
γὰρ καὶ νῦν πεπείραμαι κακῶν, ὃς εὐθὺς μὲν γενόμενος
ὀρφανὸς κατελείφθην, τοῦ μὲν πατρὸς φυγόντος, τῆς δὲ
μητρὸς τελευτησάσης, οὔπω δὲ τέτταρα ἔτη γεγονὼς διὰ c
τὴν τοῦ πατρὸς φυγὴν περὶ τοῦ σώματος εἰς κίνδυνον κατέ-
357 στην, ἔτι δὲ παῖς ὢν ὑπὸ τῶν Τριάκοντα ἐκ τῆς πόλεως
ἐξέπεσον. κατελθόντων δὲ τῶν ἐκ Πειραιῶς, καὶ τῶν ἄλ-
λων κομιζομένων τὰς οὐσίας, ἐγὼ μόνος τὴν γῆν, ἣν ἡμῖν
[8] ἀπέδωκεν ὁ δῆμος ἀντὶ τῶν δημευθέντων χρημάτων, διὰ
τὴν τῶν ἐχθρῶν δύναμιν ἀπεστερήθην. τοσαῦτα δὲ δεδυσ-
τυχηκὼς καὶ δὶς τὴν οὐσίαν ἀπολωλεκὼς [9] νυνὶ πέντε τα- d
λάντων φεύγω δίκην. καὶ τὸ μὲν ἔγκλημά ἐστι περὶ χρη-
μάτων, ἀγωνίζομαι δ' εἰ χρὴ μετεῖναί μοι τῆς πόλεως. τῶν

[1] ἦγε A. C. L. [2] πρότερον A. C. L. [3] ὑπὲρ om. A. C. L. [4] περὶ A. C. L. [5] τότε A. C. L. [6] καὶ om. A. C. L. [7] ἱκανῶν A. C. L. [8] ἀπέδωκεν ἡμῖν A. C. L. [9] νῦν A. C. L.

Κηδεστὴς] Γαμβρός. IDEM.

Τὰς συνθήκας] De oblivione injuriarum a Thrasybulo sancita hoc est intelligendum. WOLF.

Ἐν τοῖς τούτου κινδύνοις] Ἐν ταῖς κατὰ τούτου γραφαῖς, ὅταν, ἐμὲ νῦν διώκων, αὐτὸς ἀναγκασθῇ περὶ τῶν αὐτῷ ἡμαρτημένων ἀπολογεῖσθαι. COR.

Πέντε ταλάντων] Τῆς τιμῆς τοῦ ζεύγους, ὅπερ ἀφείλετο Τισίαν ὁ πατὴρ Ἀλκιβιάδης. IDEM.

Τῶν γὰρ αὐτῶν τιμημ.] Sensus est

γὰρ αὐτῶν τιμημάτων [1] ἐπιγεγραμμένων οὐ περὶ τῶν αὐτῶν
ἅπασιν ὁ κίνδυνός ἐστιν, ἀλλὰ τοῖς μὲν χρήματα κεκτημέ-
νοις περὶ ζημίας, τοῖς δ᾽ ἀπόρως ὥςπερ ἐγὼ διακειμένοις περὶ
e ἀτιμίας, ἣν ἐγὼ φυγῆς μείζω συμφορὰν νομίζω· πολὺ γὰρ
ἀθλιώτερον παρὰ τοῖς αὑτοῦ πολίταις ἠτιμωμένον οἰκεῖν ἢ
παρ᾽ ἑτέροις μετοικεῖν. δέομαι [2] οὖν ὑμῶν βοηθῆσαί μοι, καὶ
μὴ περιιδεῖν [3] ὑπὸ τῶν ἐχθρῶν ὑβρισθέντα μηδὲ τῆς πατρί-
δος [4] στερηθέντα μηδ᾽ ἐπὶ τοιαύταις τύχαις περίβλεπτον
γενόμενον. δικαίως δ᾽ ἂν ὑφ᾽ ὑμῶν ἐξ αὐτῶν τῶν ἔργων
357 ἐλεηθείην, εἰ καὶ τῷ λόγῳ τυγχάνω μὴ [5] δυνάμενος ἐπὶ
τοῦθ᾽ ὑμᾶς ἄγειν, εἴπερ χρὴ τούτους [6] ἐλεεῖν τοὺς ἀδίκως
μὲν κινδυνεύοντας, περὶ δὲ τῶν μεγίστων ἀγωνιζομένους,
ἀναξίως δ᾽ αὑτῶν καὶ τῶν προγόνων πράττοντας, πλείστων
δὲ χρημάτων ἀπεστερημένους καὶ μεγίστῃ μεταβολῇ τοῦ
βίου κεχρημένους. πολλὰ δ᾽ ἔχων ἐμαυτὸν [7] ὀδύρασθαι
μάλιστ᾽ ἐπὶ τούτοις ἀγανακτῶ, πρῶτον μὲν εἰ τούτῳ δώσω
b δίκην παρ᾽ οὗ λαβεῖν μοι προσήκει, δεύτερον δ᾽ εἰ διὰ τὴν
τοῦ πατρὸς νίκην τὴν Ὀλυμπιάσιν ἀτιμωθήσομαι, δι᾽ ἣν
τοὺς ἄλλους ὁρῶ δωρεὰν λαμβάνοντας, πρὸς δὲ τούτοις εἰ
Τισίας μὲν μηδὲν ἀγαθὸν ποιήσας [8] τὴν πόλιν καὶ ἐν δημο-
κρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ μέγα δυνήσεται, ἐγὼ δ᾽ εἰ μηδε-
τέρους ἀδικήσας ὑπ᾽ ἀμφοτέρων κακῶς πείσομαι· καὶ περὶ
c μὲν τῶν ἄλλων τἀναντία τοῖς Τριάκοντα [9] πράξετε, περὶ
δ᾽ ἐμοῦ τὴν αὐτὴν ἐκείνοις [10] γνώμην ἕξετε, καὶ τότε μὲν μεθ᾽
ὑμῶν νῦν δ᾽ ὑφ᾽ ὑμῶν τῆς πόλεως στερήσομαι.

[1] ἀπογεγραμμένων A. L. [2] δ᾽ οὖν A. L. [3] με ὑπὸ A. C. L.
[4] ἀποστερηθέντα A. C. L. [5] βουλόμενος ὑμᾶς ἐπὶ τοῦτ᾽ A. C. L.
[6] ἐλεεῖσθαι A. C. L. [7] ὀδύρεσθαι A. C. L. [8] τῇ πόλει A. C. L.
[9] πράττετε A. C. L. [10] γνώμην ἐκείνοις A. C. L.

Equidem tantummodo ob quinque talenta in jus vocor, sed quum non habeam, unde pecuniam sumam, idem mihi est, ac si de exsilio, quo mulctantur ii qui solvere nesciunt, causam dicerem. LANG.

Τἀναντία τοῖς Τριάκοντα] Sententia est, sed tecta et modesta: Non ut judices agetis, sed ut tyranni, si me damnaveritis. WOLF.

IZ.

· ΙΣΟΚΡΑΤΟΥΣ

ΤΡΑΠΕΖΙΤΙΚΟΣ.

Pag. ed. Cor. 358 — Pag. ed. H. Steph. 358

α΄. Ο ΜΕΝ ἀγών μοι μέγας ἐστὶν, ὦ ἄνδρες δικασταί. οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ

SUMMARIUM. (α΄.) Magna res agitur [filius inquit Sopæi cujusdam, pecunias Pasioni mensario creditas sibique denegatas coram judicio repetens, cui hæc oratio ab Isocrate scripta est], judices, non tantum de pecuniis multis, sed quod pluris est, de existimatione mea, quæ in magno foret periculo, si aliena concupiscere viderer, (β΄.) et periculosa simul, quum adversarium habeam mensarium, quocum et omnis res sine testibus agitur, et cui magna fides est, nec desunt amici. (γ΄.) Rem ab initio narrabo. Pater Sopæus, Satyri in Ponto principis familiaris et amplæ regionis copiarumque præfectus, me et mercandi et visendæ urbis hujus causa cum duabus navibus frumento impletis huc misit, ubi Pasionis mensa usus sum. (δ΄.) Aliquanto post patrem meum Satyrus in vincula conjicit, et pecunias a me reditumque in patriam postulat. (ε΄.) Tantis igitur mihi circumvento malis Pasio, in quo in omnibus rebus magnam fiduciam ponebam, consilium dat, ut promitterem, me imperata Satyri facturum, traditis iis opibus, quæ in aperto essent, sed retentis, quæ apud ipsum depositæ essent, simulans etiam, plures tum ab ipso, tum ab aliis fenore accepisse. (ϛ΄.) Hac re transacta, ubi, jussu Satyri, abire volui et depositas pecunias repetii, Pasionem fortunis meis insidias tetendisse animadverti. Ille enim optimam hanc occasionem sibi datam ratus, simulabat, se in præsentia non habere, quod redderet, et quum Philomelum et Menexenum ad ipsum misissem, pecunias meas repetituros, coram eis inficiatus est, se meum quidquam habere. Equidem hoc tempore quiescere optimum duxi. (ζ΄.) Post hæc nuntiatur, patrem meum cum Satyro in gratiam rediisse. Quod ubi Pasio audivit, timens, ne jus meum aperte persequerer, Cittum puerum, qui de pecuniis quod actum esset conscius erat, occuluit, illumque a me et Menexeno corruptum sex talenta per fraudem ablata nobis dedisse nosque ipsos hunc puerum occultasse affirmans, non prius destitit, quam sex talentorum sponsores ei dedissem. (η΄.) Quum ipse in Peloponnesum abiissem ad puerum investigandum, Menexenus eum hic Athenis deprehendit eumque in quæstionem postulat. Sed Pasio eundem in libertatem asseruit ac ne torqueretur prohibuit, ac coram polemarcho septem talenta pro eodem tanquam libero ipse spopondit. (θ΄.) Deinde, ubi Pasio puerum quæstioni tradere paratum se dixerat, egoque quæsitores rogabam, ut flagellarent illum et torquerent, iste, ut verbis illum percontarentur, si quid vellent, jussit, nec de tradendo nobis puero quidquam audire voluit. (ι΄.) Post hæc sibi nullum patere existimans effugium, si ad judices iret, me rogavit, ut in templo se convenirem. Postquam conveneramus, paupertate se adactum dicebat, ut iret inficias; sed brevi operam daturum, ut pecunias redderet, meque precabatur, ut sibi ignoscerem, ne rescisceretur, se ad hunc modum deliquisse. Triduo post congressi fidem dedimus, omnino tacitum iri, quæ acta essent, ac pollicitus est, se in Pontum navigaturum ibique aurum redditurum. Quæ ni fecisset, arbitrium certis conditionibus se ad Satyrum delaturum, ut sesquialteræ partis damnaretur. Hæc pacta conscripta Pyroni Pheræo in Pontum navigare solito, custodienda damus, ea conditione, ut, si inter nos convenisset, scriptum combureret, sin minus, ut Satyro traderet. (ια΄.) Menexenus autem, iratus ob crimen sibi etiam a Pasione objectum, die illi dicta petiit, ut

τοῦ [1][μὴ] δοκεῖν ἀδίκως τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι. οὐσία μὲν γὰρ ἱκανή μοι κατα-

[1] uncos om. A. C. L.

Cittus dederetur et Pasio puniretur. Ille igitur non de quæstione tantum, sed etiam de scripto sollicitus, ne id a Menexeno deprehenderetur, Satyronis pueros corrumpit, tabulasque Satyro reddendas, nisi iste mihi satisfecisset, adulterat. (ιβ'.) Hac re peracta ait, se neque in Pontum navigaturum, neque sibi mecum rei quidquam esse tabulasque coram testibus aperiri jubet. Scriptum in iis inventum est, eum mihi omnia quæ debuisset, persolvisse. (ιγ'.) Suspicor autem, Pasionem e corruptis tabulis omnem sibi defensionem petiturum, per quæ ipsa, si attendere me velitis, illius improbitatem declaraturum me esse spero. (ιδ'.) Primum autem illud cogitate, judices, qui nobis in mentem venire potuerit. Satyroni tabulas tradere conditionibus supra commemoratis, siquidem Pasio causa liberatus fuisset, re ad exitum perducta? Causa, quare iste promiserit, se aurum redditurum, in aperto est, sed quare ego illum crimine liberarim, nulla est. Æquius igitur est, mihi credi de tabulis, quam isti. (ιε'.) Argumentum autem evidentissimum, Pasionem in pactione non absolutum, sed aurum se velle reddere pollicitum esse, illud est, quod, quum Menexenus ei diem dixisset, misso Agyrrhio petiit, ut aut Menexenum placarem, aut pactionem secum initam abrogarem. Num vero postulaturus fuisset, ut adulterata hæc pactio aboleretur, qua nos, si mentiremur, convicturus erat? Eum vero pactionem abolere voluisse, testis est Agyrrhius. (ιϛ'.) Neque vero mirandum est, eum tabulas adulterasse; nam Pasionis quidam familiares, his multo graviora commiserunt. (ιζ'.) Exemplo sit Pythodori factum. (ιη'.) Jam autem Pasio quibusdam persuadere conatus est, mihi prorsus nullas pecunias hic fuisse, quod a Stratocle trecentas stateres sim mutuatus, de quibus audire operæ pretium est. (ιθ'.) Hæc ipsa, quæ cum Stratocle egi, firmissimæ sunt probationes, mihi apud Pasionem aurum fuisse. Nam quum Stratoclem in Pontum navigaturum, e qua ego plurimas pecunias exportare volebam, precarer, ut suum aurum mihi relinqueret meumque a patre meo reciperet in Ponto, Pasio, nisi sic esset, ut dicerem, et sortem et usuras redditurum se Stratocli promisit. (κ'.) Fortassis autem inde demonstrabit testesque rei producet, se mihi nihil debere, 1. quod coram Satyri procuratoribus negaverim, me nihil habere, præter ea, quæ ipsis tradidissem; 2. quod confessus sim, trecentas me drachmas debere; 3. quod Hippolaidam, hospitem et familiarem meum, a se mutuum sumere permiserim. (κα'.) Hæc me fecisse confiteor, sed, ut facile conjicere potestis, eo consilio, ut nihil mihi esse eo facilius iis persuaderem. Testes contra producam, satis locupletes, aliaque testimonia proferam, me magnas opes hic possedisse. (κβ'.) Quin ipsum Pasionem producam, non verbis, sed facto mihi testificantem. Nam occasione quadam Archestratum, mensæ suæ præfectum, mihi exhibuit septem talentum sponsorem, quod facere sibi cavisset, si me nihil hic habere scivisset. Trecentas igitur istas drachmas me sibi debere tantum simulavit, et sponsor factus est, quum aurum meum apud se depositum haberet. (κγ'.) Si autem optime percipere volueritis controversiam omnem, reputetis, quæso, utrum verisimilius sit, me tantis afflictum calamitatibus, quibus tunc eram, Pasionem injuste accusasse, an hunc, tum nostris calamitatibus, tum magna pecunia impulsum, fraudare nos voluisse? Quid me impellere potuisset, ut postularem a Pasione, quæ iste mihi non debuisset, et sperarem, ea præter omnem exspectationem accipere? (κδ'.) At vero Pasioni talia apprime conveniunt; qui tum, quum persequi injuriam non poteram, criminatur, me injuste litem inferre conatum esse, postquam vero et ego purgatus essem crimine apud Satyrum et istum omnes damnatum iri crederent, tum ait se a me omnibus liberatum esse petitionibus. (κε'.) Sed ejusmodi sibi contraria multa fecisse Pasionem et illius mendacium de puero nunc servo, nunc libero, et furtum nobis afflictum satis ostendunt. Qui in rebus tam manifestis mentitur, ei in iis, quæ quis solus cum solo agit, nulla fides habenda est. (κϛ'.) Postremo, ad Satyrum se navigaturum pollicitus, etiam in eo me decepit. Misit enim mecum Cittum, cujus tamen præsentia ad jus dicendum nequaquam sufficiebat. (κζ'.) Illud autem maximum testimonium esse arbitror, Pasionem pecuniis me fraudare, quod puerum depositi conscium in quæstionem tradere noluit. Quum enim sciret, tormentum esse argumentum validissimum de negotiis, quibus testes non adhibemus, vos conjectura uti, quam rem certo cognoscere maluit. Quanquam

λειφθήσεται καὶ τούτων στερηθέντι· εἰ δὲ δόξω μηδὲν [1]προσῆκον τοσαῦτα χρήματα [2]ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα [3]βίον. b

β'. Ἔστι δ', ὦ ἄνδρες δικασταί, πάντων χαλεπώτατον τοιούτων ἀντιδίκων τυχεῖν. τὰ μὲν γὰρ συμβόλαια [4]τὰ πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρτύρων γίγνεται· τοῖς ἀδικουμένοις δὲ πρὸς [5]τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται καὶ χρήματα πολλὰ διαχειρίζουσι καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν εἶναι. ὅμως δὲ καὶ τούτων ὑπαρχόντων ἡγοῦμαι φανερὸν πᾶσι c ποιήσειν, ὅτι ἀποστεροῦμαι [6]τῶν χρημάτων ὑπὸ Πασίωνος.

γ'. Ἐξ ἀρχῆς οὖν ὑμῖν [7][ὡς ἂν δύνωμαι] διηγήσομαι τὰ πεπραγμένα. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, πατὴρ μέν ἐστι Σωπαῖος, ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς μὲν 359 χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ

[1] προσηκόντως A. L. [2] ἐγκαλεῖσθαι A. L. [3] χρόνον A. C. L.
[4] τὰ om. A. C. L. [5] τοὺς τοιούτους A. C. L. [6] τοσούτων A. C. L.
[7] uncos om. A. C. L.

autem hoc sibi obesse nullo modo poterat, tamen delictorum suorum sibi conscius recusavit. (κη'.) Itaque vos rogo, ut Pasionem condemnetis, neque me ita improbum putetis, ut, multas quum habeam opes, Pasionem calumniaturus huc advenerim; (κθ'.) nec Satyri et patris qui omni tempore vos maximi fecerunt idque pluribus factis declararunt, literas parvi faciatis, sed quæ justa sunt decernatis, neque Pasionis orationem mea veriorem arbitremini. LANG. Hæc oratio scripta fuit Isocrate annis provectissimo; quippe tunc regnabat Satyrus, Heracleæ tyrannus. Qui quidem successit Clearcho fratri occiso ante Christum anno 353. Ex iis autem factis quæ in oratione referuntur patet hanc scriptam fuisse aliquot annis postquam regnare incipit Satyrus: collocari igitur debet hujus orationis scriptio circa annum 350. ante Christum, et Isocratis ætatis 86. Cæterum, ex historia cognoscitur Clearchum, postquam multa cum sævitia per annos 12. regnaverit, occisum fuisse; Satyrum autem ipsius fratrem per 7. annos summam potentiam exercuisse, quum pupilli essent fratris filii Timotheus et Dionysius. Tria tamen de Satyro mihi negotium facessunt. 1°. Non facile mihi persuadeo Isocratem scripsisse orationem forensem ætatis suæ anno 86. quum ipse affirmet in oratione de permutatione ante hoc tempus scripta, se nunquam versatum fuisse circa res forenses. 2°. Historia refert Satyrum noluisse uxori liberos procreare, ne fratris filiis summæ potentiæ æmulos procrearet; oratio autem commemorat filio suo filiam Sopæi ducendam curavisse. 3°. In eadem oratione legitur Lacedæmoniis mari imperavisse, quum Sopæus causam diceret: porro regnavit Satyrus multis annis post cladem Lacedæmoniorum ad Leuctra, quæ clades ipsorum opes penitus afflixit. Ex his omnibus conjicio fuisse olim per Isocratis adolescentiam Satyrum quendam alium, urbis cujusdam Ponticæ principem, de quo silet historia. AUGER.

Χαλεπώτατον] Δυσχερέστατον, ἐπικινδυνώτατον, ἀηδέστατον. WOLF.

Πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις] Πρὸς τοὺς τραπεζίτας. IDEM.

Τοῖς ἀδικουμένοις] Scil. ὑπ' αὐτῶν. LANG.

Ἁπάσης δὲ τῆς δυνάμεως] *totius exercitus.* Sopæus igitur summus imperator Satyri fuit. LANG.

περὶ τῆς [1]ἄλλης Ἑλλάδος ἐπεθύμησ᾽ ἀποδημῆσαι. γε-
μίσας [2]οὖν ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς
ἐξέπεμψεν ἅμα κατ᾽ ἐμπορίαν καὶ κατὰ θεωρίαν. συστή-
σαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα, ἐχρώμην
τῇ τούτου τραπέζῃ.

b δ΄. Χρόνῳ δ᾽ ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, 359
ὡς ὁ πατὴρ [3]οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυ-
γάσι συγγιγνοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει,
ἐπιστέλλει δὲ τοῖς ἐνθάδ᾽ ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου τά τε
χρήματα παρ᾽ ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσπλεῖν κε-
λεύειν· [4]ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ᾽ ὑμῶν ἐξαιτεῖν.

ε΄. Ἐν τοσούτοις δὲ κακοῖς ὤν, ὦ ἄνδρες δικασταί, λέγω
πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς· οὕτω γὰρ οἰκείως
c [5]πρὸς αὐτὸν διεκείμην, ὥστε μὴ μόνον περὶ χρημάτων ἀλλὰ
καὶ περὶ τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. [6][ἡγούμην
δ᾽, εἰ μὲν προείμην ἅπαντα τὰ χρήματα, κινδυνεύσειν, εἴ
τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ,
πάντων ἐνδεὴς γενήσεσθαι· εἰ δ᾽ ὁμολογῶν εἶναι ἐπιστεί-
λαντος Σατύρου μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς
ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον.]
d βουλευομένοις οὖν ἡμῖν ἐδόκει [7]βέλτιστον εἶναι [6][προσομολο-
γεῖν πάντα ποιεῖν, ὅσα Σάτυρος προσέταττε, καὶ] τὰ μὲν
φανερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ τού-
τῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ ὀφείλοντά
με καὶ τούτῳ καὶ ἑτέροις ἐπὶ τόκῳ [8]φαίνεσθαι, καὶ πάντα
ποιεῖν ἐξ ὧν ἐκεῖνοι μάλιστ᾽ [9]ἤμελλον πεισθήσεσθαι μὴ εἶναί
μοι χρήματα.

ς΄. Τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐνόμιζόν μοι Πα-
e σίωνα δι᾽ εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν· ἐπειδὴ δὲ
πρὸς τοὺς παρὰ Σατύρου διεπραξάμην, ἔγνων αὐτὸν ἐπι-
βουλεύοντα τοῖς ἐμοῖς. βουλομένου γὰρ ἐμοῦ κομίσασθαι

[1] ὅλης A. C. L. [2] δ᾽ A. C. L. [3] ὁ ἐμὸς A. C. L. [4] ἂν A. C. L.
[5] πρὸς αὐτὸν οἰκείως A. C. L. [6] uncos om. A. C. L. [7] βέλτιον A. L.
[8] φαίνεσθαι post με ponunt A. C. L. [9] ἔμελλον A. C. L.

Συστήσαντος] quum commendaret. Idem.
Αὐτὸν εἰσπλεῖν κελεύειν] Ἐμὲ κελεύειν εἰσπλεῖν εἰς τὸν Πόντον. Cor.
Ἐξαιτεῖν] Sub. ἐμέ. Lang.
Εἴ τι πάθοι ἐκεῖνος] Εἰ ὁ πατήρ μου ὑπὸ Σατύρου ἀποθάνοι. Cor.
Ὁμολογῶν εἶναι] Scil. μοι χρήματα. Wolf.
Ἐκεῖνοι] I. e. Pontici negotiatores. Lang.

ταμαυτοῦ καὶ πλεῖν εἰς Βυζάντιον, ἡγησάμενος οὗτος κάλ-
λιστον [1] αὐτῷ καιρὸν παραπεπτωκέναι — [2] τὰ μὲν γὰρ 360
χρήματα πολλὰ εἶναι τὰ παρ᾽ αὐτῷ κείμενα καὶ ἄξι᾽
ἀναισχυντίας, ἐμὲ δὲ πολλῶν ἀκουόντων ἔξαρνον γεγενῆ-
σθαι μηδὲν κεκτῆσθαι, πᾶσί [3] δ᾽ εἶναι φανερὸν ἀπαιτού-
μενον καὶ ἑτέροις [4] προσομολογοῦντα ὀφείλειν —, καὶ πρὸς
τούτοις, ὦ ἄνδρες δικασταὶ, νομίζων, εἰ μὲν αὐτοῦ μένειν
ἐπιχειροίην, ἐκδοθήσεσθαί μ᾽ ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ
δ᾽ ἄλλοσέ ποι τραποίμην, οὐδὲν μελήσειν [5] αὐτῷ τῶν ἐμῶν b
360 λόγων, εἰ δ᾽ [6] εἰσπλευσοίμην, ἀποθανεῖσθαί με μετὰ τοῦ
πατρὸς, — ταῦτα λογιζόμενος διενοεῖτ᾽ [7] ἀποστερεῖν με
τῶν χρημάτων. καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτ᾽ [8] ἀπορεῖν ἐν
τῷ παρόντι [9] καὶ οὐκ ἂν ἔχειν ἀποδοῦναι· ἐπειδὴ δὲ βου-
λόμενος εἰδέναι σαφῶς τὸ πρᾶγμα προσπέμπω Φιλόμηλον
αὐτῷ καὶ Μενέξενον, [10] ἔξαρνος γίγνεται πρὸς αὐτοὺς μηδὲν
ἔχειν τῶν ἐμῶν. πανταχόθεν δέ μοι τοσούτων κακῶν [11] συμ- c
πεπτωκότων τίν᾽ οἴεσθέ με γνώμην ἔχειν; [12] ᾧ ὑπῆρχε σι-
γῶντι μὲν ὑπὸ τούτου [13] ἀπεστερῆσθαι τῶν χρημάτων, λέ-
γοντι δὲ [14] ταῦτα μηδὲν μᾶλλον κομίσασθαι, πρὸς Σάτυρον
δ᾽ εἰς τὴν μεγίστην διαβολὴν καὶ ἐμαυτὸν καὶ τὸν πατέρα
[15] καταστῆσαι. κράτιστον οὖν ἡγησάμην [16] εἶναι ἡσυχίαν
ἄγειν.

ζ΄. Μετὰ δὲ ταῦτ᾽, ὦ ἄνδρες δικασταὶ, [17] ἀφικνοῦνται
ἀπαγγέλλοντες ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σατύρῳ οὕτως
ἁπάντων μεταμέλει τῶν πεπραγμένων, ὥστε πίστεις τὰς d
μεγίστας [18] αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω
πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν
εἰληφὼς [19] γυναῖκα τῷ αὑτοῦ [20] υἱεῖ. πυθόμενος δὲ ταῦτα

[1] αὐτῷ κάλλιστον A. C. L. [2] καὶ τὰ μὲν χρήμ. C. L. [3] τ᾽ C.
[4] ὁμολογοῦντα A. C. L. [5] αὐτῷ μελήσειν A. C. L. [6] εἰσπλευσαίμην A. L.
[7] ἀποστερεῖν τὰ χρήματα A. C. L. [8] ἀπορεῖν om. A. C. L. [9] καὶ om. A. C. L.
[10] ἀπαιτήσοντας, ἔξαρνος A. C. L. [11] προσπεπτωκότων A. C. L.
[12] ᾧ γ᾽ A. [13] ἀποστερεῖσθαι τὰ χρήματα A. C. L. [14] ταῦτα om. A. C. L.
[15] καταστῆσαι post διαβολὴν ponunt A. C. L. [16] εἶναι om. A. C. L.
[17] ἀφικνοῦνταί μοι A. C. L. [18] αὐτῷ τὰς μεγίστας A. C. L.
[19] γυναῖκα om. A. C. L. [20] υἱῷ A. C. L.

Ἀναισχυντίας] Ψεύδους. Cor.

Ἀπαιτούμενον] *quum argentum a me repeteretur, me confessum esse quod etiam aliis deberem.* Wolf.

Ὦ ὑπῆρχε] *cui periculum erat.* Lang.

Ἀφεῖται] Scil. τῶν τε δεσμῶν καὶ τῶν ἐγκλημάτων. Wolf.

Πίστεις] Non tam ad promissa verborum quam ad testimonia rerum pertinere videtur, np. ad amplificationem imperii et contractam affinitatem. Idem.

Πασίων, καὶ εἰδὼς ὅτι φανερῶς [1] ἤδη πράξω περὶ τῶν ἐμαυ-
τοῦ, ἀφανίζει Κίττον τὸν παῖδα, ὃς συνῄδει περὶ τῶν χρη-
μάτων. ἐπειδὴ δ᾽ ἐγὼ προσελθὼν [2] ἐξῄτουν αὐτὸν, ἡγούμε-
νος ἔλεγχον [3] ἂν τοῦτον σαφέστατον γενέσθαι περὶ ὧν
e ἐνεκάλουν, λέγει λόγον πάντων δεινότατον, ὡς ἐγὼ καὶ
Μενέξενος διαφθείραντες καὶ πείσαντες [4] αὐτὸν ἐπὶ τῇ
τραπέζῃ καθήμενον ἓξ τάλαντ᾽ ἀργυρίου λάβοιμεν [5] παρ᾽
αὐτοῦ· ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο περὶ
αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας τὸν παῖδ᾽ ἀντεγκαλεῖν
361 [6] αὐτῷ, καὶ ἐξαιτεῖν τοῦτον ὃν αὐτοὶ ἠφανίσαμεν. καὶ
ταῦτα λέγων καὶ ἀγανακτῶν καὶ δακρύων εἷλκέ με πρὸς
τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν, καὶ οὐ πρότερον ἀφῆκεν,
ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυητάς. καί μοι κάλει
τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ή. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες δικασταί·
ἐγὼ δὲ τὰ μὲν ἀπολωλεκὼς ἤδη, περὶ δὲ τῶν αἰσχίστας 361
b αἰτίας ἔχων, αὐτὸς μὲν εἰς Πελοπόννησον ᾠχόμην ζητήσων,
Μενέξενος δ᾽ εὑρίσκει τὸν παῖδα ἐνθάδε, καὶ ἐπιλαβόμενος
ἠξίου αὐτὸν βασανίζεσθαι καὶ περὶ τῆς παρακαταθήκης
καὶ περὶ ὧν οὗτος [7] ἡμᾶς ᾐτιάσατο. Πασίων δ᾽ εἰς τοῦτο
τόλμης ἀφίκεθ᾽, ὥστ᾽ ἀφῃρεῖτ᾽ αὐτὸν ὡς ἐλεύθερον ὄντα,
καὶ οὐκ ᾐσχύνετ᾽ οὐδ᾽ ἐδεδοίκει, ὃν ἔφασκεν [8] ὑφ᾽ ἡμῶν ἠνδρα-
ποδίσθαι καὶ παρ᾽ οὗ τοσαῦτα χρήματα ἡμᾶς ἔχειν,
τοῦτον ἐξαιρούμενος εἰς ἐλευθερίαν καὶ κωλύων βασανίζε-
c σθαι. ὃ δὲ πάντων δεινότατον· διεγγυῶντος γὰρ Μενεξένου

[1] ἤδη om. A. L. [2] ἐζήτουν A. C. L. [3] σαφέστατον τοῦτον ἂν A. C. L.
[4] τὸν A. L. [5] παρ᾽ αὐτοῦ λάβοιμεν A. C. L. [6] αὐτὸν A. L.
[7] ἡμᾶς αὐτὸς A. C. L. [8] ὑφ᾽ ἡμῶν ἔφασκεν A. C. L.

Κίττον] Hunc eandem Citium esse, qui apud Demosthenem c. Phorm. §. γ'. memoratur, suspicatur Coraes.

Αὐτὸν ἐπὶ] F. leg. αὐτὸν τὸν ἐπὶ —. Auger.

Ἀντεγκαλεῖν αὐτῷ] Ἀντεγκαλεῖν ἐμὲ τῷ Πασίωνι. Cor.

Πολέμαρχον] Ἕνα τῶν ἐννέα ἀρχόντων, qui præter alia jus inquilinis et populis fundis dicebat. Wolf.

Αὐτῷ] Τῷ Πασίωνι. Cor.

Ζητήσων] Τὸν παῖδα τὸν ἀφανισθέντα. Idem.

Ἠνδραποδίσθαι] Ὡς ἀνδράποδον ἀπαχθῆναι ἢ ὑφαρπασθῆναι. Wolf.

Διεγγυῶντος] Διεγγυᾶν est ἐγγυητὰς καθιστάναι. Lang. Ὁ μὲν Μενέξενος, δεδιὼς μὴ Πασίων ἀφανίσῃ τὸν παῖδα, παρὰ τῷ πολεμάρχῳ διεγγυᾷ, τουτέστιν ἐγγυητὰς ζητεῖ τοῦ παρ᾽ ἐκείνῳ ἢ παρ᾽ ἑτέρῳ τινὶ μένειν τὸν παῖδα, καὶ οἱονεὶ εἰς φυλακὴν παραδίδωσιν αὐτὸν, μέχρις ἂν ὁ Πασίων διαλύσηται τὰς πρὸς τὸν Ποντικὸν νεανίσκον διαφοράς· ὁ δὲ Πασίων, δεδιὼς καὶ αὐτὸς μὴ παρ᾽ ἄλλοις ὁ παῖς γένηται, διεγγυᾶται αὐτὸν ὡς ἐλεύθερον, τουτέστιν ἀναδέχεται τὴν ἐγγύησιν, καὶ παρ᾽

πρὸς τὸν πολέμαρχον τὸν παῖδα, Πασίων [1] αὐτὸν ἑπτὰ ταλάντων [2] διηγγυήσατο. καί μοι τούτων ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

θʹ. Τούτων τοίνυν [3] αὐτῷ πεπραγμένων, ὦ ἄνδρες δικασταὶ, ἡγούμενος περὶ μὲν τῶν παρεληλυθότων φανερῶς ἡμαρτηκέναι, οἰόμενος δ' ἐκ τῶν λοιπῶν ἐπανορθώσεσθαι,
προσῆλθεν ἡμῖν φάσκων ἕτοιμος εἶναι παραδοῦναι βασανί- d
ζειν τὸν παῖδα. ἑλόμενοι δὲ βασανιστὰς ἀπηντήσαμεν εἰς τὸ [4] Ἡφαιστεῖον. κἀγὼ μὲν ἠξίουν αὐτοὺς μαστιγοῦν τὸν ἐκδοθέντα καὶ στρεβλοῦν, ἕως ἂν τἀληθῆ δόξειεν αὐτοῖς λέγειν· [5] Πασίων δ' οὑτοσὶ οὐ δημοκοίνους ἔφασκεν αὐτοὺς [6] ἑλέσθαι, ἀλλ' ἐκέλευε λόγῳ πυνθάνεσθαι παρὰ τοῦ παιδὸς, εἴ τι βούλοιντο. διαφερομένων δ' ἡμῶν, οἱ βασανισταὶ αὐτοὶ μὲν οὐκ [7] ἔφασαν βασανιεῖν, ἔγνωσαν δὲ Πασί-
ωνα ἐμοὶ παραδοῦναι τὸν παῖδα. [8] οὗτος δ' οὕτω σφόδρα e
ἔφυγε τὴν βάσανον, ὥστε περὶ μὲν τῆς παραδόσεως οὐκ ἤθελεν αὐτοῖς πείθεσθαι, τὸ δ' ἀργύριον ἕτοιμος ἦν [9] ἀποτί-
σειν, εἰ καταγνοῖεν αὐτοῦ. καί μοι κάλει τούτων μάρ- 362
τυρας.

ΜΑΡΤΥΡΕΣ.

ιʹ. Ἐπειδὴ τοίνυν ἐκ τῶν συνόδων, ὦ ἄνδρες δικασταὶ,
πάντες αὐτοῦ κατεγίγνωσκον ἀδικεῖν καὶ δεινὰ ποιεῖν, ὅστις
362 τὸν παῖδα, ὃν ἔφασκον ἐγὼ συνειδέναι περὶ τῶν χρημάτων,
πρῶτον μὲν αὐτὸς ἀφανίσας ὑφ' ἡμῶν αὐτὸν ᾐτιᾶτο ἠφανίσθαι, [10] ἔπειτα δὲ συλληφθέντα ὡς ἐλεύθερον [11] ὄντα διεκώλυσε βασανίζεσθαι, μετὰ δὲ ταῦθ' ὡς δοῦλον ἐκδοὺς καὶ
βασανιστὰς ἑλόμενος λόγῳ μὲν [12] ἐκέλευσε βασανίζειν, ἔργῳ b
δ' οὐκ εἴα, διὰ ταῦθ' ἡγούμενος οὐδεμίαν αὐτῷ σωτηρίαν

[1] ὡς ἐλευθέρου ὄντος αὐτοῦ A. C. L. [2] διεγγυήσατο A. L. [3] οὕτω διαπεπραγμένων A. C. L. [4] Ἡφαιστήϊον. καὶ ἐγὼ A. C. L. [5] οὗτος δ' οὐ A. C. L. [6] ἑλέσθαι αὐτοὺς A. C. L. [7] ἂν ἔφασαν βασανίσαι A. C. L. [8] οὕτω δ' οὗτος A. C. L. [9] ἅπαν ἀποτίσειν A. C. L. [10] ἔπειτα ληφθέντα A. C. L. [11] ὄντα om. A. C. L. [12] ἐκέλευε A. C. L.

ἑαυτῷ κατέχειν τέως τὸν παῖδα βούλεται, ἑπτὰ παρασχόμενος, ἢ γοῦν ἐκτίσειν ὑποσχόμενος, τῆς ἐγγυήσεως τάλαντα, εἰ μὴ παρεδίδου τοῖς ἐξαιτοῦσιν εἰς βάσανον, ἢ εἰ μὴ ἐλεύθερον ἀπεδείκνυεν ὄντα, καὶ διὰ τοῦτο οὐκ ὀφείλοντα βασανισθῆναι. Cor.

Οἰόμενος — ἐπανορθ.] *putans ea delicta deinceps correcturum.* Lang.

Δημοκοίνους] Δημοσίους βασανιστάς. Harpocrat.

Ἐκ τῶν συνόδων] Pro μετὰ τὰς συνόδους, *post hos congressus, postquam hoc inter nos*

εἶναι, ἐάν περ εἰς ὑμᾶς εἰσέλθῃ, προσπέμπων ἐδεῖτό μου εἰς
ἱερὸν [1] ἐλθόνθ᾽ αὐτῷ συγγενέσθαι. καὶ ἐπειδὴ ἤλθομεν εἰς
ἀκρόπολιν, ἐγκαλυψάμενος ἔκλαιε, καὶ ἔλεγεν ὡς ἠναγκά-
σθη μὲν δι᾽ ἀπορίαν ἔξαρνος γενέσθαι, ὀλίγου δὲ χρόνου
πειράσοιτο τὰ χρήματ᾽ ἀποδοῦναι· ἐδεῖτο δέ μου συγγνώμην
c ἔχειν αὐτῷ καὶ συγκρύψαι τὴν συμφοράν, ἵνα μὴ παρακα-
ταθήκας δεχόμενος φανερὸς γένηται [2] τοιαῦτ᾽ ἐξημαρτηκώς.
ἡγούμενος δ᾽ αὐτῷ μεταμέλειν τῶν πεπραγμένων συνεχώ-
ρουν, καὶ ἐκέλευον αὐτὸν ἐξευρεῖν ὅντινα ἂν βούληται τρόπον,
ὅπως τούτῳ τε καλῶς ἕξει, κἀγὼ [3] τἀμαυτοῦ κομιοῦμαι.
τρίτῃ δ᾽ ἡμέρᾳ συνελθόντες πίστιν τ᾽ ἔδομεν [4] ἀλλήλοις ἦ μὴν
σιωπήσεσθαι τὰ πραχθέντα, ἣν [5] οὗτος ἔλυσεν, ὡς ὑμεῖς
αὐτοὶ προϊόντος τοῦ λόγου γνώσεσθε, καὶ ὡμολόγησεν εἰς
d τὸν [6] Πόντον μοι συμπλευσεῖσθαι κἀκεῖ τὸ χρυσίον ἀπο-
δώσειν, ἵν᾽ ὡς ποῤῥωτάτω ἀπὸ τῆσδε τῆς πόλεως διαλύσειε
[7] τὸ συμβόλαιον, καὶ τῶν μὲν ἐνθάδε μηδεὶς εἰδείη τὸν τρό-
πον τῆς ἀπαλλαγῆς, ἐκπλεύσαντι δὲ αὐτῷ ἐξείη λέγειν ὅ
τι [8] αὐτὸς βούλοιτο· εἰ δὲ μὴ [9] ταῦτα ποιήσειε, δίαιταν ἐπὶ
ῥητοῖς [10] ἐπέτρεπε Σατύρῳ, ἐφ᾽ ᾧ τε καταγιγνώσκειν ἡμιόλι᾽
αὐτοῦ τὰ χρήματα. ταῦτα δὲ συγγράψαντες καὶ [11] ἀναγα-
e γόντες εἰς ἀκρόπολιν [12] Πύρωνα Φεραῖον ἄνδρα, εἰθισμένον
εἰσπλεῖν εἰς τὸν Πόντον, δίδομεν αὐτῷ φυλάττειν τὰς συν-
θήκας, [13] προστάξαντες αὐτῷ, ἐὰν μὲν διαλλαγῶμεν πρὸς
ἡμᾶς αὐτούς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή,
Σατύρῳ ἀποδοῦναι.

ια΄. Τὰ μὲν οὖν ἡμέτερα, ὦ ἄνδρες δικασταί, οὕτω διε-
πέπρακτο· Μενέξενος δ᾽ ὀργιζόμενος ὑπὲρ τῆς αἰτίας ἧς κἀ-
363 κεῖνον Πασίων ᾐτιάσατο, λαχὼν δίκην [14] ἐξῄτει τὸν Κίττον,
ἀξιῶν τὴν αὐτὴν Πασίωνι ψευδομένῳ γίγνεσθαι ζημίαν, 363

[1] ἐλθόντα αὐτῷ A. C. L. [2] τοιάδ᾽ A. C. L. [3] τὰ ἐμαυτοῦ A. C. L.
[4] ἡμῖν αὐτοῖς ἦ A. C. L. [5] αὐτὸς A. C. L.
[6] Πόντον εἰσπλεύσεσθαι κἀκεῖ ἀποδώσειν μοι τὸ χρυσίον A. C. L.
[7] τὰ συμβόλαια A. C. L. [8] αὐτὸς om. A. C. L. [9] ταῦτα μὴ A. C. L.
[10] ἐπιτρέψειν A. C. L. [11] συναγαγόντες A. L.
[12] Σατύρωνα A. L. παρὰ Σατύρωνα C. [13] συντάξαντες A. C. L.
[14] ἐξῃτεῖτο A. C. L.

acta fuerant. Wolf.

Εἰς ἱερὸν] Scil. τῆς Ἀθηνᾶς. Mox enim arcis mentionem facit. Idem.

Καλῶς ἕξει] Np. τὰ πράγματα, i. e. quomodo ipse fidem servaret. Kano.

Ἐπὶ ῥητοῖς] *ea conditione.* Idem.

Ἐφ᾽ ᾧ τε — χρήματα] *ut* (Satyrus) *ipsum totius summæ cum dimidia insuper*

ἧσπερ ἂν αὐτὸς [1]ἐτύγχανεν, εἴ τι τούτων ἐφαίνετο ποιήσας. καὶ οὗτος, ὦ ἄνδρες δικασταὶ, ἐδεῖτό μου ἀπαλλάττειν Μενέξενον, λέγων ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, εἰ τὰ μὲν χρήματα ἐκ τῶν συγγεγραμμένων εἰς τὸν Πόντον εἰσπλεύσας ἀποδώσει, αὐτὸς δ' ὁμοίως ἐνθάδε καταγέλαστος ἔσοιτο· ὁ γὰρ παῖς, ἐὰν βασανίζηται, περὶ πάντων τἀληθῆ κατερεῖ. ἐγὼ δ' ἠξίουν πρὸς [2]μὲν Μενέξενον πράττειν ὅ τι βούλοιτο, b
πρὸς δὲ ἐμὲ ποιεῖν αὐτὸν τὰ συγκείμενα. ἐν ἐκείνῳ μὲν οὖν τῷ χρόνῳ ταπεινὸς ἦν, οὐκ ἔχων ὅ τι χρήσαιτο τοῖς αὑτοῦ κακοῖς. καὶ γὰρ οὐ μόνον περὶ τῆς βασάνου καὶ τῆς [3]δίκης ἐκείνης ἐδεδοίκει τῆς εἰληγμένης, ἀλλὰ καὶ περὶ τοῦ γραμματείου, ὅπως μὴ ὑπὸ τοῦ Μενεξένου [4]συλληφθήσοιτο.

ιβ'. Ἀπορῶν δὲ, καὶ οὐδεμίαν ἄλλην εὑρίσκων ἀπαλλαγὴν, πείσας [5]τοὺς παῖδας διαφθείρει τὸ γραμματεῖον, c
ὃ ἔδει Σάτυρον λαβεῖν, εἰ μή μ' ἀπαλλάξειεν οὗτος. καὶ οὐκ ἔφθη διαπραξάμενος ταῦτα, καὶ θρασύτατος [6]ἁπάντων ἀνθρώπων ἐγεγένητο, καὶ οὔτ' εἰς τὸν Πόντον ἔφη μοι [7]συμπλευσεῖσθαι οὔτ' εἶναι πρὸς ἔμ' [8]αὐτῷ συμβόλαιον οὐδὲν, ἀνοίγειν τ' ἐκέλευε τὸ γραμματεῖον ἐναντίον μαρτύρων. τί ἂν [9]ὑμῖν τὰ πολλὰ λέγοιμι, ὦ ἄνδρες δικασταί; εὑρέθη γὰρ ἐν τῷ γραμματείῳ γεγραμμένον, ἀφειμένος ἁπάντων τῶν [10]ἐγκλημάτων ὑπ' ἐμοῦ. d

ιγ'. Τὰ μὲν οὖν γεγενημένα, ὡς ἀκριβέστατα οἷός τ' ἦν, ἅπανθ' ὑμῖν εἴρηκα. ἡγοῦμαι δὲ Πασίωνα, ὦ ἄνδρες δικασταὶ, ἐκ τοῦ διεφθαρμένου γραμματείου τὴν ἀπολογίαν ποιήσεσθαι καὶ τούτοις ἰσχυριεῖσθαι μάλιστα. ὑμεῖς οὖν μοι τὸν νοῦν προσέχετε· οἶμαι γὰρ ἐξ αὐτῶν τούτων φανερὰν ὑμῖν ποιήσειν τὴν τούτου πονηρίαν.

ιδ'. Πρῶτον δ' ἐκ τούτου [11]σκοπεῖσθε. ὅτε γὰρ ἐδίδομεν e
τὴν συνθήκην τῷ ξένῳ, καθ' ἣν οὗτος μὲν ἀφεῖσθαί φησι τῶν ἐγκλημάτων, ἐγὼ [12]δ' ὡς ἔδει με παρὰ τούτου κομί-

[1] ἔτυχεν A. C. L. [2] μὲν om. A. L. [3] δίκης τῆς εἰληγμένης ἐδεδοίκει A. C. L. [4] συλληφθείη A. C. L. [5] τοῦ Σατύρωνος τοὺς A. C. L. [6] ἁπάντων om. A. C. L. [7] συμπλεύσεσθαι A. C. L. [8] αὐτῷ πρὸς ἐμὲ A. C. L. [9] οὖν ὑμῖν A. C. L. [10] συμβολαίων A. C. L. [11] σκοπεῖτε A. C. L. [12] δὲ δεῖν με κομίσασθαι παρὰ τούτου A. C. L.

ejus parte damnaret. Idem.

Ἐδεῖτό μου ἀπαλλάττειν M.] Ad verbum: *me rogabat ut a se dimitteret Menexenum*, i. e. ut se a Menexeno liberarem. Auger.

Ἀφείμενος] I. e. ὅτι ἀφεῖται. Wolf.

σασθαι τὸ χρυσίον, ἐκελεύομεν τὸν ξένον, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐτοὺς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ 364
δὲ μὴ, Σατύρῳ ἀποδοῦναι· καὶ ταῦτα ῥηθῆναι ὑπ᾽ ἀμφοτέρων ἡμῶν [1] ὁμολογεῖται. καίτοι τί [2] μαθόντες, ὦ ἄνδρες
364 δικασταὶ, προσετάττομεν ἀποδοῦναι Σατύρῳ [3] τὸ γραμματεῖον, ἐὰν μὴ διαλλαγῶμεν, εἴπερ ἀπηλλαγμένος ἤδη Πασίων [4] ἦν τῶν ἐγκλημάτων καὶ τέλος εἶχεν [5] ἡμῖν τὸ πρᾶγμα; ἀλλὰ δῆλον ὅτι ταύτας τὰς συνθήκας ἐποιησάμεθα ὡς ὑπολοίπων ὄντων [6] ἡμῖν ἔτι πραγμάτων, περὶ ὧν ἔδει τοῦτον πρὸς ἐμὲ κατὰ τὸ γραμματεῖον [7] διαλύσασθαι. ἔπειτ᾽ ἐγὼ μὲν, ὦ ἄνδρες δικασταὶ, ἔχω [8] τὰς αἰτίας εἰπεῖν,
b δι᾽ ἃς οὗτος ὡμολόγησεν ἀποδώσειν τὸ χρυσίον· [9] ἐπεὶ γὰρ ἡμεῖς τε τῶν πρὸς Σάτυρον διαβολῶν ἀπηλλάγημεν καὶ τὸν Κίττον οὐχ οἷός τ᾽ [10] ἐγένετο ἀφανίσαι, τὸν συνειδότα περὶ τῆς [11] καταθήκης, ἡγησάμενος, εἰ μὲν ἐκδοίη τὸν παῖδα βασανίσαι, φανερὸς γενήσεσθαι πανουργῶν, εἰ δὲ μὴ ποιήσειε ταῦτα, ὀφλήσειν τὴν δίκην, [12] ἐβουλήθη πρὸς αὐτὸν ἐμὲ τὴν ἀπαλλαγὴν ποιήσασθαι. τοῦτον δὲ κελεύσαθ᾽ ὑμῖν ἀποδεῖξαι, τί κερδαίνων ἢ τίνα κίνδυνον φοβηθεὶς [13] ἀφῆκ᾽
c αὐτὸν τῶν ἐγκλημάτων; ἐὰν δὲ μηδὲν ἔχῃ τούτων ὑμῖν ἀποφαίνειν, πῶς [14] οὐκ ἂν δικαίως ἐμοὶ μᾶλλον ἢ τούτῳ περὶ τοῦ γραμματείου πιστεύοιτε; καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, καὶ τόδε ῥᾴδιον πᾶσι γνῶναι, ὅτι ἐμοὶ μὲν [15] ὃς ἐνεκάλουν, εἰ τοὺς ἐλέγχους ἐφοβούμην, ἐξῆν καὶ μηδεμίαν συνθήκην ποιησαμένῳ χαίρειν ἐᾶν τὸ πρᾶγμα· τούτῳ δὲ διά τε τὴν βάσανον καὶ τοὺς ἀγῶνας τοὺς ἐν ὑμῖν οὐχ οἷόν τε
d ἦν, ὁπότε βούλοιτ᾽, ἀπηλλάχθαι τῶν κινδύνων, εἰ μὴ πείσειεν ἐμὲ τὸν ἐγκαλοῦντα. ὥστ᾽ οὐκ ἐμὲ περὶ τῆς ἀφέσεως, ἀλλὰ τοῦτον περὶ τῆς ἀποδόσεως [16] τῶν χρημάτων ἔδει [17] τὰς συνθήκας ποιεῖσθαι. ἔτι δὲ κἀκεῖν᾽ ὑπερφυὲς, εἰ πρὶν μὲν

[1] ὡμολόγηται A. C. L. [2] παθόντες L. [3] τὸ γραμματεῖον om. A. C. L. [4] ἦν Πασίων A. C. L. [5] ἡμῖν om. A. C. L. [6] ἡμῖν ἔτι πραγμ. ὄντων A. C. L. [7] διαλύεσθαι A. C. L. [8] τὴν αἰτίαν εἰπεῖν, δι᾽ ἣν A. C. L. [9] ἐπειδὴ A. C. L. [10] ἦν A. C. L. [11] παρακαταθήκης A. L. [12] ἠβουλήθη C. [13] ἀφῆκα τοῦτον A. C. L. [14] οὐ δικαίως ἂν A. C. L. [15] ὧν A. C. L. [16] τῶν χρημάτων om. A. C. L. [17] τὴν συνθήκην ποιεῖσθαι. ἔπειτα καὶ τοῦθ᾽ ὑπ. A. C. L.

Τί μαθόντες] *quo cognito*, i. e. quo animo, qua mente. AUGER.

Ὀφλήσειν τὴν δίκην] Καταδικασθήσεσθαι. WOLF.

Ὑπερφυὲς] Ἄτοπον. COR.

[1]συγγράψασθαι τὸ γραμματεῖον οὕτω σφόδρ᾽ ἠπίστησα
τοῖς πράγμασιν, ὥςτε μὴ μόνον ἀφεῖναι Πασίωνα τῶν
ἐγκλημάτων ἀλλὰ καὶ συνθήκας περὶ αὐτῶν [2]ποιήσασθαι·
ἐπειδὴ δὲ τοιοῦτον ἔλεγχον κατ᾽ ἐμαυτοῦ συνεγραψάμην,
τηνικαῦτ᾽ ἐπεθύμησα εἰς ὑμᾶς εἰσελθεῖν. καίτοι τίς ἂν e
οὕτω περὶ τῶν αὑτοῦ πραγμάτων βουλεύσαιτο;
365 ιε΄. Ὃ δὲ πάντων μέγιστον τεκμήριον ὡς οὐκ ἀφειμένος
ἦν Πασίων ἐν ταῖς συνθήκαις, ἀλλ᾽ ὡμολογηκὼς ἀποδώ-
σειν τὸ χρυσίον· ὅτε γὰρ Μενέξενος ἔλαχεν αὐτῷ τὴν δίκην
οὔπω διεφθαρμένου τοῦ γραμματείου, προσπέμπων Ἀγύρ- 365
ριον, [3]ὄντ᾽ ἀμφοτέροις ἡμῖν ἐπιτήδειον, ἠξίου [4]με ἢ Μενέξενον
ἀπαλλάττειν ἢ τὰς συνθήκας τὰς γεγενημένας πρὸς αὐτὸν
ἀναιρεῖν. καίτοι, ὦ ἄνδρες δικασταί, οἴεσθ᾽ ἂν αὐτὸν ἐπιθυ-
μεῖν ἀναιρεθῆναι ταύτας τὰς συνθήκας, ἐξ ὧν ψευδομένους
ἡμᾶς ἔμελλεν [5]ἐξελέγξειν; οὔκουν ἐπειδή [6]γε μετεγράφησαν,
τούτους ἔλεγε τοὺς λόγους, ἀλλὰ περὶ ἁπάντων εἰς ἐκείνας
[7]κατέφευγε καὶ ἀνοίγειν ἐκέλευε τὸ γραμματεῖον. ὡς οὖν
τὸ πρῶτον ἀναιρεῖν ἐζήτει τὰς συνθήκας, αὐτὸν Ἀγύῤῥιον b
[8]μαρτυροῦντα παρέξομαι. καί μοι ἀνάβηθι.

ΜΑΡΤΥΡΙΑ.

ις΄. Ὅτι μὲν τοίνυν τὰς συνθήκας ἐποιησάμεθ᾽ οὐχ ὡς
Πασίων [9]ἐπιχειρήσει λέγειν, ἀλλ᾽ ὡς ἐγὼ πρὸς ὑμᾶς εἴρηκα,
ἱκανῶς ἐπιδεδεῖχθαι νομίζω. οὐκ ἄξιον δὲ θαυμάζειν, ὦ
ἄνδρες δικασταί, εἰ τὸ γραμματεῖον διέφθειρεν, οὐ μόνον
διὰ τοῦτο ὅτι πολλὰ τοιαῦτ᾽ ἤδη γέγονεν, ἀλλ᾽ ὅτι καὶ c
τῶν χρωμένων τινὲς Πασίωνι πολὺ δεινότερα τούτων πε-
ποιήκασι.

ιζ΄. Πυθόδωρον γὰρ τὸν Σκηνίτην καλούμενον, ὃς ὑπὲρ Πασίωνος ἅπαντα καὶ λέγει καὶ πράττει, τίς οὐκ οἶδεν ὑμῶν πέρυσιν ἀνοίξαντα τὰς ὑδρίας καὶ τοὺς κριτὰς ἐξε-

[1] συγγράψαι A. C. L. [2] ποιήσασθαι περὶ αὐτῶν A. C. L.
[3] ὄνθ᾽ ἡμῖν ἀμφοτέροις A. C. L. [4] με ἢ om. A. C. L. [5] ἐξελέγχειν A. C. L.
[6] γε om. A. C. L. [7] κατέφυγε A. C. L. [8] μάρτυρα A. C. L.
[9] ἐπεχείρησε A. C. L.

Μενέξενον ἀπαλλάττειν] *petebat, ut efficerem, ut Menexenus ab actione desisteret.* Lang.

Τῶν χρωμένων τινὲς Πασίωνι] Τῶν Πασίωνος φίλων τινές. Cor.

Σκηνίτην] *tabernarium.* Lang. Sed vid. Harpocrat. in voc.

Τὰς ὑδρίας] *urnas* simpliciter intelligo in quas judicum nomina conjiciebantur. Wolf. Ἔοικε μέντοι οὐχ ἁπλῶς ἐπὶ κριτῶν

λόντα τοὺς ὑπὸ τῆς βουλῆς εἰσβληθέντας; καίτοι ὅστις μικρῶν [1]ἕνεκεν, καὶ περὶ τοῦ σώματος κινδυνεύων, ταύτας ὑπανοίγειν ἐτόλμησεν, αἳ σεσημασμέναι μὲν ἦσαν ὑπὸ
d τῶν πρυτάνεων, [2]κατεσφραγισμέναι δ' ὑπὸ τῶν χορηγῶν, ἐφυλάττοντο δ' ὑπὸ τῶν ταμιῶν, ἔκειντο δ' ἐν ἀκροπόλει, τί δεῖ θαυμάζειν, εἰ [3]γραμματείδιον παρ' ἀνθρώπῳ ξένῳ [4]κείμενον τοσαῦτα μέλλοντες χρήματα κερδαίνειν [5]μετέγραψαν, ἢ τοὺς παῖδας αὐτοῦ πείσαντες ἢ ἄλλῳ τρόπῳ ᾧ [6]ἠδύναντο μηχανησάμενοι; περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅτι δεῖ [7]πλείω λέγειν.

ιη'. Ἤδη δέ τινας Πασίων ἐπεχείρησε πείθειν ὡς τὸ πα-
e ράπαν οὐδ' ἦν ἐνθάδε [8]μοι χρήματα, λέγων ὡς παρὰ 366
Στρατοκλέους ἐδανεισάμην τριακοσίους στατῆρας. ἄξιον οὖν καὶ περὶ τούτων ἀκοῦσαι, ἵν' ἐπίστησθ' οἵοις τεκμηρίοις ἐπαρθεὶς ἀποστερεῖ με [9]τῶν χρημάτων.

ιθ'. Ἐγὼ γὰρ, ὦ ἄνδρες δικασταὶ, μέλλοντος Στρατοκλέους εἰσπλεῖν εἰς τὸν Πόντον, βουλόμενος ἐκεῖθεν ὡς πλεῖστ' ἐκκομίσασθαι τῶν χρημάτων, ἐδεήθην Στρατο-
366 κλέους τὸ μὲν αὐτοῦ χρυσίον ἐμοὶ καταλιπεῖν, ἐν δὲ τῷ Πόντῳ παρὰ τοῦ πατρὸς τοὐμοῦ κομίσασθαι, νομίζων μεγάλα κερδαίνειν, εἰ κατὰ πλοῦν μὴ κινδυνεύοι τὰ χρήματα, ἄλλως τε καὶ Λακεδαιμονίων [10]ἀρχόντων κατ' ἐκεῖνον τὸν χρόνον [11]τῆς θαλάττης. τούτῳ μὲν οὖν οὐδὲν ἡγοῦμαι τοῦτ' εἶναι σημεῖον, ὡς οὐκ ἦν ἐνθάδε μοι [12]χρήματα· ἐμοὶ δὲ μέγιστ' [13]ἔσται τεκμήρια τὰ πρὸς Στρατοκλέα πραχθέντα, ὡς ἦν μοι παρὰ τούτῳ χρυσίον. ἐρωτῶντος γὰρ Στρα-
b τοκλέους ὅστις αὐτῷ ἀποδώσει τὰ χρήματα, ἐὰν ὁ πατὴρ ὁ ἐμὸς μὴ ποιήσῃ τὰ ἐπεσταλμένα, ἢ αὐτὸς ἐκπλεύσας ἐνθάδ' [14]ἐμὲ μὴ καταλάβῃ, Πασίωνα αὐτῷ συνέστησα,

[1] ἕνεκα A. C. L. [2] σεσημασμέναι A. C. L. [3] γραμματεῖον A. C. L. [4] κείμενον om. A. [5] μετέγραψαν post μηχανησάμενοι ponunt A. C. L. [6] ἐδύναντο A. C. L. [7] πλείω δεῖ A. C. L. [8] μοι ἐνθάδε A. C. L. [9] τὰ χρήματα A. C. L. [10] ὑπαρχόντων A. C. L. [11] κυρίων τῆς A. C. L. [12] τὰ χρήματα A. L. [13] ἔσεσθαι σημεῖα A. C. L. [14] ἐμὲ ἐνθάδε A. C. L.

ὧδε τετάχθαι τοὔνομα, ἀλλ' εἰδικώτερον ἐπὶ τῶν Διονυσίοις κρινόντων τοὺς νικῶντας τῶν χορῶν καὶ τῶν ἀγωνιζομένων ποιητῶν. ἔστι δὲ τοῦτο πιστώσασθαι ἔκ τε τοῦ προσεχῶς ἐπαγομένου, 'Υπὸ τῶν χορηγῶν· καὶ ἐκ τῶν ἐν ἀρχῇ τοῦ Περὶ τραύμ. ἐκ προν. λόγου τοῦ Λυσίου· Ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις — ἐπεὶ σαφῶς ἔγνωτ' ἂν, ὅτι ἡμεῖς ἦμεν αὐτὸν οἱ κριτὴν ἐμβαλόντες. Cor.

Στατῆρας] Varii stateres fuerunt, sed quia sequitur τοσούτων χρημάτων, de aureis stateribus accipio, quorum singuli, Polluce auctore, minam valuerunt. Wolf.

Πασίωνα αὐτῷ συνέστησα] I. e. a Pa-

καὶ ὡμολόγησεν οὗτος αὐτῷ καὶ τὸ ἀρχαῖον καὶ τοὺς
τόκους τοὺς γιγνομένους ἀποδώσειν. καίτοι εἰ μηδὲν ἔκειτο
παρ' αὐτῷ τῶν ἐμῶν, οἴεσθ' ἂν αὐτὸν οὕτω ῥᾳδίως το-
σούτων χρημάτων ἐγγυητήν [1] μου γενέσθαι; καί μοι ἀνά-
βητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

κ'. Ἴσως τοίνυν, ἄνδρες δικασταὶ, καὶ τούτων ὑμῖν c
μάρτυρας παρέξεται, ὡς ἔξαρνος ἐγενόμην πρὸς τοὺς ὑπὲρ
Σατύρου πράττοντας μηδὲν κεκτῆσθαι πλὴν ὧν ἐκείνοις
παρεδίδουν, καὶ ὡς αὐτὸς ἐπελαμβάνετο τῶν χρημάτων
τῶν ἐμῶν ὁμολογοῦντος ἐμοῦ ὀφείλειν τριακοσίας δραχμὰς,
καὶ ὅτι Ἱππολαΐδαν, ξένον ὄντ' [2] ἐμαυτοῦ καὶ ἐπιτήδειον,
περιεώρων παρὰ τούτου δανειζόμενον.

κα'. Ἐγὼ δ', ὦ ἄνδρες δικασταὶ, καταστὰς εἰς συμ-
φορὰς οἵας ὑμῖν διηγησάμην, καὶ τῶν μὲν οἴκοι πάντων d
367 ἀπεστερημένος, τὰ δ' ἐνθάδε ἀναγκαζόμενος παραδιδόναι
τοῖς ἥκουσιν, ὑπολοίπου δ' οὐδενὸς ὄντος μοι, πλὴν εἰ [3] δυ-
νηθείην λαθεῖν περιποιησάμενος τὸ χρυσίον τὸ παρὰ τού-
τῳ κείμενον, ὁμολογῶ καὶ τούτῳ προσομολογῆσαι [4] τριακο-
σίας δραχμὰς καὶ περὶ τῶν ἄλλων τοιαῦτα πράττειν καὶ
λέγειν, ἐξ ὧν [5] ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθήσεσθαι μὴ
εἶναί μοι χρήματα. καὶ ταῦθ' ὡς οὐ δι' ἀπορίαν [6] ἐγίγνετο,
ἀλλ' ἵνα πιστευθείην ὑπ' ἐκείνων, ῥᾳδίως [7] γνώσεσθε. πρῶ- e
τον μὲν [8] γὰρ ὑμῖν μάρτυρας παρέξομαι τοὺς εἰδότας πολλά
μοι χρήματα ἐκ τοῦ Πόντου κομισθέντα, ἔπειτα δὲ τοὺς
ὁρῶντάς με τῇ τούτου τραπέζῃ χρώμενον, ἔτι δὲ παρ' ὧν
ἐχρυσώνησα ὑπ' ἐκεῖνον τὸν χρόνον [9] πλέον ἢ χιλίους στα-
τῆρας. πρὸς δὲ τούτοις, εἰσφορᾶς ἡμῖν προσταχθείσης καὶ 367
ἑτέρων ἐπιγραφῶν γενομένων ἐγὼ πλεῖστον εἰσήνεγκα τῶν
ξένων, αὐτός [10] τε αἱρεθεὶς ἐμαυτῷ μὲν ἐπέγραψα τὴν εἰσφο-

[1] μου om. A. C. L. [2] ἐμαυτῷ A. C. L. [3] οἷός τ' ἦν λαθεῖν A. C. L.
[4] τὰς τριακοσίας A. C. L. [5] ἐκείνους μάλιστα πείθειν ᾠόμην μηδὲν εἶναί μοι. καὶ A. C. L.
[6] ἐγίγνετό μοι A. C. L. [7] γνώσεσθε ἂν A. C. L. [8] οὖν A. C. L.
[9] πλείους A. C. L. [10] τε καὶ οἱ ἐμοί. καὶ ἐμαυτῷ μὲν ἐπεγραψάμην εἰσφορὰν A. C. L.

sione repetere jussi, Pasionem sponsorem dedi. Lang.

Καὶ ὡς αὐτὸς — ἐμῶν] Repete ὡς ἔξαρνος ἐγενόμην. *atque ut ipse negaverim, se meas opes sibi vindicasse*, i. e. se mihi quidquam debere, *eo, quod confessus sim* etc. Idem.

Τούτῳ] Sub. ὀφείλειν. Auger.

Ἑτέρων ἐπιγραφῶν γεν.] *aliis inscriptionibus factis*, i. e. cum alii census agerentur. Wolf.

ραν μεγίστην, ὑπὲρ δὲ Πασίωνος ἐδεόμην τῶν [1] συνεπιγραφέων, λέγων ὅτι τοῖς ἐμοῖς χρήμασι [2] τυγχάνει χρώμενος. καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

κβ΄. Αὐτὸν τοίνυν Πασίωνα ἔργῳ παρέξομαι [3] τούτοις
b συμμαρτυροῦντα. ὁλκάδα γὰρ, ἐφ' ᾗ πολλὰ χρήματα ἦν ἐγὼ δεδωκὼς, ἔφηνέ τις ὡς οὖσαν ἀνδρὸς Δηλίου. ἀμφισβητοῦντος δ' ἐμοῦ καὶ καθέλκειν ἀξιοῦντος οὕτω τὴν βουλὴν διέθεσαν οἱ βουλόμενοι συκοφαντεῖν, ὥστε παρὰ μικρὸν [4] ἦλθον ἄκριτος ἀποθανεῖν. τελευτῶντες δ' ἐπείσθησαν ἐγγυητὰς παρ' ἐμοῦ δέξασθαι. καὶ Φίλιππος μὲν [5] ὤν μοι ξένος πατρικὸς, κληθεὶς καὶ ὑπακούσας, δείσας τὸ μέγεθος
c τοῦ κινδύνου ἀπιὼν ᾤχετο· Πασίων δ' Ἀρχέστρατόν μοι τὸν ἀπὸ τῆς τραπέζης ἑπτὰ ταλάντων ἐγγυητὴν παρέσχε. καίτοι, εἰ [6] μικρῶν ἀπεστερεῖτο καὶ μηδὲν ᾔδει μ' ἐνθάδε κεκτημένον, οὐκ ἂν δήπου τοσούτων χρημάτων ἐγγυητής [7] μου κατέστη. ἀλλὰ δῆλον ὅτι τὰς μὲν τριακοσίας δραχμὰς ἐνεκάλεσεν ἐμοὶ χαριζόμενος, τῶν δ' ἑπτὰ ταλάντων ἐγγυητής μου ἐγένετο ἡγούμενος πίστιν ἔχειν [8] ἱκανὴν τὸ 368
χρυσίον τὸ παρ' αὐτῷ κείμενον. ὡς μὲν τοίνυν [9] ἦν τέ μοι
d πολλὰ χρήματ' ἐνθάδε, καὶ ταῦτ' ἐπὶ τῇ τούτου τραπέζῃ [10] κεῖταί μοι, καὶ ἐκ τῶν ἔργων τῶν Πασίωνος ὑμῖν δεδήλωκα, καὶ παρὰ [11] τῶν ἄλλων τῶν εἰδότων ἀκηκόατε.

κγ΄. Δοκεῖτε δέ μοι, ὦ ἄνδρες δικασταὶ, ἄριστ' ἂν γνῶναι περὶ ὧν ἀμφισβητοῦμεν, ἀναμνησθέντες [12] ἐκεῖνον

[1] ἐπιγραφέων C. [2] τυγχάνει χρήμασι A. C. L. [3] ταῦτα A. C. L.
[4] ἐδέησα ἀποθανεῖν ἄκριτος A. C. L. [5] ξένος ὢν A. C. L. [6] μικρὸν A.
[7] μοι χρημάτων ἐγγυητὴς A. C. L. [8] ἱκανὴν πίστιν ἔχειν παρ' ἐμοῦ τὸ A. C. L.
[9] ἦν ἐμοὶ A. C. L. [10] ἔκειτό A. C. L. [11] τῶν ἄλλων om. A. C. L.
[12] ἐκείνων τῶν χρόνων A. C. L.

Χρώμενος] Propter quæ plus possidere videbatur, quam re possidebat. LANG.

Ἐφ' ᾗ — δεδωκὼς] Tametsi ἐφ' ᾗ videatur causam notare, tamen sic intelligo: *cui ego multas merces imposueram, vel in quam multas pecunias dederam, vel quam magno emeram.* WOLF. *quæ mihi oppignerata erat pro ingenti pecunia.* In Emend. l. iv. c. 3. VALES. Cf. Demosth. c. Phorm. §. η΄.

Ἔφηνε] *indicarat, vel detulerat, tanquam esset cujusdam Delii.* Haud scio an historia aliqua hic lateat de inimicitiis Atheniensium cum Deliis, ut si qua e Delo navis Athenas appulisset, publicaretur. WOLF.

Καθέλκειν] *arripere velut meam.* LANG.

Τὸν ἀπὸ τῆς τραπέζης] Idem est quod τὸν ἐπὶ τῇ τραπέζῃ. WOLF. Ἴσως· τὸν ἐπὶ τῆς τραπέζης. COR.

Μικρῶν ἀπεστερεῖτο] *si putasset vel parvam jacturam sibi faciendam esse.* LANG.

Δῆλον ὅτι — ἐνεκάλεσεν] *evidens est postulasse, i. e. sibi me debere dixisse verbis, non re.* Vid. §. κ΄. IDEM.

τὸν χρόνον, καὶ τὰ πράγματα πῶς εἶχεν ἡμῖν, ὅτ᾽ ἐγὼ e
Μενέξενον καὶ Φιλόμηλον προσέπεμψ᾽ ἀπαιτήσοντας τὴν
παρακαταθήκην, καὶ Πασίων τὸ πρῶτον [1]ἐτόλμησε ἔξαρνος
γενέσθαι. εὑρήσετε γὰρ τὸν μὲν πατέρα μου συνειλημμένον
καὶ τὴν οὐσίαν ἅπασαν ἀφῃρημένον, ἐμοὶ δ᾽ οὐχ οἷόν τε ὂν
διὰ τὰς παρούσας τύχας οὔτ᾽ αὐτοῦ μένειν οὔτ᾽ εἰς τὸν
Πόντον εἰσπλεῖν. καίτοι πότερον εἰκὸς ἐμὲ ἐν τοσούτοις ὄντα 368
κακοῖς ἀδίκως ἐγκαλεῖν, ἢ Πασίωνα καὶ διὰ τὸ μέγεθος
τῶν ἡμετέρων συμφορῶν καὶ διὰ τὸ πλῆθος τῶν χρημάτων
ἐπαρθῆναι [2]τὴν ἀποστέρησιν ποιήσασθαι; τίς δὲ πώποτ᾽
εἰς τοσοῦτον συκοφαντίας ἀφίκετο, ὥστ᾽ αὐτὸς περὶ τοῦ
σώματος κινδυνεύων τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν; μετὰ
ποίας δ᾽ ἂν ἐλπίδος ἢ τί διανοηθεὶς ἀδίκως ἦλθον ἐπὶ τοῦ- b
τον; πότερον ὡς δείσας τὴν δύναμιν τὴν ἐμὴν [3]ἤμελλεν
εὐθύς μοι δώσειν ἀργύριον; ἀλλ᾽ οὐχ οὕτως ἑκάτερος [4]ἡμῶν
ἔπραττεν. ἀλλ᾽ εἰς ἀγῶνα καταστὰς ᾤμην καὶ παρὰ τὸ
δίκαιον πλέον ἕξειν Πασίωνος παρ᾽ ὑμῖν; ὃς οὐδὲ μένειν
[5]ἐνθάδε παρεσκευαζόμην, δεδιὼς μή μ᾽ [6]ἐξαιτήσειε Σάτυρος
παρ᾽ ὑμῶν. ἀλλ᾽ ἵνα μηδὲν διαπραττόμενος ἐχθρὸς τούτῳ
κατασταίην, ᾧ μάλιστ᾽ ἐτύγχανον πάντων τῶν ἐν τῇ πόλει
χρώμενος; καὶ τίς ἂν ὑμῶν ἀξιώσειε καταγνῶναί μου c
τοσαύτην μανίαν καὶ ἀμαθίαν;

κδ΄. Ἐνθυμηθῆναι δ᾽ ἄξιόν ἐστιν, ὦ ἄνδρες δικασταί,
τὴν ἀτοπίαν καὶ [7]τὴν ἀπιστίαν ὧν ἑκάστοτε Πασίων
ἐπιχειρεῖ λέγειν. ὅτε μὲν γὰρ οὕτως ἔπραττον, ὥστ᾽ οὐδ᾽
ἂν εἰ προσωμολόγει με ἀποστερεῖν [8]τῶν χρημάτων, οἷός
τ᾽ ἂν ἦν παρ᾽ αὐτοῦ δίκην λαβεῖν, τότε μὲν αἰτιᾶταί με
ἀδίκως ἐγκαλεῖν ἐπιχειρῆσαι· ἐπειδὴ δ᾽ ἐγώ τε τῶν πρὸς
369 Σάτυρον διαβολῶν ἀπηλλάγην καὶ τοῦτον [9]ἅπαντες ὀφλή- d
σειν τὴν δίκην ἐνόμιζον, τηνικαῦτά μέ φησιν ἀφεῖναι πάντων
τῶν ἐγκλημάτων αὐτόν. καίτοι πῶς ἂν τούτων ἀλογώτερα
γένοιτο;

[1] ἐτόλμησε τὸ πρῶτον A. C. L. [2] καὶ τὴν A. C. L. [3] ἔμελλε A. C. L.
[4] ἡμῶν ἑκάτερος A. C. L. [5] ἐνθάδε μένειν A. C. L. [6] ἐξαιτοίη A. C. L.
[7] τὴν om. A. C. L. [8] τὰ χρήματα A. C. L.
[9] ᾤοντο ἅπ. ὀφλ. τὴν δίκην, τηνικαῦτά A. C. L.

Προσέπεμψ᾽] Vid. §. ς΄. Idem.
Αὐτοῦ μένειν] Ἀθήνησι δηλονότι. Cor.
Ἀδίκως ἦλθον ἐπὶ τοῦτον] *injuste contra istum venisse*, i. e. injuste accusassem. Lang.
Τοῦτον] Ad Pasionem referas. Idem.

κέ. Ἀλλὰ γὰρ [1] ἴσως περὶ τούτων μόνον, [2] ἀλλ᾽ οὐ καὶ
περὶ τῶν ἄλλων ἐναντί᾽ αὐτὸς αὑτῷ καὶ λέγων καὶ πράτ-
των φανερός ἐστιν· ὃς τὸν μὲν παῖδα, ὃν αὐτὸς ἠφάνισεν, ὑφ᾽
ἡμῶν ἔφασκεν ἀνδραποδισθῆναι, τὸν αὐτὸν δὲ τοῦτον ἀπε-
γράψατο μὲν ἐν τοῖς τιμήμασιν ὡς δοῦλον μετὰ τῶν οἰκετῶν
e τῶν ἄλλων, ἐπεὶ δ᾽ αὐτὸν ἠξίου Μενέξενος βασανίζειν,
[3] ἀφῃρεῖθ᾽ ὡς ἐλεύθερον ὄντα. πρὸς δὲ τούτοις ἀποστερῶν
αὐτὸς τὴν παρακαταθήκην, ἐτόλμησεν [4] ἡμῖν ἐγκαλεῖν ὡς
ἔχοιμεν ἓξ τάλαντα ἀπὸ τῆς τούτου τραπέζης. καίτοι ὅστις
περὶ πραγμάτων οὕτω φανερῶν [5] ἐπεχείρει ψεύδεσθαι, πῶς
369 χρὴ πιστεύειν αὐτῷ περὶ ὧν μόνος πρὸς μόνον ἔπραξε;

κς΄. Τὸ τελευταῖον τοίνυν, ὦ ἄνδρες δικασταί, ὁμολο-
γήσας ὡς Σάτυρον [6] εἰσπλευσεῖσθαι καὶ ποιήσειν ἅττ᾽ ἂν
ἐκεῖνος γνῷ, καὶ ταῦτ᾽ ἐξηπάτησε, καὶ αὐτὸς μὲν οὐκ ἤθελεν
εἰσπλεῦσαι πολλάκις [7] ἐμοῦ [8] προκαλεσαμένου, [9] εἰσέπεμψε
δὲ τὸν Κίττον· ὃς [10] ἐλθὼν ἐκεῖσε ἔλεγεν ὅτι ἐλεύθερος εἴη
καὶ τὸ γένος Μιλήσιος, πέμψειε δ᾽ αὐτὸν Πασίων διδάξοντα
b περὶ τῶν χρημάτων. ἀκούσας δὲ [11] Σάτυρος ἀμφοτέρων ἡμῶν
δικάζειν μὲν οὐκ ἠξίου περὶ τῶν ἐνθάδε γενομένων συμβο-
λαίων, ἄλλως τε καὶ μὴ παρόντος τούτου μηδὲ μέλλοντος
ποιήσειν ἃ ἐκεῖνος δικάσειεν, οὕτω [12] δὲ σφόδρα ἐνόμιζεν ἀδι-
κεῖσθαί [13] με, ὥστε συγκαλέσας τοὺς ναυκλήρους ἐδεῖτ᾽ [14] αὐ-
τῶν βοηθεῖν ἐμοὶ καὶ μὴ περιορᾶν ἀδικούμενον, καὶ πρὸς τὴν
πόλιν [15] συγγράψας ἐπιστολὴν ἔδωκε φέρειν Ξενοτίμῳ τῷ
Καρκίνου. καί μοι ἀνάγνωθι [16] αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

c κζ΄. Οὕτω τοίνυν, ὦ ἄνδρες δικασταί, πολλῶν μοι τῶν
δικαίων ὑπαρχόντων, ἐκεῖν᾽ ἡγοῦμαι μέγιστον εἶναι τεκμή-

[1] ἴσως om. A. C. L. [2] ἀλλὰ καὶ A. C. L. [3] ἀφείλετο A. C. L.
[4] ἡμῖν om. A. C. L. [5] ἐπιχειρεῖ A. C. L. [6] εἰσπλεύσειν A. C. L.
[7] μου A. C. L. [8] προσκαλεσαμένου C. [9] ἐξέπεμψε A. C. L.
[10] ἐκεῖσε μὲν ἐλθὼν ἔλ. ὅτι ἐλεύθερός ἐστι καὶ τὸ γένος εἴη A. C. L. [11] ὁ Σατ. A. C. L.
[12] δέ με A. C. L. [13] με om. A. C. L. [14] αὐτῶν om. A. C. L.
[15] ἐγγράψας A. C. L. [16] αὐτοῖς om. A. C. L.

Ἀνδραποδισθῆναι] *furto abductum esse.* Idem.

Ἐν τοῖς τιμήμασιν] *cum census ageretur.* Wolf.

Τούτου] F. αὐτοῦ. Auger.

Καρκίνου] Harpocration hunc arbitratur fuisse ducem qui Peloponnesum classe infestavit. Quem vide ad hanc ipsam vocem. Idem.

ριον ὡς ἀποστερεῖ με Πασίων [1] τῶν χρημάτων, ὅτι τὸν παῖδα
370 οὐκ ἠθέλησε [2] βασανίζειν ἐκδοῦναι τὸν συνειδότα περὶ τῆς
παρακαταθήκης. καίτοι περὶ τῶν πρὸς τοὺς ἐπὶ [3] ταῖς τρα-
πέζαις συμβολαίων τίς ἂν ἔλεγχος ἰσχυρότερος [4] τούτου γέ-
νοιτο; οὐ γὰρ δὴ μάρτυράς γ᾽ αὐτῶν ποιούμεθα. ὁρῶ δὲ καὶ
ὑμᾶς καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν δημοσίων οὐδὲν πι- d
στότερον οὐδ᾽ ἀληθέστερον βασάνου νομίζοντας, καὶ μάρ-
τυρας μὲν [5] ἡγουμένους οἷόν τ᾽ εἶναι καὶ τῶν μὴ γεγενημένων
παρασκευάσασθαι, τὰς δὲ βασάνους φανερῶς ἐπιδεικνύναι
ὁπότεροι τἀληθῆ λέγουσιν. ἃ οὗτος εἰδὼς ἠβουλήθη εἰκάζειν
ὑμᾶς περὶ τοῦ πράγματος μᾶλλον ἢ [6] σαφῶς εἰδέναι. οὐ γὰρ
δὴ τοῦτό γ᾽ ἂν εἰπεῖν ἔχοι, ὡς ἔλαττον [7] ἤμελλεν ἕξειν ἐν
τῇ βασάνῳ, καὶ διὰ τοῦτ᾽ οὐκ εἰκὸς [8] ἦν αὐτὸν ἐκδοῦναι.
πάντες γὰρ ἐπίστασθ᾽ ὅτι κατειπὼν μὲν [9] ἤμελλε τὸν ἐπί- e
λοιπον χρόνον ὑπὸ τούτου κάκιστ᾽ ἀνθρώπων ἀπολεῖσθαι,
διακαρτερήσας δὲ καὶ ἐλεύθερος ἔσεσθαι καὶ μεθέξειν ὧν
οὗτος [10] ἐμὲ ἀπεστέρησεν. ἀλλ᾽ ὅμως τοσούτῳ μέλλων πλέον
ἕξειν, συνειδὼς αὑτῷ τὰ πεπραγμένα ὑπέμεινε καὶ δίκας 370
φεύγειν καὶ τὰς ἄλλας αἰτίας ἔχειν, ὥστε μηδεμίαν βάσανον
περὶ τοῦ πράγματος τούτου γενέσθαι.

κη᾽. Ἐγὼ οὖν ὑμῶν δέομαι μεμνημένους τούτων κατα-
ψηφίσασθαι Πασίωνος, καὶ μὴ τοσαύτην πονηρίαν [11] ἐμοῦ
καταγνῶναι, ὡς οἰκῶν ἐν τῷ Πόντῳ, καὶ τοσαύτην οὐσίαν
κεκτημένος ὥστε καὶ ἑτέρους εὖ ποιεῖν δύνασθαι, Πασίωνα
ἦλθον συκοφαντήσων καὶ ψευδεῖς αὐτῷ παρακαταθήκας b
[12] ἐγκαλῶν.

κθ᾽. Ἄξιον δὲ [13] καὶ Σατύρου καὶ τοῦ πατρὸς ἐνθυμηθῆναι,
οἳ πάντα τὸν χρόνον περὶ πλείστου τῶν Ἑλλήνων ὑμᾶς ποι-

[1] τὰ χρήματα A. C. L. [2] βασανίζειν om. A. C. L. [3] ταῖς om. A. L.
[4] τούτου om. A. C. L. [5] γεγενημένους A. L. [6] φανερῶς A. C. L.
[7] ἔμελλεν A. C. L. [8] ἦν om. A. L. [9] ἔμελλε A. C. L.
[10] ἐμὲ om. A. C. L. [11] μου πονηρίαν A. C. L. [12] ἐγκαλέσων A. C.
[13] καὶ om. A. L.

Οὐ γὰρ δὴ τοῦτό] Ἴσως· οὐ γὰρ δήπου τοῦτό. Cor.

Ὡς ἔλαττον — βασάνῳ] *se facile damnum aliquod capere posse, si servus torqueretur.* Lang.

Αὐτὸν] Np. τὸν δοῦλον. Auger.

Κατειπὼν] *si contra istum dixisset.* Lang.

Κάκιστ᾽ ἀνθρώπων] *crudelius quam quisquam alius periiset, sibi pereundum fore sciebat.* Wolf.

Τὰς ἄλλας] F. leg. τὰς αἰσχρὰς, vel aliud quid. Auger.

Ἐγκαλῶν] Scribo: ἐγκαλέσων. H. Stephan.

οῦνται, καὶ πολλάκις ἤδη διὰ σπάνιν σίτου τὰς τῶν ἄλλων ἐμπόρων ναῦς κενὰς ἐκπέμποντες ὑμῖν ἐξαγωγὴν ἔδοσαν· καὶ ἐν τοῖς ἰδίοις συμβολαίοις, ὧν ἐκεῖνοι κριταὶ γίγνονται,
c οὐ μόνον ἴσον ἀλλὰ καὶ πλέον ἔχοντες ἀπέρχεσθε. ὥστ' οὐκ ἂν εἰκότως περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστολάς. δέομαι οὖν ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ἐκείνων τὰ δίκαια ψηφίσασθαι, καὶ μὴ τοὺς Πασίωνος λόγους ψευδεῖς ὄντας πιστοτέρους ἡγεῖσθαι τῶν ἐμῶν.

Ἐκπέμποντες] *dimittentes* vel *abigentes e portu*, exportationem recusantes. LANG.

IH.

ΙΣΟΚΡΑΤΟΥΣ

[1]ΠΑΡΑΓΡΑΦΗ

ΠΡΟΣ ΚΑΛΛΙΜΑΧΟΝ.

Pag. ed. Cor. 371 — Pag. ed. H. Steph. 371

α'. ΕΙ μὲν [2]καὶ ἄλλοι τινὲς ἦσαν ἠγωνισμένοι τοιαύτην παραγραφὴν, ἀπ' αὐτοῦ τοῦ πράγματος ἠρχόμην ἂν τοὺς

[1] ΠΑΡΑΓΡΑΦΙΚΟΣ A. C. L. [2] καὶ om. A.

SUMMARIUM. Nomen rei, cui Isocrates hanc orationem adversus Callimachum scripsit de exceptione, i. e. de eo, quod actio, quam Callimachus ipsi intendat, illo non danda sit, tacetur. (α'.) Quoniam ante me nemo talem exceptionem ad judices attulit, prius de lege, qua fretus huc veni et qua tanquam reus prius dico quam accusator, dicendum est, quam rem ipsam aggrediar. Ea lex jubet: si quis præter pactum, quod e Piræeo in urbem reversi fecistis, litem moveat, reo licere exceptione (Einwendung gegen die Zulasslichkeit der Klage) uti, eumque, qui præscriptione utatur, priore loco dicere, uter vero succubuisset, eum mulctam solvere. (β'.) Ostendam autem, Callimachum non tantum contra fœdera litem mihi intendere, sed falsa etiam crimina comminisci, quin et arbitri sententiam hac de re intercessisse, Nunc vobis omnem rem, ut ab initio gesta est, exponam. (γ'.) Decemviris, qui post Triginta constituti fuerant, imperantibus accidit, ut Patrocles, familiaris meus, ambulans mecum, Callimacho, inimico suo, obviam fieret pecuniam ferenti, et ad unum de Decemviris, de pecuniis referens, efficeret, ut Senatus decerneret, quod Callimachus unus esset ex iis, qui Piræeum confugissent, pecuniam Callimachi esse publicam. Postea, quum exsules e Piræeo rediissent, Callimachus litem intendit Patrocli, et decem minis ab eo extortis mihi negotium facessit, in me unum omnia, quæ facta fuerant, conferens. Ego vero testes producam, qui dicent, me nec ipsum apprehendisse, nec ejus pecuniam attigisse, deinde alios, qui sciunt, rem non me, sed Patroclem detulisse, et accusatorem fuisse. (δ'.) Quanquam vero tam multi factis illis interfuerunt, Callimachus tamen ubique questus est, ut qui pessime a me tractatus pecuniisque spoliatus esset. Hinc, ne calumnia latius spargeretur, hortantibus illius amicis, tandem drachmas isti ducentas dedi, et ne iterum calumniari liceret transacta re Nicomachum Batensem arbitrum sumpsimus ad illam confirmandam. (ε'.) Ac primum pacta iste servabat; deinde actionem decem mille drachmarum in me movet, quam testibus a me productis primum quidem omisit, sed agendi potestate a magistratu impetrata iterum intendit; egoque consultissimum esse duxi, in judicium venire. (ϛ'.) Audio autem Callimachum tum de ipsis criminibus falsa dicturum, tum arbitrium negaturum dicendo, se Nicomachum nunquam sumpturum fuisse arbitrum mihi familiarem, nec consentaneum, ducentas pro decies mille drachmis ipsum accipere voluisse. (ζ'.) Vos autem consideretis velim, primum, nos transacta re ad arbitrum venisse; deinde, si ipsi decies mille drachmæ deberentur, non verisimile esse, ipsum duabus minis contentum fuisse. Si multa postulavit et pauca accepit, nihil aliud sequitur, quam istum nos ab initio per injuriam accusasse. Postremo, illum accepisse, quod negat, palam fit ex eo, quod hac de re testem non reum peregit. (η'.) Sed omnibus his missis, ne verosimile quidem est, me, quum erga neminem ne Triginta quidem regnantibus deliquerim, erga hunc deliquisse, et quidem

λόγους ποιεῖσθαι· νῦν δὲ ἀνάγκη περὶ τοῦ νόμου πρῶτον εἰπεῖν καθ' ὃν εἰσεληλύθαμεν, ἵν' ἐπιστάμενοι περὶ ὧν

illo tempore, quo Triginta jam expulsi erant; præsertim quum ne inimicorum quidem quemquam ulcisci voluerim, nedum prorsus incognitum. (θ'.) Licet vero omnia fecissem, quorum iste me insimulat, de rebus tamen anteactis litem movere fœdera prohibent; (ι'.) quæ expresse dimittunt eos, qui aliquem accusarunt aut detulerunt, nedum eos, qui, ut ego, nihil omnino deliquerunt. (ια'.) Mirum ergo, Callimachum tantam in eloquentia sua ponere fiduciam, ut vobis quos fœdera hæc magni facere, et vel pœnæ obnoxios dimisisse videt, persuadere cogitet, ut fœderibus contraria decernatis, præsertim quum illum fugere nequeat, vel potentissimos in urbe neque lites intendere cuiquam nec injuriarum meminisse audere, sibique, quod ad fœdera attinet, par jus cum cæteris esse censere; deinde, vos reconciliationem civium eo jurejurando firmasse, ut, etiamsi non expediret, tamen stare iis necesse esset; denique, vos iis irasci, qui fœdera delenda censent, nedum qui rata ea et scripta transgredi audent. (ιβ'.) De fœderibus ergo suffragia feretis, quæ nemini unquam neglexisse profuit, quæque in hominum societate tuenda gravissimi sunt momenti, (ιγ'.) quibus salutem nostram hoc tempore debemus, et a quibus conservandis futura felicitas nostra pendet, quorumque laude civitas nostra vel maxime celebratur. (ιδ'.) Neque vero quisquam me rem nimis exaggerare putet, sed tantum inter hoc judicium et alia interest, ut cætera ad reos solos attineant, in hoc vero periculum commune civitatis agatur. De hoc duobus sacramentis obstricti sententiam dicitis; in hoc, si contra jus decreveritis, non civitatis, sed communes omnium leges violabitis. (ιε'.) Quod ita esse, nec ipsum Callimachum negaturum esse arbitror, sed jus suum in calamitate sua quærere. (ιϛ'.) Sed quid hæc illius calamitas ad me pertinet, quem injuste criminatur? et quis alius est in culpa, si pœna est illi de falsa criminatione luenda, cui etiamnum licet actione omissa toto negotio liberari? (ιζ'.) Ne ille meminerit, quæ in oligarchia gesta sunt, sed doceat, quæ hujus loci sunt, me esse, qui pecunias illi abstulerit, meque esse calamitatis suæ auctorem. Hac enim accusatione contra omnes uti licet. (ιη'.) Cogitate porro, multos huic judicio intendere animum, audire cupientes, quid de fœdere judicium laturi sitis. Si decreveritis, quod justum est, illi securi erunt, sin minus alii ad calumniandum excitabuntur, alii hunc civitatis statum pertimescent, tanquam nullo amplius sibi relicto confugio. (ιθ'.) Ante fœdera bellum gessimus; postquam vero in unum convenimus, fide data atque accepta, ita honeste et comiter in urbe vivimus, quasi nulla inter nos dissensio exstitisset. Quare qui fœdera violare audent, extremis suppliciis afficiendi sunt, illi præsertim, qui sic vixerunt, ut Callimachus, (κ'.) qui, quamdiu duravit bellum, auffugit et opes suas occultavit; ubi vero Triginta constituti sunt, in urbem reversus est, ac tyrannicæ administrationis ad eum usque diem particeps mansit, quo murum expugnaturi eratis, quo tempore rursus auffugit et in Bœotia commoratus est, in transfugis potius quam exsulibus numerandus. Atque talis quum fuerit, non pœnam, sed præmium meruisse sibi videtur, ac meliore esse vult conditione, quam reliqui cives. Sed tempus duplo etiam majus non sufficeret ad omnia ejus facinora enarranda: unum si audiveritis, facile omnem ejus improbitatem cognoveritis. (κα'.) Quum Cratinus quidam cum quodam Callimachi affine litigaret pugnaque inter eos esset orta, criminabantur Cratinum caput ancillæ contrivisse illamque esse ex eo vulnere mortuam, quod coram judicio Callimachus affirmavit; sed Cratinus cum ipsius amicis ingressi domum, in qua illa occultabatur, vi abreptam et in judicium adductam omnibus judicibus viventem ostenderunt. (κβ'.) E talibus facinoribus omnis, credo, delinquentium vita facile perspicitur. An isti credendum est pro se ipso dicenti, quem in aliorum gratiam pejerasse constat? Quis unquam falsi testimonii evidentius est convictus? Et hæc quum peccaverit, dicere conabitur nos mentiri? (κγ'.) Quod autem ad me attinet, unius modo in civitatem beneficii mentionem faciam. Classe in Hellesponto amissa ita præstiti plerisque trierarchis, ut meam navem cum paucis conservarem, et hoc inter eos peculiare haberem, ut nave in Piræeum perducta non destiterim a trierarchia et cum meo fratre munus trierarchiæ obirem numerataque de nostro nautis mercede hostes infestarem, et quum Lysander pœna capitis sanxisset, ne quis ad vos frumentum veheret, ego non hoc solum facerem, sed etiam frumentum, quod ad Lacedæmonios vehebatur, interciperem et in Piræeum adducerem. Pro quibus beneficiis nobis publice corona decreta est. (κδ'.) Omnium autem essem infelicissimus, si, quum de meo multa in

ἀμφισβητοῦμεν τὴν ψῆφον φέρητε, καὶ μηδεὶς ὑμῶν θαυ-
μάσῃ, διότι φεύγων τὴν δίκην πρότερος λέγω τοῦ διώκοντος.
ἐπειδὴ γὰρ ἐκ Πειραιέως κατελθόντες ἐνίους ἑωρᾶτε τῶν b
πολιτῶν συκοφαντεῖν ὡρμημένους καὶ τὰς συνθήκας λύειν
ἐπιχειροῦντας, βουλόμενοι τούτους τε παῦσαι, καὶ τοῖς ἄλ-
λοις ἐπιδεῖξαι ὅτι οὐκ ἀναγκασθέντες ἐποιήσασθε αὐτὰς
ἀλλ' ἡγούμενοι τῇ πόλει συμφέρειν, εἰπόντος Ἀρχίνου νόμον
ἔθεσθε, ἄν τις δικάζηται παρὰ τοὺς ὅρκους, ἐξεῖναι τῷ
φεύγοντι παραγράψασθαι, τοὺς δὲ ἄρχοντας περὶ τούτου
πρῶτον εἰσάγειν, λέγειν δὲ πρότερον τὸν παραγραψάμενον, c
ὁπότερος δ' ἂν ἡττηθῇ, τὴν [1]ἐπωβελίαν ὀφείλειν, ἵν' οἱ
τολμῶντες μνησικακεῖν, μὴ μόνον ἐπιορκοῦντες ἐξελέγ-
χοιντο μηδὲ τὴν παρὰ τῶν θεῶν τιμωρίαν ὑπομένοιεν,
ἀλλὰ καὶ παραχρῆμα ζημιοῖντο. δεινὸν οὖν ἡγησάμην, εἰ
τῶν νόμων οὕτως ἐχόντων ἐγὼ περιόψομαι τὸν μὲν συκο-
φάντην ἐν τριάκοντα δραχμαῖς κινδυνεύοντα, ἐμαυτὸν δὲ
περὶ τῆς οὐσίας ἁπάσης ἀγωνιζόμενον.

372 β'. Ἀποδείξω δὲ Καλλίμαχον οὐ μόνον παρὰ τὰς συν- d
θήκας δικαζόμενον, ἀλλὰ καὶ περὶ τῶν ἐγκλημάτων ψευ-

[1] ἐπωβελείαν A. C. L.

rempublicam contulerim, jam viderer alienis insidiari, et infamiam nihili facerem, qui non rem tantum familiarem, sed vitam etiam minoris fecisse reperiar, quam bonam apud vos existimationem. Qui possit calumniator plus valere, quam fœdera et leges, et eripere mihi ea, quæ post publica munera mihi relicta sunt? Gratiam nunc reposcimus vestram, non id quærentes, ut æquo plus habeamus, sed declarantes, nihil nos iniqui agere, dum jusjurandum et fœdera defendimus, quæ absolvunt eos, qui de republica bene meriti sunt. Fœderum vero, quæ nobis tam salutares fuerunt, memores, vos et justa et utilia decernere decet. Lang. Hæc oratio videtur scripta fuisse circa annum 402. ante Christum, et Isocratis ætatis 32. Auger.

Αὐτὰς] Refer ad *συνθήκας* de amnestia. Lang.

Περὶ τούτου] Scil. *τοῦ φεύγοντος*. Wolf. Np. *πράγματος*. Auger. I. e. de exceptione, quod posterius probo. Erat nempe Archontum post Solonem, auctore Suida, illud munus, ut ad judices referrent, quæ causæ imprimis dijudicandæ essent; atque hac lege, de qua hic sermo est, sancitum erat ut Exceptiones præ aliis dijudicarentur. Lang.

Τὴν ἐπωβελίαν] Ἐπωβελία est, Suida auctore, sexta pars æstimationis litis, quæ exigeretur ab iis, qui aliquem per calumniam reum fecissent nec convincere potuissent; ita dicta, quod de singulis drachmis singuli oboli, i. e. sexta pars drachmæ numeranda erat. Lang. *Τοῦ χωρίου, οὐ πάνυ τι σαφοῦς ὄντος, οὗτος ἂν ἴσως εἴη ὁ νοῦς· Κἂν αὐτὸς ὁ παραγραψάμενος τὴν δίκην ἡττηθῇ, οὐδὲν ἧττον ὀφείλειν τὴν ἐπωβελίαν τὸν νικήσαντα, τουτέστι τὸν εἰσαγώγιμον γενέσθαι τὴν δίκην παρασκευάσαντα.* Cor.

Ἐν τριάκοντα δραχμαῖς κινδυνεύοντα] Fortassis hæc pœna fuit temere litigantium in nonnullis prætoriis, aut *τὰ πρυτανεῖα* tanti fuerunt. Wolf. *Τὰ πρυτανεῖα, μόνον ζημιωθῆναι κινδυνεύοντα, ἑ.* Cor. *Οἱ μὲν ἀπὸ ἑκατὸν δραχμῶν ἄχρι χιλίων δικαζόμενοι τρεῖς δραχμὰς κατετίθεντο· οἱ δὲ ἀπὸ χιλίων μέχρι μυρίων τριάκοντα.* Poll. Onom. viii. 1. 6. Verum juxta Schol. ad Aristoph. Nub. 1182. *τὸ δεκατὸν τοῦ χρεόυς ἦν*, quod debebat reus petitori. Cf. §. ε'.

Περὶ τῶν ἐγκλημάτων ψευδ.] *falsa crimina comminisci.* Lang.

δόμενον, καὶ προσέτι δίαιταν ἡμῖν γεγενημένην περὶ αὐτῶν. βούλομαι δ' ἐξ ἀρχῆς ὑμῖν διηγήσασθαι τὰ πραχθέντα· ἐὰν γὰρ τοῦτο μάθητε, ὡς οὐδὲν ὑπ' ἐμοῦ κακὸν πέπονθεν, ἡγοῦμαι ταῖς τε συνθήκαις ὑμᾶς ἥδιον βοηθήσειν καὶ τούτῳ μᾶλλον ὀργιεῖσθαι.

372 γ'. Ἦρχον μὲν γὰρ οἱ Δέκα οἱ μετὰ τοὺς Τριάκοντα καταστάντες, ὄντος δέ μοι Πατροκλέους ἐπιτηδείου, τοῦ τότε βασιλεύοντος, ἔτυχον μετ' αὐτοῦ βαδίζων. ἐκεῖνος δὲ, ἐχθρὸς ὢν Καλλιμάχῳ τῷ νῦν ἐμὲ διώκοντι τὴν δίκην, ἀπήντησεν ἀργύριον φέροντι. [1] λαβόμενος δ' αὐτοῦ φίλον ἔφασκεν αὐτὸ καταλιπεῖν δημόσιον γίγνεσθαι· ἐκεῖνον γὰρ εἶναι τῶν ἐν Πειραιεῖ. ἀμφισβητοῦντες δὲ περὶ τούτου, καὶ
b λοιδορίας αὐτοῖς γενομένης, ἄλλοι μὲν πολλοὶ συνέδραμον, καὶ κατὰ τύχην [2] Ῥίνων εἷς τῶν Δέκα γενόμενος προσῆλθεν. εὐθὺς οὖν πρὸς αὐτὸν τὴν φάσιν τῶν χρημάτων ὁ Πατροκλῆς ἐποιεῖτο· ὁ δ' ὡς τοὺς συνάρχοντας ἦγεν ἀμφοτέρους. ἐκεῖνοι δ' εἰς τὴν βουλὴν περὶ αὐτῶν ἀπέδοσαν· κρίσεως δὲ γενομένης ἔδοξε τὰ χρήματα δημόσια εἶναι. μετὰ δὲ ταῦτα, ἐπειδὴ κατῆλθον οἱ φεύγοντες ἐκ Πειραιέως, ἐνεκάλει τῷ Πατροκλεῖ καὶ δίκας ἐλάγχανεν ὡς αἰτίῳ τῆς συμφορᾶς
c γεγενημένῳ· διαλλαγεὶς δὲ πρὸς ἐκεῖνον, καὶ πραξάμενος αὐτὸν δέκα μνᾶς ἀργυρίου, Λυσίμαχον ἐσυκοφάντει· λαβὼν δὲ καὶ παρὰ τούτου διακοσίας δραχμὰς, ἐμοὶ πράγματα παρεῖχε. καὶ τὸ μὲν πρῶτον ἐνεκάλει φάσκων με συμπράττειν ἐκείνοις, τελευτῶν δ' εἰς τοῦτ' ἀναιδείας ἦλθεν, ὥστε ἁπάντων με τῶν γεγενημένων ᾐτιᾶτο· ἅπερ ἴσως καὶ νῦν τολμήσει κατηγορεῖν. ἐγὼ δ' ὑμῖν παρέξομαι μάρ-
d τυρας πρῶτον μὲν τοὺς ἐξ ἀρχῆς παραγενομένους, ὡς οὔτ' ἐπελαβόμην οὔτ' ἐφηψάμην τῶν χρημάτων, ἔπειτα καὶ

[1] βουλόμενος δὲ αὐτοῦ ἀφελέσθαι αὐτὸ, οὐκ ἂν φίλον τοῦτο ἔφασκεν αὐτῷ καταλιπεῖν, ὅ τε δεῖ δημόσιον γίγνεσθαι A. L. βουλόμενος δὲ αὐτοῦ ἀφελέσθαι αὐτὸ, Πάμφιλον ἔφασκεν αὐτῷ καταλιπεῖν, ὥστε δεῖν δημόσιον γίγνεσθαι αὐτό C.

[2] Οἴνων A.

Βασιλεύοντος] I. e. βασιλέως ὄντος. Vocabatur βασιλεὺς unus ex novem archontibus, qui ea sacra faciebat quæ faciebant olim reges, quorum auctoritas abolita erat. AUGER.

Βουλόμενος δ' αὐτοῦ — γίγνεσθαι] *cum vellet autem ipsi eripere, dicebat se, ne quidem si amicus esset, eam ipsi relicturum, quæ deberet publicari.* LANG.

Την φάσιν — ἐποιεῖτο] Indicabat apud eum pecunias cum accusatione Callimachi. WOLF.

Εἰς τὴν βουλὴν — ἀπέδοσαν] *cognitioni senatus subjecerunt.* LANG.

Ἐνεκάλει] Nempe Callimachus. AUGER.

τοὺς συνάρχοντας, ὡς οὐκ ἐγὼ τὴν φάσιν ἀλλὰ Πατροκλῆς
375 ἐποιήσατο πρὸς αὐτούς, ἔτι δὲ τοὺς βουλευτάς, ὡς ἐκεῖνος
ἦν ὁ κατηγορῶν. καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

δ΄. Οὕτω τοίνυν πολλῶν παραγενομένων τοῖς πραχθεῖ-
σιν, ὥσπερ οὐδενὸς συνειδότος αὐτὸς μὲν οὗτος ἐφιστάμενος
εἰς τοὺς ὄχλους καὶ καθίζων ἐπὶ τοῖς ἐργαστηρίοις λόγους e
ἐποιεῖτο ὡς δεινὰ πεπονθὼς ὑπ᾽ ἐμοῦ καὶ τῶν χρημάτων
ἀπεστερημένος, τῶν δὲ χρωμένων τινὲς τούτῳ προσιόντες
μοι συνεβούλευον ἀπαλλάττεσθαι τῆς πρὸς τοῦτον διαφο-
ρᾶς, καὶ μὴ βούλεσθαι κακῶς ἀκούειν μηδὲ κινδυνεύειν περὶ
πολλῶν χρημάτων, μηδ᾽ εἰ σφόδρα πιστεύω τῷ πράγματι, 373
λέγοντες ὡς πολλὰ παρὰ γνώμην ἐν τοῖς δικαστηρίοις
ἀποβαίνει, καὶ ὅτι τύχῃ μᾶλλον ἢ τῷ δικαίῳ κρίνεται τὰ
παρ᾽ ὑμῖν, ὥστε λυσιτελεῖν μοι μικρὰ ἀναλώσαντι μεγάλων
ἐγκλημάτων ἀπαλλαγῆναι μᾶλλον ἢ μηδὲν ἀποτίσαντι
κινδυνεύειν περὶ τηλικούτων. τί [1] ἂν ὑμῖν καθ᾽ ἕκαστον
διηγοίμην, [2] ἃ πολλὰ παρέλιπον τῶν εἰθισμένων περὶ τῶν
τοιούτων λέγεσθαι; τελευτῶν δ᾽ οὖν ἐπείσθην — ἅπαντα b
γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς — δοῦναι τούτῳ διακο-
σίας δραχμάς. ἵνα δὲ μὴ πάλιν ἐξείη συκοφαντεῖν αὐτῷ,
δίαιταν ἐπὶ ῥητοῖς ἐπετρέψαμεν Νικομάχῳ Βατῆθεν.

ΜΑΡΤΥΡΕΣ.

έ. Τὸ μὲν τοίνυν πρῶτον ἐνέμεινε τοῖς ὡμολογημένοις,
ὕστερον δ᾽ ἐπιβουλεύσας μετὰ Ξενοτίμου τοῦ τοὺς νόμους
διαφθείροντος καὶ τὰ δικαστήρια δεκάζοντος καὶ τὰς ἀρχὰς
λυμαινομένου καὶ πάντων κακῶν αἰτίου λαγχάνει μοι δί- c
κην μυρίων δραχμῶν. προβαλλομένου δ᾽ ἐμοῦ [3] μάρτυρα ὡς
οὐκ εἰσαγώγιμος ἦν ἡ δίκη διαίτης γεγενημένης, [4] ἐκείνῳ

[1] δ᾽ ἂν A. C. L. [2] [ἃ πολλὰ παρέλιπον] C. [3] μάρτυρας A. C. L. [4] ἐκείνῃ A. C. L.

Ἐπὶ ῥητοῖς] *certis conditionibus*, i. e. re jam deliberata, et eo adducta ut auctoritas publica adhiberetur, non ad statuendam rem, sed ad confirmandam. Idem. Cf. Herald. ad Jus Att. et Rom. l. v. c. 14. §. 9.

Βατῆθεν] *e Bato*, uno ex demis Atheniensibus. Post Βατῆθεν deesse videtur: *καί μοι ἀνάβητε μάρτυρες.* vel aliud quid. Auger.

Προβαλλομένου] Ἴσως· προβαλομένου. Cor.

μὲν οὐκ ἐπεξῆλθεν, εἰδὼς ὅτι, εἰ μὴ μεταλάβοι τὸ πέμ-
πτον μέρος τῶν ψήφων, τὴν [1] ἐπωβελίαν ὀφλήσει, πείσας
δὲ τὴν ἀρχὴν πάλιν τὴν αὐτὴν δίκην ἐγράψατο, ὡς ἐν τοῖς
πρυτανείοις μόνον κινδυνεύσων. ἀπορῶν δ᾽ ὅ τι χρησαίμην 374
τοῖς κακοῖς, ἡγησάμην εἶναι κράτιστον ἐξ ἴσου καταστή-
d σαντα ἀμφοτέροις τὸν κίνδυνον εἰσελθεῖν εἰς ὑμᾶς. καὶ τὰ
μὲν γενόμενα ταῦτ᾽ ἐστί.

ς΄. Πυνθάνομαι δὲ Καλλίμαχον οὐ μόνον περὶ τῶν ἐγκλη-
μάτων διανοεῖσθαι ψευδῆ λέγειν, ἀλλὰ καὶ τὴν δίαιταν
μέλλειν ἔξαρνον εἶναι, καὶ παρεσκευάσθαι λέγειν τοιούτους
λόγους, ὡς οὐκ ἄν ποτε ἐπέτρεψε Νικομάχῳ [2] δίαιταν, ὃν
e ἠπίστατο πάλαι χρώμενον ἡμῖν, καὶ ὡς οὐκ εἰκὸς ἦν αὐτὸν
ἀντὶ μυρίων δραχμῶν διακοσίας ἐθελῆσαι λαβεῖν.

ζ΄. Ὑμεῖς δὲ ἐνθυμεῖσθε πρῶτον μὲν ὅτι τὴν δίαιταν
οὐκ ἀμφισβητοῦντες ἀλλ᾽ ἐπὶ ῥητοῖς ἐπετρέψαμεν, ὥστε
374 οὐδὲν ἄτοπον ἐποίησεν εἰ Νικόμαχον εἵλετο διαιτητὴν, ἀλλὰ
πολὺ μᾶλλον εἰ περὶ τῶν πραγμάτων ὡμολογηκὼς περὶ
τοῦ διαιτητοῦ διεφέρετο. ἔπειτ᾽ ὀφειλομένων μὲν αὐτῷ μυ-
ρίων δραχμῶν οὐκ εἰκὸς ἦν αὐτὸν ἐπὶ δυοῖν μναῖν ποιήσα-
σθαι τὴν διαλλαγήν· ἀδίκως δὲ αἰτιώμενον καὶ συκοφαν-
τοῦντα οὐδὲν θαυμαστὸν τοσοῦτον ἐθελῆσαι λαβεῖν. ἔτι δὲ
εἰ μεγάλα ἐγκαλῶν ὀλίγα ἐπράξατο, οὐ τούτῳ τοῦτο τε-
b κμήριόν ἐστιν ὡς ἡ δίαιτα οὐ γέγονεν, ἀλλὰ πολὺ μᾶλλον
ἡμῖν ὡς καὶ τὴν ἀρχὴν οὐ δικαίως ἐνεκάλεσε. θαυμάζω δ᾽
εἰ αὐτὸν μὲν ἱκανὸν γνῶναι νομίζει ὅτι οὐκ εἰκὸς ἀντὶ μυ-
ρίων δραχμῶν διακοσίας ἐθελῆσαι λαβεῖν, ἐμὲ δ᾽ οὐκ ἂν
οἴεται τοῦτ᾽ ἐξευρεῖν, εἴπερ [3] ἐβουλόμην ψευδῆ λέγειν, ὅτι
πλέον ἔδει φάσκειν τούτων δεδωκέναι. ἀξιῶ δὲ, ὅσον περ

[1] ἐπωβελείαν A. C. L. [2] διαιτᾷν A. C. L. [3] ἠβουλόμην C.

Τὴν ἀρχὴν] Ἀντὶ τοῦ, τὸν ἄρχοντα. Wolf.

Ἐν τοῖς πρυτανείοις] Πρυτανεῖα, Latine *sportulæ*, erat pecunia quam deponebat uterque litigantium, tam actor quam reus. Vide Harpocrationem in ea voce. Auger. Vid. Demosth. c. Macartat. §. ις΄. et c. Everg. et Mnesib. §. ιζ΄.

Πάλαι χρώμενον ἡμῖν] *vetusta familiaritate mecum conjunctum.* Wolf.

Πολὺ μᾶλλον] Scil. ἄτοπον ἂν ἐποίησεν. Idem.

Εἰ αὐτὸν μὲν ἱκανὸν γνῶναι] Sententia: Si dicit non verosimile esse, se pro decies mille drachmis ducentas accepisse, ego contra, si mentiri voluissem, dicere potueram me plus ducentis numerasse.

Ὅσονπερ ἂν τούτῳ κ. τ. λ.] Ὁ νοῦς· Ὅσον ἂν ἐγένετο σημεῖον τῷ ἀντιδίκῳ μου, ὅτι οὐ γέγονεν ἡ δίαιτα, εἰ εἷλε τὰ διαμαρτυρηθέντα, τουτέστιν εἰ ψευδῆ ἀπέδειξε τὴν περὶ τῆς διαίτης μαρτυρίαν, ἀξιῶ τοσοῦτον κἀμοὶ τεκμήριον γενέσθαι, ὅτι τἀληθῆ λέγω περὶ αὐτῆς, ἤγουν περὶ τοῦ γεγονέναι τὴν δίαιταν, ἐπειδὴ οὐδὲ ἐτόλμησεν ἐπεξελθεῖν καὶ ἐπισκήψασθαι, ἤγουν ψευδομαρτυριῶν ἐγκαλέσαι, τῷ διαμαρτυραμένῳ. Ὅπερ γὰρ ἐν ταῖς ἄλλαις δικαῖς ἑκα-

ἂν τούτῳ σημεῖον ἦν ὡς ἡ δίαιτα οὐ γέγονεν, [1]ἑλόντι τὰ
διαμαρτυρηθέντα, τοσοῦτον ἐμοὶ γενέσθαι τεκμήριον ὡς
ἀληθῆ λέγω περὶ αὐτῆς, ἐπειδὴ τῷ μάρτυρι φανερός ἐστιν
οὐδ' ἐπεξελθεῖν ἀξιώσας.

η'. Ἡγοῦμαι δὲ, εἰ μήτε ἡ δίαιτα ἐγεγόνει μήτε τῶν
πεπραγμένων ἦσαν [2]μάρτυρες, [3]ἔδει δ' ἐκ τῶν εἰκότων σκο-
πεῖν, οὐδ' οὕτω χαλεπῶς ἂν ὑμᾶς γνῶναι τὰ δίκαια. εἰ
μὲν γὰρ καὶ τοὺς ἄλλους ἀδικεῖν ἐτόλμων, εἰκότως ἄν μου
375 κατεγιγνώσκετε καὶ περὶ τοῦτον ἐξαμαρτάνειν· νῦν δ' οὐ-
δένα φανήσομαι τῶν πολιτῶν οὔτε χρήμασι ζημιώσας οὔτε d
περὶ τοῦ σώματος εἰς κίνδυνον καταστήσας, οὔτ' ἐκ μὲν
τῶν μετεχόντων τῆς πολιτείας ἐξαλείψας, εἰς δὲ τὸν μετὰ
[4]Λυσάνδρου κατάλογον ἐγγράψας. καίτοι πολλοὺς ἐπῆρεν
ἡ τῶν Τριάκοντα πονηρία τοιαῦτα ποιεῖν· οὐ γὰρ ὅτι τοὺς
ἀδικοῦντας ἐκόλαζον, ἀλλ' ἐνίοις καὶ προσέταττον ἐξα-
μαρτάνειν. ἐγὼ μὲν τοίνυν οὐδ' ἐπὶ τῆς ἐκείνων ἀρχῆς
οὐδὲν εὑρεθήσομαι τοιοῦτον ἐργασάμενος· οὗτος δὲ ἀδικηθῆναι
φησὶν, ὅτε ἐξεβέβλητο μὲν οἱ Τριάκοντα, ὁ δὲ Πειραιεὺς e
ἦν κατειλημμένος, [5]ἐκράτει δ' ὁ δῆμος, περὶ διαλλαγῶν δ'
ἦσαν οἱ λόγοι. καίτοι δοκεῖ ἂν ὑμῖν, ὅστις ἐπὶ τῶν Τριά-
κοντα κόσμιον ἑαυτὸν παρέσχεν, εἰς τοῦτον ἀποθέσθαι τὸν 375
χρόνον ἀδικεῖν, ἐν ᾧ καὶ τοῖς πρότερον ἡμαρτηκόσι μετέ-
μελεν; ὃ δὲ πάντων δεινότατον, εἰ τῶν [6]μὲν ὑπαρχόντων
ἐχθρῶν μηδ' ἀμύνεσθαι μηδένα ἠξίωσα, τοῦτον δὲ κακῶς
ποιεῖν ἐπεχείρουν, πρὸς ὃν [7]οὐδὲν πώποτέ μοι συμβόλαιον
ἐγένετο.

θ'. Ὡς μὲν οὖν οὐκ αἴτιός εἰμι Καλλιμάχῳ τῆς τῶν χρη-
μάτων δημεύσεως, ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω· ὡς δ'
οὐκ ἐξῆν αὐτῷ δικάζεσθαι περὶ τῶν τότε γεγενημένων, οὐδ' b

[1] οὐχ ἑλόντι A. L. [2] οἱ μάρτυρες A. L. μοι μάρτυρες C. [3] δεῖ L. [4] Πεισάνδρου A. L. [5] ἐκρατεῖτο L. [6] μὲν om. A. L. [7] οὐδὲ πώποτέ A. οὐδεπώποτέ L.

λεῖτο μαρτυρία, τοῦτο ἐν ταῖς παραγραφαῖς ἐλέγετο διαμαρτυρία. Cor. Cf. Lysias π. τραυμ. ἐκ προν. §. β'.

Περὶ τοῦ σώματος εἰς κίνδ.] *in capitis periculum adduxisse.* Lang.

Κατάλογον] Scil. τῶν τρισχιλίων πολιτῶν, septem post Pisandrianum catalogum annis factum sub xxxviris, imperante Lysandro. Cf. Xenoph. Hellen. ii. 3., Thucyd. viii. 65. 70. et Lysias de pop. stat. evers. §. ε'. μετὰ deletum eunt Augerus et Langius, pro quo ἐπὶ mavult Coraes.

Οὐ γὰρ ὅτι] Idem quod οὐ γὰρ μόνον. Wolf.

Προσέταττον] Ἐπειρῶντο πάντας ἀνομίας ἀναπλῆσαι, ἵνα πολλοὺς ἔχοιεν τοὺς συνεξαμαρτάνοντας. Cor.

εἰ πάντα ταῦτ᾽ ἦν πεποιηκὼς ἅ φησιν αὐτὸς, ἐκ τῶν συνθη-
κῶν γνώσεσθε. καί μοι λάβε τὸ βιβλίον.

ΣΥΝΘΗΚΑΙ.

ί. Ἆρα μικρῷ τῷ δικαίῳ πιστεύων τὴν παραγραφὴν
ἐποιησάμην, ἀλλ᾽ οὐ τῶν μὲν συνθηκῶν διαῤῥήδην ἀφιεισῶν
τοὺς ἐνδείξαντας ἢ φήναντας ἢ τῶν ἄλλων τι τῶν τοιούτων
πράξαντας, ἐμαυτὸν δ᾽ ἔχων ἀποφαίνειν ὡς οὔτε ταῦτα
c πεποίηκα οὔτ᾽ ἄλλο οὐδὲν ἐξήμαρτον; ἀνάγνωθι δή μοι καὶ
τοὺς ὅρκους.

ΟΡΚΟΙ.

ιά. Οὐκοῦν δεινὸν, ὦ ἄνδρες δικασταὶ, οὕτω μὲν τῶν
συνθηκῶν ἐχουσῶν, τοιούτων δὲ τῶν ὅρκων γενομένων, το- 376
σοῦτον φρονεῖν Καλλίμαχον ἐπὶ τοῖς λόγοις τοῖς αὑτοῦ, ὥστ᾽
ἡγεῖσθαι πείσειν ὑμᾶς ἐναντία τούτοις ψηφίσασθαι; καὶ εἰ
μὲν ἑώρα μεταμέλον τῇ πόλει τῶν πεπραγμένων, οὐκ ἄξιον
ἦν θαυμάζειν αὐτοῦ· νῦν δ᾽ οὐ μόνον ἐν τῇ θέσει τῶν νόμων
ἐπεδείξασθε περὶ πολλοῦ ποιούμενοι τὰς συνθήκας, ἀλλὰ
d καὶ Φίλωνα τὸν ἐκ Κοίλης ἐνδειχθέντα παραπρεσβεύεσθαι,
καὶ περὶ μὲν τοῦ πράγματος οὐδὲν ἔχοντα ἀπολογήσασθαι,
τὰς δὲ συνθήκας παρεχόμενον, ἔδοξεν ὑμῖν ἀφεῖναι καὶ
μηδὲ κρίσιν περὶ αὐτοῦ ποιήσασθαι. καὶ ἡ μὲν πόλις οὐδὲ
παρὰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἀξιοῖ δίκην λαβεῖν,
οὗτος δὲ καὶ τοὺς οὐδὲν ἠδικηκότας τολμᾷ συκοφαντεῖν. καὶ
μὴν οὐδὲ τάδ᾽ αὐτὸν λέληθεν, ὅτι Θρασύβουλος καὶ Ἄνυτος
e μέγιστον μὲν δυνάμενοι τῶν ἐν τῇ πόλει, πολλῶν δ᾽ ἀπε-
στερημένοι χρημάτων, εἰδότες δὲ τοὺς ἀπογράψαντας, ὅμως
οὐ τολμῶσιν αὐτοῖς δίκας λαγχάνειν οὐδὲ μνησικακεῖν, ἀλλ᾽
εἰ καὶ περὶ τῶν ἄλλων μᾶλλον ἑτέρων δύνανται διαπράττε-

Ἐνδείξαντας ἢ φήναντας] *accusatores et delatores.* LANG.

Ἢ τῶν ἄλλων τι] F. Ἢ τοὺς ἄλλο τι. WOLF. Οὐκ ἀπιθάνως. COR.

ΟΡΚΟΙ] Cf. Andocid. de Myster. §. ιέ.

Μεταμέλον] Participium pro μεταμέλειν. WOLF. Μήποτε· Καὶ εἰ μὲν ἑώρα μετάμελον. ὧπερ [scil. μετάμελος] ἐχρήσατο Θουκυδίδης ἀντὶ τοῦ μεταμέλεια. COR.

Τῶν νόμων] Ἴσως· τοῦ νόμου. IDEM.

Φίλωνα] Wesselingius ad Diod. Sic. l. xiv. 33. ex Lysia in Eratosth. §. ί. et Xenoph. Hellen. ii. 3. 2. it correctum Φείδωνα.

Ἐκ Κοίλης] Cœle demus Hippothoontidis tribus. Cf. Corsin. Fast. Att. par. i. diss. v. p. 233.

Οὐδὲ τάδε] Ἴσως· οὐδὲ τόδε. COR.

Ἀπογράψαντας] *qui eas pecunias tyrannis prodiderant,* aut *proscripserant, ut publicarentur.* LANG.

Περὶ τῶν ἄλλων] Malim ἐπὶ τῶν ἄλλων, scil. πραγμάτων. WOLF. Εἰ καὶ ἐν τοῖς ἄλλοις πράγμασι δύνανται μᾶλλον ἑτέρων διαπράττεσθαι, τουτέστι κατορθοῦν, καὶ τυγ-

σθαι, ἀλλ᾿ οὖν περί γε τῶν ἐν ταῖς συνθήκαις ἴσον ἔχειν 376
τοῖς ἄλλοις ἀξιοῦσι. καὶ οὐχ οὗτοι μόνοι ταῦτα ἠξιώκασιν,
ἀλλ᾿ οὐδ᾿ ὑμῶν οὐδεὶς τοιαύτην δίκην εἰσελθεῖν τετόλμηκε.
καίτοι δεινὸν, εἰ ἐπὶ μὲν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν
ἐμμενεῖτε τοῖς ὅρκοις, ἐπὶ δὲ τῇ τούτου συκοφαντίᾳ παρα-
βαίνειν ἐπιχειρήσετε, καὶ τὰς μὲν ἰδίας ὁμολογίας δημοσίᾳ
κυρίας ἀναγκάζετε εἶναι, τὰς δὲ τῆς πόλεως συνθήκας ἰδίᾳ
τὸν βουλόμενον λύειν ἐάσετε. ὃ δὲ πάντων ἄν τις μάλιστα
θαυμάσειεν, εἰ, ὅτε μὲν ἄδηλον ἦν εἰ συνοίσουσιν αἱ διαλ- b
λαγαὶ τῇ πόλει, τοιούτους ὅρκους ἐποιήσασθε περὶ αὐτῶν,
ὥστ᾿ εἰ καὶ μὴ συνέφερεν ἀναγκαῖον εἶναι τοῖς ὡμολογημέ-
νοις ἐμμένειν, ἐπειδὴ δὲ οὕτω καλῶς ὑμῖν συμβέβηκεν, ὥστε
καὶ μηδεμιᾶς πίστεως γεγενημένης ἄξιον εἶναι τὴν παροῦσαν
πολιτείαν διαφυλάττειν, τηνικαῦτα τοὺς ὅρκους παραβήσε-
σθε· καὶ τοῖς μὲν εἰρηκόσιν ὡς χρὴ τὰς συνθήκας ἐξαλείφειν c
[1]ὀργίζεσθε, τουτονὶ δὲ, ὃς γεγραμμένας αὐτὰς τολμᾷ παρα-
377 βαίνειν, ἀζήμιον ἀφήσετε. ἀλλ᾿ οὔτ᾿ ἂν δίκαια οὔτ᾿ ἄξια
ὑμῶν αὐτῶν οὔτ᾿ ἂν πρέποντα τοῖς πρότερον ἐγνωσμένοις
ποιήσαιτε.

ιβ΄. Ἐνθυμεῖσθε δὲ ὅτι περὶ τῶν μεγίστων ἥκετε δικά-
σοντες. περὶ γὰρ συνθηκῶν τὴν ψῆφον οἴσετε, ἃς οὐδὲ πώ-
ποτ᾿ οὔθ᾿ ὑμῖν πρὸς ἑτέρους οὔτ᾿ ἄλλοις πρὸς ὑμᾶς ἐλυσι-
τέλησε παραβῆναι· τοσαύτην δ᾿ ἔχουσι δύναμιν, ὥστε τὰ d
πλεῖστα τοῦ βίου καὶ τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις διὰ
συνθηκῶν εἶναι. ταύταις γὰρ πιστεύοντες ὡς ἀλλήλους ἀφι-
κνούμεθα, καὶ πορίζόμεθα ὧν ἕκαστοι τυγχάνομεν δεόμενοι·
μετὰ τούτων καὶ τὰ συμβόλαια τὰ πρὸς ἡμᾶς αὐτοὺς
ποιούμεθα, καὶ τὰς ἰδίας ἔχθρας, καὶ τοὺς κοινοὺς πολέ-
μους διαλυόμεθα· τούτῳ μόνῳ κοινῷ πάντες ἄνθρωποι δια-
τελοῦμεν χρώμενοι. ὥστε ἅπασι μὲν προσήκει βοηθεῖν αὐταῖς, e
μάλιστα δ᾿ [2]ὑμῖν.

[1] ὠργίζεσθε C.

[2] ἡμῖν A. L.

χάνειν ὧν ἂν βούλωνται. Cor.

Ἐπὶ δὲ τῇ τούτου συκοφαντίᾳ] Intellige phrasin, quasi legeretur: διὰ δὲ τὴν τούτου συκοφαντίαν. Auger.

Δημοσίᾳ κυρίας — εἶναι] I. e. publice valere. Lang.

Γεγραμμένας] Si fœdus perscriptum non fuit, deleri quomodo potuit? Quid ergo si ἀναγεγραμμένας legatur, ἀντὶ τοῦ κεκυρωμένας. Wolf. Præter necessitatem, credo. *postquam proscripta sunt et auctoritatem publicam acceperunt.* Idem.

ιγ΄. Ὑπόγυιον γάρ ἐστιν ἐξ οὗ καταπολεμηθέντες, ἐπὶ
τοῖς ἐχθροῖς γενόμενοι, πολλῶν ἐπιθυμησάντων διαφθεῖραι
τὴν πόλιν εἰς ὅρκους καὶ συνθήκας [1] κατεφύγομεν, ἃς εἰ
[2] Λακεδαιμόνιοι τολμῷεν παραβαίνειν, σφόδρ᾽ [3] ἂν ἕκαστος
377 ὑμῶν ἀγανακτήσειε. καίτοι πῶς οἷόν τ᾽ ἐστιν ἑτέρων κατη-
γορεῖν, οἷς αὐτός τις ἔνοχός ἐστι; τῷ δ᾽ ἂν δόξαιμεν ἀδι-
κεῖσθαι παρὰ τὰς συνθήκας κακῶς πάσχοντες, εἰ μηδ᾽
αὐτοὶ [4] φαινοίμεθ᾽ αὐτὰς περὶ πολλοῦ ποιούμενοι; τίνας δὲ
πίστεις πρὸς τοὺς ἄλλους εὑρήσομεν, εἰ τὰς πρὸς ἡμᾶς αὐ-
τοὺς γεγενημένας οὕτως εἰκῇ λύσομεν; ἄξιον δὲ καὶ τῶνδε
μνησθῆναι, διότι πολλῶν καὶ καλῶν τοῖς προγόνοις ἐν τῷ
b πολέμῳ πεπραγμένων οὐχ ἥκισθ᾽ ἡ πόλις ἐκ τούτων τῶν
διαλλαγῶν εὐδοκίμησε. πρὸς μὲν γὰρ τὸν πόλεμον πολλαὶ
πόλεις ἂν εὑρεθεῖεν καλῶς ἠγωνισμέναι, περὶ δὲ [5] στάσεως
οὐκ ἔστιν ἣν ἄν τις ἐπιδείξειεν ἄμεινον τῆς ἡμετέρας βεβου-
λευμένην. ἔτι δὲ τῶν μὲν τοιούτων ἔργων, ὅσα μετὰ κινδύνων
πέπρακται, τὸ πλεῖστον ἄν τις μέρος τῇ τύχῃ μεταδοίη·
τῆς δ᾽ εἰς ἡμᾶς αὐτοὺς μετριότητος οὐδεὶς ἂν [6] ἀλλ᾽ ἢ τὴν
c ἡμετέραν γνώμην αἰτιάσαιτο. ὥστ᾽ οὐκ ἄξιον προδότας ταύ-
της τῆς δόξης [7] γενέσθαι.

ιδ΄. Καὶ μηδεὶς ἡγείσθω με ὑπερβάλλειν μηδὲ μείζω 378
λέγειν, ὅτι δίκην ἰδίαν φεύγων τούτους εἴρηκα τοὺς λόγους.
οὐ γὰρ μόνον περὶ τῶν ἐπιγεγραμμένων χρημάτων ἐστὶν οὗ-
τος ὁ ἀγὼν, ἀλλ᾽ ἐμοὶ μὲν περὶ τούτων, ὑμῖν δὲ περὶ τῶν
ὀλίγῳ πρότερον εἰρημένων· ὑπὲρ ὧν οὐδεὶς οὔτ᾽ ἂν εἰπεῖν
ἀξίως δύναιτο οὔτ᾽ ἂν τίμημα ἱκανὸν ἐπιγράψαιτο. τοσοῦ-
τον γὰρ αὕτη διαφέρει τῶν ἄλλων δικῶν, ὥστε τῶν μὲν τοῖς
d ἀγωνιζομένοις μόνον προσήκει, ταύτῃ δὲ τὸ κοινὸν τῆς πό-
λεως συγκινδυνεύει. περὶ ταύτης δύο ὅρκους ὀμόσαντες δικά-
ζετε, τὸν μὲν, ὅνπερ ἐπὶ ταῖς ἄλλαις εἰώθατε, τὸν δ᾽, ὃν
ἐπὶ ταῖς συνθήκαις ἐποιήσασθε. ταύτην ἀδίκως γνόντες οὐ

[1] κατεφεύγομεν A. C. L. [2] οἱ Λακεδ. A. L. [οἱ] Λακεδ. C. [3] ἂν om. A. L. [4] φανοίμεθ᾽ A. C. L. [5] συστάσεως A. C. L. [6] ἄλλ᾽ C. [7] γεγενῆσθαι A. C. L.

Ἐπὶ τοῖς ἐχθροῖς γενόμενοι] Np. post cladem Hellesponticam. Idem.

Εἰς ὅρκους καὶ συνθήκας] Wolfius, recte puto, intelligit fœdus Græcorum post Xerxem profligatum, quo cavebatur, ne qua urbs, quæ Græciam contra barbaros defendisset, everteretur. Idem.

Ὑπερβάλλειν] Ὑπερβολαῖς χρῆσθαι. Cor.

Περὶ τῶν ἐπιγ. χρημάτων] *de pecuniis quæ in accusatione perscriptæ sunt.* Wolf.

Οὔτ᾽ ἂν τίμημα ἱκανὸν ἐπιγρ.] *nec satis magni æstimari queat.* Idem.

τοὺς τῆς πόλεως μόνον νόμους, ἀλλὰ καὶ τοὺς ἁπάντων κοινοὺς παραβήσεσθε. ὥστ᾽ οὐκ ἄξιον οὔτε κατὰ χάριν οὔτε κατ᾽ ἐπιείκειαν οὔτε κατ᾽ ἄλλο οὐδὲν ἢ κατὰ τοὺς ὅρκους περὶ αὐτῶν ψηφίσασθαι. e

ιε΄. Ὡς μὲν οὖν χρὴ καὶ συμφέρει καὶ δίκαιον ὑμᾶς ἐστὶν οὕτω περὶ τῶν συνθηκῶν γιγνώσκειν, οὐδ᾽ αὐτὸν ἡγοῦμαι Καλλίμαχον ἀντερεῖν· οἶμαι δ᾽ [1] αὐτὸν ὀδύρεσθαι τὴν παροῦσαν πενίαν καὶ τὴν γεγενημένην αὐτῷ συμφοράν, καὶ [2] λέξειν ὡς δεινὰ καὶ σχέτλια πείσεται, εἰ τῶν χρη- 378
μάτων ὧν ἐπὶ τῆς ὀλιγαρχίας ἀφῃρέθη, τούτων ἐν δημοκρατίᾳ τὴν [3] ἐπωβελίαν ὀφλήσει, καὶ εἰ τότε μὲν διὰ τὴν οὐσίαν τὴν αὑτοῦ φυγεῖν ἠναγκάσθη, νυνὶ δ᾽ ἐν ᾧ χρόνῳ προσῆκεν αὐτὸν δίκην λαβεῖν ἄτιμος γενήσεται. κατηγορήσει δὲ καὶ τῶν ἐν τῇ μεταστάσει γενομένων, ὡς ἐκ τούτων μάλισθ᾽ ὑμᾶς εἰς ὀργὴν καταστήσων· ἴσως γάρ τινος ἀκή- b
κοεν ὡς ὑμεῖς, ὅταν μὴ τοὺς ἀδικοῦντας λάβητε, τοὺς ἐντυγχάνοντας κολάζετε. ἐγὼ δὲ οὔθ᾽ ὑμᾶς ταύτην ἔχειν τὴν γνώμην ἡγοῦμαι, πρός τε τοὺς ὑπειρημένους λόγους ῥᾴδιον ἀντειπεῖν νομίζω.

ις΄. Πρὸς μὲν οὖν τοὺς ὀδυρμούς, ὅτι προσήκει βοηθεῖν ὑμᾶς οὐχ οἵτινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν, ἀλλ᾽ οἵτινες ἂν περὶ ὧν ἀντωμόσαντο δικαιότερα λέγοντες φαίνωνται. περὶ δὲ τῆς [4] ἐπωβελίας, εἰ μὲν ἐγὼ c
379 τούτων τῶν πραγμάτων αἴτιος ἦν, εἰκότως ἂν αὐτῷ μέλλοντι ζημιώσεσθαι συνήχθεσθε· νῦν δ᾽ οὗτός ἐστιν ὁ συκοφαντῶν, ὥστ᾽ οὐδὲν ἂν δικαίως αὐτοῦ λέγοντος ἀποδέχοισθε. ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν, ὅτι πάντες οἱ κατελθόντες ἐκ Πειραιέως ἔχοιεν ἂν τοὺς αὐτοὺς λόγους εἰπεῖν οὕσπερ οὗτος, ὧν οὐδεὶς ἄλλος τετόλμηκε τοιαύτην δίκην εἰσελθεῖν. καίτοι χρὴ μισεῖν ὑμᾶς τοὺς τοιούτους καὶ κακοὺς πολίτας νομί-

[1] [ἂν] αὐτὸν ὀδύρασθαι C. [2] λέγειν A. C. L. [3] ἐπωβελεῖαν A. C. L. [4] ἐπωβελείας A. C. L.

Ὀδύρεσθαι] Ἀντὶ τοῦ, ὀδυρεῖσθαι. Idem. Lang.

Ἄτιμος] Nam qui mulctam non solverant, in ærarios relati jus adipiscendorum magistratuum non habebant. Idem.

Μεταστάσει] Μετάστασιν, ut opinor, nominat τὴν τῆς πολιτείας μεταβολήν, estque aliquanto lenius quam si dixisset ἐν τῇ ὀλιγαρχίᾳ. Idem.

Ἴσως γὰρ κ. τ. λ.] Ironice dictum est. Lang.

Ὑπειρημένους] *ad ea quæ ego jam sub adversarii persona dixi.* Accipio ὑπειρημένους pro προειρημένους. Wolf.

Ὅτι προσήκει] Ante ὅτι subaudi ἀντείπω. Auger.

Ἀλλ᾽ οἵτινες — φαίνωνται] I. e. quorum accusatio est justa, non quorum calamitas magna. Cf. de Big. §. α΄. Lang.

ζειν, οἵτινες ταῖς μὲν συμφοραῖς ὁμοίαις τῷ πλήθει κέχρην-
d ται, τὰς δὲ τιμωρίας διαφόρους τῶν ἄλλων ἀξιοῦσι ποιεῖ-
σθαι. πρὸς δὲ τούτοις ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ, πρὶν ἀπο-
πειραθῆναι τῆς ὑμετέρας γνώμης, ἀφέντι τὴν δίκην ἀπηλ-
λάχθαι πάντων τῶν πραγμάτων. καίτοι πῶς οὐκ ἄλογόν
ἐστιν ἐν τούτῳ τῷ κινδύνῳ ζητεῖν αὐτὸν ἐλέους παρ᾽ ὑμῶν
τυγχάνειν, οὗ κύριός ἐστιν αὐτὸς, καὶ εἰς ὃν αὐτὸς αὑτὸν
καθίστησι, καὶ ὃν ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ μὴ κινδυ-
νεύειν;

e ιζ΄. Ἐὰν δ᾽ ἄρα μεμνῆται τῶν ἐπὶ τῆς ὀλιγαρχίας γε-
γενημένων, ἀξιοῦτε αὐτὸν μὴ ἐκείνων κατηγορεῖν ὑπὲρ ὧν
οὐδεὶς ἀπολογήσεται, ἀλλ᾽ ὡς ἐγὼ τὰ χρήματα εἴληφα δι-
δάσκειν, περὶ οὗπερ ὑμᾶς δεῖ ψηφίζεσθαι, μηδ᾽ ὡς αὐτὸς
δεινὰ πέπονθεν ἀποφαίνειν, ἀλλ᾽ ὡς ἐγὼ πεποίηκα ἐξελέγ-
379 χειν, παρ᾽ οὗπερ ἀξιοῖ τὰ ἀπολωλότα κομίζεσθαι· ἐπεὶ
κακῶς γε αὑτὸν πράττοντα ἐπιδεῖξαι καὶ πρὸς ἄλλον ὁντι-
νοῦν ἀγωνιζόμενος τῶν πολιτῶν δύναται. καίτοι χρὴ μέγα
παρ᾽ ὑμῖν δύνασθαι τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρῆσθαι
καὶ πρὸς τοὺς μηδὲν ἡμαρτηκότας, ἀλλ᾽ ἃς οὐχ οἷόν τ᾽ εἰπεῖν
ἀλλ᾽ ἢ κατὰ τῶν ἠδικηκότων. πρὸς μὲν οὖν τούτους τοὺς
λόγους καὶ ταῦτ᾽ ἴσως ἀρκέσει καὶ [1] τάχα ἀντειπεῖν
ἐξέσται.

b ιη΄. Ἐνθυμεῖσθε δὲ, εἰ καί τῳ δόξω δὶς περὶ τῶν αὐτῶν
λέγειν, ὅτι πολλοὶ προσέχουσι ταύτῃ τῇ δίκῃ τὸν νοῦν, οὐ
τῶν ἡμετέρων πραγμάτων φροντίζοντες, ἀλλ᾽ ἡγούμενοι περὶ
τῶν συνθηκῶν εἶναι τὴν κρίσιν. οὓς ὑμεῖς τὰ δίκαια γνόντες
ἀδεῶς οἰκεῖν ἐν τῇ πόλει ποιήσετε· εἰ δὲ μὴ, πῶς οἴεσθε
διακείσεσθαι τοὺς ἐν ἄστει μείναντας, ἢν ὁμοίως ἅπασιν
ὀργιζόμενοι [2] φανήσησθε τοῖς μετασχοῦσι τῆς πολιτείας; 380
c τίνα δὲ γνώμην ἕξειν τοὺς καὶ μικρὸν ἁμάρτημα σφίσιν αὐ-
τοῖς συνειδότας, ὅταν [3] ὁρῶσι μηδὲ τοὺς κοσμίως πεπολιτευ-
μένους τῶν δικαίων τυγχάνοντας; πόσην δὲ χρὴ προσδοκᾷν
ἔσεσθαι ταραχὴν, ὅταν οἱ μὲν ἐπαρθῶσι συκοφαντεῖν ὡς

[1] πλείω A. C. L. [2] φανήσεσθε A. L. [3] εἰδῶσι A. C. L.

Τῶν κατηγοριῶν οὐχ αἷς] I. e. οὐ τὰς κατηγορίας αἷς. Auger.

Καὶ τάχα ἀντειπεῖν ἐξέσται] *et fortasse refutare licebit*, scil. si talia inculcare perrexerit. Sed quid si leg. καὶ τάχα πλείω ἀντειπεῖν ἐξέσται. Wolf.

ὑμῶν αὐτοῖς ἤδη [1] ταὔτ᾽ ἐγνωκότων, οἱ δὲ δεδίωσι τὴν παρ-
οῦσαν πολιτείαν ὡς οὐδεμιᾶς αὐτοῖς ἔτι καταφυγῆς ὑπαρ-
χούσης; ἆρ᾽ οὐκ ἄξιον φοβεῖσθαι μὴ συγχυθέντων τῶν ὅρ-
κων πάλιν εἰς ταῦτα καταστῶμεν, ἐξ ὧνπερ ἠναγκάσθημεν d
τὰς συνθήκας ποιήσασθαι; καὶ μὴν οὐ δεῖ γ᾽ ὑμᾶς παρ᾽
ἑτέρων μαθεῖν, ὅσον ἐστὶν ὁμόνοια ἀγαθὸν ἢ στάσις κακόν·
οὕτω γὰρ ἀμφοτέρων σφόδρα πεπείρασθε, ὥστε καὶ τοὺς
ἄλλους ὑμεῖς ἄριστ᾽ ἂν [2] διδάξαιτε περὶ αὐτῶν.

ιθ΄. Ἵνα δὲ μὴ δοκῶ διὰ τοῦτο πολὺν χρόνον περὶ τὰς
συνθήκας διατρίβειν, ὅτι ῥάδιόν ἐστι περὶ [3] [τῶν] αὐτῶν
πολλὰ καὶ δίκαια εἰπεῖν, τοσοῦτον ὑμῖν ἔτι διακελεύομαι e
μνημονεύειν, ὅταν φέρητε τὴν ψῆφον, ὅτι πρὶν μὲν ποιήσα-
σθαι ταύτας ἐπολεμοῦμεν, οἱ μὲν τὸν κύκλον ἔχοντες, οἱ δὲ
τὸν Πειραιᾶ κατειληφότες, μᾶλλον ἀλλήλους μισοῦντες ἢ
τοὺς ὑπὸ τῶν προγόνων πολεμίους ἡμῖν καταλειφθέντας·
ἐπειδὴ δὲ τὰς πίστεις ἀλλήλοις ἔδομεν εἰς ταὐτὸν συνελ- 380
θόντες, οὕτω καλῶς καὶ κοινῶς πολιτευόμεθα ὥσπερ οὐδε-
μιᾶς ἡμῖν [4] συμφορᾶς γεγενημένης. καὶ τότε μὲν ἀμαθεστά-
τους καὶ δυστυχεστάτους πάντες ἡμᾶς ἐνόμιζον· νῦν δὲ
εὐδαιμονέστατοι καὶ σωφρονέστατοι τῶν Ἑλλήνων δοκοῦμεν
εἶναι. ὥστ᾽ ἄξιον οὐ μόνον τηλικαύταις ζημίαις κολάζειν
τοὺς παραβαίνειν τολμῶντας τὰς συνθήκας, ἀλλὰ ταῖς ἐσχά-
ταις, ὡς τῶν μεγίστων κακῶν αἰτίους ὄντας, ἄλλως τε καὶ b
τοὺς ὥσπερ Καλλίμαχος βεβιωκότας.

κ΄. Ὃς δέκα μὲν ἔτη συνεχῶς ἡμῖν Λακεδαιμονίων [5] πο-
λεμησάντων οὐδεμίαν παρέσχεν αὑτὸν ἡμέραν τάξαι τοῖς
στρατηγοῖς, ἀλλ᾽ ἐκεῖνον μὲν τὸν χρόνον διετέλεσεν ἀποδι-
δράσκων καὶ τὴν οὐσίαν ἀποκρυπτόμενος, ἐπειδὴ δὲ οἱ Τριά-
381 κοντα κατέστησαν, τηνικαῦτα κατέπλευσεν εἰς τὴν πόλιν.
καὶ φησὶ [6] [μὲν] εἶναι δημοτικὸς, τοσούτῳ δὲ μᾶλλον τῶν

[1] ταῦτ᾽ L. [2] διδάξητε A. L. [3] uncos om. A. C. L. [4] διαφορᾶς L. [5] πολεμιστάντων L. [6] [μὲν] om. A. C. L.

Ταὐτὰ ἐγνακότων] Ὡς αὐτοῖς ὁμογνωμόνων ὑμῶν ὄντων καὶ τὰ αὐτὰ φρονούντων, τουτέστι τὸ συκοφαντεῖν καλὸν ἡγουμένων. Cor.

Τὸν κύκλον ἔχοντες] *circuitum habentes*, sc. mœnium, i. e. mœnibus conclusi, manentes in urbe. Auger.

Τηλικαύταις] *tantis*, sc. tantis quantas lex jubet. Idem.

Δέκα μὲν ἔτη] Peloponnesiacum bellum annos duravit 28. Sed Isocrates loqui videtur de bello tantum Decelico. Wolf.

Οὐδεμίαν παρέσχεν] *nunquam nomen militiæ dedit, nullo die nomen suum apud duces professus est.* Wolf.

c ἄλλων [1] ἐπιθυμεῖ μετασχεῖν [2] ἐκείνης τῆς πολιτείας, ὥστ' οὐδ' εἰ κακῶς ἔπαθεν ἠξίωσεν ἀπελθεῖν, ἀλλ' ᾑρεῖτο μετὰ τῶν ἡμαρτηκότων εἰς αὐτὸν πολιορκεῖσθαι μᾶλλον ἢ μεθ' ὑμῶν τῶν συνηδικημένων πολιτεύεσθαι. καὶ μέχρι τῆς ἡμέρας ἐκείνης παρέμεινε μετέχων τῆς πολιτείας, ἐν ᾗ προσβαλεῖν ἐμέλλετε πρὸς τὸ τεῖχος· τότε δ' ἐξῆλθεν, οὐ τὰ παρόντα μισήσας, ἀλλὰ δείσας τὸν ἐπιόντα κίνδυνον, ὡς ὕστερον ἐδήλωσεν. ἐπειδὴ γὰρ Λακεδαιμονίων ἐλθόντων ὁ
d δῆμος ἐν τῷ Πειραιεῖ κατεκλείσθη, πάλιν ἐκεῖθεν διαδρὰς ἐν Βοιωτοῖς διῃτᾶτο. ὥστ' αὐτῷ προσήκει μετὰ τῶν αὐτομόλων ἀναγεγράφθαι πολὺ μᾶλλον ἢ τῶν φευγόντων ὀνομάζεσθαι. καὶ τοιοῦτος γεγενημένος καὶ περὶ τοὺς ἐκ Πειραιέως καὶ περὶ τοὺς ἐν ἄστει μείναντας καὶ περὶ πᾶσαν τὴν πόλιν, οὐκ ἀγαπᾷ τῶν ἴσων [3] τυγχάνων τοῖς ἄλλοις, ἀλλὰ ζητεῖ πλέον ἔχειν ὑμῶν, ὥσπερ ἢ μόνος ἀδικηθεὶς ἢ βέλτι-
e στος ὢν τῶν πολιτῶν ἢ μεγίσταις συμφοραῖς δι' ὑμᾶς κεχρημένος ἢ πλείστων ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος. [4] ἐβουλόμην δ' ἂν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν αὐτὸν, ἵν' αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε, ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε. νῦν δὲ περὶ μὲν τῶν ἄλλων, ὅσοις ἐπιβεβού-
381 λευκε, καὶ δίκας οἵας δεδίκασται καὶ γραφὰς [5] εἰσελήλυθε, καὶ μεθ' ὧν συνέστηκε καὶ καθ' ὧν τὰ ψευδῆ μεμαρτύρηκεν, οὐδ' ἂν δὶς τοσοῦτον ὕδωρ ἱκανὸν διηγήσασθαι γένοιτο· ἓν δὲ μόνον ἀκούσαντες τῶν τούτῳ πεπραγμένων ῥᾳδίως καὶ τὴν ἄλλην αὐτοῦ πονηρίαν γνώσεσθε.

κά. Κρατῖνος γὰρ ἠμφισβήτησε χωρίου τῷ τούτου κηδεστῇ. μάχης δ' αὐτοῖς γενομένης, [6] ὑποκρυψάμενοι θερά-
b παιναν ᾐτιῶντο [7] τὸν Κρατῖνον συντρῖψαι [8] [κατὰ] τῆς κεφαλῆς αὐτῆς, ἐκ δὲ τοῦ τραύματος φάσκοντες ἀποθανεῖν τὴν ἄνθρωπον λαγχάνουσιν αὐτῷ φόνου δίκην ἐπὶ Παλλαδίῳ. πυθόμενος δὲ ὁ Κρατῖνος τὰς τούτων ἐπιβουλὰς τὸν μὲν

[1] ἐπεθύμει A. C. L. [2] ἐκείνων A. C. L. [3] τυγχάνει A. τυγχάνειν L. [4] ἠβουλόμην C. [5] [ἃς] εἰσελήλυθε C. [6] ἀποκρυψάμενοι L. [7] τὸν om. A. L. [8] uncos om. A. C. L.

Τὰ παρόντα] Scil. πράγματα, τὴν τυραννικὴν ὀλιγαρχίαν. Idem.

Τῶν φευγόντων] Scil. ἕνα. Idem.

Τῶν ἀπολωλότων] Scil. ἕνεκα, ἢ, διὰ τὰ ἀπολωλότα. Idem.

Μεθ' ὧν συνέστηκε] Scil. ἐπὶ συκοφαντίᾳ καὶ βλάβῃ τῶν συμπολιτευομένων. Idem. quibuscum conspiraverit. Lang.

Κατὰ τῆς κεφαλῆς] Pro τὴν κεφαλὴν αὐτῆς. Wolf. Ἀντὶ τοῦ, συντρῖψαι αὐτὴν κατὰ τῆς κεφαλῆς. Cor.

ἄλλον χρόνον ἡσυχίαν ἦγεν, ἵνα μὴ μεταθεῖντο τὸ πρᾶγμα
382 μηδ᾽ ἑτέρους λόγους ἐξευρίσκοιεν, ἀλλ᾽ ἐπ᾽ αὐτοφώρῳ
ληφθεῖεν κακουργοῦντες· ἐπειδὴ δὲ ὁ κηδεστὴς μὲν ἦν ὁ τού-
του κατηγορηκὼς, οὗτος δὲ [1]μεμαρτυρηκὼς ἦ μὴν τεθνάναι
τὴν ἄνθρωπον, ἐλθόντες εἰς τὴν οἰκίαν ἵνα ἦν κεκρυμμένη, c
βίᾳ λαβόντες αὐτὴν καὶ ἀγαγόντες ἐπὶ τὸ δικαστήριον ζῶσαν
ἅπασι τοῖς παροῦσιν ἐπέδειξαν. ὥσθ᾽ ἑπτακοσίων μὲν δικα-
ζόντων, τεττάρων δὲ καὶ δέκα μαρτυρησάντων [2]ἅπερ οὗτος,
οὐδεμίαν ψῆφον μετέλαβε. καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

κβʹ. Τίς ἂν οὖν ἀξίως δύναιτο κατηγορῆσαι τῶν τούτῳ
πεπραγμένων; ἢ τίς ἂν εὑρεῖν ἔχοι παράδειγμα μεῖζον ἀδι- d
κίας καὶ συκοφαντίας καὶ πονηρίας; ἔνια μὲν γὰρ τῶν ἀδι-
κημάτων οὐκ ἂν ὅλον τὸν τρόπον δηλώσειε τῶν ἀδικησάντων,
ἐκ δὲ τῶν τοιούτων ἔργων ἅπαντα τὸν βίον τῶν ἐξαμαρτα-
νόντων ῥᾴδιον κατιδεῖν ἐστίν. ὅστις γὰρ τοὺς ζῶντας τεθνά-
ναι μαρτυρεῖ, τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκεῖ; ἢ ὅστις
ἐπὶ τοῖς ἀλλοτρίοις πράγμασιν οὕτω πονηρός ἐστι, τί οὐκ
ἂν ἐπὶ τοῖς αὑτοῦ τολμήσειε; πῶς δὲ χρὴ τούτῳ πιστεύειν
ὑπὲρ αὑτοῦ λέγοντι, ὃς ὑπὲρ ἑτέρων ἐπιορκῶν ἐξελέγχεται; e
τίς δὲ πώποτε φανερώτερον [3]ἐπεδείχθη τὰ ψευδῆ μαρτυρῶν;
τοὺς μὲν γὰρ ἄλλους ἐκ τῶν λεγομένων κρίνετε, τὴν δὲ τού-
του μαρτυρίαν, ὅτι ψευδὴς ἦν, εἶδον οἱ δικάζοντες. καὶ τοι-
αῦθ᾽ ἡμαρτηκὼς ἐπιχειρήσει λέγειν ὡς ἡμεῖς ψευδόμεθα, 382
ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν
ὀνειδίσειεν, ἢ [4]Φιλοργὸς ὁ τὸ [5]Γοργόνειον ὑφελόμενος τοὺς

[1] ὁ μεμαρτυρηκὼς ὑμῖν τεθν. A. C. L. [2] ἅπερ om. A. C. L.
[3] ἀπεδείχθη A. C. L. [4] Φιλεργὸς A. C. L. [5] Γοργόνιον L.

Ὑμῖν τεθνάναι] Lego ἦ μὴν τεθν. Wolf.

Ἐλθόντες] Scil. οἱ περὶ Κρατῖνον, quod Wolfius in textum recipere mavult. Lang. Ὁ Κρατῖνος δηλονότι καὶ οἱ συνηγοροῦντες αὐτῷ. Cor.

Ἑπτακοσίων] F. leg. πεντακοσίων. Wolf. Ἀλλ᾽ ὅμως ὁ τῶν δικαστῶν ἀριθμὸς ἄλλοτε ἄλλος ἐτύγχανεν ὤν, τὸ μὲν μέγιστον χιλίων καὶ πεντακοσίων, τὸ δ᾽ ἐλάχιστον πεντακοσίων. Cor.

Ἂν — ἀποσχέσθαι] I. e. ἀφέξεσθαι.

Φρυνώνδας] Hunc Suidas improbitate nobilitatum esse scribit et mercenarium fuisse, artificem noxiarum machinationum. Wolf. Cf. Harpocrat. ad voc.

Φιλοργὸς] Taylorus ad Lysiam c. Andocid. §. αʹ. et Augerus legendum suspicantur Φιλέας, secundum Suidam in h. v. Sed vide eundem Suidam sub v. φιλουργός.

Τὸ Γοργόνειον] Sub. κάρα, *caput Medusæ*. Auger. Ἔστιν ἡ τῆς Ἀθηνᾶς αἰγὶς, ἐν ᾗ ἡ τῆς Γοργοῦς κεφαλὴ (Ἰλ. Ε. 741. καὶ Λουκιαν. Φιλοπάτρ. §. 8.), καὶ ἦν εἰκὸς πολύτιμον γεγονέναι, εἴπερ Φειδίας, ὁ τὸ τῆς θεᾶς ἐργα-

ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι. τίνα δὲ προσήκει τῶν μὴ γενομένων παρασχέσθαι [1] μάρτυρας μᾶλλον ἢ τοῦτον, ὃς αὐτὸς ἑτέροις τὰ ψευδῆ τολμᾷ μαρτυρεῖν;

κγ΄. Ἀλλὰ γὰρ Καλλιμάχου μὲν ἔξεστι πολλάκις κατηγορεῖν — οὕτω γὰρ παρεσκεύασται πολιτεύεσθαι —,
b περὶ δὲ ἐμαυτοῦ τὰς μὲν ἄλλας πάσας παραλείψω λειτουργίας, ἧς δ' οὐ μόνον ἂν μοι δικαίως ἔχοιτε χάριν,
ἀλλὰ καὶ τεκμηρίῳ χρήσαισθε περὶ τοῦ παντὸς πρά- 383
γματος, ταύτης δὲ μνησθήσομαι πρὸς ὑμᾶς. ὅτε γὰρ ἡ πόλις ἀπώλεσε τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τῆς δυνάμεως ἐστερήθη, τῶν μὲν πλείστων τριηράρχων τοσοῦτον [2] διήνεγκον, ὅτι μετ' ὀλίγων ἔσωσα τὴν ναῦν, αὐτῶν δὲ τούτων, ὅτι καταπλεύσας εἰς τὸν Πειραιᾶ μόνος οὐ κατέλυσα
c τὴν τριηραρχίαν, ἀλλὰ τῶν ἄλλων ἀσμένως ἀπαλλαττομένων τῶν λειτουργιῶν καὶ πρὸς τὰ παρόντα ἀθύμως διακειμένων, καὶ τῶν μὲν [3] ἀνηλωμένων αὐτοῖς μεταμέλον, τὰ δὲ λοιπὰ ἀποκρυπτομένων, καὶ νομιζόντων τὰ μὲν κοινὰ διεφθάρθαι, τὰ δ' ἴδια σκοπουμένων, οὐ τὴν αὐτὴν ἐκείνοις γνώμην ἔσχον, ἀλλὰ πείσας τὸν ἀδελφὸν συντριηραρχεῖν, παρ' ἡμῶν αὐτῶν μισθὸν διδόντες τοῖς ναύταις, κακῶς
d ἐποιοῦμεν τοὺς πολεμίους. τὸ δὲ τελευταῖον προειπόντος Λυσάνδρου, εἴ τις εἰσάγει σῖτον ὡς ὑμᾶς, θάνατον τὴν ζημίαν, οὕτω φιλοτίμως εἴχομεν πρὸς τὴν πόλιν, ὥστε τῶν ἄλλων οὐδὲ τὸν σφέτερον αὐτῶν εἰσάγειν τολμώντων ἡμεῖς τὸν ὡς ἐκείνους εἰσπλέοντα λαμβάνοντες εἰς τὸν Πειραιᾶ κατήγομεν. ἀνθ' ὧν ὑμεῖς ἐψηφίσασθε ἡμᾶς στεφανῶσαι καὶ [4] πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν, ὡς μεγάλων ἀγαθῶν

[1] μάρτυρα A. C. L. [2] διήνεγκα A. C. L. [3] ἀναλωμένων C. [4] πρόσθεν A. C. L.

σάμενος ἕδος, καὶ κατὰ μικρὸν τὴν Ὁμηρικὴν ἐμιμήσατο πολυτέλειαν Ἰλ. Β. 446.

Μετὰ δὲ γλαυκῶπις Ἀθήνη,
Αἰγίδ' ἔχουσ' ἐρίτιμον, ἀγήραον, ἀθανάτην τε
Τῆς ἑκατὸν θύσανοι παγχρύσεοι ἠερέθοντο,
Πάντες ἐϋπλεκέες· ἑκατόμβοιος δὲ ἕκαστος.
Cor.

Τῶν μὴ γενομένων παρασχέσθαι μάρτυρα] *rerum non factarum producere testem*, i. e. subornare falsos testes. Wolf.

Μετ' ὀλίγων] Μετ' ὀλίγων τριηράρχων, τουτέστιν, ὀλίγοι τῶν τριηράρχων ἦσαν οἱ σεσωκότες τὰς ἰδίας ναῦς, ὡς ἐγὼ τὴν ἐμαυτοῦ, τῶν πλείστων ἀπολεσάντων αὐτάς. Cor.

Αὐτῶν δὲ τούτων] Τούτων δὲ πάλιν τῶν ὀλίγων τοσοῦτον διήνεγκα, ὅτι κ. τ. λ. Idem.

Οὐ κατέλυσα τὴν τριηρ.] Οὐκ ἐπαυσάμην τριηραρχῶν. Wolf.

Μεταμέλον] Μεταμέλοντος melius congrueret cum aliis genitivis, sed potest retineri μεταμέλον in accusativo absoluto. Auger.

Παρ' ἡμῶν αὐτῶν] Ἀντὶ τοῦ, ἐκ τῆς ἰδίας οὐσίας. Wolf.

Τὸν σφέτερον] Scil. σῖτον. Idem.

Ὡς ἐκείνους] Εἰς τοὺς Λακεδαιμονίους. Cor.

Πρόσθε τῶν ἐπωνύμων] *ante statuas he-*

αἰτίους ὄντας. καίτοι χρὴ τούτους δημοτικοὺς νομίζειν,
οὐχ ὅσοι κρατοῦντος τοῦ δήμου μετασχεῖν τῶν πραγμάτων e
ἐπεθύμησαν, ἀλλ' οἳ δυστυχησάσης τῆς πόλεως προκινδυ-
νεύειν ὑμῶν ἠθέλησαν, καὶ χάριν ἔχειν οὐκ εἴ τις αὐτὸς
κακῶς πέπονθεν, ἀλλ' εἴ τις ὑμᾶς εὖ πεποίηκε, καὶ πένη- 383
τας γενομένους ἐλεεῖν οὐ τοὺς ἀπολωλεκότας τὴν οὐσίαν,
ἀλλὰ τοὺς εἰς ὑμᾶς [1] ἀνηλωκότας.

κδ΄. Ὧν εἷς ἐγὼ φανήσομαι γεγενημένος, ὃς πάντων ἂν
εἴην δυστυχέστατος, εἰ πολλὰ τῶν ἐμαυτοῦ δεδαπανημένος
εἰς τὴν πόλιν εἶτα δόξαιμι τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, καὶ
περὶ μηδενὸς ποιεῖσθαι τὰς παρ' ὑμῖν διαβολάς, ὃς οὐ μό-
νον τὴν οὐσίαν ἀλλὰ καὶ τὴν ψυχὴν τὴν ἐμαυτοῦ περὶ
ἐλάττονος φαίνομαι ποιούμενος τοῦ παρ' ὑμῖν εὐδοκιμεῖν. b
τῷ δ' οὐκ ἂν ὑμῶν μεταμελήσειεν, εἰ καὶ μὴ παραχρῆμα,
384 ἀλλ' ὀλίγον ὕστερον, εἰ τὸν μὲν συκοφάντην ἴδοιτε πλούσιον
γεγενημένον, ἐμὲ δ' ἐξ ὧν ὑπέλιπον λειτουργῶν, καὶ τού-
των ἐκπεπτωκότα; καὶ τὸν μὲν μηδὲ πώποτε ὑπὲρ ὑμῶν
κινδυνεύσαντα μεῖζον καὶ τῶν νόμων καὶ τῶν συνθηκῶν δυ-
νάμενον, ἐμὲ δὲ τὸν οὕτω πρόθυμον περὶ τὴν πόλιν γεγενη- c
μένον μηδὲ τῶν δικαίων ἀξιούμενον τυγχάνειν; τίς δ' οὐκ
ἂν ὑμῖν ἐπιτιμήσειεν, εἰ πεισθέντες ὑπὸ τῶν Καλλιμάχου
λόγων τοσαύτην πονηρίαν ἡμῶν καταγνοίητε, οὓς ἐκ τῶν
ἔργων κρίναντες δι' ἀνδραγαθίαν ἐστεφανώσατε, [2] ὅτ' οὐδ'
οὕτω ῥᾴδιον ἦν ὥσπερ νῦν τυχεῖν ταύτης τῆς τιμῆς; τοὐ-
ναντίον δ' ἡμῖν συμβέβηκεν ἢ τοῖς ἄλλοις· οἱ μὲν γὰρ ἄλ-
λοι τοὺς εἰληφότας τὰς δωρεὰς ὑπομιμνήσκουσιν, ἡμεῖς δ'
ὑμᾶς τοὺς δεδωκότας ἀξιοῦμεν μνημονεύειν, ἵν' ὑμῖν τεκμή- d
ριον τῶν εἰρημένων ἁπάντων καὶ τῶν ἐπιτηδευμάτων τῶν
ἡμετέρων γένηται. δῆλον δ' ὅτι ταύτης τῆς τιμῆς ἀξίους
ἡμᾶς αὐτοὺς παρείχομεν οὐχ ἵνα ὀλιγαρχίας γενομένης
τἀλλότρια διαρπάζοιμεν, ἀλλ' ἵνα σωθείσης τῆς πόλεως οἵ
τ' ἄλλοι τὰ σφέτερ' αὐτῶν ἔχοιεν, ἡμῖν τε παρὰ τῷ πλή-
θει τῶν πολιτῶν χάρις ὀφείλοιτο· ἣν ἡμεῖς νῦν ἀπαιτοῦμεν,

[1] ἀναλωκότας C. [2] ὅτε μηδ' A. C. L.

roum, a quibus decem tribus Athenis cognominabantur. Wolf.

Ἀντειπεῖν] Ἀναγορεύειν. Idem.

Τῷ δ' οὐκ ἂν ὑμῶν μεταμελήσειεν] Τίς δ' ἐξ ὑμῶν οὐ μετανοήσει; Cor.

Ἐξ ὧν ὑπέλιπον] Ἐκ τούτων ἃ οὐ δεδαπάνημαι εἰς τὴν πόλιν. Wolf. *ex his quæ reliqua feci.* Auger.

e οὐ πλέον ἔχειν τοῦ δικαίου ζητοῦντες, ἀλλ' ἀποφαίνοντες
μὲν ὡς οὐδὲν ἀδικοῦμεν [1] * * * τοῖς [2] ὅρκοις καὶ ταῖς συν-
θήκαις ἐμμένοντες. καὶ γὰρ ἂν εἴη δεινόν, εἰ τοὺς μὲν ἠδι-
κηκότας τιμωρίας ἀφεῖναι κύριαι [3] ἐγένοντο, ἐφ' ἡμῖν δὲ τοῖς
εὖ πεποιηκόσιν ἄκυροι κατασταθεῖεν. ἄξιον δὲ τὴν παροῦ-
384 σαν τύχην διαφυλάττειν, ἐνθυμουμένους ὅτι ἑτέρας μὲν
πόλεις ἐποίησαν [4] ἤδη συνθῆκαι στασιάσαι, τὴν δ' ἡμετέ-
ραν μᾶλλον ὁμονοεῖν. ὧν χρὴ μεμνημένους ἅμα τά τε δί-
καια καὶ τὰ συμφέροντα [5] ψηφίζεσθαι.

[1] asteriscos om. A. C. L. [2] δ' ὅρκοις C. L. [3] γένοιντο A. L.
[4] αἱ A. C. L. [5] ψηφίσασθαι A. C.

Τοῖς ὅρκοις] Videntur hæc ad judicum personam pertinere, ac aliquid deesse. Wolf.

ΙΘ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΑΙΓΙΝΗΤΙΚΟΣ.

Pag. ed. Cor. Pag. ed. H. Steph.

385 α΄. ΕΝΟΜΙΖΟΝ μὲν, ὦ ἄνδρες Αἰγινῆται, οὕτω καλῶς 384. b
βεβουλεῦσθαι περὶ τῶν αὑτοῦ Θρασύλοχον, ὥστε μηδέν' ἂν

SUMMARIUM. (α΄.) *Exordium.* Parum abest, judices, quin adversariis [mulieri cuidam, quæ cum suis patronis homini, cui Isocrates hanc orationem scripsit, litem intenderat de hereditate] gratiam habeam, quod me in hanc litem adduxerint. Nam nisi res in judicium venisset, non comperissetis, propter quæ in defunctum merita ipsius bonorum heres sim constitutus, quamque malitiosa sit adversaria cum patronis suis, qui testamentum hoc oppugnant. Ut causæ statum celerrime cognoscere possitis, hæc accipite. (β΄.) Thrasyllus, illius pater, qui mihi testamentum reliquit, haruspex fuit, in Siphno natus, qui in pluribus civitatibus commoratus, et cum aliis mulieribus consuevit, quarum nonnullæ liberos pepererunt, quos ille nunquam pro legitimis habuit; et adversariæ matrem illis temporibus accepit. His dimissis et magnis opibus comparatis in patriam rediit uxoremque duxit, primum patris mei sororem, deinde patris mei consobrinam, post e Seripho aliquam, ex qua suscepit Sopolidem, Thrasylochum et uxorem meam, quos solos ille legitimos liberos judicavit relictaque illis re familiari vitam finivit. (γ΄.) Ego vero et Thrasylochus amicitiam a patribus acceptam arctiorem etiam effecimus a pueritia usque ad mortem. Tandem illum tabe correptum et diu ægrotantem, quum frater ejus Sopolis jam obiisset, mater vero et soror nondum huc Æginam advenisset, ideoque destitutum ab omnibus tanta industria et fide curavi, ut ingravescente morbo testibus advocatis me adoptaret et suam ipsius sororem suasque facultates mihi daret. (δ΄.) Factum autem est testamentum et secundum Æginetarum, inter quos decessit, (ε΄.) et Siphniorum, in quarum civitate olim vixit, legem, secundum quam ejusdem conditionis homines adoptare licet. Ego vero civis illius et amicus fui, ac Siphniorum nemine deterior, eodemque modo, quo ille, institutus et educatus. (ϛ΄.) Et his legibus consentit quoque in patria adversariorum lex recepta. (ζ΄.) Quum vero ipsi testamentum hoc genuinum esse fateantur, et leges mulieri nullæ, mihi omnes patrocinentur, a quo tandem facinore ii abstinebunt, qui vobis persuadere conantur, ut testamentum hoc infirmetis, quum juravistis, e legibus vos sententiam laturos? (η΄.) Ne quis vero putet, me parvas ob causas hereditatem adeptum istamque illa fraudari sciatis, illam, quæ secundum generis proximitatem de relictis opibus mecum contendit, perpetuo cum illo et Sopolide et horum matre litigasse et inimicitias exercuisse, me vero non tantum erga Thrasylochum et fratrem, verum etiam erga has facultates excellenter gessisse. (θ΄.) Quum Pasinus insulam Parum occupabat, maximam bonorum partem, quæ illic apud hospites meos occultata jacebat, ego conscenso navigio nocte cum vitæ meo periculo exportavi, patre meo et fratre tribusque affinibus, qui ibi tunc commorabantur, jam occisis. (ι΄.) Post hæc, fuga nobis e Siphno facta, absente Sopolide, Thrasylochum ægrotantem una cum matre illius et sorore opibusque universis extuli. (ια΄.) Deinde, dum illi obsequor, in maximas etiam incidi calamitates. (ιβ΄.) Thrasylochus enim mihi persuasit, ut, relicta Melo, quo confugeramus, Trœzenen secum navigarem, ubi ipse morti propior, sororem meam ac matrem post paucos adventus nostri dies sepelii, dum illi obsequor exsul ac pauper carissimisque in terra aliena orbatus. (ιγ΄.) Quanta eum benevolentia prosecutus sim, evidentius etiam ac certius e sequentibus patet. Quum enim Æginam se habitatum

ποτ᾽ ἐλθεῖν ἐναντία πράξοντα ταῖς διαθήκαις ἃς ἐκεῖνος
κατέλιπεν· ἐπειδὴ δὲ τοῖς ἀντιδίκοις τοιαύτη γνώμη [1] παρ-
έστηκεν ὥστε καὶ πρὸς οὕτως ἐχούσας αὐτὰς ἀμφισβητεῖν,
c ἀναγκαίως ἔχει παρ᾽ ὑμῶν τῶν δικαίων τυγχάνειν πειρᾶ-
σθαι. τοὐναντίον δὲ πέπονθα τοῖς πλείστοις τῶν ἀνθρώ-
πων· τοὺς μὲν γὰρ ἄλλους ὁρῶ χαλεπῶς φέροντας, ὅταν
ἀδίκως περί τινος [2] κινδυνεύωσιν· ἐγὼ δ᾽ ὀλίγου δέω χάριν

[1] καθέστηκεν A. C. L.

[2] κινδυνεύσωσιν A. L.

contulisset, ac in eum morbum incidisset, quo periit, ita eum curavi, ut haud scio, an quisquam alius alium unquam. Sex totos menses in lecto decubuit, nullusque cognatorum, præter matrem illius ac sororem, quæ ægrotæ Trœzene advenerunt, eum invisit; quo tempore eum cum unico puero curavi. Nullum diem sine lacrymis egimus; quibus omnibus accedebat, quod mihi nuspiam discedere licebat. (ιδ′.) Quæ in curatione morbi difficillima et molestissima sunt, non satis commode enarrari possunt. Quibus equidem ita affectus fui, ut amici, quotquot me invisebant, vereri dicerent, ne ipse una cum eo perirem; quibus ego respondebam, me longe malle emori, quam committere, ut ille curatore egens ante diem moreretur. (ιε′.) Ac mecum, qui talis fui erga Thrasylochum, ausa est contendere ista, quæ neque in tam diuturno morbo illum invisere, neque funus ejus concelebrare dignata est, sed, quasi pecuniæ non homini cognata exstitisset, de bonis relictis, antequam decem dies exiissent, controversiam motura venit. Quodsi per inimicitias ista facere non potuit, Thrasylochus opes suas mihi rectius reliquit, quam isti; sin nihil dissidii inter ipsos fuit, multo æquius suis ipsa bonis spoliaretur, quam bonorum illius heres fieret. Atqui æquum est, vos in sententia ferenda non tam eos spectare, qui se genere proximos esse dicunt, re ipsa inimicos sese præbuerunt, sed qui in calamitatibus amiciores se præstiterunt, quam ipsi cognati. (ιϛ′.) Bene igitur et recte egit Thrasylochus, qui amicis gratiam retulit, mihi sororem suam uxorem dedit, meque matri suæ adoptavit, ideoque cognatis non suam solum rem familiarem, sed etiam meam tradidit. (ιζ′.) Nec indignus eram, qui filius Thrasylocho adoptarer, quum majores mei et genere et opibus et gratia principes civitatis fuerint, egoque, etsi vilissimus civium essem, jure tamen, ob collata in ipsum beneficia, maxima quæque ab eo essem assecutus. (ιη′.) Arbitror autem, et Sopolidi fratri hoc testamento rem gratissimam factam esse, qui et ipse istam oderat, sibique male velle existimabat et me inter omnes amicos maximi faciebat. Ego enim illum vulneratum ex acie deportavi, illa vero post acceptum de obitu ejus nuntium sacrificabat et diem festum celebrabat. (ιθ′.) At fortasse dicent, Thrasyllum, istius mulieris patrem, si quis sensus sit defunctis rerum, quæ hic gerantur, indignaturum esse, si viderit filiam hereditate sua fraudatam et me heredem factum earum opum, quas ipse comparavit. (κ′.) Ego vero arbitror, Thrasylochi patrem judicem omnium acerrimum fore, si intelligeret, qualis in liberos ipsius ea fuerit, ideoque animo longe iniquiore laturum, si testamentum videret a filio suo factum, irritum fieri, qui non meæ familiæ facultates suas tradidit, sed me in suam ipsius familiam adoptavit. Præterea Thrasyllus pater ipse pecunias accepit a Polemæneto, non jure cognationis, sed ratione virtutis. (κα′.) Ille ipse nostram necessitudinem tanti fecit, ut patris mei et sororem et consobrinam duxerit. (κβ′.) Itaque, si mihi adjudicaveritis hereditatem, rem gratam facietis et illi et reliquis omnibus, ad quos hæc negotia aliqua ex parte attinent. Convenit et vos eam legem defendere, per quam nobis et liberos adoptare licet et de nostris fortunis nostro arbitratu statuere, cogitantes, hanc legem orbis hominibus loco liberorum esse. (κγ′.) Considerate denique primum amicitiam meam erga illos, qui hereditatem reliquerunt, a patribus acceptam et sine intermissione ad finem perductam; deinde multa et magna beneficia et in illos, dum calamitosi erant, collata, testamentum præterea ab ipsis adversariis non negatum; legem denique huic testamento suffragantem et Græcis omnibus probatam. Vos igitur oro, ut justa et æqua decernatis, et tales mihi sitis judices, quales vobis alios esse cupiatis. Lang. Ignoratur quo tempore hæc oratio scripta fuerit. Auger.

Αὐτὰς] Scil. διαθήκας. Lang.

ἔχειν τούτοις ὅτι με εἰς [1] τουτονὶ τὸν ἀγῶνα κατέστησαν.
ἀκρίτου μὲν γὰρ ὄντος τοῦ πράγματος οὐκ ἂν ἠπίστασθ' 385
ὁποῖός τις γεγενημένος περὶ τὸν τετελευτηκότα κληρονόμος
εἰμὶ τῶν ἐκείνου· πυθόμενοι δὲ τὰ πραχθέντα [2] πάντες
εἴσεσθ' ὅτι δικαίως ἂν καὶ μείζονος ἢ τοσαύτης δωρεᾶς
ἠξιώθην. [3] χρῆν μέντοι καὶ τὴν ἀμφισβητοῦσαν τῶν χρημά-
των μὴ παρ' ὑμῶν πειρᾶσθαι λαμβάνειν τὴν οὐσίαν ἣν
Θρασύλοχος κατέλιπεν, ἀλλὰ περὶ ἐκεῖνον χρηστὴν οὖσαν
οὕτως ἀξιοῦν [4] αὐτῆς ἐπιδικάζεσθαι. νῦν δ' αὐτῇ τοσούτου
δεῖ μεταμέλειν ὧν εἰς ζῶντα ἐξήμαρτεν, ὥστε καὶ τεθνεῶ- b
τος αὐτοῦ πειρᾶται τήν τε διαθήκην ἄκυρον [5] ἅμα καὶ τὸν
οἶκον ἔρημον ποιῆσαι. θαυμάζω δὲ καὶ τῶν πραττόντων
ὑπὲρ αὐτῆς, εἰ διὰ τοῦτ' οἴονται καλὸν εἶναι τὸν κίνδυνον,
ὅτι μὴ κατορθώσαντες οὐδὲν μέλλουσιν ἀποτίσειν. ἐγὼ μὲν
386 γὰρ ἡγοῦμαι μεγάλην εἶναι καὶ ταύτην ζημίαν, ἐὰν ἐξελεγ-
χθέντες ὡς ἀδίκως ἀμφισβητοῦσι, [6] ἔπειθ' ὑμῖν δόξωσι
χείρους εἶναι. τὴν μὲν οὖν τούτων κακίαν ἐξ αὐτῶν τῶν ἔρ-
γων γνώσεσθ', ἐπειδὰν διὰ τέλους ἀκούσητε τῶν πεπραγμέ- c
νων· ὅθεν δ' [7] οἴομαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμ-
φισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διηγεῖσθαι.

β'. [8] Θράσυλλος γὰρ ὁ πατὴρ τοῦ καταλιπόντος τὴν
διαθήκην [9] παρὰ μὲν τῶν προγόνων οὐδεμίαν οὐσίαν [10] παρέ-
λαβεν, ξένος δὲ Πολεμαινέτῳ [11] τῷ μάντει γενόμενος οὕτως
οἰκείως διετέθη πρὸς αὐτὸν, ὥστ' ἀποθνήσκων ἐκεῖνος τάς
τε βίβλους τὰς περὶ τῆς μαντικῆς αὐτῷ κατέλιπε καὶ τῆς
οὐσίας μέρος τι τῆς νῦν οὔσης ἔδωκε. λαβὼν δὲ [8] Θράσυλλος d
ταύτας [12] ἀφορμὰς ἐχρῆτο τῇ τέχνῃ· [13] πλάνης δὲ γενόμενος
καὶ διαιτηθεὶς ἐν πολλαῖς πόλεσιν ἄλλαις τε γυναιξὶ συνε-
γένετο, ὧν ἔνιαι καὶ παιδάρι' ἀπέδειξαν, ἃ ἐκεῖνος οὐδὲ πώ-
ποτε γνήσια ἐνόμισε, καὶ δὴ καὶ τὴν ταύτης μητέρα ἐν
τούτοις τοῖς χρόνοις ἔλαβεν. ἐπειδὴ δ' οὐσίαν τε πολλὴν

[1] τοῦτον A. C. L. [2] πάντα A. C. L. [3] ἐχρῆν A. C. L.
[4] αὐτὴν A. C. L. [5] ἅμα om. A. C. L. [6] ἔπειθ' ὑμῖν om. A. C. L.
[7] οἶμαι A. C. L. [8] Θρασύλοχος A. C. L. [9] ἐμοὶ παρὰ A. C. L.
[10] κατέλιπε A. C. L. [11] τῷ om. A. C. L.
[12] τὰς ἀφορμὰς ἐχρῆτο ταύτῃ τῇ A. C. L. [13] πλάνος A. C. L.

Μέντοι καὶ] Np. sicuti ego. IDEM.

Παρ' ὑμῶν πειρᾶσθαι λαμβάνειν] Quod judices alicujus esse pronunciant, id dare quodammodo videntur. Si pro ὑμῶν legas ἡμῶν, interpretor *a nobis auferre, nobis eripere*. WOLF.

Αὐτῆς] Scil. τῆς οὐσίας.

'Απέδειξαν] 'Απέτεκον. COR.

e ἐκτήσατο καὶ τὴν πατρίδα [1] ἐπόθεσεν, ἐκείνης μὲν καὶ τῶν
[2] ἄλλων ἀπηλλάγη, καταπλεύσας δ' εἰς Σίφνον ἔγημεν
ἀδελφὴν τοῦ πατρὸς τοὐμοῦ, πλούτῳ μὲν αὐτὸς πρῶτος ὢν
τῶν πολιτῶν, γένει δὲ καὶ τοῖς ἄλλοις ἀξιώμασιν εἰδὼς τὴν
386 ἡμετέραν οἰκίαν προέχουσαν. οὕτω δὲ σφόδρ' ἠγάπησε τὴν
τοῦ πατρὸς φιλίαν, ὥστ' ἀποθανούσης ἐκείνης ἄπαιδος αὖ-
θις ἠγάγετο [3] ἀνεψιὰν τοῦ πατρὸς, οὐ βουλόμενος διαλύσα-
σθαι τὴν πρὸς ἡμᾶς οἰκειότητα. οὐ πολὺν δὲ χρόνον συνοική-
σας ταῖς αὐταῖς τύχαις ἐχρήσατο καὶ περὶ ταύτην, αἷς
[4] περ καὶ περὶ τὴν προτέραν. μετὰ δὲ [5] ταῦτ' ἔγημεν ἐκ Σε-
b ρίφου παρ' ἀνθρώπων πολὺ πλείονος ἀξίων ἢ κατὰ τὴν
αὐτῶν πόλιν, ἐξ ἧς ἐγένετο Σώπολις καὶ Θρασύλοχος καὶ
[6] θυγάτηρ ἡ νῦν ἐμοὶ συνοικοῦσα. [7] Θράσυλλος μὲν οὖν,
τούτους μόνους παῖδας [8] γνησίους [9] καταλιπὼν καὶ κληρο-
νόμους τῶν αὑτοῦ καταστήσας, τὸν βίον ἐτελεύτησεν.

γ'. Ἐγὼ δὲ καὶ Θρασύλοχος τοσαύτην φιλίαν παρὰ
τῶν πατέρων παραλαβόντες ὅσην ὀλίγῳ πρότερον διηγησά-
μην, ἔτι μείζω τῆς ὑπαρχούσης αὐτὴν ἐποιήσαμεν. ἕως μὲν 387
c γὰρ παῖδες ἦμεν, περὶ πλείονος ἡμᾶς αὐτοὺς [10] ἡγούμεθα
ἢ τοὺς ἀδελφοὺς, καὶ οὔτε θυσίαν οὔτε θεωρίαν οὔτ' ἄλλην
ἑορτὴν οὐδεμίαν χωρὶς ἀλλήλων [11] ἤγομεν· ἐπειδὴ δ' ἄνδρες
ἐγενόμεθα, οὐδὲν πώποτ' ἐναντίον ἡμῖν αὐτοῖς ἐπράξαμεν,
ἀλλὰ καὶ τῶν ἰδίων ἐκοινωνοῦμεν καὶ πρὸς τὰ τῆς πόλεως
ὁμοίως διεκείμεθα, [12] καὶ φίλοις καὶ ξένοις τοῖς αὐτοῖς ἐχρώ-
μεθα. καὶ τί δεῖ λέγειν τὰς οἴκοι χρήσεις; ἀλλὰ οὐδὲ φυ-
γόντες ἀπ' ἀλλήλων ἠξιώσαμεν γενέσθαι. τὸ [13] δὲ τελευ-
d ταῖον φθόῃ ἰσχόμενον αὐτὸν καὶ πολὺν χρόνον ἀσθενήσαντα,
καὶ τοῦ μὲν ἀδελφοῦ Σωπόλιδος [14] αὐτῷ πρότερον τετελευτη-
κότος, τῆς δὲ μητρὸς καὶ τῆς ἀδελφῆς οὔπω παρουσῶν,

[1] ἐπόθησεν A. C. L. [2] λαπῶν A. C. L. [3] τὴν ἀνεψιὰν A. C. L.
[4] περ om. A. C. L. [5] ταύτην A. C. L. [6] θυγάτηρ om. A. C. L.
[7] Θρασύλοχος A. C. L. [8] γνησίους παῖδας A. C. L. [9] ποιησάμενος A. C. L.
[10] ἐποιούμεθα ἡμᾶς αὐτοὺς A. C. L. [11] ἠγάγομεν A. C. L.
[12] καὶ φίλοις - - - ἐχρώμεθα om. A. C. L. [13] δὴ A. C. L. [14] αὐτοῦ A. C. L.

Τοῦ πατρὸς] Scil. τοὐμοῦ. Lang.

Ἡ κατα την αὐτῶν πόλιν] Seriphus, insula e Sporadibus, contempta fuit apud Græcos, ut docet Cic. de Senect. c. 2. Idem.

Τὰς οἴκοι χρήσεις] Τὰς, ὅτε ἦμεν ἐν τῇ πατρίδι, φιλίας. Cor.

Φθόῃ] Τὴν νῦν φθίσιν λεγομένην, φθόην ἔλεγον (scil. Demosthenes et Isocrates). *Harpocrat.*

Οὔπω παρουσῶν] *nondum præsentibus* hic in Ægina. Lang.

[1]μετὰ τοσαύτης ἐρημίας γενόμενον οὕτως ἐπιπόνως καὶ καλῶς αὐτὸν ἐθεράπευσα, ὥστ᾽ ἐκεῖνον μὴ νομίζειν [2]ἀξίαν μοι δύνασθαι χάριν ἀποδοῦναι τῶν πεπραγμένων. ὅμως δ᾽ οὐδὲν ἐνέλιπεν, ἀλλ᾽ ἐπειδὴ πονήρως διέκειτο καὶ οὐδεμίαν ἐλπίδα εἶχε τοῦ βίου, παρακαλέσας μάρτυρας υἱόν μ᾽ ἐποιή- e
σατο καὶ τὴν ἀδελφὴν τὴν αὐτοῦ καὶ τὴν οὐσίαν ἔδωκε. καί μοι λάβε τὰς διαθήκας.

ΔΙΑΘΗΚΑΙ.

δ΄. Ἀνάγνωθι δή μοι καὶ τὸν νόμον τῶν Αἰγινητῶν· κατὰ γὰρ τοῦτον ἔδει ποιεῖσθαι τὰς διαθήκας· ἐνθάδε γὰρ μετῳκοῦμεν.

ΝΟΜΟΣ.

ε΄. Κατὰ [3]τουτονὶ τὸν νόμον, ὦ ἄνδρες Αἰγινῆται, υἱόν μ᾽ ἐποιήσατο Θρασύλοχος, πολίτην μὲν αὑτοῦ καὶ φίλον ὄντα, γεγονότα δ᾽ οὐδενὸς [4]χεῖρον Σιφνίων, πεπαιδευμένον 387
δ᾽ ὁμοίως αὐτῷ καὶ τεθραμμένον. ὥστ᾽ οὐκ οἶδ᾽ ὅπως ἂν [5]μᾶλλον κατὰ τὸν νόμον ἔπραξεν, ὃς τοὺς ὁμοίους [6]κελεύει παῖδας εἰσποιεῖσθαι. λάβε [7]δή μοι καὶ τὸν Σιφνίων νόμον, καθ᾽ ὃν [8]ἡμεῖς ἐπολιτευόμεθα.

388 ΝΟΜΟΣ.

ϛ΄. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Αἰγινῆται, τούτοις μὲν τοῖς νόμοις ἠναντιοῦντο, τὸν δὲ παρ᾽ αὐτοῖς κείμενον σύνδικον εἶχον, ἧττον ἄξιον ἦν θαυμάζειν αὐτῶν· νῦν δὲ κἀκεῖνος ὁμοίως τοῖς ἀνεγνωσμένοις κεῖται. [9]καί μοι λάβε τὸ b
βιβλίον.

ΝΟΜΟΣ.

ζ΄. Τί οὖν ὑπόλοιπόν [10]ἐστιν αὐτοῖς, ὅπου τὰς διαθήκας μὲν αὐτοὶ προσομολογοῦσι Θρασύλοχον καταλιπεῖν, τῶν δὲ νόμων [11]τούτοις μὲν οὐδείς, ἐμοὶ δὲ πάντες βοηθοῦσι, πρῶτον μὲν ὁ παρ᾽ ὑμῖν τοῖς μέλλουσι [12]διαγνώσεσθαι περὶ τοῦ πράγματος, ἔπειθ᾽ ὁ Σιφνίων, ὅθεν ἦν ὁ τὴν διαθήκην

[1] ἐπὶ A. C. L. [2] ἂν ἀξίαν δύνασθαι A. C. L. [3] τοῦτον A. C. L.
[4] χείρω A. L. [5] μᾶλλον ἂν A. C. L. [6] κελεύει τοὺς ὁμοίους A. C. L.
[7] δὲ καὶ A. C. L. [8] πάλαι A. C. L. [9] καὶ λάβε μοι A. C. L.
[10] ἐστιν om. A. C. L. [11] ταύτῃ A. C. L. [12] ἀναγνώσεσθαι A. L.

Γεγονότα δ᾽ οὐδενὸς χεῖρον Σιφνίων] Οὐδενὸς Σιφνίων ὄντα δυσγενέστερον. Cor.

καταλιπὼν, ἔτι δ' ὁ παρ' αὐτοῖς ἀμφισβητοῦσι κείμενος;
c [1]καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκοῦσιν, οἵτινες ζητοῦσι
πείθειν ὑμᾶς ὡς χρὴ τὰς διαθήκας ἀκύρους ποιῆσαι, τῶν
μὲν νόμων οὕτως ἐχόντων, ὑμῶν δὲ [2]κατ' αὐτοὺς ὀμωμοκό-
των ψηφιεῖσθαι;

η'. Περὶ μὲν οὖν αὐτοῦ τοῦ πράγματος ἱκανῶς [3]ἀποδεδεῖ-
χθαι νομίζω· ἵνα δὲ μηδεὶς οἴηται μήτ' ἐμὲ διὰ μικρὰς
προφάσεις ἔχειν τὸν κλῆρον μήτε ταύτην ἐπιεικῆ γεγενη-
μένην [4]περὶ Θρασύλοχον ἀποστερεῖσθαι τῶν χρημάτων,
d βούλομαι καὶ περὶ τούτων εἰπεῖν. αἰσχυνθείην γὰρ ἂν ὑπὲρ
τοῦ τετελευτηκότος, εἰ μὴ πάντες [5]πεισθείητε, μὴ μόνον
ὡς κατὰ τοὺς νόμους, ἀλλ' ὡς καὶ δικαίως ταῦτ' ἔπραξε.
ῥᾳδίας δ' ἡγοῦμαι τὰς ἀποδείξεις εἶναι. [6]τοσοῦτον γὰρ
διηνέγκαμεν, [7]ὥσθ' αὕτη μὲν ἡ κατὰ γένος ἀμφισβητοῦσα
πάντα τὸν χρόνον διετέλεσε καὶ πρὸς αὐτὸν ἐκεῖνον καὶ
πρὸς Σώπολιν καὶ πρὸς τὴν μητέρ' αὐτῶν διαφερομένη
e καὶ δυσμενῶς ἔχουσα, ἐγὼ δ' οὐ μόνον περὶ Θρασύλοχον
καὶ τὸν ἀδελφὸν, ἀλλὰ καὶ περὶ αὐτὴν τὴν οὐσίαν ἧς
ἀμφισβητοῦμεν φανήσομαι πλείστου τῶν φίλων ἄξιος γε-
γενημένος.

θ'. Καὶ περὶ μὲν τῶν παλαιῶν πολὺ ἂν ἔργον εἴη λέγειν· 389
ὅτε δὲ [8]Πασῖνος Πάρον κατέλαβεν, ἔτυχεν αὐτοῖς ὑπεκκεί-
μενα τὰ πλεῖστα τῆς οὐσίας παρὰ τοῖς ξένοις τοῖς ἐμοῖς·
388 ᾠόμεθα γὰρ μάλιστα [9]ταύτην τὴν νῆσον ἀσφαλῶς ἔχειν.
ἀπορούντων δ' ἐκείνων καὶ νομιζόντων [10]αὔτ' ἀπολωλέναι,
πλεύσας ἐγὼ τῆς νυκτὸς ἐξεκόμισ' αὐτοῖς τὰ χρήματα, κιν-
δυνεύσας περὶ τοῦ σώματος· ἐφρουρεῖτο μὲν γὰρ ἡ χώρα,
συγκατειληφότες δ' ἦσαν τινὲς τῶν ἡμετέρων φυγάδων τὴν
πόλιν, οἳ μιᾶς ἡμέρας ἀπέκτειναν αὐτόχειρες γενόμενοι τόν
τε πατέρα τὸν ἐμὸν καὶ τὸν θεῖον καὶ τὸν κηδεστὴν καὶ
b πρὸς τούτοις ἀνεψιοὺς τρεῖς. ἀλλ' ὅμως οὐδέν με τούτων

[1] καὶ A. C. L. [2] κατὰ τούτους A. C. L. [3] ἀποδεδεῖχθαί μοι A. C. L. [4] πρὸς A. C. L. [5] πεισθήσησθε A. L. πεισθήσεσθε C. [6] τοσούτῳ A. C. L. [7] ὥστ' αὐτὴ A. C. L. [8] Πάσινος A. Πασίνους C. Πασίνος L. [9] ταύτην μάλιστα τῶν νήσων A. C. L. [10] αὐτὰ ἀπολωλεκέναι A. C. L.

Πασῖνος Πάρον κατέλαβεν] Factum silet historia.

Αὐτοῖς] I. e. Thrasylocho ejusque fratri Sopolidi. Lang.

Παρὰ τοῖς ξένοις] Np. in Paro. Idem.

Ἀπορούντων] quum anxii essent. Idem.

ἀπέτρεψεν, ἀλλ᾽ ᾠχόμην πλέων, ἡγούμενος ὁμοίως με δεῖν ὑπὲρ ἐκείνων κινδυνεύειν ὥσπερ [1] ὑπὲρ ἐμαυτοῦ.

ι΄. Μετὰ δὲ ταῦτα φυγῆς ἡμῖν γενομένης ἐκ τῆς πόλεως μετὰ τοσούτου θορύβου καὶ δέους, ὥστ᾽ ἐνίους καὶ τῶν σφετέρων αὐτῶν [2] ἀμελεῖν, οὐδ᾽ ἐν τούτοις τοῖς κακοῖς ἠγάπησα εἰ τοὺς οἰκείους τοὺς ἐμαυτοῦ διασῶσαι δυνηθείην, ἀλλ᾽ εἰδὼς Σώπολιν μὲν ἀποδημοῦντα, αὐτὸν δ᾽ ἐκεῖνον ἀῤῥώστως c διακείμενον, συνεξεκόμισ᾽ αὐτῷ καὶ τὴν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν οὐσίαν ἅπασαν. καίτοι τίνα δικαιότερον αὐτὴν ἔχειν [3] ἢ τὸν τότε μὲν συνδιασώσαντα, [4] νῦν δὲ παρὰ τῶν κυρίων εἰληφότα;

ια΄. Τὰ μὲν τοίνυν εἰρημένα [5] ἐστὶν ἐν οἷς ἐκινδύνευσα μὲν, φλαῦρον δ᾽ οὐδὲν ἀπέλαυσα· ἔχω δὲ καὶ τοιαῦτ᾽ εἰπεῖν, ἐξ ὧν ἐκείνῳ χαριζόμενος αὐτὸς ταῖς μεγίσταις συμφοραῖς d περιέπεσον.

ιβ΄. Ἐπειδὴ γὰρ ἤλθομεν εἰς Μῆλον, [6] αἰσθόμενος ὅτι μέλλοιμεν αὐτοῦ καταμένειν, ἐδεῖτό [7] μου συμπλεῖν εἰς Τροιζῆνα καὶ μηδαμῶς αὐτὸν ἀπολιπεῖν, λέγων τὴν ἀῤῥωστίαν τοῦ σώματος καὶ τὸ πλῆθος τῶν ἐχθρῶν, καὶ ὅτι χωρὶς ἐμοῦ γενόμενος οὐδὲν [8] ἕξοι χρῆσθαι τοῖς αὑτοῦ πράγμασι. φοβουμένης δὲ τῆς μητρὸς, ὅτι τὸ χωρίον ἐπυνθάνετο νοσῶδες
390 εἶναι, καὶ τῶν ξένων συμβουλευόντων αὐτοῦ μένειν, ὅμως e
ἔδοξεν ἡμῖν ἐκείνῳ χαριστέον εἶναι. καὶ μετὰ ταῦτ᾽ οὐκ ἔφθημεν εἰς Τροιζῆνα ἐλθόντες, καὶ τοιαύταις νόσοις ἐλήφθημεν, ἐξ ὧν αὐτὸς μὲν παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, ἀδελφὴν δὲ κόρην [9] τετρακαιδεκέτιν γεγονυῖαν ἐντὸς τριάκονθ᾽ ἡμερῶν κατέθαψα, τὴν δὲ μητέρα οὐδὲ πένθ᾽ ἡμέραις
[10] ἐκείνης ὕστερον. καίτοι τίν᾽ οἴεσθέ με γνώμην ἔχειν τοσαύ- 389
της μοι μεταβολῆς τοῦ βίου γεγενημένης; ὃς τὸν μὲν ἄλλον χρόνον ἀπαθὴς [11] ἦν κακῶν, νεωστὶ δ᾽ ἐπειρώμην φυγῆς καὶ τοῦ παρ᾽ ἑτέροις [12] μὲν μετοικεῖν, στέρεσθαι δὲ τῶν

[1] ὑπὲρ om. L. [2] ἀμελεῖν αὐτῶν A. C. L. [3] προσήκει ἢ A. C. L. [4] νυνὶ A. C. L. [5] ταῦτ᾽ ἐστὶν A. C. L. [6] αἰσθανόμενος A. L. [7] ἡμῶν A. C. L. [8] ἕξει A. C. L. [9] τέτταρα καὶ δέκ᾽ ἔτη A. C. L. [10] ἐκείνης om. A. C. L. [11] εἴην A. L. [12] μὲν om. A. C. L.

Ἐκ τῆς πόλεως] I. e. e Siphno. Idem.

Ἠγάπησα] *satis habui.* Idem.

Ἀδελφὴν] Scil. ἐμοῦ, quod item supplendum est ad μητέρα: nam de oratoris nostri, non Thrasylochi, matre ac sorore sermonem esse, sequentia docent. Idem.

Ἐντὸς τριάκονθ᾽ ἡμερῶν] Πρὶν ὅλας ἐξήκειν ἡμέρας τριάκοντα. Cor.

ἐμαυτοῦ, πρὸς δὲ τούτοις [1]ὁρῶν τὴν μητέρα τὴν ἐμαυτοῦ
καὶ τὴν ἀδελφὴν ἐκ μὲν τῆς πατρίδος ἐκπεπτωκυίας, ἐπὶ
δὲ ξένης καὶ παρ' ἀλλοτρίοις τὸν βίον τελευτώσας. ὥστ'
οὐδεὶς ἄν μοι δικαίως φθονήσειεν, εἴ τι τῶν Θρασυλόχου
b πραγμάτων ἀγαθὸν ἀπολέλαυκα· καὶ γὰρ ἵνα χαρισαί-
μην ἐκείνῳ, [2]κατοικισάμενος ἐν Τροιζῆνι [3]τοιαύταις ἐχρη-
σάμην συμφοραῖς, ὧν οὐδέποτ' ἂν ἐπιλαθέσθαι δυνηθείην.

ιγ'. Καὶ μὴν οὐδὲ [4]τοῦθ' ἕξουσιν εἰπεῖν, ὡς, εὖ μὲν πράτ-
τοντος Θρασυλόχου πάντα [5]ταῦθ' ὑπέμενον, δυστυχήσαντα
δ' αὐτὸν [6]ἀπέλιπον· ἐν αὐτοῖς γὰρ τούτοις ἔτι σαφέστερον
καὶ μᾶλλον ἐπεδειξάμην τὴν εὔνοιαν ἣν εἶχον εἰς ἐκεῖνον.
c ἐπειδὴ γὰρ εἰς Αἴγιναν [7]κατοικισάμενος ἠσθένησε ταύτην
τὴν νόσον ἐξ ἧς [8]περ ἀπέθανεν, οὕτως αὐτὸν ἐθεράπευσα
ὡς οὐκ οἶδ' [9]ὅστις πώποθ' ἕτερος ἕτερον, [10]τὸν μὲν πλεῖστον
τοῦ χρόνου πονήρως μὲν ἔχοντα περιιέναι δ' [11]ἔτι δυνάμενον,
ἓξ δὲ μῆνας συνεχῶς ἐν τῇ κλίνῃ κείμενον. καὶ τούτων τῶν
ταλαιπωριῶν οὐδεὶς τῶν συγγενῶν μετασχεῖν ἠξίωσεν, ἀλλ'
οὐδ' ἐπισκεψόμενος ἀφίκετο, πλὴν τῆς μητρὸς καὶ τῆς ἀδελ-
φῆς, αἳ πλέον θάτερον ἐποίησαν· ἀσθενοῦσαι γὰρ ἦλθον ἐκ
d Τροιζῆνος, ὥστ' αὐταὶ θεραπείας ἐδέοντο. ἀλλ' ὅμως ἐγώ,
τοιούτων τῶν ἄλλων περὶ αὐτὸν γεγενημένων, οὐκ ἀπεῖπον
οὐδ' [12]ἀπέστην, ἀλλ' ἐνοσήλευον αὐτὸν μετὰ παιδὸς ἑνός·
οὐδὲ γὰρ τῶν οἰκετῶν οὐδεὶς [13]ὑπέμενε. καὶ γὰρ φύσει χαλε-
πὸς ὢν ἔτι δυσκολώτερον διὰ τὴν νόσον διέκειτο, ὥστ' οὐκ
ἐκείνων ἄξιον θαυμάζειν, εἰ μὴ παρέμενον, ἀλλὰ πολὺ 391
μᾶλλον ὅπως ἐγὼ τοιαύτην νόσον θεραπεύων ἀνταρκεῖν
e [14]ἠδυνάμην· ὃς ἔμπυος μὲν [15]ἦν πολὺν χρόνον, ἐκ δὲ τῆς κλίνης
οὐκ [16]ἠδύνατο κινεῖσθαι, τοιαῦτα δ' ἔπασχεν [17]ὥσθ' ἡμᾶς
μηδεμίαν ἡμέραν ἀδακρύτους διαγαγεῖν, ἀλλὰ θρηνοῦντες

[1] ἑώρων C. [2] μετοικησάμενος A. L. μετοικισάμενος C. [3] τοσαύταις A. C. L.
[4] τοῦτό μοι A. C. L. [5] ταῦτα πάνθ' ὑπέμεινα A. C. L. [6] ἐπέλιπον A.
[7] κατοικησάμενος A. L. [8] περ om. A. C. L. [9] εἴ τις ἄλλος πώποθ' A. C. L.
[10] τὸ A. C. L. [11] οὐ A. C. L. [12] ἀπέστην οὐδ' ἀπεῖπον A. C. L.
[13] ὑπέμεινε A. C. L. [14] ἐδυνάμην αὐταρκεῖν A. L. ἐδυνάμην ἀνταρκεῖν C.
[15] ἐμεῖν ἦν L. [16] ἐδύνατο A. C. L.
[17] ὥστε μηδεμίαν ἡμέραν ἡμᾶς ἀδακρυτὶ διάγειν A. C. L.

Ἐπὶ δὲ ξένης] Scil. γῆς. *peregre, inter peregrinos.* Lang.

Αἳ πλέον θάτερον ἐποίησαν] Scil. κακόν. Prius malum erat morbus Thrasylochi, quod duplicabatur, matre et sorore ægrotantibus. Wolf.

Τοιαύτην νόσον — ὅς] I. e. τοιοῦτον νοσοῦντα — ὅς. Auger.

5 A

διετελοῦμεν καὶ τοὺς πόνους τοὺς ἀλλήλων καὶ τὴν φυγὴν
καὶ τὴν ἐρημίαν τὴν ἡμετέραν αὐτῶν. καὶ ταῦτ' οὐδένα
χρόνον διέλιπεν· οὐδὲ γὰρ ἀπελθεῖν οἷόν τ' ἦν [1]ἢ δοκεῖν 390
ἀμελεῖν, [2]ὃ ἐμοὶ πολὺ δεινότερον ἦν τῶν κακῶν τῶν παρ-
όντων.

ιδʹ. [3]Ἐβουλόμην δ' ἂν ὑμῖν [4]οἷός τ' εἶναι ποιῆσαι φα-
νερὸν, οἷος περὶ αὐτὸν ἐγενόμην· οἶμαι γὰρ οὐδ' ἂν τὴν
φωνὴν ὑμᾶς ἀνασχέσθαι τῶν ἀντιδίκων. νῦν δὲ τὰ χαλε-
πώτατα τῶν ἐν τῇ θεραπείᾳ καὶ δυσχερέστατα καὶ πό-
νους ἀηδεστάτους ἔχοντα καὶ πλείστης ἐπιμελείας δεη-
θέντα οὐκ εὐδιήγητά ἐστιν. ἀλλ' ὑμεῖς αὐτοὶ [5]σκοπεῖτε
μετὰ πόσων [6]ἄν τις ἀγρυπνιῶν καὶ ταλαιπωριῶν τοιοῦτον b
νόσημα τοσοῦτον χρόνον θεραπεύσειεν. ἐγὼ μὲν γὰρ οὕτω
κακῶς διετέθην, ὥσθ' ὅσοι [7]περ εἰσῆλθον τῶν φίλων, ἔφα-
σαν [8]δεδιέναι μὴ κἀγὼ προσαπόλωμαι, καὶ συνεβούλευόν
μοι φυλάττεσθαι, λέγοντες ὡς [9]οἱ πλεῖστοι τῶν θεραπευ-
σάντων ταύτην τὴν νόσον αὐτοὶ προσδιεφθάρησαν. πρὸς οὓς
ἐγὼ τοιαῦτ' ἀπεκρινάμην, ὅτι πολὺ ἂν θᾶττον ἑλοίμην
ἀποθανεῖν ἢ 'κεῖνον περιιδεῖν δι' ἔνδειαν τοῦ θεραπεύσοντος c
πρὸ μοίρας τελευτήσαντα.

ιεʹ. Καὶ τοιούτῳ μοι γεγενημένῳ τετόλμηκεν ἀμφισβη-
τεῖν τῶν χρημάτων ἡ μηδ' ἐπισκέψασθαι πώποτ' αὐτὸν
ἀξιώσασα, τοσοῦτον μὲν χρόνον ἀσθενήσαντα, πυνθανομένη
δὲ καθ' ἑκάστην [10]τὴν ἡμέραν ὡς διέκειτο, ῥᾳδίας δ' οὔσης
αὐτῇ τῆς πορείας. εἶτα νῦν αὐτὸν [11]ἀδελφίζειν ἐπιχειρή-
σουσιν, [12]ὥσπερ οὐχ ὅσῳ ἂν οἰκειότερον προσείπωσι τὸν
τεθνεῶτα, τοσούτῳ [13]δόξουσαν [14]αὐτὴν μείζω καὶ δεινότερα d
[15]ἐξαμαρτεῖν· ἥτις οὐδ' ἐπειδὴ τελευτᾶν ἤμελλε τὸν βίον,
ὁρῶσα τοὺς πολίτας τοὺς ἡμετέρους, ὅσοι περ ἦσαν ἐν
Τροιζῆνι, διαπλέοντας εἰς Αἴγιναν, ἵν' αὐτὸν συγκαταθά-
392 ψειαν, οὐδ' εἰς τοῦτον τὸν καιρὸν ἀπήντησεν, ἀλλ' οὕτως

[1] μοι τοῦ μὴ δοκ. A. C. L. [2] ὅ μοι A. C. L. [3] ἠβουλόμην C.
[4] οἷόν A. C. L. [5] σκοπεῖσθε A. C. L. [6] ἄν τις post θεραπεύσειεν ponunt A. C. L.
[7] ποτ' A. C. L. [8] δεδιέναι ἔφασαν A. C. L. [9] οἱ om. A. C. L.
[10] τὴν om. A. C. L. [11] ἀδελφίζειν αὐτὸν A. C. L. [12] ὡς A. C. L.
[13] δόξουσιν A. C. L. [14] εἰς αὐτὸν A. C. L.
[15] ἐξαμαρτάνειν. ἥτις, ἐπειδὴ ἐτελεύτα τὸν A. C. L.

Διέλιπεν] Accipe sensu neutrali, *defecerunt, intermissa sunt*. Idem.

Ἀδελφίζειν] *fratris nomine compellare*. Lang.

Ἐπιχειρήσουσιν] Scil. ipsa cum patronis. Vid. p. 724. v. 12. Idem.

ὠμῶς καὶ σχετλίως εἶχεν ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ ἠξίωσε [1]ἀφικέσθαι, τῶν δὲ καταλειφθέντων οὐδὲ δέχ' ἡμέρας διαλιποῦσα ἦλθεν [2]ἀμφισβητοῦσα, ὥσπερ τῶν χρημάτων ἀλλ'
e οὐκ ἐκείνου συγγενὴς οὖσα. καὶ εἰ μὲν ὁμολογήσει τοσαύτην ἔχθραν ὑπάρχειν αὐτῇ πρὸς ἐκεῖνον ὥστ' εἰκότως ταῦτα ποιεῖν, οὐκ ἂν κακῶς εἴη βεβουλευμένος, εἰ τοῖς φίλοις ἐβουλήθη μᾶλλον ἢ ταύτῃ τὴν οὐσίαν καταλιπεῖν· εἰ δὲ
391 μηδεμιᾶς διαφορᾶς οὔσης οὕτως ἀμελὴς καὶ κακὴ περὶ αὐτὸν ἐγένετο, πολὺ ἂν δήπου δικαιότερον στερηθείη τῶν αὐτῆς ἢ τῶν ἐκείνου κληρονόμος γένοιτο. ἐνθυμεῖσθε δ' ὅτι τὸ μὲν ταύτης μέρος οὔτ' ἐν τῇ νόσῳ θεραπείας ἔτυχεν οὔτ' ἀποθανὼν τῶν νομιζομένων ἠξιώθη, δι' ἐμὲ δ' ἀμφότερα ταῦτ' [3]αὐτῷ γεγένηται. καίτοι δίκαιόν ἐστιν [4]ὑμᾶς τὴν ψῆφον
b φέρειν, οὐκ εἴ τινες γένει μέν φασι [5]προσήκειν, ἐν δὲ τοῖς ἔργοις ὅμοιοι τοῖς ἐχθροῖς γεγόνασιν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι [6]μηδὲν ὄνομα συγγενείας ἔχοντες οἰκειοτέρους σφᾶς αὐτοὺς ἐν ταῖς συμφοραῖς τῶν ἀναγκαίων παρέσχον.

ιϛ'. Λέγουσι δ' ὡς τὰς μὲν διαθήκας οὐκ ἀπιστοῦσι Θρασύλοχον καταλιπεῖν, οὐ μέντοι καλῶς οὐδ' ὀρθῶς [7]φασὶν αὐτὰς ἔχειν. καίτοι, ὦ ἄνδρες Αἰγινῆται, πῶς ἄν τις ἄμεινον ἢ μᾶλλον συμφερόντως περὶ τῶν αὑτοῦ πρα-
c γμάτων ἐβουλεύσατο; ὃς οὔτ' ἔρημον τὸν οἶκον κατέλιπε, τοῖς τε φίλοις χάριν ἀπέδωκεν, ἔτι δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν οὐ μόνον τῶν αὑτοῦ κυρίας ἀλλὰ καὶ τῶν ἐμῶν κατέστησε, τὴν μὲν ἐμοὶ συνοικίσας, [8]τῇ δὲ υἱόν με εἰσποιήσας; ἆρ' [9]ἂν ἐκείνως ἄμεινον ἔπραξεν, εἰ μήτε τῆς μητρὸς τὸν ἐπιμελησόμενον κατέστησε, μήτ' ἐμοῦ μηδεμίαν μνείαν ἐποιήσατο, τήν τ' ἀδελφὴν ἐπὶ τῇ τύχῃ κατέλιπε, καὶ τὸν οἶκον τὸν αὑτοῦ ἀνώνυμον γενόμενον περιεῖδεν;

d ιζ'. Ἀλλὰ γὰρ ἴσως ἀνάξιος ἦν υἱὸς εἰσποιηθῆναι Θρασυλόχῳ καὶ λαβεῖν αὐτοῦ τὴν ἀδελφήν. ἀλλὰ πάντες ἂν

[1] παραγενέσθαι A. L. γενέσθαι C. [2] ἀμφισβητήσουσα A. C. L.
[3] αὐτῷ ταῦτα A. C. L. [4] ὑμᾶς ἐστιν A. C. L. [5] προσήκειν φασὶν A. C. L.
[6] μηδ' A. C. L. [7] φασὶν om. A. C. L. [8] τῆς A. C. L.
[9] γὰρ ἐκεῖνος ἄμεινον ἂν A. C. L.

Τὸ μὲν ταύτης μέρος] *quantum in ista fuit.* Idem.

Φέρειν] Subaudi ὑπὲρ τούτων. Auger.

Οὐκ εἴ τινες] Ἴσως· οὐχ οἵ τινες. Cor.

Ἔρημον τὸν οἶκον] Ἔρημος οἶκος, quum quis orbus et sine liberis perit, et, ut mox sequitur, ἀνώνυμος. Wolf.

Τὸν ἐπιμελησόμενον] *curatorem.* Lang.

μαρτυρήσειαν Σίφνιοι τοὺς προγόνους τοὺς ἐμοὺς καὶ γένει
393 καὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι πρώτους εἶναι
τῶν πολιτῶν. τίνες γὰρ ἢ μειζόνων ἀρχῶν ἠξιώθησαν, ἢ
πλείω χρήματ' εἰσήνεγκαν, ἢ κάλλιον ἐχορήγησαν, ἢ μεγα-
λοπρεπέστερον τὰς ἄλλας λειτουργίας ἐλειτούργησαν; ἐκ e
ποίας δ' οἰκίας τῶν ἐν Σίφνῳ [1]πλείους βασιλεῖς γεγόνα-
σιν; ὥστε [2]Θρασύλοχός τε, εἰ καὶ μηδὲ πώποτ' αὐτῷ διε-
λέχθην, εἰκότως ἂν [3]ἐβουλήθη μοι διὰ ταῦτα δοῦναι τὴν
ἀδελφὴν, ἐγώ τ', εἰ [4]καὶ μηδέν μοι τούτων ὑπῆρχεν, ἀλλὰ
[5]φαυλότατος ἦν τῶν πολιτῶν, δικαίως ἂν παρ' αὐτοῦ διὰ
τὰς εὐεργεσίας τὰς εἰς ἐκεῖνον τῶν μεγίστων ἠξιώθην. 392

ιή. Οἶμαι τοίνυν αὐτὸν καὶ Σωπόλιδι τῷ ἀδελφῷ μά-
λιστα κεχαρίσθαι ταῦτα διαθέμενον. καὶ γὰρ ἐκεῖνος ταύ-
την μὲν ἐμίσει καὶ κακόνουν τοῖς αὐτοῦ πράγμασιν [6]ἡγεῖτο,
ἐμὲ δὲ περὶ πλείστου τῶν αὑτοῦ φίλων ἐποιεῖτο. ἐδήλωσε
δ' ἐν ἄλλοις τε πολλοῖς, καὶ ὅτ' ἔδοξε τοῖς συμφυγάσιν
ἐπιχειρεῖν τῇ πόλει μετὰ τῶν ἐπικούρων. αἱρεθεὶς γὰρ
[7]ἄρχειν αὐτοκράτωρ, ἐμὲ καὶ γραμματέα προσείλετο καὶ
τῶν χρημάτων ταμίαν [8]ἁπάντων κατέστησε, καὶ ὅτ' b
[9]ἠμέλλομεν κινδυνεύειν, αὐτὸς αὑτῷ με παρετάξατο. καὶ
σκέψασθ' ὡς σφόδρ' αὐτῷ συνήνεγκε· δυστυχησάντων γὰρ
ἡμῶν ἐν τῇ προσβολῇ τῇ [10]πρὸς τὴν πόλιν καὶ τῆς ἀναχω-
ρήσεως οὐχ οἵας ἠβουλόμεθα γενομένης, τετρωμένον αὐτὸν
καὶ βαδίζειν οὐ δυνάμενον, ἀλλὰ [11]ὀλιγοψυχοῦντα, ἀπε-
κόμισα ἐπὶ τὸ πλοῖον μετὰ τοῦ θεράποντος τοῦ [12]ἐμαυτοῦ,
φέρων ἐπὶ τῶν ὤμων, ὥστ' ἐκεῖνον πολλάκις καὶ πρὸς πολ- c
λοὺς εἰπεῖν ὅτι μόνος ἀνθρώπων αἴτιος εἴην αὐτῷ τῆς σωτη-
ρίας. καίτοι τίς ἂν μείζων [13]ταύτης εὐεργεσία γένοιτο;

[1] πλεῖστοι A. C. L. [2] καὶ Θρασύλοχός A. C. L. [3] ἠβουλήθη C.
[4] καὶ τούτων μηδὲν A. C. L. [5] καὶ φαυλότατος A. C. L. [6] ἐνόμιζεν A. C. L.
[7] ἄρχων A. C. L. [8] ἁπάντων om. A. C. L. [9] ἐμέλλομεν A. C. L.
[10] πρὸς Σίφνον καὶ A. C. L. [11] λειποψυχοῦντα A. C. L. [12] ἐμοῦ A. C. L.
[13] ταύτης μείζων A. C. L.

Βασιλεῖς] Utrum βασιλεῖς hic proprie dicantur, an alterius alicujus dignitatis (ut apud Athenienses) sit vocabulum, nescio. Wolf. Arbitror apud civitatem Siphniam summos magistratus βασιλεῖς vocari. Auger. Lang. Ἦν δηλονότι καὶ παρὰ Σιφνίοις, ὥσπερ Ἀθήνησι, τῶν ἀρχόντων ὃς βασιλεὺς ἐκαλεῖτο. Cor.

Συμφυγάσιν] I. e. iis, qui una e Siphno fugerant vel expulsi erant. Vid. §. ε΄. Lang.

Συνήνεγκε] Subaudi τοῦτο. nisi mavis legere αὑτῷ et subaudire αὐτός. *quantum sibi ipse profuerit ita agendo.* Auger. Ὠφέλιμον ὑπῆρξεν αὐτῷ τὸ παρατεταχέναι με ἑαυτῷ. Cor.

ἐπειδὴ τοίνυν εἰς Λυκίαν ἐκπλεύσας ἀπέθανεν, αὕτη μὲν οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ τὴν ἀγγελίαν ἔθυε καὶ ἑώρταζε, καὶ οὐδὲ τὸν ἀδελφὸν ᾐσχύνετο τὸν ἔτι ζῶντα, οὕτως ὀλίγον φροντίζουσα τοῦ τεθνεῶτος, ἐγὼ δ' ἐπένθουν αὐτὸν, ὥσπερ τοὺς οἰκείους νόμος ἐστί. καὶ ταῦτα πάντ'
d ἐποίουν διὰ τὸν τρόπον τὸν ἐμαυτοῦ καὶ τὴν φιλίαν τὴν πρὸς ἐκείνους, ἀλλ' οὐ [1]ταυτησὶ τῆς δίκης ἕνεκα· οὐ γὰρ ᾤμην αὐτοὺς οὕτω δυστυχήσειν, ὥστ' ἄπαιδας ἀμφοτέρους 394
τελευτήσαντας εἰς ἔλεγχον καταστήσειν, ὁποῖός τις [2]ἡμῶν ἕκαστος περὶ αὐτοὺς [3]ἐγένετο.

ιθ'. Πρὸς μὲν οὖν Θρασύλοχόν τε καὶ Σώπολιν ὡς αὐτή
e τε κἀγὼ διεκείμεθα, σχεδὸν ἀκηκόατε· τρέψονται δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον, ὅσπερ αὐτοῖς λοιπός ἐστιν, ὡς [4]Θράσυλλος ὁ πατὴρ [5]ὁ ταύτης ἡγοῖτ' ἂν δεινὰ πάσχειν, εἴ τίς ἐστιν αἴσθησις τοῖς τεθνεῶσι περὶ τῶν ἐνθάδε γιγνομένων, ὁρῶν τὴν μὲν θυγατέρα ἀποστερουμένην τῶν χρημάτων, ἐμὲ δὲ κληρονόμον ὧν αὐτὸς ἐκτήσατο γιγνόμενον.

κ'. Ἐγὼ δ' ἡγοῦμαι μὲν οὐ περὶ τῶν πάλαι τεθνεώτων,
393 ἀλλὰ περὶ τῶν [6]ἔναγχος τὸν κλῆρον καταλιπόντων προσήκειν ἡμῖν τοὺς λόγους ποιεῖσθαι. [4]Θράσυλλος μὲν γὰρ, οὕσπερ αὐτὸς [7]ἐβούλετο, τούτους κυρίους τῶν αὑτοῦ κατέλιπε· δίκαιον δὲ καὶ Θρασυλόχῳ τὰ αὐτὰ ταῦτ' ἀποδοθῆναι παρ' ὑμῶν, καὶ γενέσθαι διαδόχους [8]τῆς κληρονομίας μὴ ταύτην, ἀλλ' οἷς ἐκεῖνος διέθετο. οὐ μέντ' ἄν μοι δοκῶ φυγεῖν οὐδὲ τὴν [9]Θρασύλλου γνώμην. οἶμαι γὰρ ἂν [10]αὐτὸν πάντων
b γενέσθαι ταύτῃ χαλεπώτατον δικαστὴν, εἴπερ αἴσθοιτο οἷα περὶ τοὺς παῖδας αὑτοῦ γεγένηται· [11]πολλοῦ ἂν δεήσειεν ἀχθεσθῆναι κατὰ τοὺς νόμους ὑμῶν ψηφισαμένων, ἀλλὰ πολὺ ἂν μᾶλλον, εἰ τὰς τῶν παίδων διαθήκας ἀκύρους

[1] ταύτης A. C. L. [2] ἦν ἡμῶν C. [3] ἐγένετο περὶ αὐτούς A. L. ἐγένετο om. C.
[4] Θρασύλοχος A. C. L. [5] ὁ om. A. C. L. [6] ἔγγιστα A. C. L.
[7] ἠβούλετο C. [8] αὐτῷ τῆς A. C. L. [9] Θρασυλόχου A. C. L.
[10] αὐτὸν πάντων ἂν A. C. L.

Τὸν ἀδελφὸν] Np. Thrasylochum. LANG.

Εἰς ἔλεγχον καταστήσειν] *rem eo deventuram, ut evidenter cognosceretur.* WOLF. *ut hoc probandum relicturi essent.* AUGER. Quod posterius præfero. Wolfius enim interpretatus est, quasi legeretur καταστῆναι, quod pro vulgata offert. LANG.

Προσήκειν ἡμῖν] Μήποτε· προσήκειν ἐν ὑμῖν, τουτέστιν ἐναντίον ὑμῶν τῶν δικαστῶν. COR.

Φυγεῖν — γνώμην] *videor mihi etiam Thrasylli ferre posse judicium,* i. e. non recuso etiam Thrasyllum judicem. WOLF.

Δεήσειεν] F. δεήσειν. IDEM. COR.

ἴδοι [1]γενομένας. καὶ γάρ, εἰ μὲν εἰς τὸν οἶκον τὸν ἐμὸν
δεδωκὼς ἦν Θρασύλοχος τὴν οὐσίαν, τοῦτ᾽ ἂν ἐπιτιμᾶν εἶχον
αὐτῷ· νῦν δ᾽ εἰς τὸν [2]αὐτῶν εἰσεποιήσατο, ὥστ᾽ οὐκ
ἐλάττω τυγχάνουσιν εἰληφότες ὧν δεδώκασι. χωρὶς δὲ τού- c
των, οὐδένα μᾶλλον εἰκός ἐστιν ἢ [3]Θράσυλλον εὔνουν εἶναι
τοῖς κατὰ δόσιν ἀμφισβητοῦσι. καὶ γὰρ αὐτὸς καὶ τὴν
τέχνην ἔμαθε Πολεμαινέτου τοῦ μάντεως καὶ [4]τὰ χρήματ᾽
ἔλαβεν οὐ κατὰ γένος ἀλλὰ δι᾽ ἀρετήν. ὥστ᾽ οὐκ ἂν δήπου
φθονήσειεν, εἴ τις περὶ τοὺς παῖδας αὐτοῦ χρηστὸς γενό-
μενος τῆς αὐτῆς δωρεᾶς [5]ἧσπερ ἐκεῖνος ἠξιώθη.

κα´. Μεμνῆσθαι δὲ χρὴ καὶ τῶν ἐν ἀρχῇ ῥηθέντων. ἐπέ-
395 δειξα γὰρ ὑμῖν αὐτὸν οὕτω περὶ πολλοῦ τὴν ἡμετέραν οἰ- d
κειότητα ποιησάμενον, ὥστε γῆμαι καὶ τὴν ἀδελφὴν [6]τὴν
τοῦ πατρὸς καὶ τὴν ἀνεψιάν. καίτοι τίσιν ἂν θᾶττον τὴν
αὑτοῦ θυγατέρα ἐξέδωκεν ἢ τούτοις παρ᾽ [7]ὧν αὐτὸς λαμβά-
νειν ἠξίωσεν; ἐκ ποίας δ᾽ ἂν οἰκίας ἥδιον εἶδεν [8]υἱὸν αὑτῷ
κατὰ τοὺς νόμους εἰσποιηθέντα μᾶλλον, ἢ ταύτης ἐξ ἧσπερ
[9]καὶ φύσει παῖδας ἐζήτησεν αὑτῷ γενέσθαι;

κβ´. Ὥστ᾽ ἐὰν μὲν [10]ἐμοὶ ψηφίσησθε τὸν κλῆρον, καὶ e
πρὸς ἐκεῖνον ὑμῖν καλῶς ἕξει καὶ πρὸς τοὺς ἄλλους ἅπαν-
τας, οἷς προσήκει τι τούτων τῶν πραγμάτων· ἢν δ᾽ ὑπὸ
ταύτης πεισθέντες ἐξαπατηθῆτε, οὐ μόνον ἐμὲ ἀδικήσετε,
ἀλλὰ καὶ Θρασύλοχον τὸν τὴν διαθήκην καταλιπόντα, καὶ
Σώπολιν, καὶ τὴν ἀδελφὴν τὴν [11]ἐκείνων ἣ νῦν ἐμοὶ συνοικεῖ, 394
καὶ τὴν μητέρ᾽ αὐτῶν, ἣ πασῶν ἂν εἴη δυστυχεστάτη γυναι-
κῶν, εἰ μὴ μόνον ἐξαρκέσειεν αὐτῇ στέρεσθαι τῶν παίδων,
ἀλλὰ καὶ τοῦτ᾽ αὐτῇ προσγένοιτο, ὥστ᾽ ἐπιδεῖν ἄκυρον μὲν
τὴν ἐκείνων γνώμην οὖσαν, ἔρημον δὲ τὸν οἶκον [12]γιγνόμενον,
καὶ τὴν μὲν ἐπιχαίρουσαν τοῖς αὐτῆς κακοῖς ἐπιδικαζομένην

[1] γεγεννημένας A. C. L. [2] αὐτοῦ A. C. L. [3] Θρασύλοχον A. C. L.
[4] τὰ om. A. C. L. [5] τύχοι, ἧσπερ A. C. L. [6] τὴν om. A. C. L.
[7] ὧνπερ A. C. L. [8] υἱὸν εἶδεν A. C. L. [9] καὶ om. A. C. L.
[10] ἐμὸν A. C. L. [11] ἐκείνου A. C. L. [12] γενόμενον A. C. L.

Εἰσεποιήσατο] Sub. ἐμέ. Pro αὐτοῦ autem vett. αὐτῶν, quod non penitus rejiciendum est. Verte: *in familiam eorum me adoptavit.* Lang.

Τοῖς κατὰ δόσιν ἀμφισβ.] *iis qui hæreditatem ex testamento petunt*, ut ego, non ratione cognationis. Wolf. Τοῖς οὐ διὰ συγγένειαν, ἀλλὰ διὰ δωρεὰν, ἀντιποιούμενος τοῦ κλήρου, ὥσπερ ἐγώ. Cor.

Ἥδιον] Ἀσμενέστερον, ἀγαπητότερον. Idem.

Ὑμῖν καλῶς ἕξει] *hoc vobis bene erit*, i. e. bene facietis. Auger.

Μόνον ἐξαρκέσειεν] Τὸ μόνον puto supervacaneum esse. Wolf. Οὐκ ἀλόγως. Μήποτε· νῦν ἐξαρκ. Cor.

τῶν χρημάτων, ἐμὲ [1] δὲ μηδενὸς δυνάμενον τῶν δικαίων τυχεῖν,
ὃς τοιαῦτ᾽ ἔπραξα [2] περὶ τοὺς ἐκείνης, ὥστ᾽ εἴ τίς [3] με σκο-
b ποῖτο μὴ πρὸς ταύτην ἀλλὰ πρὸς τοὺς πώποτε κατὰ δόσιν
ἀμφισβητήσαντας, εὑρεθείην ἂν οὐδενὸς χείρων αὐτῶν περὶ
τοὺς φίλους γεγενημένος. καίτοι χρὴ τοὺς τοιούτους τιμᾶν
καὶ περὶ [4] πολλοῦ ποιεῖσθαι πολὺ μᾶλλον ἢ τὰς ὑφ᾽ ἑτέρων
δεδομένας δωρεὰς ἀφαιρεῖσθαι. ἄξιον δ᾽ ἐστὶ καὶ τῷ νόμῳ
βοηθεῖν, καθ᾽ ὃν ἔξεστιν ἡμῖν καὶ παῖδας εἰσποιήσασθαι
καὶ βουλεύσασθαι περὶ τῶν ἡμετέρων αὐτῶν, ἐνθυμηθέντας
c ὅτι τοῖς ἐρήμοις τῶν ἀνθρώπων ἀντὶ παίδων οὗτός ἐστιν [5] [ὁ
νόμος]· διὰ γὰρ τοῦτον καὶ οἱ συγγενεῖς καὶ οἱ μηδὲν προσ-
ήκοντες μᾶλλον ἀλλήλων [6] ἐπιμέλονται.

κγ΄. Ἵνα δὲ παύσωμαι λέγων καὶ μηκέτι [7] πλείω χρόνον
διατρίβω, σκέψασθ᾽ ὡς μεγάλα καὶ δίκαια ἥκω πρὸς ὑμᾶς
ἔχων· πρῶτον μὲν φιλίαν πρὸς τοὺς καταλιπόντας τὸν
κλῆρον παλαιὰν καὶ πατρικὴν καὶ πάντα τὸν χρόνον δια-
τελέσασαν, ἔπειτ᾽ εὐεργεσίας πολλὰς καὶ μεγάλας καὶ
d περὶ δυστυχοῦντας ἐκείνους γεγενημένας, πρὸς δὲ τούτοις 396
διαθήκας παρ᾽ αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένας, ἔτι
δὲ νόμον ταύταις βοηθοῦντα, ὃς δοκεῖ τοῖς Ἕλλησι [8] ἅπασι
καλῶς κεῖσθαι. τεκμήριον δὲ μέγιστον· [9] περὶ γὰρ ἄλλων
πολλῶν διαφερόμενοι περὶ τούτου ταὐτὰ γιγνώσκουσι· δέομαι
οὖν ὑμῶν καὶ τούτων μεμνημένους καὶ τῶν ἄλλων τῶν εἰρη-
e μένων τὰ δίκαια ψηφίσασθαι, καὶ τοιούτους μοι γενέσθαι
δικαστὰς οἵων περ ἂν αὐτοὶ τυχεῖν [10] ἀξιώσαιτε.

[1] δὲ μὴ δυνάμενον μηδενὸς A. C. L.
[2] περί τε ἐκεῖνον καὶ τὰ ἐκείνου σώσας, ὥστ᾽ A. περὶ τοὺς ἐκεῖνον σώσαντας, ὥστ᾽ C. L.
[3] με om. A. C. L.
[4] πλείστου A. C. L.
[5] uncos om. A. C. L.
[6] ἐπιμελοῦνται A. C. L.
[7] πλείονα A. L.
[8] ἅπασι om. A. C. L.
[9] περὶ μὲν γὰρ ἄλλων διαφέρονται, περὶ δὲ τούτου πάντες ταὐτὰ A. C. L.
[10] ἀξιώσητε A. C. L.

Πρὸς ταύτην] Scil. τὴν ἀντίδικον. Lang. Πρὸς τὴν ἐπιδικαζομένην τοῦ κλήρου. Cor.
Ὁ νόμος] De adoptione, aut certe testamenti factione. Wolf.
Ὁμολογουμένας] Cf. §. ις΄.

K.

ΙΣΟΚΡΑΤΟΥΣ

ΚΑΤΑ [1]ΛΟΧΙΤΟΥ.

Pag. ed. Cor. 397 | Pag. ed. H. Steph. 395

α'. ΩΣ μὲν τοίνυν ἔτυπτέ με Λοχίτης ἄρχων χειρῶν ἀδίκων, ἅπαντες [2]ὑμῖν οἱ παρόντες μεμαρτυρήκασι.

β'. Τὸ δ' ἁμάρτημα τοῦτο οὐχ ὅμοιον δεῖ νομίζειν τοῖς ἄλλοις, οὐδὲ τὰς τιμωρίας ἴσας ποιεῖσθαι περί τε τοῦ σώματος καὶ τῶν χρημάτων, ἐπισταμένους ὅτι τοῦτο πᾶσιν

[1] ΤΟΥ ΛΟΧΙΤΟΥ A. C. L.

[2] ἡμῖν C.

SUMMARIUM. Vir plebeius, cujus nomen ignoratur, contra Lochitem, a quo verbera acceperat, in hac altera orationis parte (prima omissa est), crimen exaggerat, et judices impellere studet, ut eum tanquam legum contemptorem et popularis status eversorem graviter puniant. (α'.) Me igitur a Lochite, nulla injuria lacessito, verberatum esse, omnes rei præsentes vobis testificati sunt. (β'.) Si personæ securitas res est in civitate omnium gravissima, violatio ejusdem gravissimo quoque supplicio coercenda erit. (γ'.) Hinc leges ejusmodi actioni favent, et contumelia pro crimine publico habetur. (δ'.) Vel convicia pœna acerrima interdicta sunt, quid verbera? (ε'.) Quum eos, qui in oligarchia contumeliosi fuerunt, ubi licebat, morte dignos censeatis, qua pœna afficiendi sunt, qui in democratia, in qua non licet, eadem libidine grassantur? (ϛ'.) Fortassis autem Lochites dicet, verbera nihil mihi nocuisse. (ζ'.) Non damnum, sed pulsatio ipsa eique adjuncta contumelia est, quare illum in judicium voco. (η'.) Ut in furto leges non rem ablatam, sed animum furandi respiciunt, sic in hoc casu non id, quod contigit, sed universa morum petulantia coercenda erit, siquidem parvæ causæ sæpe jam ingentia mala pepererunt. A verberibus ad iracundiam, ad vulnera, ad cædes, ad mortes, ad atrocissimas clades jam processum est. (θ'.) Aliæ injuriæ societatis modo partem lædunt, contumeliæ universæ societati nocent. Multas illæ familias exstinxerunt multasque urbes everterunt. (ι'.) Nos ipsi per istos legum contemptores, qui et hostibus servire et civibus insultare voluerunt, democratiam bis jam solutam vidimus, e quorum genere Lochites est. (ια'.) Præstabilius est, futura mala prohibere, quam præterita ulcisci. Neque exspectandum, donec ejusmodi improbi homines in totam civitatem delinquant, sed prima optima occasio puniendi illos arripienda erit. (ιβ'.) Corporum autem contumeliæ omnibus sunt communes, non item bona. De contumelia igitur ea mulcta irroganda est, qua soluta reus a petulantia cessabit; non cessabit autem pecunia soluta, sed graviori pœna affectus; quam si statueritis, vestram ipsorum vitam magis in tuto collocabitis. (ιγ'.) Ac nemo vestrum eo, quod pauper sum, litem hanc minoris æstimet. Vigente democratia omnes æquales sunt. Ii omnes æque lædunt, qui legem pro corporis nostri salute latam transgredi audent. (ιδ'.) Quare, si sapitis, Lochitæ vestram iracundiam ostendite, reputantes, istiusmodi viros ea, quæ in judiciis decernantur, pro legibus habere. (ιε'.) Si quis præsentium habet, quo mihi patrocinetur, dicat. LANG. Ignoratur quo tempore hæc oratio scripta fuerit. AUGER.

Ἄρχων χειρῶν ἀδίκων] *incipiens injustis manibus*, i. e. prior percutiens, nulla injuria lacessitus verberans. AUGER.

Δεῖ] Subaudi ὑμᾶς. LANG.

Τοῦτο] Refer ad σῶμα. IDEM.

ἀνθρώποις οἰκειότατόν ἐστι, καὶ τούς τε νόμους ἐθέμεθα
b καὶ περὶ τῆς ἐλευθερίας μαχόμεθα καὶ τῆς δημοκρατίας
ἐπιθυμοῦμεν καὶ τἄλλα πάντα τὰ περὶ τὸν βίον [1]ἕνεκα
τούτου πράττομεν. ὥστ᾽ εἰκὸς ὑμᾶς [2]ἐστὶν τοὺς περὶ
τοῦτο ἐξαμαρτάνοντας, ὃ περὶ πλείστου ποιεῖσθε, τῇ
μεγίστῃ ζημίᾳ κολάζειν.

γ΄. Εὑρήσετε δὲ καὶ τοὺς θέντας ἡμῖν τοὺς νόμους ὑπὲρ
τῶν σωμάτων μάλιστα σπουδάσαντας. πρῶτον μὲν γὰρ περὶ
c μόνου τούτου τῶν ἀδικημάτων καὶ δίκας καὶ γραφὰς ἄνευ
παρακαταβολῆς ἐποίησαν, ἵν᾽, ὅπως ἂν ἕκαστος [3]ἡμῶν
τυγχάνῃ [4]δυνάμενος καὶ βουλόμενος, οὕτως ἔχῃ τιμωρεῖσθαι
τοὺς ἀδικουντας. ἔπειτα [5]τῶν μὲν ἄλλων ἐγκλημάτων αὐτῷ
396 [6]τῷ παθόντι μόνον ὁ δράσας ὑπόδικός ἐστι· περὶ δὲ τῆς
ὕβρεως, ὡς κοινοῦ τοῦ πράγματος ὄντος, ἔξεστι τῷ βουλο-
μένῳ τῶν πολιτῶν γραψαμένῳ πρὸς τοὺς θεσμοθέτας
εἰσελθεῖν εἰς ὑμᾶς.

δ΄. Οὕτω δ᾽ ἡγήσαντο δεινὸν εἶναι τὸ τύπτειν ἀλλήλους,
ὥςτε [7]καὶ περὶ τῆς κακηγορίας νόμον ἔθεσαν, ὃς κελεύει 398
τοὺς λέγοντάς τι τῶν ἀποῤῥήτων πεντακοσίας δραχμὰς
ὀφείλειν. καίτοι πηλίκας τινὰς χρὴ ποιεῖσθαι τὰς τιμωρίας
ὑπὲρ τῶν ἔργῳ παθόντων [8]κακῶς, ὅταν ὑπὲρ τῶν λόγῳ
b μόνον ἀκηκοότων οὕτως ὀργιζόμενοι φαίνησθε;

ε΄. Θαυμαστὸν δ᾽, εἰ τοὺς μὲν ἐπὶ τῆς ὀλιγαρχίας ὑβρί-
σαντας ἀξίους θανάτου [9]νομίζετε, τοὺς δ᾽ ἐν δημοκρατίᾳ
[10]ταὐτὰ ἐκείνοις ἐπιτηδεύοντας ἀζημίους ἀφήσετε. καίτοι
[11]δικαίως ἂν μείζονος οὗτοι τιμωρίας τυγχάνοιεν· φανερώτε-
ρον γὰρ ἐπιδείκνυνται τὴν αὐτῶν πονηρίαν. ὅςτις γὰρ νῦν
c τολμᾷ παρανομεῖν [12]ὅτ᾽ οὐκ ἔξεστι, τί ποτ᾽ ἂν ἐποίησεν,

[1] ἕνεκεν A. C. L. [2] ἐστιν ὑμᾶς A. C. L. [3] ἡμῶν ἕκαστος A. C. L.
[4] καὶ δυνάμενος A. C. L. [5] περὶ τῶν A. [6] μόνῳ τῷ παθόντι κακῶς ὁ A. C. L.
[7] καὶ om. A. C. L. [8] κακῶς πεπονθότων A. C. L. [9] νομιεῖτε A. C. L.
[10] τὰ αὐτὰ A. C. L. [11] γε δικαίως A. C. L. [12] εἰς τοὺς πολίτας, ὅτε A. C. L.

Οἰκειότατον] *maxime propinquum.* IDEM.

Ἐθέμεθα] Τουτέστιν, ἔθεμεν ἑαυτοῖς. COR.

Τοὺς θέντας] Draconem, Solonem, cæteros.

Καὶ δίκας καὶ γραφὰς] Np. causas tum privatas tum publicas.

Ἄνευ παρακαταβολῆς] *sine sponsione.* Nam alioqui decima pars in privatis, quinta in publicis, causis æstimationis litis deponebatur, quæ mulcta esset temere litigantium. WOLF.

Γραψαμένῳ πρὸς τοὺς θεσμοθέτας] *re ad thesmothetas relata.* IDEM. Cf. Demosth. c. Mid. §. ιγ΄.

Τῶν ἀποῤῥήτων] Τῶν ἀπειρημένων ἐν τοῖς νόμοις. HARPOCRAT. Τὰ ἀπόῤῥητα hic intellige *convicia legibus interdicta.* AUGER.

ὅθ' οἱ κρατοῦντες τῆς πόλεως [1]καὶ χάριν εἶχον τοῖς τὰ
τοιαῦτα ἐξαμαρτάνουσιν;

ϛ'. Ἴσως [2]οὖν Λοχίτης ἐπιχειρήσει μικρὸν ποιεῖν τὸ
πρᾶγμα, διασύρων τὴν κατηγορίαν, καὶ λέγων ὡς οὐδὲν ἐκ
τῶν πληγῶν κακὸν ἔπαθον, ἀλλὰ μείζους ποιοῦμαι τοὺς
λόγους ἢ [3]κατὰ τὴν ἀξίαν τῶν γεγενημένων.

ζ'. Ἐγὼ δ', εἰ μὲν μηδεμία προσῆν ὕβρις τοῖς πεπρα-
γμένοις, οὐκ ἄν ποτ' εἰσῆλθον εἰς ὑμᾶς· νῦν δ' οὐχ ὑπὲρ τῆς
[4]ἄλλης βλάβης τῆς ἐκ τῶν πληγῶν γενομένης, ἀλλ' ὑπὲρ d
τῆς αἰκίας καὶ τῆς ἀτιμίας ἥκω παρ' αὐτοῦ δίκην ληψόμενος,
ὑπὲρ ὧν προσήκει τοῖς ἐλευθέροις μάλιστ' ὀργίζεσθαι καὶ
μεγίστης τυγχάνειν τιμωρίας.

η'. Ὁρῶ δὲ ὑμᾶς, ὅταν τοῦ καταγνῶτε ἱεροσυλίαν ἢ
κλοπὴν, οὐ πρὸς τὸ μέγεθος ὧν ἂν λάβωσι τὴν [5]τίμησιν
ποιουμένους, ἀλλ' ὁμοίως ἁπάντων θάνατον [6]καταγιγνώ-
σκοντας, καὶ νομίζοντας δίκαιον εἶναι τοὺς τοῖς αὐτοῖς ἔρ- e
γοις ἐπιχειροῦντας ταῖς αὐταῖς ζημίαις [7]κολάζεσθαι. χρὴ
τοίνυν καὶ περὶ τῶν ὑβριζόντων τὴν αὐτὴν γνώμην ἔχειν, καὶ
μὴ τοῦτο σκοπεῖν, εἰ μὴ σφόδρα συνέκοψαν, ἀλλ' εἰ τὸν
νόμον παρέβησαν, μηδ' ὑπὲρ τοῦ [8]συντυχόντος μόνον ἀλλ'
ὑπὲρ [9]ἅπαντος τοῦ τρόπου δίκην παρ' αὐτῶν λαμβάνειν,
ἐνθυμουμένους ὅτι πολλάκις ἤδη μικραὶ προφάσεις μεγάλων
399 κακῶν αἴτιαι γεγόνασι, καὶ [10]ὅτι διὰ τοὺς τύπτειν τολμῶν- 397
τας εἰς τοῦτ' [11]ἤδη τινὲς ὀργῆς προήχθησαν, ὥστ' εἰς τραύ-
ματα [12]καὶ θανάτους καὶ φυγὰς καὶ τὰς μεγίστας συμ-
φορὰς ἐλθεῖν· ὧν οὐδὲν διὰ τὸν φεύγοντα τὴν δίκην [13]ἀγένητόν
ἐστιν, ἀλλὰ κατὰ μὲν τὸ τούτου μέρος ἅπαντα [14]πέπρα-
κται, διὰ δὲ τὴν τύχην καὶ τὸν τρόπον τὸν ἐμὸν οὐδὲν τῶν
ἀνηκέστων συμβέβηκεν.

θ'. Ἡγοῦμαι δ' ὑμᾶς οὕτως ἂν ἀξίως ὀργισθῆναι [15]τοῦ b
πράγματος, εἰ διεξέλθοιτε πρὸς ὑμᾶς αὐτοὺς, ὅσῳ μεῖζόν

[1] καὶ om. A. C. L. [2] δ' A. L. [3] κατ' ἀξίαν A. C. L.
[4] ἄλλης om. A. C. L. [5] τιμωρίαν A. C. L. [6] κατακρίνοντας A. C. L.
[7] κολάζειν A. C. L. [8] τυχόντος A. C. L. [9] παντὸς A. C. L.
[10] διότι πολλοὶ τῶν τε ξένων καὶ τῶν πολιτῶν διὰ A. L. διότι πολλοὶ τῶν πολιτῶν διὰ C.
[11] ἤδη τινὲς om. A. C. L. [12] καὶ σφαγὰς καὶ θανάτους A. C. L.
[13] ἀγέννητόν A. C. L. [14] τὰ προειρημένα πέπρακται A. C. L. [15] περὶ τοῦ A. C. L.

Οἱ κρατοῦντες] Np. Triginta tyranni.

Διασύρων] Διαπαίζων, χλευάζων, ὡς ἐξηγεῖται Ἡσύχιος. Cor.

Ὑπὲρ τῆς αἰκίας] Cf. Demosth. c. Mid. §. ι'. adv. Pantæn. §. ϛ'. et c. Everg. et Mnesib. §. γ'.

ἐστι τοῦτο τῶν ἄλλων [1]ἁμαρτημάτων. εὑρήσετε γὰρ τὰς μὲν ἄλλας ἀδικίας μέρος τι τοῦ βίου βλαπτούσας, τὴν δ' ὕβριν ὅλοις τοῖς πράγμασι λυμαινομένην, καὶ πολλοὺς μὲν οἴκους [2]δι' αὐτὴν διαφθαρέντας, πολλὰς δὲ πόλεις ἀναστάτους [3]γεγενημένας.

ι´. Καὶ τί δεῖ τὰς τῶν ἄλλων συμφορὰς λέγοντα δια-
c τρίβειν; αὐτοὶ γὰρ ἡμεῖς δὶς ἤδη τὴν δημοκρατίαν ἐπείδομεν καταλυθεῖσαν καὶ δὶς τῆς ἐλευθερίας ἀπεστερήθημεν οὐχ ὑπὸ τῶν ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων, ἀλλὰ διὰ τοὺς καταφρονοῦντας [4]τῶν νόμων καὶ βουλομένους τοῖς μὲν πολεμίοις δουλεύειν, τοὺς δὲ πολίτας ὑβρίζειν. [5]ὧν οὗτος εἷς ὢν τυγχάνει. καὶ γὰρ εἰ τῶν τότε κατασταθέντων νεώτερός ἐστιν, ἀλλὰ τόν γε τρόπον ἔχει τὸν ἐξ ἐκείνης τῆς πολιτείας. αὗται γὰρ αἱ φύσεις [6]εἰσὶν αἱ παραδοῦσαι μὲν τὴν δύναμιν [7]τὴν ἡμετέραν τοῖς πολεμίοις, κατασκάψασαι
d δὲ τὰ τείχη τῆς πατρίδος, πεντακοσίους δὲ καὶ χιλίους [8]ἀκρίτους ἀποκτείνασαι τῶν πολιτῶν.

ια´. Ὧν εἰκὸς ὑμᾶς μεμνημένους [9]τιμωρεῖσθαι μὴ μόνον τοὺς τότε λυμηναμένους ὑμᾶς, ἀλλὰ καὶ τοὺς νῦν βουλομένους οὕτω διαθεῖναι τὴν πόλιν, καὶ τοσούτῳ μᾶλλον τοὺς ἐπιδόξους γενήσεσθαι πονηροὺς τῶν πρότερον ἡμαρτηκότων, ὅσῳπερ κρεῖττόν ἐστι τῶν μελλόντων κακῶν ἀποτροπὴν εὑρεῖν ἢ τῶν ἤδη γεγενημένων δίκην λαβεῖν· καὶ μὴ [10]περι-
e μείνηθ' ἕως ἂν ἀθροισθέντες καὶ καιρὸν λαβόντες εἰς ὅλην τὴν πόλιν ἐξαμάρτωσιν, ἀλλ' ἐφ' ἧς ἂν προφάσεως ὑμῖν
παραδοθῶσιν, ἐπὶ ταύτης αὐτοὺς [11]τιμωρεῖσθε, νομίζοντες 400
εὕρημ' ἔχειν, ὅταν τινὰ λάβητ' ἐν μικροῖς πράγμασιν ἐπι-
398 δεδειγμένον ἅπασαν τὴν αὑτοῦ πονηρίαν. κράτιστον μὲν γὰρ [12]ἦν, εἴ τι προσῆν ἄλλο σημεῖον τοῖς πονηροῖς τῶν ἀνθρώπων, [13]πρὶν ἀδικηθῆναί τινα τῶν πολιτῶν, πρότερον κο-

[1] ἀδικημάτων A. C. L. [2] διὰ ταύτην A. C. L. [3] γενομένας A. C. L.
[4] τῶν νόμων om. A. [5] ὢν εἷς ἐστιν οὗτος· A. C. L. [6] εἰσιν αἱ φύσεις A. C. L.
[7] τὴν ἡμετέραν om. A. C. L. [8] ἀκρίτως A. C. L. [9] τιμωρήσασθαι A. C. L.
[10] περιμένειν A. C. L. [11] τιμωρήσασθαι, νομίζοντας A. C. L. [12] ἂν ἦν A. C. L.
[13] καὶ πρὶν A. C. L.

Δὶς ἤδη] Scil. sub cccc viris et xxx viris.

Κατασταθέντων] Scilicet πραγμάτων. Wolf.

Πεντακοσίους δὲ καὶ χιλίους] Cf. Areopag. §. κζ. fin. Lang.

Τοὺς ἐπιδόξους γεν. πονηροὺς] quos fore improbos conjectura colligitur. Wolf.

Εἴ τι — ἄλλο σημεῖον] si quod aliud signum, i. e. quam improbitatis facinora. Auger. Cf. Eurip. Med. 516.

λάζειν αὐτούς· ἐπειδὴ δ' οὐχ οἷόν τ' [1]ἐστὶν αἰσθέσθαι
πρὶν κακῶς τινὰ παθεῖν ὑπ' αὐτῶν, ἀλλ' οὖν [2]γ' ἐπειδὰν
[3]γνωρισθῶσι προσήκει πᾶσι μισεῖν τοὺς τοιούτους καὶ κοι-
νοὺς ἐχθροὺς νομίζειν.

ιβ'. Ἐνθυμεῖσθε δ', ὅτι τῶν μὲν περὶ [4]τὰς οὐσίας κιν-
δύνων οὐ μέτεστι τοῖς πένησι, τῆς δ' εἰς τὰ σώματα αἰκίας
ὁμοίως [5]ἅπαντες κοινωνοῦμεν· ὥσθ' ὅταν μὲν τοὺς ἀποστε- b
ροῦντας τιμωρῆσθε, τοὺς πλουσίους μόνον ὠφελεῖτε, ὅταν
δὲ τοὺς ὑβρίζοντας κολάζητε, ὑμῖν αὐτοῖς βοηθεῖτε. ὧν
ἕνεκα δεῖ περὶ πλείστου ποιεῖσθαι ταύτας τῶν δικῶν, καὶ
περὶ μὲν τῶν ἄλλων συμβολαίων τοσούτου τιμᾷν, ὅσον
προσήκει τῷ διώκοντι κομίσασθαι, περὶ δὲ τῆς ὕβρεως,
ὅσον ἀποτίσας ὁ φεύγων [6]παύσεσθαι μέλλει τῆς παρούσης
ἀσελγείας. ἢν οὖν [7]περιαιρῆτε τὰς οὐσίας [8]τῶν νεανιευομέ- c
νων εἰς τοὺς πολίτας, καὶ μηδεμίαν [9]νομίζηθ' ἱκανὴν εἶναι
ζημίαν, [10]οἵ τινες ἂν εἰς τὰ σώματα ἐξαμαρτάνοντες τοῖς
χρήμασι τὰς δίκας ὑπέχωσιν, ἅπανθ' ὅσα δεῖ τοὺς καλῶς
δικάζοντας διαπράξεσθε· καὶ γὰρ [11]περὶ τοῦ παρόντος πρά-
γματος ὀρθῶς γνώσεσθε, καὶ τοὺς ἄλλους πολίτας κοσμιω-
τέρους ποιήσετε, καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἀσφα-
λέστερον καταστήσετε. ἔστι δὲ δικαστῶν νοῦν ἐχόντων,
περὶ τῶν ἀλλοτρίων τὰ δίκαια ψηφιζομένους ἅμα καὶ τὰ d
σφέτερ' αὐτῶν εὖ τίθεσθαι.

ιγ'. Καὶ μηδεὶς ὑμῶν εἰς τοῦτ' ἀποβλέψας, ὅτι πένης
εἰμὶ καὶ τοῦ πλήθους εἷς, ἀξιούτω τοῦ τιμήματος ἀφαιρεῖν.
οὐ γὰρ δίκαιόν ἐστιν ἐλάττους ποιεῖσθαι τὰς τιμωρίας ὑπὲρ
τῶν ἀδόξων ἢ τῶν [12]διωνομασμένων, οὐδὲ χείρους ἡγεῖσθαι
τοὺς πενομένους [13]ἢ τοὺς πολλὰ κεκτημένους. ὑμᾶς γὰρ ἂν
αὐτοὺς ἀτιμάζοιτ', εἰ τοιαῦτα γιγνώσκοιτε περὶ τῶν πολι- e

[1] ἐστὶν om. A. C. L. [2] γ' om. A. C. L. [3] γνωσθῶσι A. C. L.
[4] τῆς A. C. L. [5] πάντες A. C. L. [6] παύσασθαι A. C. L.
[7] περιαιρήσητε C. περιαιρήσητε τὸ A. L. [8] ἀφαιρεῖν τῶν A. L.
[9] ἱκανὴν ἡγῆσθε A. C. L. [10] εἴ A. C. L. [11] καὶ περὶ A. C. L.
[12] ὠνομασμένων A. C. L. [13] τῶν πολλὰ κεκτημένων A. C. L.

Ὅσον ἀποτίσας] *eam mulctam* (non pecuniariam), *qua soluta*. Lang.

Καὶ μηδεμίαν κ. τ. λ.] Καὶ ἢν ἐκείνοις, οἵτινες ἂν εἰς τὰ σώματα τῶν πολιτῶν ὑβρίζοντες ζημιῶνται χρήμασι, μὴ νομίσητε ζημίαν μηδεμίαν ἱκανὴν, ἄλλην δηλονότι ἢ τὴν ἀφαίρεσιν πάσης τῆς οὐσίας, ἢ γοῦν τῆς πλείστης, τουτέστι τὸ πένητας αὐτοὺς ἐκ πλουσίων ἀποδεῖξαι, καὶ οὕτω παῦσαι τῆς παρούσης ἀσελγείας. Μεταμέλει μοι τὸ εἴ τινες μὴ τρέψαντι εἰς τὸ οἵτινες. Cor.

Ἀξιούτω τοῦ τιμήματος ἀφαιρεῖν] *quidquam de litis æstimatione detrahendum censeat*. Lang.

τῶν. ἔτι δὲ καὶ πάντων ἂν εἴη δεινότατον, εἰ [1] δημοκρατου-
μένης τῆς πόλεως μὴ τῶν αὐτῶν ἅπαντες τυγχάνοιμεν, 401
ἀλλὰ τῶν μὲν ἀρχῶν μετέχειν ἀξιοῖμεν [2] τὸ ἴσον, τῶν δ' ἐν
399 τοῖς νόμοις δικαίων ἀποστεροῖμεν ἡμᾶς αὐτούς, καὶ μαχό-
μενοι μὲν ὁμοίως ἐθέλοιμεν ἀποθνήσκειν ὑπὲρ τῆς πολιτείας,
ἐν δὲ τῇ ψήφῳ πλέον νέμοιμεν τοῖς τὰς οὐσίας ἔχουσιν. οὐκ, ἐάν [3] γε σωφρονῆθ', οὕτω διακείσεσθε πρὸς ὑμᾶς αὐτούς, οὐδὲ διδάξετε τοὺς νεωτέρους καταφρονεῖν τοῦ πλήθους τῶν πολιτῶν, οὐδὲ ἀλλοτρίους ἡγήσεσθ' εἶναι τοὺς τοιούτους τῶν ἀγώνων, ἀλλ' [4] ὡς ὑπὲρ αὑτοῦ δικάζων, [5] οὕτως ἕκαστος ὑμῶν οἴσει τὴν ψῆφον. ἅπαντας γὰρ ὁμοίως ἀδικοῦσιν οἱ τολμῶντες [6] τοῦτον τὸν νόμον παραβαίνειν τὸν ὑπὲρ τῶν σωμάτων τῶν ὑμετέρων κείμενον.

ιδ'. Ὥστ' [7] ἐὰν σωφρονῆτε, παρακαλέσαντες ἀλλήλους ἐνσημανεῖσθε Λοχίτῃ τὴν ὀργὴν τὴν ὑμετέραν αὐτῶν, εἰδότες ὅτι πάντες οἱ τοιοῦτοι τῶν μὲν νόμων τῶν κειμένων καταφρονοῦσι, τὰ δ' [8] ἐνθάδε γιγνωσκόμενα, [9] ταῦτα νόμους εἶναι νομίζουσιν.

ιε'. Ἐγὼ μὲν οὖν ὡς οἷός τ' ἦν εἴρηκα περὶ τοῦ πράγματος· εἰ δέ [10] τις τῶν παρόντων ἔχει τί μοι συνειπεῖν, ἀναβὰς εἰς ὑμᾶς λεγέτω.

[1] δημοκρατίας οὔσης μὴ A. C. L. [2] τὸ ἴσον om. A. C. L.
[3] γέ μοι πεισθῆτε A. C. L. [4] ὥσπερ A. C. L. [5] οὕτως om. A. C. L.
[6] τοῦτον om. A. C. L. [7] ἂν A. C. L. [8] ἐνταῦθα A. C. L.
[9] ταῦτα om. A. C. L. [10] τις ἔχει (ἔχοι C.) μοι τῶν παρόντων A. C. L.

Ἐνσημανεῖσθε — τὴν ὀργὴν] Φανερὰν ποιήσετε τὴν ὀργήν. Cor.

Εἰ δέ τις κ. τ. λ.] Cf. p. 737. v. 14. sqq. Lang.

ΚΑ.

ΙΣΟΚΡΑΤΟΥΣ

ΠΡΟΣ ΕΥΘΥΝΟΥΝ

[1]ΑΜΑΡΤΥΡΟΣ.

Pag. ed. Cor. 402 — Pag. ed. H. Steph. 400

α΄. ΟΥ προφάσεως ἀπορῶ, δι᾽ ἥντινα λέγω ὑπὲρ Νικίου τουτουΐ· καὶ γὰρ φίλος ὤν μοι τυγχάνει καὶ δεόμενος καὶ ἀδικούμενος καὶ ἀδύνατος εἰπεῖν, ὥστε διὰ ταῦτα πάντα ὑπὲρ αὐτοῦ λέγειν ἀναγκάζομαι.

[1] ΥΠΕΡ ΝΙΚΙΟΥ ΑΜΑΡΤΥΡΟΣ A. C. L.

SUMMARIUM. (α΄.) Nicias, amicus meus, injuria affectus dicendique imperitus me rogavit, ut se [contra Euthynum, qui tertiam depositi alicujus partem non reddidit et accepisse negat] defenderem. (β΄.) Rem, quam brevissime potero, vobis exponam. (γ΄.) Quum Triginta regnarent, Nicias ab inimicis e civium numero deletus, tria argenti talenta Euthyno sine testibus tradidit custodienda, et rus profectus est. Non ita multo post Euthynus quidem duo talenta reddidit, sed tertium inficiatur. Nicias temporibus coactus rem tunc silentio præteriit. (δ΄.) Verum quum nec quisquam negotio huic adfuerit testis, argumentis et conjecturis verum elicere vos necesse est. (ε΄.) Nicias Euthyno ut locuples magis, sic dicendi minus peritus est. Tales autem solent peti calumniis ab eloquentibus, sed pauperibus hominibus. (ϛ΄.) Deinde, qui negant depositum, habent id, propter quod jus violant; qui vero repetunt, nesciunt, an accepturi sint. Verosimilius igitur est, Euthynum negare, quod acceperit, quam Niciam postulare, quod non dederit. (ζ΄.) Præterea sublatis in urbe judiciis, illum verosimilius est fraudasse Niciam, quam hunc injuste quidquam repetiisse. (η΄.) Huc accedit, quod Euthynus amicus fuit Niciæ, nec dives, nec destitutus prorsus, nec rebus gerendis ineptus. (θ΄.) Nec injuriam certe fecisset Euthynus Niciæ, nisi necessitate, quum alius deesset, quem fraudare posset, coactus fuisset. (ι΄.) Maximum autem argumentum est, quod petitio eo tempore facta est, quo oligarchia constituta erat, in qua pauper ad injurias diviti faciendas incitabatur. Illo enim tempore gravius delictum fuit, divitem esse, quam improbum. Ergo Euthynus potuit ea, quæ acceperat, fraudare, Nicias vero non potuit calumniari. Qui enim sua tueri non potest, is non insidiabitur alienis. (ια΄.) Sed objici et fortasse Euthynus, se, si facere injuriam constituisset, duas quoque alteras depositi partes retenturum fuisse. (ιβ΄.) Ego vero vos scire arbitror, omnes homines si quid injusti moliantur, etiam defensionem simul meditari. Euthynus igitur duas partes reddidit, ut illam objectionem facere posset, sicuti multi jam ante illum in modicis negotiis fraudem adhibuerunt, in magnis justitiam coluerunt. (ιγ΄.) Considerate porro, eadem facile posse pro Nicia dici. Si ei libitum fuit, calumniari, non confessus esset, duas partes recepisse, sed totam summam recepisse negaret. (ιδ΄.) Præterea omnes Niciæ cognati ac familiares sciebant, eum quidquid argenti habuerit, apud istum deposuisse. Euthynus igitur partem quidem subtrahere potuit, quum nemo sciret, quantum deposuisset, nequaquam vero totum. Lang. Si causa vere dicta est, nec res et personæ suppositæ sunt, hæc oratio valde ingeniosa et acuta, et, si Philostrato creditur, inter Isocrateas ex optimis, scripta esse debuit circa annum 402. ante Christum, et Isocratis ætatis 32. Auger.

ΑΜΑΡΤΥΡΟΣ] Ὅτι μὴ παρῆσαν παρακατατιθεμένῳ μάρτυρες τῷ Νικίᾳ, ὥστ᾽ ἐξ

β'. Ὅθεν οὖν τὸ συμβόλαιον [1] αὐτῷ πρὸς Εὐθύνουν γεγένηται, διηγήσομαι ὑμῖν ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.

b γ'. Νικίας γὰρ οὑτοσὶ, ἐπειδὴ οἱ Τριάκοντα κατέστησαν, καὶ αὐτὸν οἱ ἐχθροὶ ἐκ μὲν τῶν μετεχόντων τῆς πολιτείας ἐξήλειφον, εἰς δὲ τὸν μετὰ [2] Λυσάνδρου κατάλογον [3] ἐνέγραφον, δεδιὼς τὰ παρόντα πράγματα τὴν μὲν [4] οὐσίαν ὑπέθηκε, τοὺς δ' οἰκέτας ἔξω τῆς γῆς ἐξέπεμψε, τὰ δ' ἔπιπλα ὡς ἐμὲ ἐκόμισε, τρία δὲ τάλαντα ἀργυρίου Εὐθύνῳ φυλάττειν ἔδωκεν, αὐτὸς δ' εἰς ἀγρὸν ἐλθὼν διῃτᾶτο. οὐ
c πολλῷ δὲ χρόνῳ ὕστερον βουλόμενος ἐκπλεῖν ἀπῄτησε τἀργύριον· Εὐθύνους δὲ τὰ μὲν δύο τάλαντα ἀποδίδωσι, τοῦ δὲ τρίτου ἔξαρνος γίγνεται. ἄλλο μὲν οὖν οὐδὲν εἶχε Νικίας ἐν τῷ τότε χρόνῳ ποιῆσαι, προσιὼν δὲ πρὸς τοὺς ἐπιτηδείους ἐνεκάλει καὶ ἐμέμφετο καὶ ἔλεγεν ἃ πεπονθὼς εἴη. καίτοι οὕτω τοῦτόν τε περὶ πολλοῦ ἐποιεῖτο καὶ τὰ καθεστῶτα ἐφοβεῖτο, ὥστε πολὺ ἂν θᾶττον ὀλίγων στερηθεὶς ἐσιώπησεν ἢ μηδὲν ἀπολέσας ἐνεκάλεσε. τὰ μὲν οὖν γεγε-
d νημένα, ταῦτ' ἐστίν.

δ'. Ἀπόρως δ' ἡμῖν ἔχει τὸ πρᾶγμα. Νικίᾳ γὰρ οὔτε πα- 403
ρακαταθεμένῳ τὰ χρήματα οὔτε κομιζομένῳ οὐδεὶς οὔτ' ἐλεύθερος οὔτε δοῦλος παρεγένετο· ὥστε μήτ' ἐκ βασάνων μήτ' ἐκ μαρτύρων οἷόν τ' εἶναι γνῶναι περὶ αὐτῶν, ἀλλ' ἀνάγκη ἐκ τεκμηρίων καὶ ἡμᾶς διδάσκειν καὶ ὑμᾶς δικάζειν ὁπότεροι [5] ἀληθῆ λέγουσιν.

ε'. Οἶμαι [6] οὖν ἅπαντας εἰδέναι ὅτι μάλιστα συκοφαντεῖν ἐπιχειροῦσιν οἱ λέγειν μὲν δεινοὶ, ἔχοντες δὲ μηδὲν,
401 τοὺς ἀδυνάτους μὲν εἰπεῖν, ἱκανοὺς δὲ χρήματα τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλείω μὲν ἔχει, ἧττον δὲ δύναται

[1] αὐτὸ A. [2] Πεισάνδρου A. L. [3] ἀνέγραφον A. L. [4] οἰκίαν A. C. [5] τἀληθῆ A. C. L. [6] δ' οὖν A. C. L.

ἐκείνων ἔχειν ἐξελέγχειν Εὐθύνουν. Cor.

Αὐτῷ] Scil. τῷ Νικίᾳ. Lang.

Κατάλογον] Cf. c. Callimach. §. η'. et Lysiam c. Eratosth. §. ια'.

Τὴν μὲν οὐσίαν] Ὑποθεῖναι τὴν οὐσίαν is dicitur, qui fœnore accepta pecunia sua prædia oppignorat. ὑποθέσθαι ad eum refertur, qui pignus capit. Wolf. Leg. τὴν μὲν οἰκίαν. Auger. Quod probo. Lang.

Προσιὼν δὲ] Ἀντὶ τοῦ, ἢ ὅτι προσῄει. Wolf.

Ἐνεκάλει καὶ ἐμέμφετο] *istum incusabat et querebatur.* Lang.

Ἀπόρως — πρᾶγμα] *res autem non parum difficultatis habet.* Idem.

λέγειν· ὥστ᾽ οὐκ ἔστι δι᾽ ὅ τι ἂν ἐπήρθη ἀδίκως ἐπ᾽ Εὐθύνουν ἐλθεῖν.

ϛ΄. Ἀλλὰ μὴν καὶ ἐξ αὐτοῦ ἄν τις τοῦ πράγματος γνοίη ὅτι πολὺ μᾶλλον εἰκὸς ἦν Εὐθύνουν λαβόντα ἐξαρνεῖσθαι ἢ Νικίαν μὴ δόντα αἰτιᾶσθαι. δῆλον γὰρ ὅτι πάντες κέρδους ἕνεκ᾽ ἀδικοῦσιν. οἱ μὲν οὖν ἀποστεροῦντες, ὧνπερ
ἕνεκ᾽ ἀδικοῦσιν, ἔχουσιν, οἱ δ᾽ ἐγκαλοῦντες οὐδ᾽ εἰ λήψεσθαι b
μέλλουσιν ἴσασιν.

ζ΄. Πρὸς δὲ τούτοις, ἀκαταστάτως ἐχόντων τῶν ἐν τῇ πόλει καὶ δικῶν οὐκ οὐσῶν τῷ μὲν οὐδὲν ἦν πλέον ἐγκαλοῦντι, τῷ δὲ οὐδὲν ἦν δέος ἀποστεροῦντι. ὥστε τὸν μὲν οὐδὲν ἦν θαυμαστὸν, ὅτε καὶ οἱ μετὰ μαρτύρων δανεισάμενοι ἐξηρνοῦντο, τότε ἃ μόνος παρὰ μόνου ἔλαβεν ἀποστερῆσαι· τὸν δ᾽ οὐκ εἰκὸς, ὅτε οὐδ᾽ οἷς δικαίως ὠφείλετο
οἷόν τ᾽ ἦν πράττεσθαι, τότε ἀδίκως ἐγκαλοῦντα οἴεσθαί c
τι λήψεσθαι.

η΄. [1]Ἔτι δ᾽, εἰ καὶ μηδὲν αὐτὸν ἐκώλυεν, ἀλλὰ καὶ ἐξῆν καὶ [2]ἐβούλετο συκοφαντεῖν, ὡς οὐκ ἂν ἐπ᾽ Εὐθύνουν ἦλθε, ῥᾴδιον γνῶναι. οἱ γὰρ τοιαῦτα πράττειν ἐπιθυμοῦντες οὐκ ἀπὸ τῶν φίλων ἄρχονται, ἀλλὰ μετὰ τούτων ἐπὶ τοὺς ἄλλους ἔρχονται, καὶ τούτοις ἐγκαλοῦσιν οὓς ἂν μήτ᾽ [3]αἰσχύνωνται μήτε δεδίωσι, καὶ οὓς ἂν ὁρῶσι πλουσίους μὲν ἐρήμους δὲ καὶ ἀδυνάτους πράττειν.

θ΄. Εὐθύνῳ τοίνυν τἀναντία τούτων ὑπάρχει· ἀνεψιὸς d
γὰρ ὢν Νικίου τυγχάνει, λέγειν δὲ καὶ πράττειν μᾶλλον
404 δύναται [4]τούτου, ἔτι δὲ χρήματα μὲν ὀλίγα φίλους δὲ πολλοὺς κέκτηται. ὥστ᾽ οὐκ ἔστιν ἐφ᾽ ὅντινα ἂν ἧττον ἢ ἐπὶ τοῦτον ἦλθεν· ἐπεὶ ἔμοιγε δοκεῖ, εἰδότι τὴν τούτων οἰκειότητα, οὐδ᾽ ἂν Εὐθύνους Νικίαν [5]ἀδικῆσαι, εἰ ἐξῆν ἄλλον
τινὰ τοσαῦτα χρήματα ἀποστερῆσαι. νῦν δ᾽ [6]ἀρχαιότερον e

[1] Ὅτι A. L. [2] ἠβούλετο C. [3] αἰσχύνονται μήτε δεδίασι A. L. [4] τουτουὶ A. C. L. [5] ἀδικήσαι L. [6] ἀναγκαιότερον A.

Ἀδίκως ἐπ᾽ Εὐθ. ἐλθεῖν] Idem est, quam quod antecessit συκοφαντεῖν. Idem.

Κέρδους] Κέρδος h. l. est *certum lucrum*, ut sequentia docent. Idem.

Πράττεσθαι] *æs alienum exigere*. Idem.

°Ἀρχαιότερον — πρᾶγμα] *causa negotii altius repetenda est et inquirenda subtilius.* Wolf. Emendavi: νῦν δ᾽ ἀναγκαιότερον αὐτῷ τὸ πρᾶγμα, subaudiendo ἦν. *nunc vero ipsum premebat rei necessitas.* quam phrasim conjungo cum præcedentibus. Auger. Quæ conjectura propter contextum valde probabilis est. Lang. Τὸ ἀρχαιότερον σημαίνοι ἂν ὧδε, εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, τὸ ἁπλούστερον, τουτέστιν, Ἦν Εὐθύνῳ καὶ Νικίᾳ τὸ πρᾶγμα ἁπλούστερον,

[1]ἦν [2]αὐτοῖς τὸ πρᾶγμα· ἐγκαλεῖν μὲν γὰρ ἔξεστιν ἐξ ἁπάντων ἐκλεξάμενον, ἀποστερεῖν δ᾽ οὐχ οἷόν τ᾽ ἄλλον ἢ τὸν παρακαταθέμενον. ὥστε Νικίας μὲν συκοφαντεῖν ἐπιθυμῶν οὐκ ἂν ἐπὶ τοῦτον ἦλθεν, Εὐθύνους δ᾽ ἀποστερεῖν ἐπιχειρῶν οὐκ ἂν ἄλλον εἶχεν.

402 ι᾽. Ὃ δὲ μέγιστον τεκμήριον καὶ πρὸς ἅπαντα ἱκανόν·
ὅτε γὰρ τὸ ἔγκλημα ἐγένετο, ὀλιγαρχία καθειστήκει, ἐν
ᾗ οὕτως ἑκάτερος αὐτῶν διέκειτο, ὥστε Νικίας μὲν, εἰ καὶ
τὸν ἄλλον χρόνον εἴθιστο συκοφαντεῖν, τότ᾽ ἂν ἐπαύσατο,
Εὐθύνους δὲ, καὶ εἰ μηδὲ πώποτε διενοήθη ἀδικεῖν, τότ᾽ ἂν
ἐπήρθη. ὁ μὲν γὰρ διὰ τὰ ἁμαρτήματα ἐτιμᾶτο, ὁ δὲ διὰ
τὰ χρήματα ἐπεβουλεύετο. πάντες γὰρ ἐπίστασθ᾽ ὅτι ἐν
b ἐκείνῳ τῷ χρόνῳ δεινότερον ἦν πλουτεῖν ἢ ἀδικεῖν· οἱ μὲν
γὰρ τὰ ἀλλότρια ἐλάμβανον, οἱ δὲ τὰ σφέτερ᾽ αὐτῶν
ἀπώλλυον. ἐφ᾽ οἷς γὰρ ἦν ἡ πόλις, οὐ τοὺς ἁμαρτάνοντας
ἐτιμωροῦντο, ἀλλὰ τοὺς ἔχοντας ἀφῃροῦντο, καὶ ἡγοῦντο
τοὺς μὲν ἀδικοῦντας πιστοὺς, τοὺς δὲ πλουτοῦντας ἐχθρούς.
ὥστε μὴ περὶ [3]τοῦτ᾽ εἶναι [4]Νικίᾳ, ὅπως συκοφαντῶν τἀλ-
λότρια λήψοιτο, ἀλλ᾽ ὅπως [5][μὴ] μηδὲν ἀδικῶν κακόν τι
πείσοιτο. τῷ μὲν γὰρ [6]ὅσον Εὐθύνους δυναμένῳ ἐξῆν ἅ τ᾽
c ἔλαβεν ἀποστερεῖν καὶ οἷς μὴ συνέβαλεν ἐγκαλεῖν· οἱ δ᾽
ὥσπερ Νικίας διακείμενοι ἠναγκάζοντο τοῖς τ᾽ ὀφείλουσι
τὰ χρέα ἀφιέναι καὶ τοῖς συκοφαντοῦσι τὰ αὑτῶν διδόναι.
καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, αὐτὸς ἂν [7]ἡμῖν Εὐθύνους μαρ-
τυρήσειεν· ἐπίσταται γὰρ ὅτι Τιμόδημος τουτονὶ τριάκοντα

[1] ἦν om. A. L. [2] αὐτῷ A. [3] τούτου C. [4] Νικίαν A. L.
[5] [μὴ] om. A. C. L. [6] ὥσπερ A. L. [7] ὑμῖν A. L.

καὶ οὐ τοσαύτης περιεργίας τε καὶ πανουργίας δεόμενον· ὁ μὲν γὰρ, συκοφαντεῖν βουλόμενος, οὐκ ἂν, ἄλλους ἀφεὶς, ἀνεψιὸν, καὶ πένητα, καὶ φίλους ἔχοντα συνηγορήσοντας, ἐσυκοφάντει· ὁ δ᾽ Εὐθύνους, ἀποστερεῖν βουλόμενος, οὐκ εἶχεν ἄλλον ἀποστερεῖν, ἢ πλούσιον, ἔρημον συνηγορησόντων, ἀδύνατον αὐτὸν εἰπεῖν, καὶ τὸ μέγιστον, οὗ χρήματα παρ᾽ ἑαυτῷ εἶχε κατατεθειμένα. Cor.

Οὐκ ἂν ἄλλον] Ἴσως· οὐκ ἄλλον. Idem.

Ὥστε μὴ περὶ τοῦτ᾽ εἶναι Νικίᾳ] *ut non ita cum Nicia ageretur.* Constructio insolentior est, si lectio depravata non est. Wolf. Pro Νικίᾳ legi Νικίαν, et phrasim interpretor: *ita ut Nicias non circa hoc versaretur.* Auger. Νικίαν dedi ex Augeri emendatione. Verte: *non in eo loco Niciæ res fuerunt.* Lang. Ὁ νοῦς· Ὥστε μὴ εἶναι τῷ Νικίᾳ τὸν λόγον περὶ τούτου, τοῦ ὅπως δηλάδη συκοφαντήσας λήψοιτο τὰ μηδὲν αὐτῷ προσήκοντα, ἀλλὰ πολὺ μᾶλλον περὶ τούτου εἶναι αὐτῷ τὸν λόγον, καὶ τὸν φόβον, τοῦ κακόν τι δηλονότι πείσεσθαι καίπερ μηδὲν ἀδικῶν. Cor.

Καὶ οἷς μὴ συνέβαλεν ἐγκαλεῖν] *et eos, quibuscum nulla conventa iniit, accusare.* significat enim h. l. συμβάλλειν, *pacisci,* seu *contractus et conventa inire.* Auger.: *et ea, quæ non dedisset, repetere.* Lang.

Τουτονὶ] Ad Niciam referendum. Idem.

μνᾶς ἐπράξατο, οὐ χρέος ἐγκαλῶν, ἀλλ᾽ ἀπάξειν ἀπειλῶν.
καίτοι πῶς εἰκὸς Νικίαν εἰς τοῦτ᾽ ἀνοίας ἐλθεῖν, ὥςτ᾽ αὐτὸν
περὶ τοῦ σώματος κινδυνεύοντα ἑτέρους συκοφαντεῖν, καὶ μὴ d
δυνάμενον τὰ αὑτοῦ σώζειν τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν,
καὶ πρὸς τοῖς ὑπάρχουσιν ἐχθροῖς ἑτέρους διαφόρους ποιεῖ-
σθαι, καὶ τούτοις ἀδίκως ἐγκαλεῖν παρ᾽ ὧν οὐδ᾽ ὁμολο-
γούντων ἀποστερεῖν οἷός τ᾽ ἂν ἦν δίκην λαβεῖν; καὶ τότε
πλέον ἔχειν ζητεῖν, ὅτε οὐδὲ ἴσον ἐξῆν αὐτῷ; καὶ ὅτε ἃ
οὐκ ἔλαβεν ἀποτίνειν ἠναγκάζετο, τότε καὶ ἃ μὴ συνέβα-
λεν [1]ἤλπιζε πράξασθαι; περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ e
εἰρημένα.

ια΄. Ἴσως δ᾽ Εὐθύνους ἐρεῖ ἃ καὶ πρότερον ἤδη, ὅτι οὐκ
ἄν ποτ᾽ ἀδικεῖν ἐπιχειρῶν τὰ μὲν δύο μέρη τῆς παρακατα-
θήκης ἀπέδωκε, τὸ δὲ τρίτον μέρος ἀπεστέρησεν, ἀλλ᾽ εἴτ᾽ 403
ἀδικεῖν ἐπεθύμει εἴτε δίκαιος [2]ἐβούλετο εἶναι, περὶ ἁπάντων
ἂν τὴν αὐτὴν γνώμην ἔσχεν.

ιβ΄. Ἐγὼ δ᾽ ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι ὅτι πάντες
ἄνθρωποι, ὅταν περ ἀδικεῖν ἐπιχειρῶσιν, ἅμα καὶ τὴν ἀπο-
λογίαν σκοποῦνται· ὥςτ᾽ οὐκ ἄξιον θαυμάζειν, εἰ τούτων
ἕνεκα τῶν λόγων οὕτως Εὐθύνους ἠδίκησεν. ἔτι δ᾽ ἔχοιμ᾽
ἂν ἐπιδεῖξαι καὶ ἑτέρους, οἳ χρήματα λαβόντες τὰ μὲν
πλεῖστ᾽ ἀπέδοσαν, ὀλίγα δ᾽ ἀπεστέρησαν, καὶ ἐν μικροῖς b
μὲν συμβολαίοις ἀδικήσαντας, ἐν μεγάλοις δὲ δικαίους γε-
νομένους· ὥςτ᾽ οὐ μόνος οὐδὲ πρῶτος Εὐθύνους τοιαῦτα πε-
ποίηκεν. ἐνθυμεῖσθαι δὲ χρὴ, εἰ ἀποδέξεσθε τῶν τὰ τοιαῦτα
λεγόντων, ὅτι νόμον θήσετε [3]πῶς χρὴ ἀδικεῖν· ὥςτε τοῦ
λοιποῦ χρόνου τὰ μὲν ἀποδώσουσι, τὰ δ᾽ [4]ὑπολείψονται.
λυσιτελήσει γὰρ αὐτοῖς, εἰ μέλλουσιν, οἷς ἂν ἀποδῶσι
τεκμηρίοις χρώμενοι, ὧν ἂν ἀποστερῶσι μὴ δώσειν δίκην. c

[1] ἐλπίσαι πράξεσθαι C. [2] ἠβούλετο C. [3] ὡς A. [4] ὑπολήψονται A. L.

Οὐ χρέος ἐγκαλῶν] *non ut debitum postulantem*. Idem.

Ἀπάξειν] Ἀπάγειν h. l. *abducere ad pœnam, in carcerem, ad supplicium*, aut *ad judicem*. Idem.

Ἴσον ἐξῆν αὐτῷ] Insolentius dictum videtur pro τῶν ἴσων μετεῖναι. *pari et æquo jure vivere cum reliquis*. Wolf. Augerus bene subintelligit ἔχειν. Lang.

Ἤλπιζε] Constructio postulat infinitivum ἐλπίσαι vel ἐλπίζειν. Wolf. Lang.

Τούτων ἕνεκα τῶν λόγων] Explica: *ut hæc objicere* seu *tali excusatione uti posset*, se nempe totum retenturum fuisse, non partem, si decipere in animo habuisset. Idem.

Οὕτως] *hoc modo*, ut redderet nempe partem, partem vero debiti retineret. Idem.

Ὑπολείψονται] Ἀντὶ τοῦ, ὑπολείψουσιν ἑαυτοῖς, μέρος δηλάδη τῶν δοθέντων αὐτοῖς. Cor.

Οἷς ἂν ἀποδῶσι] Construe: εἰ τούτοις, ἃ ἂν ἀποδῶσι, τεκμηρίοις χρώμενοι. si iis,

ιγ΄. Σκέψασθε δὲ καὶ ὡς ὑπὲρ Νικίου ῥᾴδιον εἰπεῖν ὅμοια τῇ Εὐθύνου ἀπολογίᾳ. ὅτε γὰρ ἀπελάμβανε τὰ δύο τάλαντα, οὐδεὶς αὐτῷ παρεγένετο· ὥστ᾽ εἴπερ [1] καὶ [2] ἐβούλετο καὶ ἐδόκει αὐτῷ συκοφαντεῖν, δῆλον ὅτι οὐδ᾽ ἂν ταῦτα ὡμολόγει κεκομίσθαι, ἀλλὰ περὶ ἁπάντων ἂν τοὺς αὐτοὺς λόγους ἐποιεῖτο, καὶ περὶ πλειόνων τε χρημάτων Εὐθύνους ἂν ἐκινδύνευεν, καὶ ἅμα οὐκ ἂν εἶχεν οἷσπερ νυνὶ τεκμηρίοις χρῆσθαι.

d ιδ΄. Καὶ μὲν δὴ καὶ Νικίαν μὲν οὐδ᾽ ἂν εἷς δύναιτο ἀποδεῖξαι, δι᾽ [3] ἥν τινά ποτε αἰτίαν ἐνεκάλεσεν· Εὐθύνουν δὲ ῥᾴδιον γνῶναι, ὧν ἕνεκεν τοῦτον τὸν τρόπον ἠδίκησεν. ὅτε 406 γὰρ Νικίας ἦν ἐν ταῖς συμφοραῖς, πάντες οἱ συγγενεῖς καὶ οἱ ἐπιτήδειοι ἀκηκοότες ἦσαν ὅτι τὸ ἀργύριον, ὃ ἦν αὐτῷ, τούτῳ κατέθετο. ἐγίγνωσκεν οὖν Εὐθύνους, ὅτι μὲν ἔκειτο τὰ χρήματα παρ᾽ αὐτῷ, πολλοὺς ᾐσθημένους, ὁπόσα δέ, e οὐδένα πεπυσμένον· ὥσθ᾽ ἡγεῖτο ἀπὸ μὲν τοῦ ἀριθμοῦ ἀφαιρῶν οὐ γνωσθήσεσθαι, πάντα δ᾽ ἀποστερῶν καταφανὴς γενήσεσθαι. [2] ἐβούλετο οὖν ἱκανὰ λαβὼν ἀπολογίαν ὑπολείπεσθαι μᾶλλον ἢ μηδὲν ἀποδοὺς μηδ᾽ ἀρνηθῆναι δύνασθαι.

[1] [καὶ] C. [2] ἠβούλετο C. [3] ἣν ποτὲ αἰτίαν τίνα A.

quæ reddiderint, argumenti loco usi, se nihil prorsus debere, etc. Lang.

Δι᾽ ἥν τινά ποτε αἰτίαν] Wolf. supplet τοῦτον τὸν τρόπον. *cur Nicias Euthynum hunc in modum accuset?* Auger. verba transposuit: δι᾽ ἥν ποτε αἰτίαν τινὰ ἐνεκάλ. *quædam duntaxat* (i. e. unum duntaxat talentum) *in judicio repetiit*. Præter necessitatem, opinor. Idem.

Κατέθετο] Malim παρακατέθετο. Wlof.

Ὑπολείπεσθαι] Ἀντὶ τοῦ, ὑπολείπειν ἑαυτῷ, Γαλατιστὶ *se réserver une excuse*. Cor.

ΙΣΟΚΡΑΤΟΥΣ

ΕΠΙΣΤΟΛΑΙ.

Α.

ΙΣΟΚΡΑΤΗΣ [1]ΔΙΟΝΥΣΙΩΙ ΧΑΙΡΕΙΝ.

Pag. ed. Cor. 409 α΄. ΕΙ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἔπεμπον, ἀλλ᾽ Pag. ed. H. Steph. 404
αὐτὸς ἄν σοι πλεύσας ἐνταῦθα [2]διελέχθην· ἐπειδὴ δὲ οὐ κατὰ τοὺς αὐτοὺς χρόνους ὅ τε τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ ὁ τῶν [3]σῶν πραγμάτων συμβέβηκεν, ἀλλ᾽ ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ πράττεσθαι νῦν ἀκμὴν εἴληφεν, ὡς οἷόν τ᾽ ἐστὶν ἐκ τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ αὐτῶν.

β΄. Οἶδα μὲν οὖν ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν, ἀλλ᾽ αὐτοὺς πλησιάσαντας, οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς παρόντας φράσειεν ἢ δι᾽ ἐπιστολῆς δηλώσειεν, [4]οὐδ᾽ ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγη-

[1] ΦΙΛΙΠΠΩΙ ΤΩΙ ΤΩΝ ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙ A. C. L. [2] διειλέχθην A. [3] σῶν om. A. C. L. [4] οὔθ᾽ A. C. L.

Πλεύσας ἐνταῦθα] Conjecturæ meæ mihi non satis placent, sive πλησιάσας ταῦτα, sive ἐντυχὼν ἐν ταὐτῷ, substituam. Wolf. Dubium est, an referendum sit ἐνταῦθα ad πλεύσας et explicandum per *istuc*, an transferendum, *coram, in præsentia*, et conjungendum cum διελέχθην. Prius Matthæi, posterius Wolf. [Augerus, Coraes] fecit. Lang.

Προαπείρηκα] *ante sum viribus destitutus, prius despondi animum*, i. e. senio sum laboribusque confectus. Wolf.

Τὰ δὲ — εἴληφεν] Scil. πράγματα. *res vero, nunc ut gerantur, vigorem acceperunt*, i. e. ipsa jam adest rerum gerendarum summa occasio. Idem.

Ἐκ τῶν παρόντων] *ut fieri potest ex præsentibus*, i. e. ut et ætas mea et locorum intervalla et tempora hæc patiuntur. Idem.

Διαφέρει] *interest.* Lang.

Τῶν μὲν — τῶν δ᾽] Τῶν λεγομένων — τῶν γεγραμμένων. Cor.

Εἰσηγημάτων — ποιημάτων] Εἰσηγήματα sunt consultationes et suasiones rerum arduarum, ποιήματα figmenta et fabulæ poetarum; illis ad agendum impellimur, in his præter voluptatem nihil fere spectamus. Lang.

μάτων τῶν δ' ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν· [1] ἔτι δὲ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις ἤν ἀγνοηθῇ τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν ἀμφοτέροις τούτοις ἐπήμυνεν, ἐν δὲ τοῖς ἐπιστελλομένοις [2] καὶ γεγραμμένοις [3] ἤν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώσων· ἀπόντος γὰρ τοῦ γράψαντος ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν ἀλλ', ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτὴς, πολλὰς ἐλπίδας ἔχω φανήσεσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων· ἡγοῦμαι γὰρ ἁπάσας [4] ἀφέντα σε [5] τὰς δυσχε-
b ρείας τὰς προειρημένας αὐταῖς ταῖς πράξεσι [6] προσέξειν τὸν νοῦν.

γ'. Καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιασάντων ἐκφοβεῖν ἐπεχείρησαν, λέγοντες ὡς [7] σὺ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. ἐγὼ δ', εἰ μὲν ἀπεδεχόμην τοὺς λόγους [8] τούτους ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον· νῦν δ' οὐδεὶς ἄν με πείσειεν ὡς οἷόν τ' ἐστὶ τοσοῦτον καὶ τῇ γνώμῃ καὶ [9] ταῖς πράξεσι διενεγκεῖν, ἐὰν μή τις τῶν μὲν μαθητὴς τῶν δ' ἀκροατὴς τῶν δ' [10] εὑρετὴς
c γένηται, καὶ πανταχόθεν [11] προσαγάγηται καὶ συλλέξηται δι' ὧν οἷόν τ' ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ διάνοιαν. ἐπήρθην μὲν οὖν ἐπιστέλλειν σοι διὰ ταῦτα.

δ'. Λέγειν δὲ [12] μέλλω περὶ μεγάλων [13] πραγμάτων καὶ περὶ ὧν οὐδενὶ τῶν [14] ζώντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ· [15] προσήκει. καὶ μὴ νόμιζέ με προθύμως οὕτω σε παρακαλεῖν, ἵνα γένῃ συγγράμματος ἀκροατής. οὐ γὰρ οὔτ' ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος [16] πρὸς τὰς ἐπιδείξεις, οὔτε σὺ

[1] ἀλλὰ πρὸς A. C. L. [2] καὶ γεγραμμένοις om. A. C. L. [3] ἂν A. C. L. [4] ἀφελόντα A. C. L. [5] τὰς προειρημένας δυσχερείας A. L. [6] προσέχειν A. L. [7] δὴ A. [8] τοὺς A. C. L. [9] ταῖς πράξεσι καὶ τῇ γνώμῃ A. C. L. [10] εὐεργέτης A. C. L. [11] προσάγηται A. L. [12] μέλλων A. C. L. [13] πραγμάτων καὶ μεγάλων A. L. πραγμάτων [πολλῶν] καὶ μεγάλων C. [14] ὄντων A. C. L. [15] προσήκει, νομίζω δεῖν με A. C. L. [16] πρὸς τὰς ἐπιδείξεις om. A. C. L.

Ἐπήμυνεν] Pro ἐπαμύνει, vel ἐπαμύνειν εἴωθε. Wolf.

Ἔρημα] Subaudi τὰ ἐπιστελλόμενα. Auger.

Καίτοι τινὲς κ. τ. λ.] Callide tribuit aliis Isocrates, quæ fortasse ipse cogitabat. Matthiæ.

Δι' ὧν] Scil. πραγμάτων. Wolf. Scil. ἀνθρώπων. Lang.

Ἐπήρθην] *impulsus sum*. Ducta est metaphora a vento, qui ἐπαίρων τὰ ἱστία navem promovet. Matth.

Συγγράμματος] Sensus: ut scriptam orationem eodem studio eademque attentione legas, qua audiri solet oratio, quum habetur et oratoris idonea actione commendatur. Matth. Cæterum post συγγράμματος idem bene supplet οὐκ ἐπιδείξεως, quod in textu desideratur et quod adesse malim. Deest enim ad quod τῶν τοιούτων in seqq. referri possit. Cf. or. ad Phil. §. ι'. Lang.

λανθάνεις ἡμᾶς [1] ἤδη πλήρης ὢν τῶν τοιούτων. πρὸς δὲ τού-
τοις κἀκεῖνο πᾶσι φανερὸν, ὅτι τοῖς μὲν ἐπιδείξεως δεομένοις d
αἱ πανηγύρεις ἁρμόττουσιν — [2] ἐκεῖ γὰρ ἄν τις ἐν πλεί-
στοις τὴν αὑτοῦ δύναμιν διασπείρειε —, τοῖς δὲ διαπράξα-
σθαί τι βουλομένοις πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα
μέλλει τὰς πράξεις ἐπιτελεῖν τὰς ὑπὸ τοῦ λόγου δηλωθεί-
σας. εἰ μὲν οὖν μιᾷ τινὶ τῶν πόλεων εἰσηγούμην, πρὸς τοὺς
ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην· ἐπειδὴ δ'
ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας παρεσκεύασμαι συμβου- e
λεύειν, πρὸς τίν' ἂν δικαιότερον διαλεχθείην ἢ πρὸς τὸν πρω-
τεύοντα τοῦ γένους καὶ μεγίστην ἔχοντα δύναμιν; 406

ε'. Καὶ μὴν οὐδ' ἀκαίρως φανησόμεθα μεμνημένοι περὶ
τούτων. ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ
ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέ-
τερον, οὐδὲ τούτοις ἐναντία [3] πράττειν ἅμα καὶ Καρχη-
δονίοις πολεμεῖν. ἐπειδὴ δὲ Καρχηδόνιοι μὲν οὕτω πράττου-
σιν, ὥστ' ἀγαπᾶν ἢν τὴν χώραν τὴν αὑτῶν ἔχωσιν, ἡ δ'
411 ἡμετέρα πόλις ἡδέως ἂν αὐτήν σοι παράσχοι [4] συναγωνι-
ζομένην, [5] εἴ τι πράττοις ὑπὲρ τῆς Ἑλλάδος ἀγαθὸν, πῶς
ἂν παραπέσοι καλλίων καιρὸς τοῦ νῦν σοι παρόντος; b

ς'. Καὶ μὴ [6] θαυμάσῃς, εἰ μήτε δημηγορῶν μήτε στρα-
τηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς [7] αἴρομαι
πρᾶγμα, καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς
Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν. ἐγὼ γὰρ τοῦ μὲν
πράττειν τι τῶν κοινῶν εὐθὺς ἐξέστην — δι' ἃς δὲ προφά-
σεις, πολὺ ἂν ἔργον [8] εἴη λέγειν —, τῆς δὲ παιδεύσεως
τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλων ἐφι- c
κνεῖσθαι πειρωμένης, οὐκ ἂν φανείην [9] ἄμοιρος γεγενημένος.

[1] ἤδη om. A. C. L.
[2] ἐκεῖσε A. C. L.
[3] πράττειν - - - Καρχηδόνιοι μὲν] πράττειν. νῦν δὲ A. L. πράττειν. ἀλλὰ νῦν Λακεδαιμόνιοι μὲν C.
[4] συναγωνισομένην C.
[5] ἤν τι πράττῃς ὑ. τ. Ἑ. ἀγαθόν. πῶς οὖν ἂν A. C. L.
[6] θαυμάζῃς A. L.
[7] αἱροῦμαι A. C. L.
[8] εἴη ἔργον A. C. L.
[9] ἄπειρος A. C. L.

Τοῦ γένους] Propter antecedentia necessario intelligendum est Ἑλληνικοῦ, nec referendum ad generis nobilitatem; contextus enim postulat *Græci*, non *sui*, *generis principem*. Lang. Τοῦ τῶν Ἑλλήνων δηλονότι. Cor.

Τὴν ἀρχὴν εἶχον] I. e. ante pugnam Leuctricam. Cf. or. ad Phil. §. ιε'. ιθ'. Lang.

Ἐμβριθὲς — πρᾶγμα] *rem gravem.* Idem.

Εὐθὺς ἐξέστην] *statim abstinui.* Cf. Dionys. Hal. de Isocr. §. α'. Idem.

Τῶν μὲν μικρῶν] I. e. Sophistarum rixas eorumque in minutis rebus studium. Matth.

ὥστ᾽ οὐδὲν ἄτοπον, εἴ τι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυνηθείην τῶν [1]εἰκῇ μὲν πολιτευομένων, μεγάλην δὲ δόξαν [2]εἰληφότων. δηλώσομεν δ᾽ οὐκ εἰς ἀναβολὰς εἴ τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ᾽ ἐκ τῶν ῥηθήσεσθαι μελλόντων.

[1] ἐκεῖ A. L. [2] ἐσχηκότων A. C. L.

Ἄτοπον] I. e. παράδοξον. Lang.

Οὐκ εἰς ἀναβολὰς] *non in moras*, i. e. quam primum, nulla mora interposita. Wolf.

Ἐκ τῶν ῥηθήσεσθαι μελλ.] Ex oratione, quam tibi misi. Verte: *declarabimus autem tibi, an alicujus pretii simus, non mora interposita, sed statim oratione quam tibi misimus.* Lang.

B.

[1]ΦΙΛΙΠΠΩΙ.

Pag. ed. H. Steph. — Pag. ed. Cor.

406 α΄. ΟΙΔΑ μὲν ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς 412
ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, ἄλλως τε [2]κἂν μὴ κελευ-
407 σθεὶς ἐπιχειρῇ [3]τις τοῦτο ποιεῖν. ἐγὼ δ᾽, εἰ μὲν μὴ [4]καὶ πρότερον ἐτύγχανόν σοι παρῃνεκὼς μετὰ πολλῆς εὐνοίας, ἐξ ὧν ἐδόκεις μοι τὰ πρέποντα [5]μάλιστ᾽ ἂν σαυτῷ πράττειν, [6]ἴσως οὐδ᾽ ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων. ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων Ἑλλήνων, αἰσχυνθείην ἂν, εἰ περὶ μὲν τῶν ἧττον ἀνα-
b γκαίων φαινοίμην σοι συμβεβουλευκὼς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπειγόντων μηδένα λόγον ποιοίμην, καὶ [7]ταῦτ᾽ εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ᾽ ὑπὲρ τῆς σωτηρίας· ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκούσασι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας.

β΄. Οὐδεὶς γάρ ἐστιν ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον, καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρίαν ἐπαίνων ἢ τῶν ὅλων πραγμάτων. ἔστι δ᾽ ὁμοίως αἰσχρὸν περιστάντων τε τῶν πολεμίων μὴ διαφέροντα γε-

[1] ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] καὶ ἂν A. C. L. [3] τις ἐπιχείρῃ A. C. L. [4] καὶ om. A. [5] μάλιστα τὰ πρέποντα σαυτῷ A. C. L. [6] οὐκ ἂν ἴσως γε νῦν A. [7] ταυτί πως ἐκεῖνα A. L.

Ὑπὲρ τῆς σωτηρίας] Ἴσως· ὑπὲρ τῆς σῆς σωτηρίας, ἢ γοῦν, ὑπὲρ σωτηρίας. Cor.

Προπετέστερον] Cf. Dem. pro Cor. §. κα΄. Diod. Sic. l. xvi. p. 108. 30. et Justin.

νέσθαι τῶν ἄλλων, μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης αὐ-
τὸν [1] ἐμβαλεῖν εἰς τοιούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν
οὐδὲν [2] ἂν ἦσθα μέγα διαπεπραγμένος, τελευτήσας δὲ τὸν
βίον ἅπασαν [3] ἂν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες.
χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέ-
μοις τελευτὰς, ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ τῶν
γονέων καὶ τῶν παίδων ἐπαίνων ἀξίας, τὰς δὲ ταῦτά τε d
πάντα βλαπτούσας καὶ τὰς πράξεις τὰς πρότερον κατωρ-
413 θωμένας καταρυπαινούσας αἰσχρὰς νομίζειν, καὶ φεύγειν
ὡς [4] αἰτίας πολλῆς ἀδοξίας γιγνομένας.

γʹ. Ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις,
ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. ἅπασαι γὰρ,
ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ
[5] βουλευσόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθι-
στάναι. διὸ δὴ [6] συμβαίνει μηδεμιᾶς ἀτυχίας συμπεσούσης e
ἀνῃρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν, ἀλλὰ πολλὰς ὑποφέ-
ρειν δύνασθαι συμφορὰς καὶ πάλιν ἑαυτὰς ἐκ τούτων ἀνα-
λαμβάνειν. ὃ καὶ σὲ δεῖ σκοπεῖν, καὶ μηδὲν μεῖζον ἀγαθὸν
τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμ-
βαινούσας κατὰ τρόπον διοικῇς [7] καὶ τὰς ἀτυχίας τὰς 408
συμπιπτούσας ἐπανορθοῦν δύνῃ. ἴδοις δ' ἂν καὶ Λακεδαιμο-
νίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν
ποιουμένους, καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας
αὐτῶν [8] καθιστάντας, οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαν-
τας περιιδεῖν ἢ τὰς ἀσπίδας ἀποβαλεῖν. ἀλλὰ μὴν οὐδ'
ἐκεῖνά σε λέληθεν, ἃ Ξέρξῃ τε τῷ καταδουλώσασθαι τοὺς
Ἕλληνας βουληθέντι καὶ Κύρῳ [9] τῷ τῆς βασιλείας ἀμ-
φισβητήσαντι συνέπεσεν· ὁ μὲν γὰρ τηλικαύταις ἥτταις b
καὶ συμφοραῖς περιπεσὼν, ἡλίκας οὐδεὶς οἶδεν [10] ἄλλοις γενο-
μένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν [11] τήν τε βασι-
λείαν κατέσχε καὶ τοῖς παισὶ τοῖς αὑτοῦ παρέδωκε καὶ

[1] ἐμβάλλειν A. C. L. [2] ἂν om. A. L. [3] ἂν om. A. C. L. [4] αἰτίους ἀδοξίας A. C. L. [5] συμβουλευόμενον A. C. L. [6] καὶ συμβαίνει μηδὲ μιᾶς A. C. L. [7] καὶ τὰς - - - δύνῃ om. A. C. L. [8] καταστάντας A. [9] τῷ om. A. L. [10] ἄλλος οἶδε A. L. ἄλλοις οἶδε C. [11] καὶ τήν L.

vii. 6. ix. 3. Lang.

Καταρυπαινούσας] *labem adspergentes.* Idem.

Μηδεμιᾶς] F. leg. μηδαμῶς. Matth.

F. leg. καὶ μὴ συμβαίνει μηδὲν, vel inverso ordine μηδὲ συμβαίνει. Lang.

Κύρῳ] *Cyro* minori in bello contra fratrem Artaxerxem. Idem.

τὴν Ἀσίαν οὕτω διῴκησεν ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι
φοβερὰν [1] τοῖς Ἕλλησιν ἢ πρότερον· Κῦρος δὲ νικήσας ἅπα-
σαν τὴν βασιλέως δύναμιν καὶ κρατήσας τῶν πραγμάτων
διὰ τὴν αὑτοῦ προπέτειαν οὐ μόνον αὑτὸν ἀπεστέρησε τη-
c λικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς [2] συνακολουθήσαντας
εἰς τὰς ἐσχάτας συμφορὰς κατέστησεν. ἔχοιμι δ' ἂν παμ-
πληθεῖς εἰπεῖν, οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενό-
μενοι διὰ τὸ προδιαφθαρῆναι πολλὰς μυριάδας αὑτοῖς συν-
απώλεσαν.

δ'. Ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾷν τὴν ἀνδρίαν τὴν
μετ' ἀνοίας [3] ἀλογίστου καὶ φιλοτιμίας ἀκαίρου γιγνομέ-
νην, μηδὲ πολλῶν κινδύνων [4] ἰδίων ὑπαρχόντων ταῖς μοναρ-
χίαις ἑτέρους ἀδόξους καὶ στρατιωτικοὺς αὑτῷ προσεξευρί-
d σκειν, μηδ' ἁμιλλᾶσθαι τοῖς ἢ βίου δυστυχοῦς ἀπαλλαγῆναι 414
βουλομένοις ἢ μισθοφορᾶς ἕνεκα μείζονος εἰκῇ τοὺς κινδύνους
προαιρουμένοις, μηδ' ἐπιθυμεῖν τοιαύτης δόξης ἧς πολλοὶ καὶ
τῶν [5] Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν, ἀλλὰ τῆς
τηλικαύτης τὸ μέγεθος ἣν μόνος ἂν σὺ τῶν νῦν ὄντων κτήσα-
σθαι δυνηθείης· μηδ' ἀγαπᾷν λίαν τὰς τοιαύτας ἀρετὰς ὧν
καὶ τοῖς φαύλοις μέτεστιν, ἀλλ' ἐκείνας ὧν οὐδεὶς ἂν πονηρὸς
e κοινωνήσειε· μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς,
ἐξὸν ἐντίμους καὶ [6] ῥᾳδίους, μηδ' ἐξ ὧν τοὺς μὲν οἰκειο-
τάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ'
ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις [7] ποιήσεις, οἵας καὶ νῦν αὐτοῖς
345 παρέσχες· ἀλλὰ τῶν μὲν βαρβάρων, πρὸς οὓς νῦν πολεμεῖς,
ἐπὶ τοσοῦτον ἐξαρκέσει [8] σοι κρατεῖν ὅσον ἐν ἀσφαλείᾳ κα-
ταστῆσαι τὴν σαυτοῦ χώραν, τὸν δὲ νῦν Μέγαν προσαγο-
ρευόμενον καταλύειν ἐπιχειρήσεις, ἵνα [9] τὴν σαυτοῦ δόξαν
μείζω ποιήσῃς καὶ τοῖς Ἕλλησιν [10] ὑποδείξῃς πρὸς ὃν χρὴ
πολεμεῖν.

[1] τοῖς Ἕλλησιν om. A. L. [2] συνακολουθοῦντας A. C. L. [3] ἀλογίστου om. A. C. L. [4] ἰδίων om. A. C. L. [5] ἄλλων Ἑλλήνων A. C. L. [6] ἡδίους A. C. L. [7] ποιήσεις om. A. C. L. [8] σοι om. A. [9] τήν τε A. C. L. [10] ἐπιδείξῃς πρὸς οὓς A. C. L.

Διὰ τὴν αὑτοῦ προπέτειαν] Cf. or. ad Phil. §. λζ. et Diod. Sic. l. xiv. p. 659. Idem.

Στρατιωτικοὺς] Pericula *gregarii militis*. Idem.

Ἐξὸν] *quum liceat*, intellige ποιεῖσθαι. Idem.

Καταστήσεις] Np. temeritate tua. Idem.

Πρὸς οὓς νῦν πολεμεῖς] Sermo est de Illyriis, Paeonibus, Thracibus, Scythis, et finitimis populis. Idem.

Μεγάν] Scil. βασιλέα, i. e. regem Persarum. Wolf.

έ. Πρὸ πολλοῦ δ᾽ ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα
πρὸ τῆς στρατείας, ἵν᾽, εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κιν-
δύνῳ [1] περιέπεσες, εἰ δ᾽ [2] ἠπίστησας, μὴ ἐγὼ συμβουλεύειν b
ἐδόκουν ταῦτα τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνω-
σμένοις, ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρτύρει τοὺς λόγους ὀρθῶς
ἔχειν τοὺς ὑπ᾽ ἐμοῦ περὶ αὐτῶν εἰρημένους.
ς΄. Πολλὰ δ᾽ ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν,
παύσομαι λέγων· οἶμαι γὰρ καὶ σὲ καὶ τῶν ἑταίρων τοὺς
σπουδαιοτάτους ῥᾳδίως, ὁπόσ᾽ ἂν βούλησθε, τοῖς εἰρημένοις
προσθήσειν. πρὸς δὲ τούτοις φοβοῦμαι τὴν [3] ἀκαιρίαν· καὶ
γὰρ νῦν κατὰ μικρὸν προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπι- c
στολῆς συμμετρίαν ἀλλ᾽ εἰς λόγου μῆκος ἐξοκείλας.
ζ΄. Οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οὐ πα-
ραλειπτέον ἐστὶ τά γε περὶ τῆς πόλεως, ἀλλὰ πειρατέον
παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ [4] τὴν χρῆσιν αὐ-
τῆς. οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἀπαγγέλλοντας καὶ λέ-
γοντας οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ σοῦ παρ᾽ ἡμῖν
415 εἰρημένων, ἀλλὰ καὶ παρ᾽ αὑτῶν προστιθέντας· οἷς οὐκ
εἰκὸς προσέχειν σε τὸν νοῦν. καὶ γὰρ ἂν [5] ἄτοπον ποιοίης, εἰ
τὸν μὲν δῆμον τὸν ἡμέτερον ψέγοις ὅτι ῥᾳδίως πείθεται τοῖς d
διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο πιστεύων τοῖς τὴν τέχνην
ταύτην ἔχουσι, καὶ [6] μὴ γιγνώσκοις ὡς ὅσῳ περ ἂν τὴν
πόλιν εὐαγωγοτέραν ὑπὸ τῶν τυχόντων οὖσαν [7] ἀποφαίνωσι,
τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύ-
ουσιν. εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τ᾽ ὄντες ποιῆσαι δια-
πράττονται τοῖς λόγοις [8] ὅ τι ἂν βουληθῶσιν, ἦ πού σέ γε
προσήκει τὸν πλεῖστ᾽ ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι μη- e
δενὸς [9] ἀποτυχεῖν παρ᾽ ἡμῶν.

[1] περιπεσεῖν A. L. [2] ἠπείθησας A. C. ἠπείσθησας L. [3] ἀκρίβειαν A. C. L. [4] τὴν om. A. C. L. [5] ἄτοπον ἂν A. C. L. [6] μὴν γινώσκεις A. L. [7] ἀποφαίνονται A. C. L. [8] ἃ ἂν A. C. L. [9] ἀτυχεῖν A. C. τυχεῖν L.

Ἠπίστησας] Ἀπιστεῖν ἀντὶ τοῦ ἀπειθεῖν. Ἰσοκράτης ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φίλιππον. HARPOCRAT.

Διὰ τὸ πάθος] *propter eventum.* Sensus: ut eventus sermonis mei veritatem declararet. LANG.

Ἐξοκείλας] Verte: *nam dum progredior paulatim, non animadverti me, neglecta epistolæ brevitate, in justæ orationis prolixitatem incidisse.* Nota, ἐξοκείλας εἰς ἐπιστολῆς συμμετρίαν non dici posse, et aliud verbum idoneum [scil. προβὰς (inquit Coraes) ἢ προχωρήσας, ἢ ἕτερόν τι τοιοῦτον] intelligi oportere. IDEM.

Περὶ τῆς πόλεως] Intellige τῆς ἐμαυτοῦ. IDEM.

Χρῆσιν] Φιλίαν. COR.

Τὴν τέχνην] Τοῦ διαβάλλειν δηλονότι. IDEM.

η΄. Ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως
410 [1]ἡμῶν κατηγοροῦντας ἐκείνους [2]ἀντιτάττεσθαι τοὺς πάντα
τε ταῦτ᾽ εἶναι λέγοντας, καὶ τοὺς μήτε μεῖζον μήτ᾽ ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας. ἐγὼ δὲ οὐδὲν ἂν εἴποιμι τοιοῦτον. αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν [3]ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων αὐτὸς τολμῴην λέγειν ὡς οὐδὲν [4]πώποθ᾽ ἡ πόλις ἡμῶν πεπλημμέληκεν. οὐ μὴν ἀλλ᾽ ἐκεῖν᾽ [5]ἔχω περὶ αὐτῆς εἰπεῖν, ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις ταύτης οὔτε τοῖς Ἕλλησιν οὔτε τοῖς [6]σοῖς πρά-
b γμασιν· ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστίν. οὐ μόνον γὰρ ἂν συναγωνιζομένη γίγνοιτ᾽ ἂν αἰτία σοι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ φιλικῶς ἔχειν δοκοῦσα [7]μόνον· τούς τε γὰρ ὑπὸ [8]σοὶ νῦν ὄντας ῥᾷον ἂν [9]κατέχοις, εἰ μηδεμίαν ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουληθείης θᾶττον ἂν καταστρέψαιο. καίτοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας, δι᾽ [10]ἣν οὐ μόνον τὴν ὑπάρχουσαν
c [11]ἀρχὴν ἀσφαλῶς καθέξεις, ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσῃ; θαυμάζω δ᾽ ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων τὰ μὲν τῶν ξενιτευομένων στρατόπεδα μισθοῦνται καὶ χρήματα πολλὰ [12]δαπανῶσι, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν [13]πιστευσάντων αὐτοῖς ἢ σέσωκε, τὴν δὲ πόλιν τὴν τηλικαύτην δύναμιν κεκτημένην μὴ πειρῶνται θεραπεύειν, ἣ καὶ [14]μίαν ἑκάστην τῶν πόλεων καὶ [15]σύμπασαν
d τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν. ἐνθυμοῦ δ᾽ ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι 416
Θετταλοῖς καὶ συμφερόντως ἐκείνοις, ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γίγνεσθαί [16]σε τοιοῦτον, ἐπιστάμενον ὅτι τὴν μὲν χώραν Θετταλοί, τὴν δὲ δύ-

[1] ἡμῶν om. A. C. L. [2] ἀντιτάττειν τοὺς πάντα γε ταύτης A. C. L.
[3] μὲν ἄλλων A. C. L. [4] πώποτε πεπλημμελήκαμεν A. C. L. [5] [γ᾽] ἔχω C.
[6] σοῖς om. A. C. L. [7] μόνον δοκοῦσα A. C. L. [8] σοῦ A. L.
[9] κατάσχοις οὕτως, εἰ A. [10] ἧς A. C. L. [11] ἰσχὺν A. C. L.
[12] δαπανῶνται A. C. L. [13] πιστευόντων A. [14] πόλιν μίαν ἑκάστην καὶ A. C. L.
[15] ξύμπασαν A. L. [16] σε om. A. C. L.

Ἀναμαρτήτους] *sine erroribus*, ut docet oppositum πλημμελεῖν. LANG.

Οὓς βουληθ.] F. οὓς ἂν βουληθ. MATTH.

Τῶν ξενιτευομένων] Τῶν μισθοῦ στρατευομένων. COR. Cf. or. ad Phil. §. ν΄.

Ἠδίκηκε] Scil. τὰ τῶν ξενιτευομένων στρατόπεδα. WOLF.

Θετταλοῖς] Vid. Diod. Sic. xvi. 14. LANG.

Εὐμεταχειρίστοις] *tractabilibus*. IDEM.

ναμιν ἡμεῖς ὅμορόν σοι τυγχάνομεν ἔχοντες· ἣν ἐκ παντὸς τρόπου ζήτει [1]προσαγαγέσθαι. πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν ἢ τὰ τείχη. τὰ μὲν e
γὰρ [2]τοιαῦτα τῶν ἔργων οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν· ἢν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν [3]ἐπαινέσονται.

θ'. Δικαίως δ' ἂν μοι πιστεύοις οἷς εἴρηκα περὶ τῆς πόλεως· φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν ἐν τοῖς λόγοις 411
εἰθισμένος, ἀλλὰ πλεῖστα πάντων ἐπιτετιμηκὼς, οὔτ' [4]εὖ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμάζουσι [5]φερόμενος, ἀλλ' ἀγνοούμενος ὑπ' αὐτῶν καὶ φθονούμενος ὥσπερ σύ. πλὴν [6]τοσοῦτον διαφέρομεν, ὅτι πρὸς σὲ μὲν διὰ τὴν δύναμιν καὶ [7]τὴν εὐδαιμονίαν οὕτως ἔχουσι, πρὸς ἐμὲ δὲ, διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν, καὶ πλείους [8]ὁρῶσιν ἐμοὶ διαλέγεσθαι βουλομένους ἢ σφίσιν αὐτοῖς. [9]ἠβουλόμην δ' ἂν ἡμῖν [10]ὁμοίως ῥᾴδιον εἶναι τὴν δόξαν, ἣν ἔχομεν παρ' αὐτοῖς, διαφεύγειν. νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς, [11]ἢν βουληθῇς, αὐτὴν διαλύσεις, ἐμοὶ δὲ ἀνάγκη καὶ διὰ τὸ γῆρας καὶ δι' ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν.

ι'. [12]Οὐκ οἶδ' ὅτι πλείω δεῖ λέγειν, πλὴν τοσοῦτον, ὅτι [13]καλόν ἐστι τὴν βασιλείαν καὶ τὴν εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν [14]παρακαταθέσθαι τῇ τῶν Ἑλλήνων [15]εὐνοίᾳ.

[1] προσάγεσθαι A. C. L. [2] τοιαῦτα τῶν ἔργων om. A. C. L. [3] ἐπαινέσουσι A. C. L. [4] αὖ A. C. L. [5] εὖ φερόμενος A. [6] τοῦτον A. C. L. [7] τὴν εὐδαιμονίαν καὶ τὴν δύναμιν A. C. L. [8] ὁρῶσί μοι A. C. L. [9] ἐβουλόμην A. L. [10] ὁμογνωμόνως A. C. L. [11] ἂν A. C. L. [12] Ὥστ' οὐκ A. C. L. [13] καλόν om. A. C. L. [14] παρακατατίθεσθαι A. C. L. [15] εὐδαιμονίᾳ καὶ εὐνοίᾳ A. C. L.

Οἷς] Pro ἐν τούτοις οἷς, quia præcessit μοί. Idem.

Ἀγνοούμενος] Κακῶς γινωσκόμενος καὶ κρινόμενος. Cor. Cf. Panath. §. γ'.

Προσποιοῦμαι] *quod præ me fero et hoc vendico, me illis sapientiorem esse*, i. e. utinam ego tam facile possem, quam tu, et tu ita velles, ut ego, effugere calumnias. Wolf. Ἴσως· προσποιοῦμαί τι βέλτιον. Cor.

Σφίσιν αὐτοῖς] Intellige sophistas.

Ὑμῖν] Scil. σοὶ καὶ Ἀλεξάνδρῳ, καὶ τοῖς ἄλλοις Μακεδόσι. Wolf. Ἀντὶ τοῦ σοὶ, τουτέστι τῷ Φιλίππῳ. Cor.

Γ.

[1]ΦΙΛΙΠΠΩΙ.

Pag. ed. H. Steph. — Pag. ed. Cor.

411 α'. ΕΓΩ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον περί τε 417
τῶν τῇ [1]πόλει [2]καὶ τῶν σοὶ συμφερόντων ἐξαρκούντως, ὡς ἐμαυτὸν ἔπειθον· [3]ἠβουλήθην δὲ καὶ πρὸς σὲ [4]γράψαι περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην, παραπλήσια τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις, πολὺ δ' ἐκείνων συντομώτερα.

β'. Κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον ὡς χρὴ διαλλάξαντά σε [5]τὴν πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν Ἀργείων, εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας, ἡγούμενος, ἐὰν τὰς [6]προεστώσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακο-
412 λουθήσειν. τότε μὲν οὖν ἄλλος ἦν καιρός· νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν. διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν, καὶ τούτων ἐπιθυμεῖν ὧν [7]ὑπονοοῦσί σε βούλεσθαι πράττειν, καὶ λέγειν ὡς δεῖ παυσαμένους τῆς μανίας καὶ τῆς πλεονεξίας, ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν.

γ'. [8]Καὶ πολλοὶ πυνθάνονται παρ' ἐμοῦ, πότερον ἐγώ
b σοι παρῄνεσα [9]ποιεῖσθαι τὴν στρατείαν [10]τὴν ἐπὶ τοὺς βαρβάρους, ἢ σοῦ διανοηθέντος συνεῖπον· ἐγὼ δ' οὐκ εἰδέναι μέν φημι τὸ σαφὲς — οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον —, οὐ μὴν ἀλλ' οἴεσθαι σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις. ταῦτα δ' ἀκούοντες ἐδέοντό μου [11]πάντες παρακελεύεσθαί σοι καὶ προτρέπειν ἐπὶ

[1] ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] πόλει συμφερόντων καὶ σοὶ A. C. L. [3] ἐβουλήθην A. L. [4] γράψαι καὶ πρὸς σε A. C. L. [5] τήν τε A. C. L. [6] προεχούσας A. C. L. [7] ἐπινοούμην A. L. ἐπινοοῦσι C. [8] Πρὸς δὲ τούτοις κἀκεῖνο πολλοὶ παρ' ἐμοῦ πυνθάνονται A. C. L. [9] ποιῆσαι A. C. L. [10] τὴν om. A. C. L. [11] πάντες om. A. C. L.

Ἀντίπατρον] Qui finito de Amphipoli bello legatus Athenas missus est. Lang. Cf. or. ad Phil. §. γ'.

Τοὺς Ἕλληνας] Vid. or. ad Phil. §. ια'. Lang.

Τὸν ἀγῶνα] Fortasse ad sacri belli confectionem pertinet, post quod Philippus potentissimus evasit. Idem.

τῶν αὐτῶν τούτων μένειν, ὡς οὐδέποτ᾽ ἂν γενομένων οὔτε
καλλιόνων ἔργων οὔτε ὠφελιμωτέρων τοῖς Ἕλλησιν οὔτ᾽ ἐν c
καιρῷ μᾶλλον πραχθησομένων.

418 δ΄. Εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν ἥνπερ πρότερον,
καὶ μὴ παντάπασιν ἦν ἀπειρηκὼς, οὐκ ἂν δι᾽ ἐπιστολῆς διε-
λεγόμην, ἀλλὰ παρὼν [1] αὐτὸς παρώξυνον ἄν σε καὶ παρε-
κάλουν ἐπὶ τὰς πράξεις ταύτας. νῦν δ᾽ ὡς δύναμαι παρα-
κελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπι-
θῇς αὐτοῖς. ἔστι δὲ πρὸς μὲν ἄλλο τι τῶν [2] δεόντων ἀπλή-
στως ἔχειν οὐ καλὸν — αἱ γὰρ μετριότητες παρὰ τοῖς d
πολλοῖς εὐδοκιμοῦσι —, δόξης δὲ μεγάλης καὶ καλῆς ἐπι-
θυμεῖν καὶ μηδέποτ᾽ ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν
ἄλλων διενεγκοῦσιν· ὅπερ σοὶ συμβέβηκεν. ἡγοῦ δὲ τόθ᾽
ἕξειν ἀνυπέρβλητον [3] αὐτὴν καὶ τῶν σοὶ πεπραγμένων
ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν τοῖς
Ἕλλησι, πλὴν τῶν σοὶ [4] συναγωνισαμένων, τὸν δὲ βασιλέα
τὸν νῦν Μέγαν προσαγορευόμενον ποιήσῃς τοῦτο πράττειν
[5] ὅ τι ἂν σὺ προστάττῃς. ταῦτα δὲ κατεργάσασθαι πολὺ e
ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων, ἢ προελθεῖν ἐπὶ τὴν δύνα-
μιν καὶ τὴν δόξαν, ἣν [6] νῦν ἔχεις, [7] ἐκ τῆς βασιλείας τῆς
ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης· [8] οὐδὲν γὰρ ἔσται λοιπὸν ἔτι
πλὴν θεὸν γενέσθαι. χάριν δ᾽ ἔχω τῷ γήρᾳ ταύτην μόνην, 413
ὅτι προήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ᾽ ἃ νέος ὢν διενο-
ούμην καὶ γράφειν ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ λόγῳ
καὶ τῷ πρὸς σὲ πεμφθέντι, [9] ταῦτα νῦν τὰ μὲν ἤδη γιγνό-
μενα διὰ τῶν σῶν ἐφορῶ πράξεων, τὰ δ᾽ ἐλπίζω γενήσεσθαι.

[1] νῦν αὐτὸς A. C. L. [2] ὄντων A. C. L. [3] αὐτὴν ἀνυπέρβλητον A. C. L. [4] συναγωνιζομένων A. C. L. [5] ὃ ἂν A. C. L. [6] νῦν om. A. L. [7] παρὰ A. C. L. [8] οὐδὲ A. L. [9] τούτων ἤδη τὰ μὲν νῦν γιγν. A. C. L.

Δόξης δὲ μεγάλης] Cf. Dionys. Hal. in Hypoth. or. ad Phil. Idem.

Εἱλωτεύειν] *servire*. Cf. Paneg. §. λς΄. Idem.

Πολὺ ῥᾷόν ἐστιν κ. τ. λ.] Cf. or. ad Phil. §. μη΄. Idem.

Γιγνόμενα] Ut consentiant Græciæ civitates. Idem.

Γενήσεσθαι] Ut bellum contra Persas geratur. Idem.

Δ.

[1]ΑΝΤΙΠΑΤΡΩΙ.

Pag. ed. H.Steph. — Pag. ed. Cor.

413 α΄. ΕΓΩ, καίπερ [2]κινδύνου παρ᾽ ἡμῖν ὄντος εἰς Μακε- 419
δονίαν πέμπειν ἐπιστολὴν, οὐ μόνον νῦν ὅτε πολεμοῦμεν
πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔσης, ὅμως γράψαι πρὸς
σὲ [3]προειλόμην περὶ Διοδότου, δίκαιον εἶναι νομίζων πάν-
τας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ πεπλησιακό-
τας καὶ γεγενημένους ἀξίους ἡμῶν, οὐχ ἥκιστα δὲ τοῦτον
καὶ διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς καὶ [4]διὰ τὴν ἄλλην ἐπιεί-
κειαν· μάλιστα μὲν οὖν [5]ἐβουλόμην ἂν αὐτὸν συσταθῆναί
[6]σοι δι᾽ ἡμῶν· ἐπειδὴ δὲ δι᾽ ἑτέρων ἐντετύχηκέ σοι, λοιπόν
ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ καὶ βεβαιῶσαι τὴν γεγενη-
μένην αὐτῷ πρὸς σὲ γνῶσιν. ἐμοὶ γὰρ πολλῶν καὶ παντο-
δαπῶν [7]συγγεγενημένων ἀνδρῶν, καὶ δόξας ἐνίων μεγάλας
ἐχόντων, τῶν μὲν ἄλλων ἁπάντων οἱ μέν τινες περὶ [8]αὐτὸν
τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ
γεγόνασιν, οἱ δ᾽ ἐπὶ μὲν τοῦ βίου σώφρονες καὶ χαρίεντες,
πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διαγωγὰς ἀφυεῖς παντά-
πασιν· οὗτος δὲ οὕτως εὐάρμοστον τὴν φύσιν ἔσχεν, ὥστ᾽
ἐν ἅπασι τοῖς εἰρημένοις τελειότατος εἶναι. καὶ ταῦτ᾽ οὐκ
ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐτός
τε εἶχον αὐτοῦ καὶ σὲ λήψεσθαι προσεδόκων, τὰ μὲν αὐτὸν
414 χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν ἐμπείρων
αὐτοῦ πυνθανόμενον. ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειεν,
εἰ μὴ λίαν εἴη φθονερὸς, καὶ εἰπεῖν καὶ βουλεύσασθαι οὐδενὸς
ἧττον αὐτὸν δύνασθαι, καὶ δικαιότατον καὶ σωφρονέστατον

[1] ΙΣΟΚΡΑΤΗΣ ΦΙΛΙΠΠΩΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] ἐπικινδύνου A. C. L. [3] εἱλόμην A. C. L. [4] διὰ om. A. C. L. [5] ἠβουλόμην C. [6] σοι om. A. [7] συγγενομένων A. C. L. [8] αὐτὸν om. A. C. L.

Ὅτε πολεμοῦμεν] Puto scriptam hanc epistolam renovato bello post pacem Amphipolitanam. WOLF.

Πεπλησιακότας] Discipulos. LANG.

Ἐπιείκειαν] *probitatem.* IDEM.

Χαρίεντες] *morum suavitate commendabiles.* WOLF. *probi.* MATTH.

εἶναι καὶ χρημάτων ἐγκρατέστατον, ἔτι [1] δὲ συνημερεῦσαι
καὶ συμβιῶναι ἁπάντων ἥδιστον καὶ λιγυρώτατον, πρὸς δὲ
τούτοις πλείστην ἔχειν παῤῥησίαν, οὐχ ἣν οὐ προσῆκεν,
ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γιγνομένην σημεῖον τῆς
420 εὐνοίας τῆς πρὸς τοὺς φίλους· ἣν τῶν [2] δυναστῶν οἱ μὲν b
ἀξιόχρεων τὸν ὄγκον τὸν τῆς ψυχῆς ἔχοντες τιμῶσιν ὡς
χρησίμην οὖσαν, οἱ δ' ἀσθενέστεροι τὰς φύσεις ὄντες ἢ
κατὰ τὰς ὑπαρχούσας ἐξουσίας δυσχεραίνουσιν, ὡς ὧν οὐ
προαιροῦνταί τι ποιεῖν βιαζομένην αὐτοὺς, οὐκ εἰδότες ὡς
οἱ μάλιστα περὶ τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες,
οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βούλονται
παρασκευάζουσιν. εἰκὸς γὰρ διὰ [3] μὲν τοὺς ἀεὶ πρὸς ἡδονὴν c
λέγειν προαιρουμένους οὐχ ὅπως τὰς μοναρχίας δύνασθαι
[4] διαμεῖναι, αἳ πολλοὺς τοὺς ἀναγκαίους ἐφέλκονται κιν-
δύνους, ἀλλ' οὐδὲ τὰς πολιτείας, αἳ μετὰ πλείονος ἀσφα-
λείας εἰσὶ, [5] διὰ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παῤῥησιαζομένους
πολλὰ [6] σώζεσθαι καὶ τῶν ἐπιδόξων διαφθαρήσεσθαι
πραγμάτων. ὧν ἕνεκα [7] προσῆκε μὲν παρὰ πᾶσι τοῖς μο-
νάρχοις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους
τῶν ἅπαντα μὲν πρὸς χάριν, μηδὲν δὲ χάριτος [8] ἄξιον λε- d
γόντων· [9] συμβαίνει δ' ἔλαττον ἔχειν αὐτοὺς παρ' ἐνίοις
αὐτῶν. ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν [10] περὶ
τὴν Ἀσίαν [11] δυναστῶν, οἷς πολλὰ [12] χρήσιμος γενόμενος
οὐ μόνον τῷ συμβουλεύειν, ἀλλὰ καὶ τῷ πράττειν καὶ κιν-
δυνεύειν, διὰ τὸ παῤῥησιάζεσθαι πρὸς αὐτοὺς περὶ ὧν ἐκείνοις

[1] δὲ καὶ σύμβιον ἅπαντων A. C. L. [2] δυνατῶν A. L. [3] μὲν γὰρ τοὺς A. L. μὲν γὰρ διὰ τοὺς C. [4] ποιεῖν δυνατὰς A. L. ποιεῖν διαμένειν C. [5] δεῖ A. L. [6] σώζειν δύνασθαι A. C. L. [7] προσήκει A. C. L. [8] ἄξιον χάριτος A. C. L. [9] συνέβη A. C. L. [10] κατὰ A. C. L. [11] δυναστευόντων A. C. L. [12] μὲν χρήσιμος A. L. μὲν inclusit C.

Λιγυρώτατον] De elocutione h. l. intelligendum est. Lang. Ἥδιστον ἐν τῷ διαλέγεσθαι, εὐφραδέστατον. Cor.

Ἀξιόχρεων τὸν ὄγκον] *animi magnitudinem principis persona dignam.* Lang.

Ἢ κατὰ τὰς ὑπαρχ. ἐξουσίας] *quam pro imperii majestate.* Wolf.

Ὡς ὧν — αὐτοὺς] Construe: ὡς βιαζομένην (παῤῥησίαν) αὐτοὺς ποιεῖν τι ὧν (pro τούτων ἃ) οὐ προαιροῦνται. Lang.

Περὶ τοῦ συμφέροντος] I. e. ὅταν συμφέρῃ. Wolf. Sententia: Qui regibus contradicunt, quando utilitas regum id postulat, hi potentiam (seu quidvis faciendi potestatem) illorum augent. Lang.

Τὰς πολιτείας] Wolf. recte, opinor, explicat τὰς δημοκρατίας, in quibus, quum assentatores audiuntur, ochlocratia et anarchia locum habent. Cf. de Pace §. β'. Idem.

Πολλὰ — πραγμάτων] Construe: πολλὰ καὶ τῶν πραγμάτων, ἐπιδόξων διαφθαρήσεσθαι, σώζεσθαι. *multa servare posse et ex iis quæ exitio sunt proxima.* Idem.

Παρ' ἐνίοις αὐτῶν] Scil. τῶν μονάρχων. Wolf.

Διὰ τὸ παῤῥησ.] Ante διὰ velim addi ὅμως, vel aliud quid. Auger.

e συνέφερε, καὶ τῶν οἴκοι τιμῶν [1] ἀπεστέρηται καὶ πολλῶν
ἄλλων ἐλπίδων, καὶ μεῖζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώ-
πων κολακεῖαι τῶν εὐεργεσιῶν τῶν τούτου. [2] διὸ δὴ [3] καὶ
πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος ὀκνηρῶς εἶχεν, οὐχ ὡς
415 ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ αὐτὸν ὄντας, ἀλλὰ
διὰ τὰς [4] πρὸς ἐκείνους γεγενημένας δυσχερείας καὶ πρὸς
τὰς παρ' ὑμῶν ἐλπίδας [5] ἀθυμότερος ἦν, παραπλήσιον, [6] ὡς
ἐμοὶ δοκεῖ, πεπονθὼς τῶν πεπλευκότων τισὶν, οἳ [7] τὸ πρῶ-
τον ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαῤῥοῦντες εἰσβαί-
νουσιν εἰς [8] θάλατταν, καίπερ εἰδότες ὅτι καὶ καλοῦ πλοῦ
πολλάκις ἐπιτυχεῖν ἐστίν. οὐ μὴν ἀλλ' ἐπειδὴ συνέστηκέ
b σοι, καλῶς [9] ποιεῖ. λογίζομαι γὰρ αὐτῷ συνοίσειν, μά-
λιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ [10] στοχαζόμενος, ἣν ἔχειν
ὑπείληψαι παρὰ τοῖς ἔξωθεν ἀνθρώποις, ἔπειτα νομίζων
οὐκ ἀγνοεῖν ὑμᾶς ὅτι πάντων ἐστὶν ἥδιστον καὶ [11] λυσιτελέ- 421
στατον [12] πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς
εὐεργεσίαις, καὶ τοὺς τοιούτους εὖ ποιεῖν ὑπὲρ ὧν πολλοὶ
καὶ τῶν ἄλλων ὑμῖν [13] χάριν ἕξουσιν. ἅπαντες γὰρ οἱ
c χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν [14] ἀνδρῶν καλῶς ὁμι-
λοῦντας ὁμοίως ἐπαινοῦσι καὶ τιμῶσιν, ὥσπερ αὐτοὶ τῶν
ὠφελειῶν ἀπολαύοντες.

β'. Ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαι μάλιστά [15] σε
[16] προτρέψασθαι πρὸς τὸ φροντίζειν αὐτοῦ. συνέπειθον δὲ
καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων,
καὶ παραδόνθ' ὑμῖν αὐτὸν ὥσπερ μαθητὴν εἰς [17] τοὔμπροσθε
πειραθῆναι προελθεῖν. ὁ δὲ ταῦτά μου λέγοντος ἐπιθυμεῖν
d μὲν ἔφασκε τῆς ὑμετέρας φιλίας, οὐ μὴν ἀλλὰ παραπλή-
σιόν τι πεπονθέναι πρὸς αὐτὴν καὶ πρὸς τοὺς στεφανίτας

[1] ἀπεστερήθη A. C. L. [2] δι' ἃ A. C. L. [3] καὶ om. A.
[4] παρ' ἐκείνων A. C. L. [5] οὐ προθυμότερος A. C. L. [6] ἔμοιγε δοκεῖ A. C. L.
[7] τὸ om. A. C. L. [8] τὴν θάλατταν A. C. L. [9] ἔδοξε ποιεῖν A.
[10] λογιζόμενος A. C. L. [11] λυσιτελὲς A. C. [12] τὸ πιστοὺς A. C. L.
[13] χάριν ὑμῖν A. C. L. [14] ἀνθρώπων A. C. L. [15] σε μάλιστα A. C. L.
[16] προτρέψεσθαι A. C. [17] τοὔμπροσθεν A. C. L.

Ὀκνηρῶς εἶχεν] Ηὐλαβεῖτο, ἐφοβεῖτο. Cor.

Τοὺς ὑπὲρ αὐτὸν ὄντας] *in altioris dignitatis gradu posita.* Lang.

Συνέστηκε] Passive sumitur, *commendatus est.* Auger.

Συνοίσειν] Sub. τοῦτο. Idem.

Τῶν ὑμετέρων κατεχ. πραγμάτων] *animum adjicere ad res vestras.* quod Wolf. expressit: *ut se ad vos conferret.* Lang.

Στεφανίτας] Στεφανίτης ἀγὼν dicitur, e quo victores coronam reportant. Videtur autem hic imprimis intelligere illa quatuor certamina. Matth.

ἀγῶνας. ἐκείνους [1] τε γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, κατα-
βῆναι δ' εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ μετεσχη-
κέναι ῥώμης ἀξίας τῶν στεφάνων, τῶν τε παρ' ὑμῶν τιμῶν
εὔξασθαι μὲν ἂν τυχεῖν, [2] ἐφίξεσθαι δ' αὐτῶν οὐ προσδοκᾶν·
τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι καὶ τὴν
λαμπρότητα τὴν ὑμετέραν, ἔτι δὲ καὶ τὸ σωμάτιον οὐκ
εὐκρινὲς ὄν, ἀλλ' ἔχον [3] ἄττα σίνη, νομίζειν ἐμποδιεῖν αὐτὸν e
πρὸς [4] πολλὰ τῶν πραγμάτων.

γ'. Οὗτος μὲν οὖν, ὅ τι [5] ἂν αὐτῷ [6] δοκῇ συμφέρειν,
τοῦτο πράξει· σὺ δ', ἐάν τε ᾖ περὶ ὑμᾶς, ἐάν θ' ἡσυχίαν
ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν 416
ἄλλων μὲν ἁπάντων, [7] ὧν ἂν τυγχάνῃ δεόμενος, μάλιστα
δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ τῆς τοῦ πατρὸς
αὐτοῦ, νομίσας ὥσπερ παρακαταθήκην ἔχειν τοῦτον παρά
τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς [8] τυγχάνοι
προνοίας, καὶ τῆς δόξης τῆς [9] ὑπαρχούσης, εἴ τινος ἄρα
σπουδῆς ἐστὶν ἀξία, καὶ [10] τῆς εὐνοίας τῆς [11] περὶ ὑμᾶς, ἣν
ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα. καὶ μὴ θαυμάσῃς,
μήτ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολὴν, μήτ' εἴ τι
περιεργότερον [12] καὶ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ·
πάντων γὰρ τῶν ἄλλων ἀμελήσας ἑνὸς μόνου ἐφρόντισα,
τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλε-
στάτων μοι γεγενημένων.

[1] τε om. A. L. [2] οὐκ ἐφίξεσθαι δ' αὐτῶν (αὐτὸν A. L.) πρ. A. C. L. [3] πρόφασιν, ἣν νομίζειν A. L. πρόφασιν, [ἣν] νομίζειν C. [4] τὰ πολλὰ A. C. L. [5] ἂν om. A. [6] δοκῇ αὐτῷ A. C. L. [7] ὧν τυγχάνει A. C. L. [8] τυγχάνῃ A. L. [9] ὑπερεχούσης C. L. [10] τῆς om. A. L. [11] πρὸς A. [12] ἢ A. C. L.

Ἐκείνους — βούλεσθαι] *cupere enim se in illis victoriam consequi.* Lang.

Παρ' ὑμῶν] Ἴσως· παρ' ὑμῖν. Cor.

Τὸ σωμάτιον οὐκ εὐκρινὲς] *corpusculum non elegans,* i. e. metuit deformitatem et pusillitatem corporis sibi nocituram. Wolf. Quod magis mihi arridet quam *corpus minus firmum et imbecillum.* Lang. Γαλατ. *valétudinaire.* Cor.

Περὶ ὑμᾶς] Est in aula Philippi, munere aliquo fungens, et περὶ τούτους τοὺς τόπους, in Macedonia in universum. Lang.

Ἔχειν τοῦτον] Malim τούτους, np. Diodotum et ejus filium. Auger.

Περιεργότερον] Περιττότερον, πλέον τοῦ προσήκοντος. Cor.

Πρεσβυτικώτερον] Παραφρονέστερον διὰ τὸ γῆρας. Idem.

Ε.

[1]ΑΛΕΞΑΝΔΡΩΙ.

Pag. ed. I. Steph. — Pag. ed Cor.

416 α΄. ΠΡΟΣ τὸν πατέρα σου γράφων ἐπιστολὴν ἄτοπον 422
ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σε τόπον ἐκείνῳ μήτε
προσερῶ μήτ᾽ ἀσπάσομαι, μήτε γράψω τι τοιοῦτον, ὃ
ποιήσει τοὺς [2]ἀναγνόντας μὴ νομίζειν ἤδη με παραφρονεῖν
διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν, ἀλλ᾽ ἔτι τὸ καταλε-
λειμμένον [3]μου μέρος [4]καὶ λοιπὸν ὂν οὐκ ἀνάξιον εἶναι τῆς
δυνάμεως ἣν ἔσχον νεώτερος ὤν.

β΄. Ἀκούω δέ σε πάντων λεγόντων, ὡς φιλάνθρωπος εἶ
καὶ φιλαθήναιος καὶ φιλόσοφος, οὐκ ἀφρόνως, [5]ἀλλὰ νουν-
εχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέ-
ρων οὐ τοὺς ἠμεληκότας αὑτῶν καὶ πονηρῶν πραγμάτων
417 ἐπιθυμοῦντας, ἀλλ᾽ οἷς συνδιατρίβων [6]τε οὐκ ἂν λυπηθείης,
συμβάλλων τε καὶ κοινωνῶν πραγμάτων οὐδὲν ἂν βλαβείης
οὐδ᾽ ἀδικηθείης, οἵοισπερ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας·
τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ
τὰς ἔριδας, ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις
διατριβαῖς, οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ πλήθους προε-
στῶσιν οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν· οὐ γὰρ συμφέρειν
b οὐδὲ πρέπειν τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσιν, οὔτ᾽ αὐτοῖς
ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους οὔτε τοῖς ἄλλοις ἐπι-
τρέπειν πρὸς αὐτοὺς ἀντιλέγειν. ταύτην μὲν οὖν οὐκ ἀγα-
πᾶν σε τὴν διατριβήν, προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν
περὶ τοὺς λόγους, οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσ-

[1] ΙΣΟΚΡΑΤΗΣ ΑΛΕΞΑΝΔΡΩΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] ἀγνοοῦντας A. C. L. [3] μοι A. C. L. [4] καὶ λοιπὸν ὂν inclusit C. [5] ποιῶν, ἀλλὰ A. C. L. [6] τε om. A. C. L.

Τὸ καταλελειμμένον μου μέρος] I. e. τὸν νοῦν καὶ τὴν φρόνησιν, sed quomodo differat ab hoc λοιπὸν ὄν, haud equidem video. Matth.

Συμβάλλων] I. e. ὁμιλῶν. Συνδιατρίβειν est, crebro cum aliquo versari, συμβάλλειν vero est, etiam participem facere consiliorum et negotiorum familiarium. Lang.

Περὶ τὰς ἔριδας] Perstringi videtur Aristotelis institutio. Wolf. Intellige argutas sophistarum disputationes, de quibus vide or. c. Sophist. §. 6. Lang. Langio assentitur Coraes.

πιπτούσας καθ' ἑκάστην [1] τὴν ἡμέραν, καὶ μεθ' ὧν βουλευόμεθα περὶ τῶν κοινῶν. δι' ἣν νῦν τε [2] δοξάζεις περὶ τῶν μελλόντων ἐπιεικῶς, τοῖς [3] τ' ἀρχομένοις προστάττειν [4] οὐκ ἀνοήτως, ἃ δεῖ [5] πράττειν ἑκάστους, ἐπιστήσει, περὶ δὲ τῶν c
423 καλῶν καὶ δικαίων καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν, πρὸς δὲ τούτοις τιμᾷν καὶ κολάζειν ὡς προσῆκόν ἐστιν ἑκατέρους. σωφρονεῖς οὖν [6] νῦν ταῦτα μελετῶν· [7] ἐλπίδας γὰρ τῷ τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς [8] ἐὰν πρεσβύτερος γενόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξεις τῇ φρονήσει τῶν ἄλλων, ὅσονπερ ὁ πατήρ σου διενήνοχεν ἁπάντων.

[1] τὴν inclusit C. [2] δοκεῖς A. C. L. [3] τ' om. A. C. L. [4] καὶ οὐκ A. C. L. [5] ποιεῖν ἑκάστους, περί τε τῶν A. C. L. [6] νῦν om. A. C. L. [7] ἐλπίδα A. C. L. [8] ἂν A. C. L.

Ἑκατέρους] *utrosque*, np. bonos et malos. AUGER.

Ἁπάντων] Mihi vid. add. τῇ δυνάμει, vel aliud quid. IDEM.

ϛ.

[1]ΤΟΙΣ ΙΑΣΟΝΟΣ ΠΑΙΣΙ.

Pag. ed. Cor. — Pag. ed. H. Steph.

424 α'. ΑΠΗΓΓΕΙΛΕ τίς μοι τῶν πρεσβευσάντων ὡς 417
ὑμᾶς, ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων [2] ἐρωτήσαιτε, εἰ πεισθείην [3] ἂν ἀποδημῆσαι καὶ διατρῖψαι παρ' ὑμῖν. ἐγὼ 418
δὲ ἕνεκα μὲν τῆς Ἰάσονος καὶ [4] Πολυαλκοῦς ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς· [5] οἶμαι γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγκεῖν· ἀλλὰ γὰρ ἐμποδίζει με πολλά, μάλιστα μὲν τὸ μὴ δύνασθαι πλανᾶσθαι καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις, [6] ἔπειθ' ὅτι πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν δικαίως ἄν μου καταφρονήσειαν, εἰ b

[1] ΙΣΟΚΡΑΤΗΣ ΤΟΙΣ ΙΑΣΟΝΟΣ ΠΑΙΣΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] ἠρωτήσατε A. C. L. [3] ἀποδημῆσαί τε A. C. L. [4] Πολυάκους A. C. L. [5] οἶδα A. C. L. [6] ἔπειτα δ' A. C. L.

ΙΑΣΟΝΟΣ] Vid. or. ad Phil. §. ν'. Perizon. ad Ælian. V. H. ix. 9. Diod. Sic. xv. 60. Xenoph. Hell. vi. 4. 27. et Corn. Nep. Timoth. c. 4.

προῃρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν, ἐπὶ γήρως
ἀποδημεῖν ἐπιχειροίην, ὅτ᾽ εἰκὸς [1]ἦν, εἰ καὶ πρότερον [2]ἀλλο-
θί που διέτριβον, νῦν οἴκαδε σπεύδειν, οὕτως ὑπαγυίου μοι
τῆς τελευτῆς οὔσης. πρὸς δὲ τούτοις φοβοῦμαι καὶ τὴν
πόλιν· χρὴ γὰρ τἀληθῆ λέγειν. ὁρῶ γὰρ τὰς συμμαχίας
τὰς πρὸς αὐτὴν γιγνομένας ταχέως διαλυομένας. εἰ δή τι
c συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτον, [3]εἰ καὶ τὰς αἰτίας καὶ
τοὺς κινδυνους διαφυγεῖν δυνηθείην, ὃ χαλεπόν ἐστιν, ἀλλ᾽
οὖν αἰσχυνθείην ἄν, εἴτε διὰ τὴν πόλιν δόξαιμί τισιν ἀμε-
λεῖν ὑμῶν, εἴτε δι᾽ ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν. μὴ κοινοῦ
δὲ τοῦ συμφέροντος ὄντος, οὐκ οἶδ᾽ ὅπως [4]ἂν ἀμφοτέροις
ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι, δι᾽ ἃς οὐκ ἔξεστί μοι
ποιεῖν ἃ βούλομαι, [5]τοιαῦται συμβεβήκασιν.

β΄. Οὐ μὴν [6]περὶ τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας οἴομαι
δεῖν ἀμελῆσαι τῶν ὑμετέρων, ἀλλ᾽, ἅπερ ἂν παραγενόμενος
d πρὸς ὑμᾶς διελέχθην, πειράσομαι καὶ νῦν περὶ τῶν αὐτῶν
τούτων ὅπως ἂν δύνωμαι διεξελθεῖν. μηδὲν δ᾽ ὑπολάβητε
τοιοῦτον, ὡς ἄρ᾽ ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν οὐχ
ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ᾽ ἐπίδειξιν ποιήσασθαι βου- 425
λόμενος. οὐ γὰρ εἰς τοῦθ᾽ ἥκω μανίας, ὥστ᾽ ἀγνοεῖν ὅτι
κρείττω μὲν γράψαι τῶν πρότερον [7]διαδεδομένων [8]οὐκ ἂν
δυναίμην, τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν, χείρω δ᾽ ἐξενεγκὼν
e πολὺ φαυλοτέραν ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχού-
σης. ἔπειτ᾽, εἴπερ ἐπεδείξει προσεῖχον τὸν νοῦν, ἀλλὰ μὴ
πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην ἐξ ἁπασῶν προει-
λόμην τὴν ὑπόθεσιν, περὶ ἧς [9]χαλεπόν ἐστιν ἐπιεικῶς
εἰπεῖν, ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον
419 λόγον ἐχούσας. ἀλλὰ γὰρ οὔτε πρότερον οὐδεπώποτ᾽ ἐφιλο-

[1] ἦν om. A. C. L. [2] ἄλλοσέ ποι A. C. L. [3] πῶς ἂν καὶ A. L.
[4] ἂν om. A. C. L. [5] τοσαῦται A. L. [6] περί γε A. C. L.
[7] διαδεδειγμένων A. L. [8] οὐδ᾽ A. C. L. [9] οὐ χαλεπόν A. C. L.

Εἰ δή τι συμβαίη κ. τ. λ.] Ὁ νοῦς· Εἰ παρ᾽ ὑμῖν ἐμοῦ διατρίβοντος τοιοῦτό τι συμβαίη, εἰ διαλυθείη δηλονότι ἡ πρὸς τὴν Ἀθηναίων πόλιν ὑμῖν γενομένη συμμαχία, κἂν τὰς αἰτίας καὶ τοὺς κινδύνους τοὺς παρὰ τοῖς ἐμοῖς πολίταις διαφυγεῖν δυνηθῶ, ἤγουν κἂν αὐτοί με μὴ αἰτιάσωνται ὡς παρὰ τοῖς αὐτῶν ἐχθροῖς διατρίβοντα (ὃ χαλεπόν ἐστιν), ἀλλ᾽ ὅμως αἰσχυνθείην ἂν ἐγώ, εἴτε ἀποχωρῶν τῆς ὑμετέρας πόλεως, καὶ εἰς τὰς Ἀθήνας ἐπανερχόμενος, δόξαιμι ἀμελεῖν ὑμῶν διὰ τὴν ἐμὴν πόλιν, εἴτε παρ᾽ ὑμῖν μένων δόξαιμι ὀλιγωρεῖν τῆς ἐμῆς πόλεως δι᾽ ὑμᾶς. Cor.

Μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος] *quum utilitas vestra et urbis non sit eadem*, i. e. quum ea, quæ vobis expediunt, urbi obsint et vicissim. Lang.

Μηδὲν δ᾽ ὑπολάβητε κ. τ. λ.] Demosth. Amator. §. θ΄. citat Coraes.

Μᾶλλον λόγον ἔχουσας] *quod (argumentum) largam dicendi copiam præbet.* Lang.

τιμήθην ἐπὶ τούτοις, ἀλλ᾽ ἐφ᾽ ἑτέροις μᾶλλον ἃ τοὺς πολ-
λοὺς διαλέληθεν, οὔτε νῦν ἔχων [1] ταύτην τὴν διάνοιαν ἐπρα-
γματευσάμην· ἀλλ᾽ ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγά-
λοις πράγμασιν ὄντας, αὐτὸς δ᾽ ἀποφήνασθαι βουλόμενος
ἣν ἔχω γνώμην περὶ αὐτῶν, ἡγοῦμαι συμβουλεύειν μὲν
ἀκμὴν ἔχειν — αἱ γὰρ ἐμπειρίαι παιδεύουσι τοὺς τηλικού-
τους, καὶ [2] ποιοῦσι μᾶλλον τῶν ἄλλων δύνασθαι καθορᾶν b
τὸ βέλτιστον —, εἰπεῖν δὲ περὶ τῶν προτεθέντων ἐπιχαρί-
τως καὶ μουσικῶς καὶ διαπεπονημένως οὐκ ἔτι τῆς ἡμετέρας
ἡλικίας [3] ἐστὶν, ἀλλ᾽ ἀγαπῴην ἂν εἰ μὴ παντάπασιν ἐκλε-
λυμένως διαλεχθείην περὶ αὐτῶν.

γ΄. Μὴ [4] θαυμάζετε δ᾽, ἄν τι φαίνωμαι λέγων ὧν πρό-
τερον ἀκηκόατε· [5] τῷ μὲν γὰρ ἴσως ἄκων ἂν [6] ἐντύχοιμι,
[7] τὸ δὲ καὶ προειδὼς, [8] εἰ πρέπον [9] εἰς τὸν λόγον εἴη, προσ-
λάβοιμι. καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ, τοὺς ἄλλους ὁρῶν c
τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπεχοίμην τῶν [10] ὑπ᾽
ἐμοῦ πρότερον εἰρημένων. τούτων δ᾽ ἕνεκα ταῦτα προεῖπον,
ὅτι τὸ πρῶτον [11] ἐπιφερόμενον ἓν τῶν τεθρυλημένων ἐστίν.
εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν
ἡμετέραν διατρίβοντας, ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι,
τί τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου [12] μέρεσι διαπρακτέον ἐστίν·
ἐπειδὰν δὲ τοῦθ᾽ εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον d
εἶναί φημι τὰς ἰδέας, δι᾽ ὧν ταῦτ᾽ ἐξεργασθήσεται καὶ
λήψεται τέλος ὅπερ ὑπεθέμεθα. καὶ ταῦτα [13] φράζω μὲν
426 ἐπὶ τῶν λόγων, ἔστι δὲ τοῦτο [14] στοιχεῖον καὶ κατὰ τῶν
ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμάτων. οὐδὲν
γὰρ οἷόν τ᾽ ἐστὶ πραχθῆναι νουνεχόντως, ἐὰν μὴ τοῦτο

[1] ταύτην ἔχων A. C. L. [2] δοκοῦσι A. C. L. [3] ἔργον ἐστὶν A. C. L.
[4] θαυμάζητε A. L. θαυμάσητε C. [5] τῶν A. C. L. [6] τύχοιμι A. C. L.
[7] τὰ C. [8] ὅτι A. [9] ἐστὶ λέγειν, προσλ. A. C. L. [10] γ᾽ ὑπ᾽ A. L. [γ᾽] ὑπ᾽ C.
[11] ἐπιφαινόμενον ἓν τῶν θρυλλουμένων A. C. L. [12] μέρισι τοῦ λόγου A. C. L.
[13] φράζομεν περὶ τῶν A. L. ἔφραζον μὲν περὶ τῶν C. [14] τὸ στοχεῖον A. C. L.

Ἃ τοὺς πολλοὺς διαλέληθεν] *quæ plerique ignorant*, i. e. res totius Græciæ. Idem.

Τοὺς τηλικούτους] Τοὺς, οἵαν ἐγὼ, ἔχοντας ἡλικίαν. Cor.

Ἐκλελυμένως] *dissolute*, ut oratio viribus destituta videatur. Lang.

Τί τῷ λόγῳ — ἐστὶν] *quo tota oratio ejusque partes tendant.* Sermo est de dispositione orationis, quæ, antequam singulæ partes elaborentur, conficienda erit. Præceptum, ut ipse auctor vocat, pervulgatum. Idem.

Τὰς ἰδέας] Auger. h. l. recte interpretatus est *figuras*, i. e. dictionem et elocutionem in universum, itemque Morus ad Paneg. §. α΄. Idem.

Καὶ λήψεται τέλος] *et finem consequatur.* Auger. male: *et eam absolutionem accipiant*, formæ nimirum orationes. Idem.

πρῶτον μετὰ πολλῆς προνοίας [1]λογίσησθε καὶ βουλεύ-
e σησθε, πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν προστῆ-
ναι καὶ τίνα βίον προελέσθαι καὶ ποίας δόξης [2]ὀριγνηθῆναι
καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι, [3]τὰς παρ' ἑκόντων
γιγνομένας ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν· ταῦτα δὲ
[4]διορισαμένους, τότ' [5]ἤδη τὰς πράξεις τὰς καθ' ἑκάστην
420 [6]τὴν ἡμέραν σκεπτέον, ὅπως [7]συντενοῦσι πρὸς τὰς ὑποθέ-
σεις τὰς ἐξ ἀρχῆς [8]γενομένας. καὶ τοῦτον μὲν τὸν τρόπον
ζητοῦντες [9][καὶ φιλοσοφοῦντες] ὥσπερ σκοποῦ κειμένου
στοχάσεσθε τῇ ψυχῇ καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμ-
φέροντος· ἐὰν δὲ μηδεμίαν ποιήσησθε τοιαύτην ὑπόθεσιν,
ἀλλὰ τὸ προσπίπτον ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν
ἐστιν ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι καὶ πολλῶν διαμαρ-
τάνειν πραγμάτων.

b δ΄. Ἴσως ἂν [10]οὖν τις τῶν εἰκῆ ζῆν [11]προῃρημένων, τοὺς
μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν [12]ἀξιώσειε
δ' ἂν [13]ἤδη με συμβουλεύειν περὶ τῶν προειρημένων. ἔστιν οὖν
οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν ἃ τυγχάνω γιγνώ-
σκων. ἐμοὶ γὰρ [14]αἱρετώτερος ὁ βίος εἶναι δοκεῖ καὶ βελτίων
ὁ τῶν ἰδιωτευόντων ἢ ὁ τῶν [15]τυραννούντων, καὶ τὰς τιμὰς
[16]ἡδίους ἡγοῦμαι τὰς ἐν ταῖς πολιτείαις ἢ τὰς ἐν ταῖς
c μοναρχίαις. καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω. καίτοι με
οὐ λέληθεν ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους, καὶ μά-
λιστα τοὺς περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ ἥκιστα τού-
τους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς. σκοποῦσι γὰρ οὐ
[17]πανταχῇ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ [18]πολλὰ πα-
ραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ
κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι, καὶ τούτων ἀπολαύσεσθαι
προσδοκῶσι, τὰς δὲ ταραχὰς [19]καὶ τὰς συμφορὰς τὰς τοῖς

[1] λογίζησθε A. L. [2] ὀρεχθῆναι A. C. L. [3] πότερον τὰς A. C. L.
[4] διορισαμένοις A. [5] ἰδίᾳ A. C. L. [6] τὴν inclusit C. [7] συντείνωσι A. C. L.
[8] γιγνομένας A. C. L. [9] uncos om. A. C. L. [10] οὖν ἄν τις A. C. L.
[11] ᾑρημένων A. C. L. [12] ἀξιοίη A. C. L. [13] σαφῶς διορισάμενον οὕτως με A.
[14] ἀσφαλέστερος βίος A. C. L. [15] τυραννευόντων A. τυραννιώντων C. L.
[16] ἡδίους νομίζω τὰς παρὰ τῶν μέγα φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων. καὶ A. L. [ἡδίους νομίζω τὰς παρ' ἑκόντων γιγνομένας ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν]. καὶ C.
[17] πανταχοῦ A. [18] πολλὰ om. A. C. L. [19] καὶ τοὺς φόβους καὶ A. C. L.

Ὑμῶν αὐτῶν προστῆναι] vosmet ipsos gerere. IDEM.

Εἰκῇ ζῆν] Ὡς ἂν τύχῃ καὶ μὴ μετὰ προνοίας τῆς τοῦ μέλλοντος. COR.

Ἀξιώσειε δ' ἂν ἤδη συμβ.] postulabitque (fortasse) ut de his quæ dixi jam præcipiam, i. e. non in universum, sed singulatim præcipiam. LANG.

ἄρχουσι συμπιπτούσας καὶ τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν, d
ἀλλὰ πεπόνθασιν ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες. καὶ γὰρ ἐκεῖνοι τὰς
427 μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δὲ, ὅσον [1] μὲν ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ σφᾶς [2] αὐτοὺς οὕτως ὥςτε τῶν μὲν κινδύνων [3] εἶναι πόῤῥω, τῶν δ' ὠφελειῶν ἐγγύς. τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν e
ζηλῶ τῆς ῥαθυμίας, αὐτὸς δὲ αἰσχυνθείην ἂν εἰ συμβουλεύων ἑτέροις, ἐκείνων ἀμελήσας, τὸ ἐμαυτῷ συμφέρον [4] ποιοίην, καὶ μὴ παντάπασιν ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν καὶ τῶν ἄλλων ἁπάντων τὰ βέλτιστα παραινοίην. 421
ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε τὸν νοῦν.

[1] μὲν om. A. C. L. [2] αὐτοὺς ο. ὥ. τῶν μὲν om. A. C. L. [3] ὄντας A. C. L. [4] σκοποίην A.

Ζηλῶ] F. οὐ ζηλῶ. *haud æmulari velim eorum socordiam.* Wolf. *ob istam beatos judico.* Ironice. Lang.

Z.

[1] ΤΙΜΟΘΕΩΙ.

Pag. ed. Cor. 428

Pag. ed. H.Steph. 421

αʹ. ΠΕΡΙ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους οἶμαί σε πολλῶν ἀκηκοέναι, συγχαίρω δέ σοι, πυνθανόμενος πρῶτον μὲν [2] ὅτι τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον [3] χρῇ τοῦ πατρὸς καὶ φρονιμώτερον, ἐπειθ'

[1] ΙΣΟΚΡΑΤΗΣ ΤΙΜΟΘΕΩΙ ΧΑΙΡΕΙΝ A. C. L. [2] ὅτι πρῶτον μὲν A. C. L. [3] χρᾷ A. C. L.

ΤΙΜΟΘΕΩΙ] Hic Timotheus Heracleæ Ponticæ fuit tyrannus, vir et ingenio et virtute et artibus belli pacisque clarissimus. Filius fuit Clearchi, nepos Dionysii. Vid. Diod. Sic. xv. 81. xvi. 36. xx. 77. et Memnon in Fragmentis p. 76. 78. ed. Steph. Lang.

'Ακηκοέναι] Juxta Memnonem pater ejus Clearchus quatuor annos discipulus Isocratis fuit.

ὅτι προαιρῇ δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς, ἀλλ' ὡς δυνατὸν μέγιστον, ταύτην ἔχων τὴν γνώμην· ὥστ', ἢν ἐμμείνῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην. ἡγοῦμαι δὲ καὶ τὰ [1] διηγγελμένα περὶ τοῦ πατρός σου συμβάλλεσθαι [2] μεγάλην πίστιν πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλλων. εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾷν τοὺς ἐκ τῶν πατέρων τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤν περ φαίνωνται μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστὶ τὸ παρὰ λόγον [3] συμβαῖνον ἀγαθὸν τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων.

β'. Ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ [4] ὅτου τρόπου καὶ μετὰ τίνων καὶ τίσι συμβούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις, καὶ τοὺς πολίτας
422 ἐπί τε τὰς [5] ἐργασίας καὶ τὴν σωφροσύνην προτρέψεις, καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῇν καὶ θαῤῥαλεώτερον ἢ τὸν παρελθόντα χρόνον. ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως δυναστευόντων. ὧν ἔνιοι καταφρονήσαντες, οὐδὲν ἄλλο σκοποῦσι πλὴν ὅπως αὐτοί τε ὡς μετὰ πλείστης ἀσελγείας [6] τὸν βίον διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους
[7] καὶ πλουσιωτάτους καὶ φρονιμωτάτους [8] λυμανοῦνται καὶ 429
δασμολογήσουσι, κακῶς εἰδότες ὅτι προσήκει τοὺς εὖ φρο-
b νοῦντας καὶ [9] τὴν τιμὴν ταύτην ἔχοντας, μὴ τοῖς τῶν ἄλλων κακοῖς αὐτοῖς ἡδονὰς παρασκευάζειν, ἀλλὰ ταῖς αὐτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν, μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας, ἀλλ' οὕτω [10] μὲν πράως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων, ὥστε [11] μηδένα τολμᾷν αὐτοῖς ἐπιβουλεύειν, μετὰ [12] τοσαύτης δ' ἀκριβείας τὴν

[1] διαγούμενα περὶ τοῦ σοῦ πατρὸς A. C. L. [2] μεγίστην A. C. L. [3] συμβὰν A. C. L. [4] οὗ A. C. L. [5] εὐεργεσίας A. [6] τὸν βίον om. A. C. L. [7] καὶ πλουσιωτάτους om. A. C. L. [8] ἀμυνοῦνται L. [9] τοὺς τὴν A. C. L. [10] μὲν om. A. C. L. [11] οὐδένα αὐτοῖς τολμᾷν A. C. L. [12] τοιαύτης A. C. L.

Φιλοσοφεῖν] Σκόπειν. Cor.
Την τιμην] I. e. την ἀρχὴν, τὴν δυναστείαν.

Ματτη.
Ἀκριβείας] Ἀκρίβειαν ἐνταῦθα ὁ ῥήτωρ λέ-

τοῦ σώματος ποιεῖσθαι φυλακὴν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχοντες αὐτοί τ' ἂν ἔξω τῶν κινδύνων [1] εἶεν καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῖεν· ὧν ἀγαθὰ μείζω χαλεπὸν εὑρεῖν [2] ἐστίν. ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε. τὴν μὲν γὰρ εὐπορίαν, ἣν [3] ἀναγκαῖον ἦν κτήσασθαι τυραννικῶς μετὰ βίας καὶ [4] πολλῆς ἀπεχθείας, ὁ πατήρ σοι καταλέλοιπε, τὸ δὲ χρῆσθαι τούτοις καλῶς [5] καὶ φιλανθρώπως ἐπὶ σοὶ γέγονεν· ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν. c d

γ'. Ἃ μὲν οὖν ἐγὼ γιγνώσκω, ταῦτ' ἐστίν. ἔχει δὲ οὕτως. εἰ μὲν ἐρᾷς χρημάτων καὶ [6] μείζονος δυναστείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσὶν, ἑτέρους σοι συμβούλους παρακλητέον· εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον e τὸν νοῦν ἐστὶ, καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὑτῶν διοικοῦσιν ἁμιλλητέον, καὶ πειρατέον αὐτῶν διενεγκεῖν. ἀκούω δὲ [7] Κλέομμιν τὸν ἐν Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν περί τε τὰς ἄλλας πράξεις [8] καλὸν κἀγαθὸν εἶναι καὶ φρόνιμον, καὶ τοσοῦτον ἀπέχειν τοῦ [9] τῶν πολιτῶν τινὰς ἀποκτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ 423 ποιεῖν ἄλλο τι κακὸν, ὥστε πολλὴν [10] μὲν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις, κατάγειν δὲ τοὺς [11] φεύγοντας, ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι τὰς κτήσεις ἐξ ὧν ἐξέπεσον, τοῖς δὲ πριαμένοις τὰς τιμὰς τὰς ἑκάστοις γιγνομένας, 430 πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας, ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν, ἢν δ' ἄρα τινὲς τολμήσωσιν, ἡγούμενος λυσιτελεῖν αὐτῷ τεθνάναι τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις, [12] μᾶλλον b

[1] εἶεν ἔξω τῶν κινδύνων καὶ παρὰ τοῖς ἄλλοις Ἑλλ. A. C. L. [2] ἐστιν εὑρεῖν A. C. L. [3] ἀναγκαίως ἔχει A. L. ἀναγκαίως [εἶχεν] C. [4] πολλῆς καὶ ἀπεχθ. A. C. L. [5] τε καὶ A. C. L. [6] πολλῆς A. C. L. [7] καὶ Κλέομμιν A. C. L. [8] καλόν τε A. C. L. [9] τῶν πολιτῶν om. A. C. L. [10] μὲν om. A. C. L. [11] φυγόντας A. C. L. [12] μᾶλλον post τεθνάναι ponunt A. C. L.

γει, τὴν ἀκριβεστάτην τῶν πρὸς τοὺς ἀρχομένους καθηκόντων πλήρωσιν, ἐξ ἧς προσγίνεται καὶ τὸ ἀσφαλῶς ζῆν τοῖς ἄρχουσι. Cor.

Κλέομμιν] Coraes suspicatur hunc Cleommin esse, qui Cammes vocatur ap. Demosth. c. Bœot. pro dot. mat. §. η'.

Τὰς τιμὰς] *pretium emptionis.* Ad ἑκάστοις Auger. male subaudit πράγμασι, et vertit: *pretium singulis rebus additum.* Lang.

ἢ ζῆν πλείω χρόνον [1] τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γενομένῳ.

δ΄. Ἔτι δ᾽ ἂν πλείω σοι περὶ τούτων διελέχθην, [2] ἴσως δ᾽ ἂν καὶ χαριέστερον, εἰ μὴ παντάπασιν [3] ἔδει με διὰ ταχέων γράψαι [4] σοι τὴν ἐπιστολήν· νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, [5] ἐὰν μὴ κωλύσῃ με τὸ γῆρας, ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν.

ε΄. Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει. περί τε γὰρ [6] τὰς διατριβὰς τὰς αὐτὰς γεγόναμεν, καὶ [7] τῇ τέχνῃ [8] πολλάκις τῇ [9] αὐτῇ κέχρημαι, καὶ τὸ τελευταῖον [10] περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος ἐγενόμην αὐτῷ. διὰ δὴ ταῦτα πάντα βουλοίμην ἄν σε καλῶς αὐτῷ [11] χρήσασθαι καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν, καὶ γενέσθαι [12] φανερὸν ὅτι μέρος τι [13] καὶ δι᾽ [14] ἐμὲ γίγνεται τῶν δεόντων αὐτῷ.

d ς΄. Καὶ μὴ θαυμάσῃς, εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω προθύμως, Κλεάρχου δὲ μηδὲν πώποτ᾽ ἐδεήθην. σχεδὸν γὰρ ἅπαντες οἱ παρ᾽ ὑμῶν καταπλέοντες σὲ μὲν ὅμοιόν [15] φασιν εἶναι τοῖς [16] βελτίστοις τῶν ἐμοὶ πεπλησιακότων, Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον, ὅτ᾽ ἦν παρ᾽ ἡμῖν, ὡμολόγουν, ὅσοι [17] περ ἐνέτυχον, ἐλευθεριώτατον εἶναι καὶ πρᾳότατον καὶ φι-
e λανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς· ἐπειδὴ δὲ [18] δύναμιν ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν, ὥστε πάντας θαυμάζειν τοὺς πρότερον αὐτὸν γιγνώσκοντας. πρὸς μὲν οὖν ἐκεῖνον διὰ ταύτας [19] τὰς αἰτίας ἀπηλλοτριώθην· σὲ δ᾽ ἀποδέχομαι καὶ πρὸ πολλοῦ ποιησαίμην [20] ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς. δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν γνώ-
424 μην [21] ἔχεις ἡμῖν· Αὐτοκράτορός τε γὰρ ἐπιμελήσῃ, καὶ πέμ-

[1] τῶν ἄλλων τῇ A. C. L. [2] ἴσως ἄν, A. C. L. [3] ἐδέησέ A. C. L. [4] σοι om. A. C. L. [5] ἂν μὴ κωλύῃ A. C. L. [6] τὰς αὐτὰς διατριβὰς γέγονα A. C. L. [7] τῇ om. A. C. [8] πολλάκις om. A. C. L. [9] αὐτοῦ A. [10] πολλάκις περὶ A. C. L. [11] χρῆσθαι A. C. L. [12] φανερὸς L. [13] καὶ om. L. [14] ἡμᾶς A. [15] φασιν ὅμοιον A. C. L. [16] κρατίστοις A. C. L. [17] ποτε A. C. L. [18] τὴν δύναμιν A. L. [19] τὰς αἰτίας ταύτας A. C. L. [20] γ᾽ ἂν A. C. L. [21] ἔχεις γνώμην A. C. L.

Χαριέστερον] *accuratius, diligentius.* Matth.

Τέχνῃ] Scil. ῥητορικῇ.

Ἡμῖν] Ἴσως, ἡμῖν, ἵν᾽ ᾖ, ὡς συμφέρει σοί τε καὶ Αὐτοκράτορι, τουτέστι, βουλοίμην ἄν σε οὕτως αὐτῷ χρῆσθαι, ὥστε κἀκεῖνον ὠφεληθῆναι ὑπὸ σοῦ, σέ τε ἀπολαῦσαι τῆς παρ᾽ ἐκείνου ὠφελείας, εἴ τι ἄρα ἐστὶν αὐτοῦ ὄφελος. Cor.

Ὅτ᾽ ἦν παρ᾽ ἡμῖν] Ὅτε ἐμαθήτευε παρ᾽ ἐμοί. Idem.

ψεις ἐπιστολὴν ὡς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρότερον ὑπάρχουσαν. ἔῤῥωσο, [1] κἄν του δέῃ τῶν παρ' ἡμῶν, ἐπίστελλε.

[1] καὶ, εἴ του ἄλλου δέῃ παρ' A. C. L.

Η.

ΤΟΙΣ [1] ΜΥΤΙΛΗΝΑΙΩΝ ΑΡΧΟΥΣΙ.

Pag. ed. Cor. 431 — Pag. ed. H.Steph. 424

431 α'. ΟΙ παῖδες οἱ Ἀφαρέως, υἱϊδεῖς δ' ἐμοὶ, παιδευθέντες 424
ὑπὸ Ἀγήνορος τὰ περὶ τὴν μουσικὴν, ἐδεήθησάν μου γράμ- b
ματα πέμψαι πρὸς ὑμᾶς, ὅπως ἂν, [2] ἐπειδὰν καὶ τῶν ἄλλων τινὰς [3] καταγάγητε φυγάδων, καὶ τοῦτον καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς ἀδελφούς. λέγοντος δ' ἐμοῦ πρὸς αὐτοὺς ὅτι δέδοικα μὴ λίαν ἄτοπος [4] εἶναι δόξω καὶ περίεργος, ζητῶν εὑρίσκεσθαι τηλικαῦτα τὸ μέγεθος παρ' ἀνδρῶν οἷς οὐδεπώποτε πρότερον οὔτε διελέχθην οὔτε συνήθης ἐγενό- c
μην, ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρουν. ὡς δ' οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέροντες. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν καὶ πέμψειν ὑμῖν. [5] ὑπὲρ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι [6] μηδ' ὀχληρὸς ταῦτ' ἔχω λέγειν.

β'. Ἡγοῦμαι δὲ καλῶς [7] ὑμᾶς βεβουλεῦσθαι καὶ διαλ- d
λαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν τοὺς δὲ συμπολιτευομένους πολλοὺς, καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν

[1] ΜΙΤΥΛΗΝΑΙΩΝ A. L. [2] ἐπειδὴ A. C. L. [3] κατηγάγετε A. C. L.
[4] εἶναι om. A. L. [5] περὶ A. C. L. [6] καὶ L. [7] ἂν ὑμᾶς L.

Ἀφαρέως] De Aphareo vid. Harpocrat. in v. et Plutarch. in Vit. Isocr. §. ε'.
Εὑρίσκεσθαι] *impetrare*. LANG.
Ἐλιπάρουν] *assidue et blandius rogarunt*. IDEM. Συντόνως καὶ μετ' ἐπιμονῆς ἐδέοντο. COR.
Τὰ περὶ τὴν στάσιν] Regitur non a *μιμουμένους*, sed a *κατὰ* subaudito. AUGER.

πόλιν τὴν ἡμετέραν. μάλιστα δ' ἄν τις ὑμᾶς ἐπαινέσειεν,
ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε τὴν οὐσίαν· [1]ἐπιδείκνυσθε γὰρ
καὶ ποιεῖτε πᾶσι φανερὸν ὡς οὐ τῶν [2]κτημάτων ἐπιθυμή-
425 σαντες τῶν ἀλλοτρίων, ἀλλ' ὑπὲρ τῆς πόλεως δείσαντες,
ἐποιήσασθε τὴν ἐκβολὴν αὐτῶν.

γ'. Οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων μηδὲ
προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτους γε νομίζω
συμφέρειν ὑμῖν κατάγειν. αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν 432
ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι, καὶ τοὺς
ὀνομαστοτάτους ἐν [3]αὐτῇ παρ' ὑμῖν τυγχάνειν γεγονότας,
τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ ἱστορίαν τῆς παιδείας
b ταύτης φεύγειν ἐκ τῆς τοιαύτης πόλεως, καὶ τοὺς μὲν ἄλ-
λους Ἕλληνας τοὺς διαφέροντας [4]περί τι τῶν καλῶν ἐπιτη-
δευμάτων, [5]κἂν μηδὲν προσήκωσι, ποιεῖσθαι πολίτας,
ὑμᾶς δὲ τοὺς εὐδοκιμοῦντάς τε παρὰ τοῖς ἄλλοις καὶ μετα-
σχόντας τῆς αὐτῆς φύσεως περιορᾶν παρ' ἑτέροις μετοικοῦν-
τας. θαυμάζω δ', ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι
τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον ἢ τοὺς
c τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ [6]τι τῶν χρησίμων εὑρίσκον-
τας, καὶ μὴ συνορῶσιν ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην
καὶ τὸ τάχος δυνάμεις συναποθνήσκειν τοῖς σώμασιν, αἱ δ'
ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς
χρωμένους αὐταῖς. ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας
περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς
αὑτῶν πόλεως ἐπιστατοῦντας, δευτέρους δὲ τοὺς τιμὴν καὶ
d δόξαν [7]αὐτῇ καλὴν συμβαλέσθαι δυναμένους· ἅπαντες γὰρ
ὥσπερ [8]δείγματι τοῖς τοιούτοις χρώμενοι, καὶ τοὺς ἄλλους
τοὺς συμπολιτευομένους ὁμοίους εἶναι [9]τούτοις νομίζουσιν.

[1] ἐπιδείκνυτε A. C. L. [2] χρημάτων A. C. L. [3] ταύτῃ τυγχάνειν παρ' ὑμῖν A. C. L.
[4] ἐπί τῳ τῶν A. L. [5] καὶ μηδὲν προσήκοντας A. C. L.
[6] τῶν χρησ. εὑρίσκοντάς τι A. C. L. [7] αὐταῖς καλὴν συμβάλλεσθαι A. C. L.
[8] δείγμασι A. C. L. [9] τοῖς τοιούτοις A. L.

Matth. illud ad *μιμουμένους* refert, annotans hoc verbum etiam alibi cum duplici accusativo occurrere. Videtur respicere ad seditionem Atheniensium, quæ facta est sub Triginta. Lang.

Ἱστορίαν] Σύνεσιν, ἐμπειρίαν, καθὰ ἐξηγεῖται Ἡσύχιος. Cor.

Τῆς αὐτῆς φύσεως] Ἡ φύσις mibi videtur respondere his vocibus Gallicis *le génie, le talent*. Auger. Male Wolf. εὐδοκιμοῦντας ad Mitylenæos refert, quod ad musicos solos referendum est. Malim abesset τῆς αὐτῆς, ita ut εὐδοκιμοῦντας et μετασχόντας φύσεως sit *celeberrimos* et *ingeniosos*. Lang. Ὑμεῖς δὲ περιορᾶτε μετοικοῦντας παρ' ἑτέροις, τοὺς εὐδοκιμοῦντας παρὰ τοῖς ἄλλοις, ἄλλως τε καὶ τῆς αὐτῆς φύσεως, ἤγουν τοῦ αὐτοῦ γένους, μετασχόντας ὑμῖν, ὅ ἐστι Μυτιληναίους ὄντας, ὥσπερ ὑμεῖς. Cor.

δ΄. Ἴσως οὖν εἴποι τις [1] ἂν ὅτι προσήκει τοὺς εὑρέσθαι τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς [2] ἐπιδεικνύναι δικαίως ἂν τυγχάνοντας περὶ ὧν ἂν ποιῶνται τοὺς λόγους.

ε΄. Ἔχει δ᾽ οὕτως. ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν [3] ἀπέστην· οὔτε γὰρ φωνὴν [4] εἶχον ἱκανὴν οὔτε τόλμαν· οὐ μὴν [5] παντάπασιν ἄχρηστος ἔφυν οὐδὲ ἀδόκιμος, e
ἀλλὰ τοῖς [6] προῃρημένοις λέγειν ἀγαθόν τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων φανείην ἂν καὶ σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος, αὐτός τε πλείους λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας τῶν Ἑλλήνων ἢ 426
σύμπαντες οἱ τὰ βήματα κατατετριφότες. ὑπὲρ ὧν ὑμεῖς
433 ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν· μάλιστα γὰρ ἐπιθυμοῦντες [7] διατελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶμαι δ᾽ εἰ Κόνων καὶ [8] Τιμόθεος ἐτύγχανον ζῶντες, Διόφαντος δ᾽ ἧκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδὴν, εὑρέσθαι με βουλομένους ὧν [9] τυγχάνω [10] δεόμενος. περὶ ὧν οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγειν· οὐδεὶς γὰρ ὑμῶν b
οὕτως ἐστὶ νέος οὐδ᾽ ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας.

ϛ΄. Οὕτω δ᾽ ἄν μοι [11] δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ [12] σκέψεσθε τίς ἐστιν ὁ δεόμενος καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. εὑρήσετε [13] τοίνυν ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις, ὑπὲρ ὧν [14] δὲ δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν c

[1] ἂν, προσήκει A. L. ἂν προσήκειν C. [2] δεικνύειν δικαίως ἂν (ὄντας A.) τυγχάνειν A. L. [3] ἀπέσχον A. L. [4] ἔσχον C. [5] δέ γε παντάπασιν A. C. L. [6] προαιρουμένοις A. C. L. [7] διετελεῖτε A. [8] Τιμόθεος καὶ Κόνων A. C. L. [9] ἐτύγχανον A. C. L. [10] χρείαν ἔχοντες A. L. χρείαν ἔχων C. [11] δοκοίητε κάλλιστα βεβουλεῦσθαι A. C. L. [12] σκέψαισθε A. [13] γὰρ A. C. L. [14] δ᾽ ὧν A. δὲ ὧν L.

Τὸ πρᾶγμα] Quod assequi cupiunt, majora nempe sibi præmia præponi. Matth. intelligit *μουσικήν*. At totum hoc additamentum non ad Autocratorem, sed Isocratem referri oportet, ut sequentia docent: est enim transitus quodammodo inopinatus ad sequentem sui ipsius laudem. LANG.

Ῥητορεύειν] Δημογορεῖν. MATTH. COR.

Εἰ Κόνων κ. τ. λ.] Ὁ νοῦς· Εἰ Κόνων καὶ Τιμόθεος ἔζων ἔτι, καὶ Διόφαντος ἐπανῆκεν ἐκ τῆς Ἀσίας, οἱ πολλὰ ὑμᾶς ἀγαθὰ ἐργασάμενοι, πολλὴν ἂν ἐποιήσαντο σπουδὴν βουλόμενοί με εὑρέσθαι, τουτέστι προθυμούμενοι ἵνα εὕρωμαι παρ᾽ ὑμῶν ὧν τυγχάνω δεόμενος. COR.

Ὑπὲρ ὧν] Scil. τοῦ Ἀγήνορος καὶ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν αὐτοῦ.

ὄντας μὴ λυπεῖν, τοῖς δὲ νεωτέροις διατριβὴν παρέχειν ἡδεῖαν καὶ χρησίμην καὶ πρέπουσαν τοῖς τηλικούτοις.

ζʹ. Μὴ [1] θαυμάσητε δ', εἰ [2] προθυμότερον καὶ διὰ μακροτέρων τῶν ἄλλων γέγραφα τὴν ἐπιστολήν. βούλομαι γὰρ ἀμφότερα, τοῖς τε παισὶν ἡμῶν χαρίσασθαι, καὶ ποιῆσαι φανερὸν [3] αὐτοῖς ὅτι κἂν μὴ δημηγορῶσι [4] μηδὲ στρατηγῶσιν, ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμὸν, οὐκ ἠμελη-
d μένως [5] διάξουσιν ἐν τοῖς Ἕλλησιν. ἓν ἔτι λοιπόν· ἢν ἄρα δόξῃ τι τούτων ὑμῖν πράττειν, [6] Ἀγήνορί τε δηλώσατε καὶ τοῖς ἀδελφοῖς, ὅτι μέρος τι καὶ δι' ἐμὲ τυγχάνουσιν ὧν [7] ἐπεθύμουν.

[1] θαυμάζητε A. L.

[2] ῥαδίως οὕτω γράφω, καὶ περὶ μὲν τῶν ἄλλων ἁπάντων καὶ τῶν φιλτάτων τὴν ἐπιστολὴν πέπομφα. βούλομαι A. C. L.

[3] αὐτοῖς om. A. C. L. [4] μηδὲ στρατηγῶσιν om. A. C. L.

[5] ἕξουσιν ἐν τοῖς ἄλλοις. A. C. L. [6] δηλοῦν Ἀγήνορί τε καὶ A. C. L.

[7] αὐτοὶ λίαν ἐπιθυμοῦσιν τυγχάνειν. A. C. L.

Διατριβὴν παρέχειν ἡδεῖαν] Διδάσκοντας δηλάδη τὴν Μουσικὴν αὐτούς. Cor.

Τοῖς τε παισὶν ἡμῶν] Τοῖς ἐμοῖς υἱωνοῖς, τοῖς τοῦ Ἀφαρέως υἱοῖς, οἵ με ἐλιπάρησαν συστῆσαι δι' ἐπιστολῆς ὑμῖν τὸν Ἀγήνορα. Idem.

Κἂν μὴ δημηγορῶσιν] Κἂν ἀφέξωνται τοῦ δημηγορεῖν ἐν Ἀθηναίοις, ὥσπερ ἀπεσχόμην κἀγώ. Idem.

Μίμωνται τὸν τρόπον τὸν ἐμὸν] Τὴν ἐμὴν τοῦ βίου προαίρεσιν, γράφοντες λόγους περὶ τῶν Ἑλληνικῶν καὶ πολιτικῶν πραγμάτων, τουτέστιν Ἀθηναίοις τε καὶ πᾶσι τοῖς Ἕλλησι συμφέροντας. Idem.

Οὐκ ἠμελημένως] Οὐκ ἔσονται τῶν καταβεβλημένων οὐδὲ τῶν ἠμελημένων, ὥσπερ οὐδὲ ἐγὼ (ἴδ. Παναθ. δʹ.), ἀλλὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀξιωθήσονται παρὰ τοῖς χαριεστάτοις τῶν Ἑλλήνων, εἰ μὴ παρὰ τῷ δήμῳ τῶν Ἀθηναίων, ᾧπερ ἤρεσκε μᾶλλον ἡ τῶν δημηγορούντων, τουτέστι τῶν ἐν ταῖς ἐκκλησίας ῥητορευόντων, τόλμη. Idem.

Μέρος τι] *partim.* Post τυγχάνουσιν autem suppleas τούτων. Non igitur necesse est, ut τυγχάνειν h. l. cum duplici accusativo construatur. Lang.

Θ.

[1] ΑΡΧΙΔΑΜΩΙ.

Pag. ed. Cor.

αʹ. ΕΙΔΩΣ, ὦ Ἀρχίδαμε, πολλοὺς ὡρμημένους ἐγκω- 434
μιάζειν σὲ καὶ τὸν πατέρα καὶ τὸ γένος ὑμῶν, εἱλόμην τοῦτον

[1] ΙΣΟΚΡΑΤΗΣ ΑΡΧΙΔΑΜΩΙ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΙ A. C. L.

ΑΡΧΙΔΑΜΩΙ] Hæc epistola ante Augerum in nulla legebatur Isocratis editione. Primus eam in collectionem Isocraticarum epistolarum recepit Matthæi V. C. Secutus est Augerus, qui eam in duobus Codicibus bibliothecæ regiæ invenit.

μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν, ἐκείνοις παραλιπεῖν, αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις, ἀλλ᾽ ἐξ ὧν μεγάλων ἀγαθῶν αἴτιος γενήσῃ καὶ τῇ πόλει τῇ σαυτοῦ καὶ τοῖς Ἕλλησιν ἅπασι. ταύτην δὲ ἐποιησάμην τὴν αἵρεσιν οὐκ ἀγνοῶν [1] τὸν λόγον τὸν εὐμεταχειριστότερον, ἀλλ᾽ ἀκριβῶς εἰδὼς ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ μεγάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν, ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷός τ᾽ ἂν ἐγενόμην. οὐ γὰρ [2] ἔδει με παρ᾽ ἐμαυτοῦ πορίζεσθαι τὰ λεχθησόμενα περὶ αὐτῶν, ἀλλ᾽ ἐκ τῶν ὑμῖν πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορμὰς ἔλαβον, ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ κατὰ μικρὸν ἐναμίλλους [3] γενέσθαι τῇ περὶ ὑμᾶς ῥηθείσῃ.

β′. Πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν ὑπερεβάλετο τῶν γεγονότων ἀφ᾽ Ἡρακλέους καὶ Διὸς, ἣν πάντες ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν, ἢ τὴν ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς Δωρικὰς πόλεις κτισάντων καὶ τὴν χώραν ταύτην κατασχόντων, ἢ τὸ πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων τῶν διὰ τὴν ὑμετέραν ἡγεμονίαν καὶ βασιλείαν σταθέντων; τίς δ᾽ ἂν ἠπόρησε διεξιέναι βουληθεὶς τὴν [4] ἀνδρίαν ὅλης τῆς πόλεως καὶ σωφροσύνην καὶ πολιτείαν τὴν ὑπὸ τῶν προγόνων τῶν ὑμετέρων συνταχθεῖσαν; [6] πόσοις

[1] τῶν λόγων τὸν εὐμεταχειριστότατον C. [2] ἂν ἔδει C. [3] ἂν γενέσθαι C. L. [4] ἀνδρείαν ὅλην A. [5] πρὸς δὲ, οἷς ἂν A.

Battie omisit. Primus edidit Hœschelius in Animadversionibus ad Photii Bibliothecam, p. 942. 943. postquam ineditam secum ex Italia attulerat Andr. Schottus. — In inscript. Ἀρχιδάμῳ. Esse hunc Archidamum II., Agesilai filium, ex ipsa hac epistola intelligitur. Idem est, cui Isocrates orationem Archidami nomine inscriptam tribuit. Scripta est, quum Isocrates octaginta annos habebat, (ut inferius expresse dicitur,) i. e. circa Olympiadem 105. Lang.

Οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις] Intelligendum videtur de bello sacro, in quo se socium adjunxit Philomelo. Vid. Diodor. Sic. XVI. 24. p. 100. et ad h. l. Wesselingium, quod Diodorus ipse in eo reprehendit, XVI. 63. Idem.

Εὐμεταχειριστότερον] *tractatu facilem.* Conf. epist. 2. Idem.

Εὑρεῖν] *invenire*, res, quæ ab aliquo geri possint. Idem.

Ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας etc.] *ut quæ de aliis prædicantur laudes, ne vel tantillum cum iis conferri possint, quibus vos soletis celebrari.* Hoc igitur loco εὐλογία idem est ac ἐγκώμιον ut Areopag. §. λγ′. Alias εὐλογία et εὐλογεῖν de facultate dicendi et orationis præstantia usurpatur, ut de Permut. ιη′. ubi tamen Wolf. correxit εὐλεγόντων, cui nollem ibi me obsecutum esse. Idem.

Περὶ ὑμᾶς] I. q. περὶ ὑμῶν. et sic infra περὶ τὴν φρόνησιν, etc. i. q. περὶ τῆς φρονήσεως, etc. Cf. Fischer. ad Plat. Phædr. §. 11.

Ἀφ᾽ Ἡρακλέους] Vid. Archid. §. ϛ′. seqq., et Corn. Nep. Ages., c. 1. Idem.

Ἀνδρίαν ὅλης τῆς πόλεως] Μεταμέλει μοι τῆς γραφῆς. δέον γράφειν· ἀνδρίαν τῆς πόλεως, ἢ γοῦν, ἀνδρίαν τὴν τῆς πόλ. Cor.

δ' ἂν λόγοις ἐξεγένετο χρήσασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ 435
πατρὸς, καὶ τὴν ἐν ταῖς συμφοραῖς διοίκησιν, καὶ τὴν μάχην τὴν ἐν τῇ πόλει γενομένην; ἧς [1]ἡγεμὼν σὺ καταστὰς, καὶ μετ' ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας καὶ πάντων διενεγκὼν, αἴτιος ἐγένου τῇ πόλει τῆς σωτηρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν. οὔτε γὰρ πόλεις ἑλεῖν οὔτε πολλοὺς ἀποκτεῖναι τῶν πολεμίων οὕτω μέγα καὶ σεμνόν ἐστιν, ὡς ἐκ [2]τῶν τοιούτων κινδύνων σῶσαι τὴν πατρίδα, [3]μὴ τὴν τυχοῦσαν, ἀλλὰ τὴν τοσοῦτον ἐπ' ἀρετῇ διενεγκοῦσαν. περὶ ὧν μὴ κομψῶς ἀλλ' ἁπλῶς διελθὼν, μηδὲ τῇ λέξει κοσμήσας ἀλλ' ἐξαριθμήσας μόνον καὶ χύδην εἰπὼν, οὐδεὶς ὅστις οὐκ ἂν [4]εὐδοκιμήσειεν.

γ'. Ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούντως διαλεχθῆναι, κἀκεῖνο γιγνώσκω, πρῶτον μὲν ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν ἢ περὶ τῶν μελλόντων νουνεχόντως εἰπεῖν, ἔπειθ' ὅτι πάντες ἄνθρωποι [5]μείζω χάριν ἔχουσι τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσι — τοὺς μὲν γὰρ ὡς εὔνους [6]ὄντας ἀποδέχονται, τοὺς δ', ἂν μὴ κελευσθέντες παραινῶσιν, ἐνοχλεῖν νομίζουσιν —, ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς τῶν μὲν πρὸς χάριν ἂν [7]ῥηθέντων ἀπεσχόμην, περὶ δὲ τοιούτων μέλλω λέγειν περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν, ἡγούμενος δεῖν τοὺς [8]περὶ ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας μὴ τοὺς ῥᾷστους προαιρεῖσθαι τῶν λόγων ἀλλὰ τοὺς ἐργωδεστάτους, μηδὲ

[1] καὶ ἡγεμὼν A. L. [2] τῶν om. A. C. L. [3] καὶ μὴ A. C. L.
[4] εὐδοκίμησεν L. [5] πλείω A. C. L. [6] ὄντας om. A. C. L.
[7] ῥηθησομένων A. L. [8] περὶ om. C.

Τὴν ἐν τῇ πόλει γενομένην] Cf. or. ad Phil. §. ιθ'.

Κομψῶς] I. e. κεκαλλωπισμένως, χαριέντως, ἐπιχαρίτως. Matth.

Ἐξαριθμήσας] Ἐξαριθμεῖν, h. l. i. q. ἀπαριθμεῖν in or. ad Phil. §. ι'., i. e. *enarrare.*

Χύδην] Est ὡς ἔτυχε, *utut in buccam venit.* Lang.

Ἐγὼ τοίνυν δυνηθεὶς κ. τ. λ.] Verte: *præterquam igitur, quod et ego potuissem laudes tuas prædicando cuivis lectori facile satisfacere, primum hoc observo, quod de futuris prudenter dicere* (i. e. consilia dare) *difficilius est, quam de præteritis* (de factis) *copiose loqui.* κἀκεῖνο igitur ad sequentia referendum est, sicuti περὶ τούτων ad Archidami res gestas et genus etc. Idem.

Εὐπόρως ἐπιδραμεῖν] Ut ex opposito νουνεχόντως εἰπεῖν apparet, h. l. est: *facili opera enarrare sive calamo quasi percurrere.* In factis enim enarrandis data est materia, in dandis vero consiliis invenienda. Hinc facta facili negotio quasi percurruntur; consilia, multa meditatione inventa, ratione, ac via proponuntur. εὐπόρως igitur est *facili opera*, quæ inde exsistit, quod materia largam dicendi copiam suppeditat. Idem.

Ἐνοχλεῖν] *molestos sive importunos habent.* Idem.

Ἐπιεικείας] Ἐπιεικεία est h. l. ἀρετή Idem.

τοὺς ἡδίστους τοῖς ἀκούουσιν, ἀλλ' ἐξ ὧν ὠφελήσουσι καὶ τὰς πόλεις τὰς αὑτῶν καὶ τοὺς ἄλλους Ἕλληνας, ἐφ' οἷσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς.

δ'. Θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων, εἰ μηδὲ πώποτ' αὐτοῖς ἐπῆλθεν ἐνθυμηθῆναι περὶ τῶν κοινῶν πραγμάτων, μηδ' ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως αἰσχρῶς καὶ δεινῶς διατιθεμένης, ἧς οὐδεὶς παραλέλειπται τόπος ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων.
436 ὧν πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας τὴν παραλίαν οἰκοῦντες, οὓς ἐν ταῖς συνθήκαις [1]ἅπαντας ἐκδεδώκαμεν οὐ μόνον τοῖς βαρβάροις, ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ τῷ τῶν βαρβάρων χρωμένοις· οὓς, εἰ νοῦν εἴχομεν, οὐκ ἂν [2]περιεωρῶμεν ἀθ οιζομένους οὐδ' ὑπὸ τῶν τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείττους συντάξεις στρατοπέδων γιγνομένας ἐκ τῶν πλανωμένων ἢ [3]τῶν πολιτευομένων. οἳ τῆς μὲν βασιλέως χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς Ἑλληνίδας, εἰς [4]ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποιοῦσι, τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες, τῶν δὲ τὰς οὐσίας διαρπάζοντες, ἔτι δὲ παῖδας καὶ γυναῖκας ὑβρίζοντες, καὶ τὰς μὲν εὐπρεπεστάτας καταισχύνοντες, τῶν δ' ἄλλων ἃ περὶ τοῖς σώμασιν ἔχουσι περισπῶντες, ὥσθ' ἃς πρότερον οὐδὲ κεκοσμημένας ἦν ἰδεῖν τοῖς ἀλλο-

[1] ἅπαντες A. [2] περιορῶμεν A. L. [3] τῶν om. A. [4] ἃς L.

Ἐφ' οἷσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκὼς] *de quibus* (orationibus) *nunc ipsum intentus sum.* Auger. ἐφ' οἷσπερ male refert ad Græcos, vertens: *in quorum utilitatem totus nunc intendor.* Idem. Ὁ νοῦς· Ὧν λόγων, ταῖς πόλεσι καὶ τοῖς Ἕλλησι ὠφελίμων, ἐγὼ νῦν προΐσταμαι, τουτέστιν, ὧν διδάσκαλός εἰμι, οὓς διδάσκειν προαιροῦμαι καὶ ἐπαγγέλλομαι. Cor.

Ἐν ταῖς συνθήκαις] Intelligit pacem Antalcidicam. Cf. Paneg. §. λδ'. Lang.

Τῶν Ἑλλήνων τοῖς] Intelligit, ut sequentia docent, Græcorum Asiaticorum exsules qui ob victus quotidiani inopiam latronum more conjuncti, obvia quæque invastant. Vid. or. ad Phil. §. ν'. et §. μ'. Idem.

Τῶν δ' ἄλλων] Cod. Helm. τὰς δὲ ἄλλως περὶ τοῖς σώμασιν ἐχούσας, i. e. sed qui aliter circa corpus comparatæ sunt, i. e. ut ex opposito εὐπρεπεστάτας liquet, *deformes.* Sed receptionem hujus lectionis impedire videtur περὶ τοῖς σώμασι. Verte: *aliis vero* (τῶν δὲ ἄλλων, scil. ταῦτα) *ea detrahentes, quæ circum corpus habent*, i. e. vestimenta. Formosas vitiant, turpes contemptui et ludibrio habent. Idem. Τῶν μὴ καλῶν τὴν ὄψιν γυναικῶν. Cor.

Τοῖς ἀλλοτρίοις] Opponuntur sibi hoc loco τοῖς ἀλλοτρίοις et ὑπὸ πολλῶν, γυμνὰς et κεκοσμημένας. τοῖς ἀλλοτρίοις autem est: *aliis, præter maritum.* Ita castæ et pudicæ antea fuerint, ut a nemine nisi marito et quidem vestitæ conspicerentur, nunc nudæ a quovis. Auger. locum non intellexit, cui hunc sensum tribuit: 'Feminas illas Græcas prius ita fuisse locupletes et splendidis vestibus abundantes, ut peregrina veste uti nollent, imo dedignaren-

τρίοις, ταύτας ὑπὸ πολλῶν ὁρᾶσθαι γυμνὰς, ἐνίας δ᾽ αὐτῶν ἐν ῥάκεσι περιφθειρομένας δι᾽ ἔνδειαν τῶν ἀναγκαίων.

ε΄. Ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων οὔτε πόλις
οὐδεμία τῶν [1] προεστάναι τῶν Ἑλλήνων ἀξιουσῶν ἠγανά-
κτησεν, οὔτ᾽ ἀνὴρ τῶν πρωτευόντων οὐδεὶς βαρέως ἤνεγκε,
πλὴν ὁ σὸς πατήρ. μόνος γὰρ Ἀγησίλαος ὧν ἡμεῖς ἴσμεν
ἐπιθυμῶν ἅπαντα τὸν χρόνον διετέλεσε μὲν Ἕλληνας ἐλευ-
θερῶσαι, πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν. οὐ
μὴν ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτε. καὶ μὴ
[2] θαυμάσῃς, εἰ πρὸς σὲ διαλεγόμενος μνησθήσομαι τῶν οὐκ
ὀρθῶς ὑπ᾽ αὐτοῦ γνωσθέντων· εἴθισμαί τε γὰρ μετὰ παῤ-
ῥησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους, καὶ δεξαίμην ἂν δικαίως
ἐπιτιμήσας ἀπέχθεσθαι μᾶλλον ἢ παρὰ τὸ προσῆκον ἐπαι-
νέσας χαρίσασθαι. τὸ μὲν οὖν ἐμὸν οὕτως ἔχον ἐστὶν, ἐκεῖνος
δ᾽ ἐν [3] πᾶσι τοῖς ἄλλοις διενεγκὼν, καὶ γενόμενος ἐγκρατέ-
στατος καὶ δικαιότατος καὶ πολιτικώτατος, διττὰς ἔσχεν
ἐπιθυμίας, χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ
συμφωνούσας δ᾽ ἀλλήλαις οὐδ᾽ ἅμα πράττεσθαι δυναμένας·
ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν, καὶ τῶν φίλων τοὺς 437
φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν καὶ κυρίους κατα-
στῆσαι τῶν πραγμάτων. συνέβαινεν οὖν ἐκ μὲν τῆς πρα-
γματείας τῆς ὑπὲρ τῶν ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι
τοὺς Ἕλληνας, διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην
[4] μὴ σχολὴν ἄγειν μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις.
ὥστ᾽ ἐκ τῶν ἀγνοηθέντων κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥᾴδιον
καταμαθεῖν ὅτι δεῖ [5] τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον
ἐκφέρειν πρὸς βασιλέα τὸν πόλεμον, πρὶν ἂν διαλλάξῃ [6] τις

[1] προστῆναι A. L.   [2] θαυμασείας A. L.   [3] ἅπασι A. C. L.
[4] αὐτὸν μὴ A.   [5] τὸν ὀρθῶς βουλευόμενον A. C.   [6] τις om. A. C. L.

tur.' ἀλλοτρίοις igitur male ad vestes refert. Lang.

Περιφθειρομένας] I. e. ἀλωμένας, πλανωμένας. Matth. Ὧδε κἀκεῖσε μετὰ φθορᾶς, ἤγουν μετὰ πολλοῦ τοῦ κακοῦ, φερομένας. Cor.

Ὁ σὸς πατὴρ] Agesilaus. Lang.

Ἐξενεγκεῖν] Vid. Xenoph. Ages. c. 7. §. 4. et 7. Idem.

Διττὰς ἔσχεν κ. τ. λ.] Cf. or. ad Phil. §. λς΄.

Τοὺς φεύγοντας — καταγαγεῖν] Hoc ad Agesilai in Europa amicos referendum esse, atque ex hoc illius conatu turbas exstitisse inter Græcos Europæos, docet Xenoph. l. c. c. 2. §. 21. Lang.

Ἐνθάδε] I. e. in Græcia. Idem.

Μὴ σχολὴν] Ante μὴ Auger. textui inseruit αὐτὸν, ut ad Agesilaum referatur oratio; sed vid. or. ad Phil. §. λς΄. Idem.

Ἀγνοηθέντων] Τὰ ἀγνοηθέντα autem sunt errores per imprudentiam et incogitantiam commissi, ut Matth. explicat. Idem.

τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας καὶ τῆς φιλονεικίας ἡμᾶς. περὶ ὧν ἐγὼ καὶ πρότερον εἴρηκα καὶ νῦν ποιήσομαι τοὺς λόγους.

ς′. Καίτοι τινὲς τῶν [1]οὐδεμιᾶς μὲν παιδείας μετεσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπισχνουμένων, καὶ ψέγειν μὲν [2]τἀμὰ τολμώντων, μιμεῖσθαι δὲ γλιχομένων, τάχ᾽ ἂν μανίαν εἶναι φήσαιεν τὸ μέλειν ἐμοὶ τῶν τῆς Ἑλλάδος συμφορῶν, ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν.

ζ′. Ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀνανδρίαν καὶ μικροψυχίαν καταγνοῖεν, ὅτι προσποιούμενοι φιλοσοφεῖν αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλοτιμοῦνται, τοῖς δὲ δυναμένοις περὶ τῶν μεγίστων συμβουλεύειν φθονοῦντες διατελοῦσιν. οὗτοι μὲν οὖν βοηθοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥᾳθυμίαις ἴσως τοιαῦτ᾽ ἐροῦσιν· ἐγὼ δὲ οὕτως ἐπ᾽ ἐμαυτῷ μέγα φρονῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα καὶ παντάπασιν ἀπειρηκώς, ὥστ᾽ οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μάλιστα περὶ τούτων, καὶ καλῶς βεβουλεῦσθαι πρὸς σὲ ποιούμενος τοὺς λόγους, καὶ τυχὸν ἀπ᾽ αὐτῶν γενήσεσθαί τι τῶν δεόντων. ἡγοῦμαι δὲ καὶ τοὺς [3]Ἕλληνας, εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι τόν τε τῷ λόγῳ κάλλιστ᾽ ἂν δυνηθέντα παρακαλέσαι τοὺς Ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ᾽ ἡμῶν προκριθῆναι. καίτοι πῶς οὐκ ἂν αἰσχρὸν ποιήσαιμεν, εἰ τούτων ἀμελήσαιμεν οὕτως ἐντί-
438 μων ὄντων, ὧν ἅπαντες ἂν ἡμᾶς ἀξιώσειαν; τὸ μὲν οὖν ἐμὸν ἔλαττόν ἐστιν· ἀποφήνασθαι γὰρ ἃ γιγνώσκει τις,

[1] μηδεμιᾶς A. C. L. [2] τὰ ἐμὰ A. C. L. [3] ἄλλους Ἕλληνας A.

Γλιχομένων] *cupientium.* Idem.

Παρὰ τοὺς ἐμοὺς λόγους] Παρὰ h. l. est *propter.* Cf. Zeune ad Memorabil. Socrat. ii. 1. 2. Idem.

Ὥστ᾽ οἶμαι] De ὥστε cum indicativo admonuit Fischerus ad Welleri Grammat., p. 402. Exempla de imperfecto et præsenti indicativi addidit Matth. ad h. l. Idem.

Ποιούμενος] Refer ad ἐγὼ μέγα φρονῶ et οἶμαι. Idem.

Ἀπ᾽ αὐτῶν] Intell. λόγων. Idem.

Τοὺς Ἕλληνας] Μεταμέλει μοι μὴ ἀκολουθήσαντι Αὐγήρῳ, ὃς ἐφύλαξε τὴν τῶν ἀρχαίων ἐκδόσεων γραφήν· καὶ τοὺς ἄλλους Ἕλληνας. ἀντιδιέσταλται γὰρ τοῦτο πρὸς τοὺς Ἀθηναίους, ὧν ἦν Ἰσοκράτης, καὶ πρὸς τοὺς Λακεδαιμονίους, ὧν ἦν Ἀρχίδαμος. Ὁ νοῦς· Εἰ δεήσειεν ἐκλέξασθαι τὸν κάλλιστα συμβουλεύσοντα καὶ τὸν ἄριστα στρατηγήσοντα τὸν ἐπὶ τοὺς βαρβάρους πόλεμον, νομίζω οὐκ ἂν ἄλλους ἀντ᾽ ἐμοῦ συμβούλου καὶ σοῦ στρατηγοῦ προκριθῆναι οὐ μόνον ὑπ᾽ Ἀθηναίων καὶ Λακεδαιμονίων, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων. Cor.

Κάλλιστ᾽ ἂν] Ἴσως· μάλιστ᾽ ἄν. Idem.

Ἀνθ᾽ ἡμῶν] Se et Archidamum intelligit: se qui consulat, Archidamum qui agat. Idem.

Ἔλαττόν ἐστιν] (meum quidem munus)

οὐ πάνυ τῶν χαλεπῶν πέφυκε. σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων γεγονότι μὲν ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν, ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' ἐπιχειρητέον.

η'. Ἐγὼ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων δυοῖν τούτοιν προσέχειν τὸν νοῦν, ὅπως τοὺς μὲν Ἕλληνας ἀπαλλάξεις πολέμων καὶ τῶν ἄλλων κακῶν τῶν νῦν αὐτοῖς παρόντων, τοὺς δὲ βαρβάρους παύσεις ὑβρίζοντας καὶ πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. ὡς δ' ἐστὶ ταῦτα δυνατὰ καὶ συμφέροντα καὶ σοὶ καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις [1] ἅπασιν, ἐμὸν ἔργον [2] ἤδη διδάξαι περὶ αὐτῶν [3] ἐστίν.

[1] πᾶσιν A. C. L. [2] ἤδη om. A. C. L. [3] ἐστίν om. A. L.

levioris momenti est ; nihil enim nisi suadere possum. Idem.

Γεγονότι] Tali patre et majoribus orto. Idem. Scil. Hercule et Jove.

Ἔχοντι δόξαν] Vid. Diod. Sic. xvi. 63. Lang.

Ἢ τῶν μὲν] ἢ respondet τῷ πότερον v. 2. Idem.

Ἐμὸν ἔργον ἤδη διδάξαι] Matthæi V. C. ex hoc postremo loco conjicit, hanc epistolam simul cum oratione, quæ idem argumentum tractet, ad Archidamum missam esse. Idem.

I.

ΔΙΟΝΥΣΙΩΙ.

Pag. ed. H. Steph. 407 ΠΡΟΠΟΜΠΟΙ καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων Pag. ed. Cor. 439
ὑψηλοτάτων ἐπίτευξις φιλοσοφίας εἰσὶν ἀχλὺς, καὶ διαιρε-

ΔΙΟΝΥΣΙΩΙ] Hæc epistola ab Augero [et Corae] jure abjudicatur Isocrati, quoniam dictio tam longe abhorret a dictione Isocratea. Videtur potius scripta fuisse a rhetore vel sophista ad principem virum, nomine Dionysium, vel ad aliquem, quem favor in eminenti loco posuerat. Hinc illi cum Augero ultimum locum assignavi. Lang.

Ἐπίτευξις] Verte *adeptio*. Idem.

Φιλοσοφίας εἰσὶν ἀχλὺς] *tenebræ sunt sapientiæ obductæ*, i. e. quibus sapientia impeditur, quas sapientia tanquam nebulas crassas penetrare non potest, quibusque quæ hominis sit natura et ratio, videre non possumus. Idem.

Διαιρετικώτατος — χωρισμὸς] *separatio maxime separans*. Idem.

τικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔχεις δερμάτινον· θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησε; μεγάλης ἀνοίας ἐνεφορήθης, ὦ δύστηνε, καὶ τῆς φύσεως τὴν γνῶσιν ἀφήρησαι· οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας [1] ἠνάγκασαν, καὶ τῆς σώφρονος ἐκείνης μανίας [2] ἀπαναχωρεῖν [3] παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον, νῦν δὲ καὶ [4] χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο, καὶ τὴν δραπέτιν τύχην δραπέτευε· προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω [5] τὴν μεταβολὴν οὐ δυσφορήσεις [6] προσπίπτουσαν.

[1] ἠνάγκασε A. C. [2] ἀναχωρεῖν C. [3] παρεσκεύασε A. C. [4] χθαμαλὸς καὶ περίγειος A. [5] τὴν ἄφνω A. [6] προπίπτουσαν A.

Τὸν θύλακον — δερμάτινον] *saccum coriaceum*, i. e. corpus mortale, quod cum sacco coriaceo magnam similitudinem habet. Idem vocatur statim πήλινος ἀσκὸς, *fictilis uter*. IDEM.

Ἐκ προοιμίου] *ab initio*. IDEM.

Τὸ κενὸν τοῦτο δοξάριον — διεφύσησε] *vana ista gloriola inflavit*. Sub vana ista gloriola intelligit majestatem regiam, quæ homini plus obest, quam prodest. IDEM.

Ἐνεφορήθης] *repletus es*. IDEM.

Ἀφήρησαι] *privatus es*. IDEM.

Μετέωρα] *sublimes volatus*. IDEM.

Ἐκστῆναι τῆς πάλαι θεωρίας] *a veteri contemplatione desistere*. IDEM.

Ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον] *humile tuum fuit olim sublime*, i. e. humilitas tua pristina, qua te hominem esse sciebas, summo tibi fuit decori, præsens fortunæ tuæ cacumen humile est et dedecori. In illa enim sapiens eras, in hoc desipis. IDEM.

Μανίας] Μανία Græce aliquando in bonam partem accipitur, sicut et Latine *furor*, siquidem dicitur 'furor divinus,' et Gallice *passion*, *enthousiasme*. AUGER.

Χθαμαλὸν καὶ περίγειον] Auger. e conjectura præter necessitatem, ut genera secum convenirent, posuit χθαμαλὸς καὶ περίγειος. Cui ignotum est: triste lupus stabulis? LANG.

Δραπέτιν] *fugitivam*. IDEM.

Τὴν ἀγνώμονα] Scil. τύχην, *stolidam et improbam*. IDEM.

Ἄφνω τὴν μεταβολὴν] *mutationem subitam*. IDEM.

Οὐ δυσφορήσεις] *non ægre feres*. IDEM.

ISOCRATIS

ORATIONUM ET EPISTOLARUM

FINIS.

Σ Χ Ο Λ Ι Α.

Σ Χ Ο Λ Ι Α

ΕΙΣ ΤΟΥΣ ΙΣΟΚΡΑΤΟΥΣ ΛΟΓΟΥΣ.

P. 110. 21. Τοῖς μὲν φαύλοις] Τοῖς εὐτελέσι, ἤγουν τοῖς φαύλοις. Φλαῦρος δὲ λέγεται ὁ πονηρός.

P. 112. 2. Ἄγειν] Τὸ μὲν Ἄγειν κυρίως ἐπὶ ἐμψύχων λέγεται· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων.

P. 113. 17. Τοῖς δὲ τυράννοις] Ἀντὶ τοῦ, Τοῖς βασιλεῦσιν· ἀδιαφόρως γὰρ κέχρηνται τῷ ὀνόματι οἱ Ῥήτορες.

P. 115. 6. Καταλογάδην] Καταλογάδην λέγεται ὁ πεζὸς λόγος, καὶ μὴ ὢν ἔμμετρος.

P. 120. ult. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν κ. τ. λ.] Ἀντίστροφος φράσις.[1]

P. 123. 2. Πλεονεκτεῖν] Τὸ Πλεονεκτεῖν καὶ ἐπὶ ἀρετῆς καὶ ἐπὶ κακίας.

P. 124. pen. Ἀμφιγνοῆς] Ἀμφιβάλλῃς. Ἀγνοεῖν δὲ τὸ μηδόλως εἰδέναι.

P. 125. 12. Φιλοτιμούμενος] Σεμνυνόμενος, ὑπερηφανευόμενος.

P. 127. 13. Τοὺς μὲν σεμνυνομένους] Τοὺς ὑπερηφάνους.

P. 129. 10. Περὶ μικρῶν ἐρίζοντας] Ἤγουν τοῦ φυσιολογεῖν περὶ τῆς τοῦ κώνωπος φύσεως καὶ τῆς ψύλλης . . . . τοιοῦτοι γὰρ οἱ κυμινοπρίσται καὶ . . . . .[2]

P. 130. antep. Τοὺς πολλοὺς] Τοὺς μὴ φρονίμους.

P. 131. 5. Πρὸς τοῖς εἰρημένοις] Ἀντὶ τῆς Σύν· ἤγουν σὺν οἷς ἀρχόμενοι εἰρήκαμεν.

— 9. Περὶ τῶν ἰδίων λογιζόμενοι κ. τ. λ.] Ἤγουν λογοπραγούμενοι καὶ ἐξεταζόμενοι.

P. 134. 9. Ἢ τῶν πωλούντων] Δῶρόν τι, ὃ ἐὰν παρὰ τῶν πωλούντων ἐξωνηθῇ, ὀλίγου ἂν ἠγοράσθη.

— pen. Καὶ πλείονος ἀξίας] Πολλοῦ τιμώμενον καὶ πολλαπλάσιον τῆς τοῦ εἰσαχθέντος δώρου τιμῆς.

P. 135. 1. Δυσκόλως] Ἐχθρῶς καὶ μεμισημένως.

P. 136. 2. Ἡδέως ἂν οὖν πυθοίμην] Ἰστέον, ὅτι ἐν τοῖς προοιμίοις τούτοις πρότασιν λέγει καὶ εὐθὺς κατασκευήν· καὶ πάλιν προτείνει καὶ κατασκευάζει. Τοιοῦτος γὰρ Ἰσοκράτης, καὶ ἐν ἄλλοις αὐτοῦ λόγοις τοῦτο ποιῶν.

— 15. Θαυμάζω] Ἀντὶ τοῦ, Καταγινώσκω.

— 16. Τὴν ῥώμην, καὶ τὴν ἀνδρίαν] Ῥώμη μὲν ἐπὶ σώματος, Ἀνδρεία δὲ ἐπὶ ψυχῆς.

P. 138. 10. Ἕδη] Ἑδράσματα, ἀγάλματα.

P. 142. 4. Τοῦτο μὲν γὰρ] Ἀριθμητικόν ἐστι τὸ σχῆμα, παρὰ τοῖς Ῥήτορσιν οὕτω λαμβανόμενον· ὅταν εἴπωσι, Τοῦτο μὲν, σημαίνουσιν ἀντὶ τοῦ, Πρῶτον.

— 26. Καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι] Σημείωσαι, ὡς φαίνεται Ἰσοκράτης ἀπὸ τούτου μὴ ἀρεσκόμενος ἐπὶ τῇ πολυθείᾳ.

P. 144. 25. Δυσκόλως] Φθονερῶς.

— pen. Ἦν καὶ] Ὅρα, πῶς εἰς ἀνάγκην ἐλθὼν τοῦ εἰπεῖν, κἂν, οὐκ εἶπεν· ἐπειδὴ οἶδε σπανίως αὐτὸ λεγόμενον, καὶ παραχαραττόμενον, ὡς τὸ παρὰ Μενάνδρῳ ἐν Μισουμένῳ,[3]

Εἴσελθε κἂν νῦν, ὦ μακάριε. . . . .

P. 147. 4. Οὐχ ἥκιστα] Μάλιστα.

---

[1] Ἔστι τοῦτο τὰ μὴ σαφῆ διὰ τῶν ἀσαφεστέρων ἑρμηνεύειν. Cor.

[2] Ταυτὶ μόνα μοι ἐξεγένετο ἀναγνῶναι ἐκ τοῦ ἀμυδρᾶς γεγραμμένου σχολίου. Αἰνίττεται δὲ τῷ τοῦ κώνωπος καὶ τῆς ψύλλης παραδείγματι ἅπερ ἁπάντων, ὡς εἰπεῖν, τῶν περὶ τὴν τῆς φύσεως θεωρίαν διατριβόντων κατηγόρουν, τινῶν μὲν ἐν δίκῃ, οἷοί περ ἦσαν οὐκ ὀλίγοι τῶν σοφιστῶν, ἔστι δ' οὓς καὶ συκοφαντοῦντες, ἢ γοῦν φορτικῶς σκώπτοντες, οἷά γ' ἐστὶ τὰ παρὰ τῷ Κωμικῷ (Νεφ. 144-164.) περὶ τῆς ψύλλης καὶ τῆς ἐμπίδος κατὰ Σωκράτους πλασθέντα. Idem.

[3] Οὐδὲν πρὸς ἔπος τὸ ἐκ τοῦ Μενάνδρου μαρτύριον. Ἰσοκράτης μὲν γὰρ, καὶ πάντες οἱ δόκιμοι, καὶ ἐν διαλύσει, καὶ ἐν συνθέσει, κέχρηνται πολλάκις τῇ λέξει· εὐθύνοιτο δ' ἂν εἰκότως ὁ Μένανδρος, οὐ διὰ τὸ συνάψαι, ἀλλὰ διὰ τὸ ἐπὶ μειωτικῆς ἐννοίας τεταχέναι τὸ Κἂν. Τὸ γὰρ, Εἴσελθε κἂν νῦν (ὅσον γ' ἔστι τεκμήρασθαι ἐκ τοῦ κολοβοῦ τούτου ἰαμβείου) ταὐτὸν σημαίνει τῷ, Εἴσελθέ γε (ἢ Γοῦν) νῦν. Καὶ ὅρα, ὅπως, Μενάνδρου τοῦτο καινοτομήσαντος, καθὰ καὶ ἕτερα πλεῖστα (Προδρομ. Ἑλλ. Βιβλιοθ. σελ. ογ'.), οἱ μετ' ἐκεῖνον κατακόρως χρησάμενοι παραδεδώκασι τῇ παρ' ἡμῖν συνηθείᾳ· τὸ γὰρ τοῦ Ἀποστόλου (Β. Κορινθ. ΙΑ. ις'.) Κἂν ὡς ἄφρονα δέξασθέ "με" καὶ ἡμεῖς ἑρμηνεῦσαι βουλόμενοι, οὐκ ἂν ἄλλως φράσαιμεν, ἢ, Δεχθῆτέ με κἂν ὡς ἀνόητον. Ἐκ τούτου δὲ τοῦ μειωτικοῦ, Κἂν, καὶ τὰ παρ' ἡμῖν σύνθετα, Κανεὶς, Καμπόσος, Κάποιος, Κάτι. Idem.

P. 223. 7. Τὰ μὲν ἔχει κ. τ. λ.] Ὁ Δημοσθένης, ἐν τοῖς Φιλιππικοῖς, καὶ τῇ διανοίᾳ, καὶ σχεδὸν τῇ λέξει ἐχρήσατο.

P. 224. 6. Εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν κ. τ. λ.] Τοῦτο Δημοσθένης, ἐν τοῖς Φιλιππικοῖς, εἰληφὼς σαφῶς φαίνεται, μόνον μεγεθύνας.

P. 283. 22. Καὶ διαλαβεῖν τὴν Ἀσίαν] Περὶ τῆς ἐπικαλουμένης ἰδίως Ἀσίας.

P. 288. 15. Πέρας ἔχειν] Ἤγουν, τέλος εἶναι τῶν καλῶν, καὶ μὴ ἔχειν πλέον τούτων.

P. 301. 5. Ἐκείνην δὲ ἐλάβομεν] Ἤγουν τὴν ἀμφισβητουμένην Μεσσήνην.

P. 305. 6. Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον] Τετράκωλος περίοδος χιαστὴ,[1]

Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον — X — πρὸς τοὺς Ἕλληνας διαβληθέντας,
Ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας . . . . — X — παρὰ πᾶσιν ἀνθρώποις κ. τ. λ.

P. 306. 11. Τὸ πρὸς Διονύσιον ῥηθὲν] Ἤγουν τὸ μικρὸν κῶλον τοῦτο νοήσας, τὸ, "Καλὸν ἐντάφιον ἡ τυραννίς."

P. 407. antep. Πλεονεξίαν] Ἤγουν, πλέον ἔχειν καὶ κτᾶσθαι.

P. 411. 24. Πλεονεκτεῖν] Πλέον ἔχειν.

P. 416. 1. Δεκάζων] Δωροδοκῶν.

P. 417. 10. Ὡς ἐκεῖ σοφωτέρους ἐσομένους] Κατ' εἰρωνείαν τὸ σχῆμα.

P. 427. 19. Οὐκ Ἠλείων μὲν . . . . εἰς δὲ τὴν Ἀργείων ἐνέβαλον] Σχῆμα διαζεύξεως, τὸ λεγόμενον ἐφ' ἑκάστῳ.[2]

P. 428. 4. Διὰ μὲν γὰρ τὴν . . . τῆς ἡγεμονίας ἐστερήθησαν] Τετράκωλος περίοδος ἀχίαστος.[3]

P. 429. 17. Οὐχ ἡ μὲν τῶν Ἀττικιζόντων] Ἀγχίστροφον τὸ σχῆμα.

— 20. Οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων] Τὸ σχῆμα ἀντίθετον.

P. 430. 26. Περὶ τῆς ἀρχῆς] Τῆς κατὰ θάλατταν δηλαδή.

P. 434. 10. Εἰσαγγελίαις] Ἤγουν κατηγορίαις.

P. 438. 1. Ὁρῶν, ὦ Νικόκλεις] Τριῶν προοιμίων, ὡς εἴπομεν, μελλόντων λέγεσθαι, τὸ μὲν ἓν, τὸ πρῶτον, ἀποδίδωσι τῷ Νικοκλεῖ, ἔπαινον ἔχον αὐτοῦ, διότι οὕτω πολυτελῶς ἐτίμησε τὸν πατέρα τελευτήσαντα· τὰ δὲ ἄλλα δύο πρὸς αὐτὸν τὸν ἀπελθόντα. Ζητήσειε δ' ἂν τις ἐν τῷ λόγῳ τούτῳ, διὰ τί, ἐπιταφίου ὄντος, καὶ τοῦ ἐπιταφίου ἀπαιτοῦντος παρὰ τὰ ἐγκωμιαστικὰ πάντα κεφάλαια πλέον τό τε θρηνητικὸν ἐν τῇ ἀρχῇ, καὶ τὸ παραμυθητικὸν ἐν τῷ τέλει (ἐν γὰρ μόνοις τοῖς δύο τούτοις κεφαλαίοις διαφέρουσιν ὅ τε ἐπιτάφιος λόγος καὶ τὸ ἐγκώμιον), ἐνταῦθα δὲ παρῆκε τὰ δύο κεφάλαια; καὶ λέγομεν, ὅτι φαίνεται ἐκ πολλοῦ τοῦ χρόνου τετελευτηκὼς Εὐαγόρας· καὶ ὁ Ἰσοκράτης, νῦν πέμψας τὸν λόγον μετὰ πολὺ τοῦ ἐκείνου θανάτου, ἄτοπον ἡγεῖτο θρηνητικὸν τάττειν, καὶ ἀναμιμνήσκειν τῶν θρήνων τῶν ὀφειλόντων προτοῦ λεχθῆναι παρ' αὐτὸν τὸν θάνατον. Εἰ δέ τις εἴποι, ὅτι, εἰ διὰ ταύτην τὴν αἰτίαν παρῆκε τὸ θρηνητικὸν, διὰ τί καὶ ἐν τῷ τέλει ἐξέστη τοῦ εἰπεῖν τὸ παραμυθητικόν; λέγομεν, ὅτι, εἰ τοῦτο ἐπήγαγε, μὴ προηγησαμένου τοῦ θρηνητικοῦ, ἔτι πλέον ἀκαιρότερον ἐδόκει ποιεῖν. Ἔνθα γάρ εἰσι θρῆνοι, ἐκεῖ ὀφείλει καὶ ἡ παραμυθία παρέπεσθαι· εἰ δὲ μηδένα ἐθρηνήσαμεν τῷ λόγῳ, ὑπὲρ τίνος ἐμέλλομεν παραμυθεῖσθαι τοὺς τῷ γένει προσήκοντας; Ὥστε οὖν δύναται ὁ λόγος καὶ Ἐπιτάφιος λέγεσθαι, καὶ Ἐγκώμιον· Ἐπιτάφιος μὲν, διότι εἰς τὸν τετελευτηκότα Εὐαγόραν γράφει τὸν λόγον, Ἐγκώμιον δὲ, διότι παρῆκε τὰ δύο κεφάλαια τοῦ Ἐπιταφίου. Ἐνίκησε δὲ αὐτὸν τὸν λόγον, Ἐγκώμιον μᾶλλον λέγεσθαι. Ἰστέον δὲ ὡς ὅτι ἀντὶ τῶν δύο τούτων κεφαλαίων ἕτερα δύο ἀντεισήγαγε, τό τε τρίτον προοίμιον, ὅπερ οὐκ ἔστιν εὑρεῖν ἐγκώ-

[1] Ἐν μὲν ταῖς ἡμετέραις σχολαῖς, καθὰ καὶ ὁ Εὐστάθιος (Ἰλιαδ. Γ. 103.) παραδέδωκε, Χιαστὴ καλεῖται ἡ περίοδος, ἡνίκα τὸ τρίτον αὐτῆς καὶ τέταρτον κῶλον ἀνταποδίδοται μὴ κατὰ γραμμικὴν εὐθυωρίαν τῶν πλευρῶν τοῦ ὑποκειμένου τετραγώνου, ἀλλὰ τὸ μὲν τρίτον τῷ δευτέρῳ, τὸ δὲ τέταρτον τῷ πρώτῳ, κατὰ τὰς ἀποτελούσας τὸ X στοιχεῖον διαγωνίους Γ Β καὶ Δ Α· οἷόν ἐστι τὸ παρ' Ἰσοκράτει ἐκ πολλῶν ἓν τουτὶ παράδειγμα τετρακώλου Χιαστῆς περιόδου (Πρὸς Νικοκλ. σελ. 15),

Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, A — X — Γ Ἵνα τὰς μὲν φεύγωσι,
Τὰς δὲ πραγματείας ἐπιζημίους B — X — Δ Πρὸς δὲ τὰς προθύμως ἔχωσι.

Ὁ δὲ σχολιαστὴς Χιαστοῦ σχήματος παράδειγμα φέρει ταύτην τὴν περίοδον, "A, Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον, B, πρὸς τοὺς Ἕλληνας διαβληθέντας· Γ, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύνοντο, Δ, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας," καίπερ προσεχῶς κώλου κώλῳ ἀποδεδομένου, τοῦ δευτέρου τῷ πρώτῳ, καὶ τῷ τρίτῳ τοῦ τετάρτου. Idem.

[2] Τοιαῦτα πολλὰ παρὰ τοῖς σχολιασταῖς τῶν ῥητόρων εὑρήσεις, τερατείας μὲν τῆς περὶ τὴν λέξιν μεστὰ, νοῦ δὲ ὅλως κενά. Idem.

[3] Ποῖον λέγει ἐνταῦθα τὸ ἀχίαστον, αὐτὸς ἂν εἰδείη ὁ μικρὸν ἀνωτέρω χιαστὴν καλέσας τὴν οὐδὲν ἧττον τῆς προκειμένης ἀχίαστον περίοδον. Idem.

μιον, ὡς προείρηται, καὶ τὸ παραινετικόν. Καὶ τὸ μὲν προσθεῖναι τρίτον προοίμιον, ἣν ἀντὶ τοῦ θρηνητικοῦ· τὸ δὲ παραινετικὸν ἐν τῷ τέλει ἀντὶ τοῦ παραμυθητικοῦ· ἐν ᾧ αὐτῷ παραινεῖ, ὅτι, "Ὀφείλεις, ὦ Νικόκλεις, μιμήσασθαι τὰς πράξεις τὰς τοῦ πατρὸς, ἃς νῦν διήλθομεν ἐν τῷ ἐπιταφίῳ." Διὰ τοῦτο γὰρ καὶ τὸ παραινετικὸν ἐν τῷ τέλει ἔταξε, καὶ οὐκ ἐν τῇ ἀρχῇ, ἐπειδὴ ἔδει πρῶτον ἀποδειχθῆναι τοῦ πατρὸς τὰς πράξεις, ἵνα πρὸς ταύτας ὕστερον δυνηθῇ αὐτῷ παραινεῖν βιῶναι.[1]

P. 441. 6. Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους] Κατασκευὴ τοῦ προοιμίου.

— 11. Αἱ μὲν οὖν δαπάναι] Συμπέρασμα τοῦ προοιμίου.

— 18. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους] Δεύτερον, πρὸς τὸν πατέρα προοίμιον.

— ibid. Ἐπαινεῖν] Ἰστέον, ὅτι Ἔπαινος μὲν κυρίως κληθείη ὁ λόγος, ὁ ἐγκωμιάζων μόνην πρᾶξιν· Ἐγκώμιον δὲ τὸ παραλαμβάνον (γρ. Περιλαμβάνον) πολλὰς πράξεις.[2] Ὅμως ἀδιαφόρως τούτοις κέχρηνται.

P. 442. 2. Τοὺς ἐπέκεινα γενομένους] Οἷον Ἐριχθόνιος, Ἴναχος, Εὔμολπος.[3]

— 9. Οὐ μὴν δουλευτέον] Συμπέρασμα τοῦ προοιμίου.

— 17. Οἶδα μὲν οὖν] Τρίτον προοίμιον, εἰς τὸν τελευτήσαντα.

— 18. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων] Κατασκευὴ τοῦ προοιμίου.

P. 443. 14. Ὅμως δὲ, καίπερ] Συμπέρασμα τοῦ προοιμίου.

— 19. Πρῶτον μὲν οὖν] Εἰσβολὴ τῶν ἐγκωμίων.

— ult. Ὁμολογεῖται μὲν γὰρ] Ἄρχεται μὲν ἀπὸ τῶν προγόνων. Εἰ δέ τις εἴποι, διὰ τί παρῆκε τὸ ἀπὸ πατρίδος; οὕτω γὰρ ὀφείλει διωρίσθαι τὸ ἐγκώμιον, πρῶτον ἀπὸ πατρίδος, εἶτα ἀπὸ προγόνων, εἶτα ἀπὸ ἀνατροφῆς, ἀπὸ πράξεων, καὶ συγκρίσεων, καὶ ἐπιλόγων· λέγομεν, ὅτι οὐδὲν μέγα εἶχεν εἰπεῖν εἰς τὴν θέσιν τῆς πατρίδος, τῆς Σαλαμῖνος. Δεῖ δὲ ἐν πᾶσι τὰ συμφέροντα, καὶ τὰ ἀναγκαίως ὀφείλοντα λεχθῆναι, λέγειν, οὐ μέντοι ὅσα διδάσκει ἡ τέχνη· μᾶλλον δὲ τέχνη ἀνέγκλητον τὸ ἐπιτηδείως ἀποδοκιμάζειν τὰ μὴ ὀφείλοντα ἕπεσθαι.[4]

P. 446. 19. Ἐκρατίστευσεν] Σημείωσαι, ὡς γράψαι τις Κρατιστείαν ἀπὸ τοῦ Κρατιστεύω, ὡς ἀπὸ τοῦ Ἀριστεύω, Ἀριστείαν.[5]

P. 448. 3. Τὴν κάθοδον] Ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινὰ εἰς τὴν ἰδίαν πατρίδα, ἐξελθόντα ἐξ ἀρχῆς, μηδενὸς βιασαμένου· Κάθοδος δὲ, ὅταν τις ἄκων ἀποδημήσῃ καὶ φυγαδευθῇ, ἢ συμφορᾶς τινὸς προηγησαμένης, ἢ διὰ φόβον τυράννων, ἤ τι τοιοῦτον.

P. 450. 2. Κῦρον] Διὰ τί, ἀεὶ μετὰ τὰς πράξεις τιθεμένης τῆς συγκρίσεως, ἐν τῷ μεταξὺ τῶν πράξεων παρήγαγε σύγκρισιν πρὸς Κῦρον, τὴν ἀπὸ τοῦ μείζονος; Λέγομεν, ὅτι δεῖ μὲν αὐτὴν μετὰ τὰς πράξεις· εἰ δὲ ἀνάγκη τις, καὶ μεταξὺ τούτων, καὶ οἱωνδήποτε, οὐ παραιτητέον αὐτὴν τιθεμένους, χωρὶς τῶν προοιμίων.

P. 452. 14. Σεμνὸς] Τὸ Σεμνὸς διττῶς λέγεται, καὶ ἐπὶ τοῦ ὑπερηφάνου, καὶ ἐπὶ τοῦ σεμνῶς ποιοῦντος τὰ πράγματα.

P. 453. 6. Οὔτε τέχνας ἐπισταμένην κ. τ. λ.] Εἴ τις οὖν εἴποι, Καὶ πόθεν ἔζων μηδενὶ τούτων κεχρημένοι; λέγομεν ὅτι μάλιστα μὴν ἔξεστιν ἐν ἐγκωμίῳ ψεύδεσθαι.[6]

— 22. Ἀπροσοίστως] Μὴ προσδεχόμενοι τινὰς τῶν Ἑλλήνων.

P. 455. 10. Τὰ περὶ τὴν ἤπειρον] Ἤγουν τὰ περὶ τὴν Ἀσίαν· καὶ αὕτη γὰρ Ἤπειρος καλεῖται.

P. 464. 1. Καὶ καταγεγηράκασιν, οἱ μὲν κ. τ. λ.] Κατασκευὴ τοῦ προοιμίου, πῶς τινὲς ἀτόπους ποιοῦσιν ὑποθέσεις. Ἰστέον ὅτι τρία εἴδη προοιμίων τὰ κεφαλαιωδέστατα, ἓν μὲν τὸ πρὸς κατηγορίαν τῶν ἐναντίων λαμβανόμενον, δεύτερον δὲ τὸ πρὸς θεραπείαν τῶν δικαστῶν, τρίτον, τὸ ἕνεκα τοῦ προσώπου αὐτοῦ τοῦ λέγοντος. Εἰ δέ τις ἀκριβῶς ζητήσαι, εὑρήσει ὅτι καὶ τὰ τρία ἕνεκα τοῦ ἰδίου προσώπου τοῦ λέγοντος γίγνεται.

[1] Οὔτ' ὄναρ, οὔθ' ὕπαρ, προσεδόκησεν ὁ μουσικώτατος Ἰσοκράτης οὕτως ἀμούσων καὶ ἀδολέσχων τεύξεσθαί ποτε σχολιαστῶν. IDEM.

[2] Ἐκ τοῦ Σουΐδα (λέξ. Ἐγκώμιον). Κατ' Ἀριστοτέλην δὲ (Ἠθ. Νικομ. Α. ιβ'.), ὁ μὲν Ἔπαινος κυρίως τῆς ἀρετῆς, τὸ δ' Ἐγκώμιον, τῶν ἔργων. IDEM.

[3] Πρῶτον ὤφειλε τάξαι τὸν Ἴναχον, ὡς καὶ τοῖς χρόνοις πρῶτον, δισχιλίοις ὁμοῦ τι ἔτεσι γεγονότα πρὸ Χριστοῦ, δεύτερον, τὸν Ἐριχθόνιον, μεθ' ὃν τὸν Εὔμολπον. IDEM.

[4] Ὤφελες ἐν ἅπασι τοιοῦτος εἶναι, ὦ Σχολιαστά· τοῦτο γοῦν σου τὸ δίδαγμα ἔχει τι καὶ διδασκάλοις καὶ μαθηταῖς χρήσιμον. IDEM.

[5] Τοῦτο μὲν οὖν ἐχρῆν σημειώσασθαι (εἴγε ὅλως ἔδει καὶ τὰ τοιαῦτα σημειοῦσθαι τὸν σχολιάζοντα), ὡς, καθάπερ παρὰ τὸ Ἄριστος, καὶ Κάλλιστος, Ἀριστεύω, καὶ Καλλιστεύω, ὡσαύτως καὶ παρὰ τὸ Κράτιστος, τὸ Κρατιστεύω· ἐκ δὲ τῶν ῥημάτων αὖθις, ἡ μὲν Ἀριστεία καὶ τὸ Ἀριστεῖον, καὶ τὸ Καλλιστεῖον, χρηστὰ, οὐκέτι δὲ καὶ τὸ Κρατιστεῖον, οὐθ' ἡ Κρατιστεία, ὥσπερ οὐδὲ ἡ Καλλιστεία, καίπερ οὐ μαχόμενα τῇ ἀναλογίᾳ. Αἰσχύνομαι μὲν τὰ τοιαῦτα γράφων· πολύ γε μὴν μᾶλλον ἐκείνους ἐχρῆν αἰσχύνεσθαι τοὺς τοιαῦτα γράφειν ἡμᾶς ἀναγκάζοντας. IDEM.

[6] Καὶ τοῦτο μειρακιῶδες τὸ ἀπόρημα. Οὐδὲν γὰρ μᾶλλον ψεύδεται ὁ ἐν ταῖς σοφαῖς Ἀθήναις γεννηθεὶς καὶ τραφεὶς Ἰσοκράτης, ἢ εἴ τις τῶν παρὰ τοῖς Γαλάταις χαριεστέρων φήσειε τοὺς Τούρκους μήτε τέχνας ἐπίστασθαι μήτ' ἐμπορίῳ χρῆσθαι, πρὸς τοὺς ἑαυτοῦ πολίτας σκοπούμενος. Τὸ γὰρ μὴ χρῆσθαι οὐκ ἀεὶ τὸ παντάπασιν ἀγνοεῖν τὴν χρῆσιν τινὸς σημαίνει, ἀλλὰ πολλάκις καὶ τὸ ὀλίγως ἢ μὴ ὀρθῶς χρῆσθαι· καθάπερ καὶ ἄφωνον λέγομεν, οὐ μόνον τὸν ἐστερημένον ὅλως φωνῆς, ἀλλὰ καὶ τὸν ὀλιγόφωνον, ἢ κακόφωνον. IDEM.

P. 467. ult. Βομβυλιοὺς] Οἱ μὲν λέγουσιν, εἶδος Καυκαλίου,[1] οἱ δὲ εἶδος μυίας, ὥσπερ ἡ ἐμπίς.

P. 468. 12. Τὸν γράψαντα περὶ τῆς Ἑλένης] Πολυκράτην λέγει τὸν σοφιστήν.[2]

P. 479. 20. Θεράπναις] Κωμύδριον τῆς Λακωνικῆς.

P. 484. 8. Γιγνώσκω μὲν οὖν, ὅτι κ. τ. λ.] Δεύτερον προοίμιον, ἔννοιαν ἔχον τοῦ μὴ δεῖν τὸν Πολυκράτην ἐπαχθῶς φέρειν πρὸς τὴν νουθεσίαν· ὅπερ πάσχουσιν οἱ μωροί.

P. 485. 26. Ἵνα δὲ μὴ δοκῶ] Ἰστέον, ὅτι συμπέρασμα τοῦ προοιμίου, καὶ εἰσβολὴ τοῦ ἐγκωμίου.

— antep. Οὐδὲ σεμνοὺς λόγους ἔχουσαν] Ἰστέον, ὅτι αἱ προσποιήσεις αὗται ῥητορικαί εἰσι, τὸ ἐξ ἀρχῆς μετριάζειν, ἵνα, ὅταν ἀγωνίσηται καλῶς, μετὰ τὴν ἐπίδειξιν πλέον θαυμάζηται.

P. 491. 16. Ἀλλὰ καὶ τῆς ἰδέας ὅλης ... διημαρτηκὼς] Ἰστέον, ὅτι εἰ καὶ δεῖ ψεύδεσθαι ἐν τοῖς ἐγκωμίοις, καὶ τῶν προσόντων ἀγαθῶν μείζονα λέγειν· ἀλλ' οὐκ ἀδύνατα γίνεσθαι. Εἰ δὲ μὴ, τοὐναντίον δόξομεν κατηγορεῖν τοὺς ἐγκωμιαζομένους, ἢ ἐπαινεῖν, ἐλεγχόμενοι παρὰ τοῖς ἀκροαταῖς ψευδόμενοι φανερῶς, ἀποδεικνύντες τὸν ἐπαινούμενον μὴ πεπραχότα ταῦτα.

P. 515. 22. Ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν κ. τ. λ.] Συμπέρασμα κατὰ χιασμὸν, μὴ ἀναστρέφον πρὸς τὴν διάνοιαν τοῦ λόγου,[3]

Ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν,	Χ	Ἐξ ὧν δὲ Σπαρτιᾶται,
Αὐξάνεσθαι τὴν Ἑλλάδα κ. τ. λ.		Τὴν ἐκείνων μόνην μεγάλην κ. τ. λ.

P. 535. 2. Θεοφιλεῖς] Τοῦτο οὕτω νοητέον· οὐχὶ φιλοῦντας τοὺς θεοὺς, ἀλλ' ὑπὸ τῶν θεῶν φιλουμένους.[4]

— 6. Ὁ φὺς] Ὁ γενόμενος.

P. 577. 24. Ἀδολεσχίαν] Ἀδολεσχία, ἡ πάνυ φλυαρία, ἤγουν ἡ πλείστη.

P. 581. 9. Καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες] Τισίαν καὶ Κόρακα λέγει τοὺς Συρακουσίους, Γοργίαν, καὶ Θρασύμαχον, οἳ πρῶτοι ῥητορικὰς τέχνας ἔγραψαν.

[1] Περὶ μὲν τῶν τοῦ Βομβυλιοῦ σημαινομένων, καὶ ἐφ' ἧς ἐννοίας ἔταξεν Ἰσοκράτης τὴν λέξιν, ῥηθήσεται ἐξηγουμένοις τοδὶ τὸ χωρίον. Τὸ δὲ Καυκάλιον γράφεται καὶ διὰ τοῦ β, ὡς δῆλον ἐκ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ ἐκ τῶν ἀσκητικῶν βίων τε καὶ ἀποφθεγμάτων· εὕρηται γὰρ ἐν ἐκείνοις οὐ μόνον Βαῦκος, Βαυκάλιον, Βαυκαλία, Βαύκαλις, ἀλλὰ καὶ, Καύκη, Καυκίον, Καῦκος, Καυκάλιον, τῆς σημασίας ἐν ἑκατέρᾳ τῇ γραφῇ μηδὲν, ἢ ὡς ἐλάχιστόν γε, παραλλαττούσης· ἀγγεῖον γὰρ οἴνου ἢ ὕδατος σημαίνει ταῦθ' ἅπαντα. Καὶ οἱ μέν τινες τὴν διττογραφίαν ἀναλόγως τῇ τῆς Βορβορυγῆς καὶ Κορκορυγῆς γραφῇ γενέσθαι ὑπειλήφασιν· ἕτεροι δὲ παρὰ τὴν παρ' Ἀλεξανδρεῦσι βαύκαλιν (οὕτω γὰρ ἐκάλουν ἐκεῖνοι ποτηρίου τι εἶδος) παρεφθάρθαι πρῶτον τὴν διὰ τοῦ κ γραφὴν, εἶτα ἐννικῆσαι τῷ χρόνῳ μηδὲν ἧττον τῆς ἑτέρας γνησίαν λογίζεσθαι, οὐ μόνον παρ' Ἕλλησιν, ἀλλὰ καὶ παρὰ Ῥωμαίοις. Καὶ οὗτοι γὰρ ἐν τῷ παρακμάζοντι Λατινισμῷ διὰ τῶν ὀνομάτων Bauca, Baucale, Baucalium, καὶ Caucus, Caucalus, τὴν Ἑλληνικὴν Βαύκαλιν, ἢ Καύκαλιν, ἀδιαφόρως ἐξέφρασαν. ἐξ ὧν οἱ Ἰταλοὶ παραλαβόντες ἐσχημάτισαν τὸ Bocale. Ἡ δὲ παρ' ἡμῖν συνήθεια, ἀμφοτέρας φυλάξασα τὰς γραφὰς, Βωκάλιον μὲν καλεῖ αὐτὸ τοῦτο τὸ τῶν Ἰταλῶν Bucale, Καυκίον δὲ, τὸ κοῖλον τρυβλίον, καὶ τῆς τρυτάνης ἑκατέραν τὴν πλάστιγγα, Καύκαλον δὲ, τὸ κρανίον, διὰ τὴν τοῦ ὀστέου κοιλότητα, δι' ἣν καὶ οἱ Σκύθαι τοῖς τῶν πολεμίων κρανίοις ἀντὶ ποτηρίων ἐχρῶντο. Idem.

[2] Γοργίαν μὲν οὖν· οὗτος γὰρ ἔγραψεν Ἑλένης ἐγκώμιον, ὁ δὲ Πολυκράτης, Βουσίριδος. Idem.

[3] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 786.) σημειωθέντα μοι περὶ τῶν καινῶν τούτων χιασμῶν. Idem.

[4] Τοῦτο βούλεται λέγειν, ὅτι Θεοφιλὴς ὀξυτόνως, ὁ τοῖς θεοῖς φιλούμενος· Θεοφίλης δὲ παροξυτόνως ὁ τοὺς θεοὺς φιλῶν. Ἔπιθι τὸν Σουίδαν (λέξ. Θεομίσης, καὶ Θεοστυγεῖς). Idem.

VARIANTES LECTIONES
AD ISOCRATEM.

AD VARIANTES LECTIONES

PRÆFATIO.

RECENSIO codicum et manuscriptorum et impressorum, qui laudantur; et Notæ quibus singuli designati sunt.

CODICES REGII PARISINI.

*** Hæc notitia de codicibus Parisinis ex editione Augeri exscripta est.

p 1. 963. Codex chartaceus, qui inter alia habet orationem Isocratis ad Demonicum. Is Codex ineunte sæculo decimo sexto exaratus videtur.

p 2. 1739. Codex chartaceus, qui inter alia plura præbet eandem orationem Isocratis ad Demonicum. Is Codex sæculo decimo quinto videtur exaratus.

p 3. 2010. Codex chartaceus, qui inter alia plura continet eandem Isocratis orationem ad Demonicum cum glossis interlinearibus. Quarum glossarum scripturæ lineamenta quum pæne obliterata sint, et mihi saltem legere conanti impervia, nihil inde extrudere potui. Is Codex sæculo decimo quarto exaratus videtur.

p 4. 2077. Codex chartaceus, olim Colbertinus, qui inter plura alia exhibet eandem Isocratis orationem ad Demonicum. Is Codex sæculo decimo quinto videtur exaratus.

p 5. 2557. Codex chartaceus, qui inter alia plura præbet eandem Isocratis orationem ad Demonicum. Ex hujus codicis margine distichum non contemnendum assumpsi [cf. p. 91. not.]. Is codex sæculo decimo quinto exaratus videtur.

p 6. 2596. Codex bombycinus, qui inter multa alia habet eandem Isocratis orationem ad Demonicum. Hujusce codicis pars major sæculo decimo quarto, reliqua anno Christi MCCCCXLVII. exarata sunt.

p 7. 2678. Codex chartaceus, qui inter alia plura orationem habet Isocratis ad Nicoclem. Is codex sæculo decimo sexto exaratus videtur.

p 8. 2930. Codex chartaceus, qui inter alia continet omnes Isocratis orationes, cum brevibus scholiis ad marginem conjectis. De his scholiis idem dico, quod de glossis interlinearibus codicis p 3. Hic peccat Catalogus impressus MSS. bibliothecæ Regiæ, siqui-

dem XV. tantum orationes enumerat, quum omnes, i. e. XXI. contineantur. Is codex sæculo decimo quinto videtur exaratus.

p 9. 2931. Codex chartaceus, in quo omnes Isocratis orationes exhibentur. Is codex sæculo decimo quinto videtur exaratus.

p 10. 2932. Codex chartaceus, Fonteblandensis, in quo leguntur Isocratis orationes XIII. Desunt Panathenaicus, oratio de Antidosi, oratio adversus Lochitem, oratio de Bigis, Ægineticus, Trapeziticus, oratio adversus Callimachum. Hic etiam peccat Catalogus impressus; namque in orationum enumeratione Panegyricum omittit. Is codex sæculo decimo quinto exaratus videtur.

p 11. 2944. Codex chartaceus, qui inter alia plura habet Isocratis Archidamum. Ita Catalogus impressus, sed debebat scribere non *Isocratis Archidamum*, i. e. orationem Isocratis inscriptam Archidamus, at *Epistolam Isocratis ad Archidamum*, quam habet codex sub titulo non recto satis *Encomium Archidami*. Is codex sæculo decimo quinto videtur exaratus.

p 12. 2990. Codex bombycinus, qui continet Demosthenis in Æschinem fragmentum tribus constans paginis, et XIV. Isocratis orationes. Desiderantur Panegyricus, Panathenaicus, orationes ad Demonicum, adversus Lochitem, adversus Euthynum, de Antidosi, de Bigis. Is codex sæculo decimo quarto exaratus videtur.

p 13. 2991. Codex bombycinus, qui habet anonymi ad amicum consolationem de adverso rerum suarum statu, et omnes Isocratis orationes. Hic adhuc peccat Catalogus impressus, qui XVII. solummodo orationes recenset. Is codex sæculo decimo quinto videtur exaratus. In codice inscripto 2991 A. inter alia plura, legitur oratio Isocratis ad Demonicum. Quem codicem, quum ex eo nullam neque emendationem neque variantem extraxerim, nulla litera designavi.

p 14. 2992. Codex chartaceus, qui inter multa alia habet orationem Isocratis ad Demonicum. Is codex ineunte sæculo decimo sexto videtur exaratus.

p 15. 3024. Codex chartaceus, olim Colbertinus, qui inter alia exhibet Isocratis orationes ad Demonicum, ad Nicoclem, ejusdemque Nicoclem et encomium Helenæ. Catalogus impressus duarum duntaxat orationum mentionem facit, scilicet orationis ad Demonicum et laudationis Helenæ. Is codex sæculo decimo quinto exaratus videtur.

p 16. 3054. Codex chartaceus, qui, inter alias plures diversorum auctorum, continet Isocratis Epistolas, scilicet primam ad Philippum, ad Iasonis liberos, secundam ad Philippum, tertiam ad eundem, ad Alexandrum, quartam ad Philippum. Deest folium in quo legi deberet finis hujus epistolæ, et initium epistolæ ad Timotheum. Ultimum verbum epistolæ ad Philippum est διατετέλεκα, primum epistolæ sequentis ἀνθρώπων. Post epistolam, vel potius

partem epistolæ, ad Timotheum legitur epistola ad Mitylenæorum magistratus, et epistola ad Archidamum, cujus deest initium. Incipit in codice ab his verbis *τῶν ἐν Πελοποννήσῳ.* Hujus codicis accuratam rationem eo lubentius exscripsi, quod ex eo, quem primo adspectu libellum vilem et contemnendum dixeris, multo plures quam ex aliis omnibus tum emendationes tum conjecturarum mearum confirmationes eduxerim. Cæterum is codex sub finem sæculi decimi quinti videtur exaratus.

CODICES ALII.

a. Codex Augustanus, a Matthæi collatus, orationem primam continens.

b. Codex Bavaricus, qui Monachii est, ab Hardtio collatus.

f. Codex Fuggeranus Hieronymi Wolfii.

h. Codex Helmstadiensis, quo Matthæi usus est in Epistolis. Cf. Præfat. ad Variantes Lectiones Æschin. p. 403.

i. Codex Ambrosianus, a Mustoxyde collatus.

k. Codex Baroccianus.

l. Codex Laudianus.

m. Codex Mosquensis, quem cum ultima epistola Matthæi contulit.

n. Codex MS. in bibliotheca Collegii Novi apud Oxonienses reservatus, a Battieo collatus.

o. Codex Bodleianus, a Battieo collatus.

r. Codex Harleianus, a Battieo collatus.

s. Codex impressus 1493. Collegii Novi apud Oxonienses, a Battieo collatus.

t. Plut. 87. cod. 14. Codex Laurentianus, ab Orellio collatus.

u. 111. Codex Urbinas membranaceus, cum conjecturis diversorum et variis lectionibus ad marginem conjectis. Ipsum Textum porro audaces isti ac factiosi correctores temerarunt, et multis in locis lectionem primariam plane deleverunt.

v. 65. Codex Vaticanus membranaceus, a Corae collatus. *Ἐτελειώθη ἡ βίβλος αὕτη παρὰ Θεοδώρου ὑπάτου καὶ βασιλικοῦ Νοταρίου, γραφεῖσα οἰκείᾳ χειρὶ αὐτοῦ μηνὶ Ἀπριλλίῳ* ΚΕ - - - *τοῦ ἁγιόυ Μάρκου, ἔτει ,ϛΦΟΑ. Κύριε, βοήθει τῷ ταύτην γράψαντι. Ἀμήν. Ἔχει τὸ παρὸν βιβλίον φύλλα τδ′.* Cf. Coraes *περὶ τῆς Ἐκδόσεως τοῦ Ἰσοκράτους σελ. οθ.*

EDITIONES.

Med. Editio Mediolanensis, 1493. fol.

Ald. Editio Aldina, 1513. fol.

Hag. Editio Haganoensis, 1533. 8vo.

Bas. Editio Basiliensis prima, 1546. 8vo.

Isin. Editio Isingriniana, Bas. 1550. 8vo.
Wolf. Editio Hieronymi Wolfii, Bas. 1570. fol.
Brub. Editio Brubachiana, seu Francofurtensis.
Bekk. Editio Immanuelis Bekkeri, Oxon. 1823. 8vo.

*** Notæ compendii gratia: pr., quod dicunt, prima manus — corr. correctus — lit. litera vel literæ — om. omittit vel omittunt — eras. erasa est vel erasæ sunt — sup. lin. supra lineam — add. in marg. addit vel addunt in margine.

Codices et Editiones cum Editione H. Stephani conferuntur.

Cæterum, velim intelligas, omnes verborum transpositiones, quas post secundam orationem in Sylva Variantium Lectionum notare desii, ex auctoritate Cod. Urbinatis factas esse, inque omnibus his locis me Bekkeranis vestigiis institisse.

VARIANTES LECTIONES AD ISOCRATEM.

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ.

P. 87. Tit. ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΠΑΡΑΙΝΕΣΙΣ] ΛΟΓΟΣ ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ n. ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ u. Bekk. ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ s.

P. 87. 2. εὑρίσομεν n.

P. 88. 1. ἀπέστειλά l. o. 2. ἡμᾶς] ὑμᾶς a. n. p 1. 3. 5. 6. 8. 10. r. u. Bekk. Ibid. φιλίας] εὐνοίας n. r. u. Bekk. 7. σὺ μὲν ἀκμὴν φιλοσοφεῖς] σοὶ μὲν ἀκμὴ φιλοσοφεῖν k. o. p 1. 2. 13. u. Bekk. 10. ἐπιχειροῦσιν ποιεῖν, οὐ k. 11. κράτιστον] κάλλιστον r.

P. 89. 1. μόνον om. k. u. Bekk. 2. καὶ om. k. u. Bekk. 9. ἐστι om. n. o. Ibid. ἀνάλωσεν] ἀνήλωσεν r. u. Bekk. ἠνάλωσεν alter r. ult. ταύτης om. o. Ibid. πλέον r.

P. 90. 1. ἔβλαψε] ἐλυμήνατο k. et γρ. in marg. u. 2. ἐπεσκότισεν k. n. o. r. ἐσκότισεν p 1. 3. ἐν ταῖς] ἐν om. k. n. o. r. u. v. Bekk. 6. καθιστῶσα] καθιστᾶσα k. u. Bekk. 10. ἐπέβαλλεν l. n. o. ult. καὶ om. o.

P. 91. 1. ἐμοῦ λεγ.] ἐμοῦ σοι λεγ. l. o. r. u. Bekk. Ibid. οὐδὲ γὰρ] οὐ γὰρ k. u. v. Bekk. 3. ὑπέμενεν] ὑφίστατο k. et corr. u. 4. παρακαίρως] ἀκαίρως k. παρακαιρὸν h. n. παρὰ καιρὸν o. Ibid. ἀπήλαυε] ἀπέλαυε u. Bekk. 7. τε om. u. v. Bekk. 8. ἐθαύμ. πάντας τοὺς l. o. 14. πρὸς ὃν k. u. Ibid. δεῖ σε ζῆν r.

P. 92. 1. γενήσει u. Bekk. 7. ἅπασιν om. o.

P. 93. 2. νόμοις] ὅρκοις u. 3. τοὺς] τοὺς σεαυτοῦ r. 4. σαυτοῦ] σεαυτοῦ k. u. Bekk. σοὺς r. 6. συμφέροντα om. k. u. Ibid. ἐπιτυγχάνοις] ἐπιτύχοις k. u. Bekk. Ibid. λέγεις p 1. ult. σαυτὸν] σεαυτὸν k. p 1. u. Bekk.

P. 94. ult. σαυτῷ] σεαυτῷ k. n. u. Bekk. αὐτῷ Ald. Ibid. γε om. u. Ibid. Τὸν μὲν θεὸν] Τοὺς μὲν θεοὺς l. o. r. u. Bekk.

P. 95. 7. κρύψῃ r. Ibid. ὀφθήσει u. Bekk. 8. τοιαῦτα r. Ibid. ἄλλοις ἦν] ἄλλοις ἂν k. n. o. r. u. v. Bekk. Ibid. πράττουσιν l. n. o. r. v. 10. ταῦτα διαφυλάττει k. u. pen. μανθάνειν] μαθεῖν k. n. o. u. Bekk. ult. λαμβάνειν r.

P. 96. 1. τῶν λόγων om. x. 4. κρείττω χρημάτων r. 5. μόνη] μόνον k. u. Bekk. Ibid. χρημάτων u.

P. 97. 2. et 7. ἔσει u. Bekk. qui sic et infra. 3. πυκνὰς ποιοῦ] ποιοῦ πυκνὰς u. v. Bekk. 5. δύναιο] δύνῃ k. u. Bekk. 7. ἄσκει] ἡγεῖσθαι p 1. 8. ἂν κέρδη] ἐὰν κέρδη u. Bekk. 9. ἂν παραπλ.] ἂν om. p 1. 5. 8. 9. 10. 13. 15. r. u. Bekk. 10. ἔχεις k. Ibid. σαυτὸν] αὐτὸν k. ἑαυτὸν u. σεαυτὸν Bekk. 12. ἂν αἰσχρὸν] ἐὰν αἰσχρὸν k. n. o. r. u. Bekk. 13. λυπηροῖς] πονηροῖς k. u. Ibid. ἂν τὰς] ἐὰν τὰς k. n. o. r. u. Bekk.

P. 98. 5. δύω v. 6. ἐκ κινδ.] ἐκ μεγάλων κινδ. k. l. n. o. u. Bekk. 7. θεὸν] θεῶν l. n. o. u. Bekk. Ibid. ὀμόσεις k. ὀμώσῃς o. Ibid. μέλλῃς εὐορκεῖν r. antep. προτέροις] πρότερον l. o. p 1. 6. r. u. Bekk. προτέροις πρότερον p 5. pen. γενήσεσθαι] γενέσθαι codd. et Bekk.

P. 99. 4. ἂν μὴ] ἐὰν μὴ k. n. o. u. Bekk. Ibid. δεόμενος τὸ] δεόμενός του Bekk. antep. ἀνακοίνου] ἀνακοινοῦ u. Bekk. pen. αὐτῶν τὸν τρόπον u. Bekk. ult. τε om. o.

P. 100. 1. δοκιμάζομεν] βασανίζομεν k. r. u. Bekk. 2. ἐπιγιγνώσκομεν l. om. r. 3. οὕτω δ' ἂν] οὕτω δ' l. n. o. r. οὕτως k. n. Bekk. Ibid. ἂν μὴ] ἐὰν μὴ k. n. o. u. Bekk. Ibid. προσμένῃς k. u. παραμένῃς n. o. Ibid. ἐν τοῖς καιροῖς αὐτοῖς] αὐτοῖς ἐν τοῖς καιροῖς v. u. Bekk. 5. ὁμοίως δ' o. p 5. r. Ibid. αἰσχρὸν νομ.] αἰσχρὸν εἶναι νομ. k. o. r. u. Bekk. Ibid. ἐχθρῶν τε l. n. 9. μὲν γὰρ ἀτυχοῦσι] γὰρ ἀτυχοῦσι μὲν o. u. Bekk. pen. ἔστι γὰρ] ἔστι δὲ l. n. u. Bekk.

P. 101. 4. τῶν πλούτων p 1. Ibid. σπουδ. χρῆσθαι] σπουδαζόντων μὲν χρῆσθαι u. Bekk. ult. τοῖς χρῆσθαι] τοῖς κτᾶσθαι k. n. p 15. r. u. et in marg. p 8. 14. Bekk.

P. 102. 1. ἕνεκεν u. Bekk. 2. ἐκτῖσαι καὶ] ἐκτῖσαι δύνασθαι, καὶ k. u. Bekk. 4. αὐτὸν] αὐτὴν l. p 5. 15. r. u. Bekk. αὐτὴν αὐτὸν p 6. 5. βέλτιστα k. Ibid. ὀνείδισκε l. 8. κακοὺς εὖ] κακοὺς δ' εὖ r. δ' om. Bekk.

P. 103. 1. πιστεύοντας] πιστεύσαντας k. l. o. u. Bekk. 2. σοι om. k. u. Bekk. 4. ὁμιλιτικὸς k. o. 5. σεμνός τε καὶ ὑπεροπτικός.

o. Ibid. τῶν μὲν γὰρ τὸν ὑπεροπτικὸν] τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν r. u. Bekk. 6. τῶν δὲ τὸν ὁμιλητικὸν] τὸν δὲ τῶν ὁμιλητικῶν r. u. Bekk. τῶν δὲ τῶν ὁμιλητικῶν p 1. 5. 7. ἅπαντες ἂν r. 8. πάντα] πάντας k. r. u. Bekk. τοὺς πάντας n. ult. περὶ] παρὰ l. u. om. k. Ibid. περὶ] παρὰ u.

P. 104. 2. τὰς om. k. r. Ibid. ἀχαρίστοις k. r. 3. πάσχουσιν] ποιοῦσιν l. o. 6. ἂν δέ] ἐὰν δέ k. n. o. u. Bekk. Ibid. ποτε om. r. Ibid. σοι om. k. antep. ἀποβάλλουσιν] ἀποβαλοῦσιν u. Bekk. pen. διαμαρτάνοντα] διαμαρτόντα u. Bekk. ult. εὐθυνόντων] εὐθυνούντων a. u. Med. Bekk.

P. 105. 6. ὃν] ὧν k. o. u. Bekk. Ibid. ἐλύπησε r. Ibid. τούτῳ] τούτων k. o. u. Bekk. 7. ἔδωκεν o. r. Ibid. βούλει k. l. n. 8. αὐτῶν πρότερον πρὸς k. r. 9. μὲν γὰρ φιλίας] γὰρ φιλίας μὲν k. u. Ald. Bekk. 10. παράδειγμα o. antep. ταχίστην] πλείστην k. p 1. r. ult. μὲν θεοῦ] μὲν τῶν θεῶν k. l. n. o. r. u. Bekk.

P. 106. 1. αὐτῶν om. o. r. 2. βούλει] βούλῃ u. Bekk. Ibid. τινι n. o. 3. κοινώσασθαι n. o. 4. γνώμην] γνῶσιν k. u. Bekk. 5. δὲ ὑπὲρ τῶν] ὑπὲρ k. o. r. u. Bekk. 6. συμβουλεύεσθαι] συμβούλῳ χρῆσθαι a. k. u. et γρ. r. Bekk. βουλεύεσθαι o. Ibid. πρότερον l. o. 7. ὑπὲρ τῶν αὑτοῦ] τὰ ἑαυτοῦ k. u. Bekk. Ibid. ὑπὲρ τῶν] περὶ τῶν k. l. o. r. u. Bekk. 8. ἰδίων] οἰκείων k. u. Bekk. Ibid. περὶ] ὑπὲρ o. 9. ἂν κάλλιστα βουλεύσασθαι r. 10. ἐξ ἀβουλ. o. 11. ὑγείας o.

P. 107. 1. μὲν καὶ om. k. l. o. 7. ἁμάρτοι] διαμάρτῃ k. l. o. ἁμάρτῃ u. Bekk. 13. δυνάμενον] δύνασθαι k. u. Bekk. 14. ἔχειν] ἔχων k. n. o. u. Bekk. Ibid. δοκῇς γ' ἂν ὀρ. k. ult. τούτου k. u.

P. 108. 3. γε σπουδαίαις] χρησταῖς k. r. 4. περὶ βίου o. περὶ om. n. 6. τὸ μὲν σῶμα εἶναι φιλ., τὴν δὲ ψυχὴν] τῷ μὲν σώματι εἶναι φιλ., τῇ δὲ ψυχῇ k. u. Bekk. 8. ἐπέστη o. 9. ἂν om. o. Ibid. λέγειν] ἐρεῖν u. Bekk.

P. 109. 1. καὶ λυποῦ] λυποῦ δὲ k. o. u. Bekk. 2. ἐν μηδετέροις n. o. 12. ἡ φύσις om. k. p 1. u. Ibid. ἀπένειμε om. p 1. 16. παρ. σοῦ βίου o. r. 17. παράγγελμα] παράδειγμα o. 18. μετ' εὐνοίας συμβουλεύοντα u. Bekk. 19. οὖν om. o. Ibid. μὴ παρ' ἑτέρου τὰ λοιπὰ u. Bekk. antep. ἂν ἔχω] ἂν om. u. Bekk. pen. τῷ θεῷ] τοῖς θεοῖς k. l. o. u. Bekk. ult. ἣν] ἧς k. u. Bekk.

P. 110. 1. εὑρίσομεν n. 5. σου om. u. Ibid. φιλοσοφίᾳ p 1. 8. ὀρέγεσθαι u. 10. τὰς ἐκ] τὰς om. k. n. o. u. Bekk. Ibid. ἔχωμεν o. 11. καὶ τῷ τὰς o. r. 14. πρῶτον] πρότερον k. n. Bekk. 15. ἐλυπήθησαν k. n. 16. ἅπασι] πᾶσι u. Bekk. 18. τῶν om. o. r.[1] Ibid. αὐτὰ om. k. u. 19. ἕνεκεν u. Bekk. 21. διότι] ὅτι k. p 5. r. u. Bekk. ult. ἢ] ἢ r. διὰ τὸ k. u. Bekk. Ibid. ἔχει r.

P. 111. 2. φήσαντας u. 3. καὶ εἰκότως o. Ibid. μόνῳ] μόνον u. Bekk. 4. που τοὺς] πού γε τοὺς k. o. r. u. Bekk. 5. ἐλαττωμένους r. 6. ὑπολαμβάνομεν o. Ibid. αὐτοὺς u. Bekk. 8. ἐνεχείρησεν o. 13. ἀνδρῶν n. 16. οἷς χρὴ] οἷς δεῖ k. u. Bekk. 19. τι om. o. 22. ἑκάστων n. o. Ibid. χρήσιμα] βέλτιστα k. u. Bekk. Ibid. χρὴ] δεῖ u. Bekk. ult. κρατήσειεν k. subscribit u. πρὸς δημόνικον. ἅμα τῶι ἑταίρωι εὐσταθίωι.

ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

P. 112. Tit. ΠΕΡΙ ΤΟΥ ΒΑΣΙΛΕΥΕΙΝ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ om. u. Bekk. ΠΕΡΙ ΤΟΥ ΒΑΣΙΛΕΥΕΙΝ Η om. v.

P. 112. 1. Νικόκλεες k. Ibid. τοῖς βασιλεῦσιν ὑμῖν u. Bekk. 2. ἢ ἄλλο] ἢ τῶν ἄλλων u. Bekk. ult. χρημάτων] κτημάτων k. n. p 7. 8. 9. 12. r. u. Bekk.

P. 113. 3. ἐγὼ δ' ἡγησαίμην] ἐγὼ δ' ἡγησάμην v. et in marg. u. Bekk. ἡγησάμην δ' u. ἡγησαίμην n. 4. ταύτην καλλίστην γενέσθαι] γενέσθαι ταύτην καλλίστην u. Bekk. εἶναι pro γενέσθαι habet n. 7. ἔργων om. n. 8. διοικῇς u. διοικοῖς Bekk. 9. καὶ μάλιστα] καὶ om. u. Bekk. 10. ἀγωνίζεσθαι τὴν ἡμέραν] τὴν ἡμέραν βουλεύεσθαι u. Bekk. 13. ταῖς ἀλλήλων ἁμαρτίαις om. k. r. 14. τινὲς καὶ τῶν ποιητῶν] καὶ τῶν ποιητῶν τινὲς u. Bekk. 17. μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι] ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων r. u. v. Bekk. 19. καταστάθωσιν] καταστῶσιν u. Bekk. 21. γενόμενοι] γιγνόμενοι k. u. v. Bekk.

P. 114. 3. ἅπαντας] ἅπαντες u. v. Bekk. 5. εὕρωσι] ὁρῶσι u. Bekk. Ibid. ἐχρῆν] χρῆν u. Bekk. 11. ὃ πάντων τῶν k. 12. πλείονος] πλείστης k. n. u. Bekk. antep. οὖν πρᾶξιν] οὖν τὴν πρᾶξιν u. Bekk.

